# ΣΥΝΤΑΓΜΑ
## ΤΩΝ ΘΕΙΩΝ
# ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ
## ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ
# ΑΠΟΣΤΟΛΩΝ,
## ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ
# ΣΥΝΟΔΩΝ,
## ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ
# ΠΑΤΕΡΩΝ,

*ΕΚΔΟΘΕΝ,*

*Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,*

**ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,**

*Καὶ διαφόρων ἀναγνωσμάτων,*

ΥΠΟ

**Γ. Α. ῬΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,**

*Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας,*
*Καὶ τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.*

**ΤΟΜΟΣ ΤΡΙΤΟΣ.**

ΒΙΒΛΙΟΘΗΚΗ
ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1853.

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΓΓΕΛΟΥ Ν Π ΠΑΚΩΣΤΑ

123203

# ΟΙ ΘΕΙΟΙ ΚΑΙ ΙΕΡΟΙ

# ΚΑΝΟΝΕΣ

ΤΩΝ ΕΝ ΚΑΡΧΗΔΟΝΙ, ΕΝ ΑΓΚΥΡΑ͂, ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ͂, ΕΝ ΓΑΓΓΡΑ͂, ΕΝ ΑΝΤΙΟΧΕΙΑ͂, ΕΝ ΛΑΟΔΙΚΕΙΑ͂, ΕΝ ΣΑΡΔΙΚΗ͂, ΕΝ ΚΑΡΘΑΓΕΝΗ͂, ΚΑΙ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΠΙ ΝΕΚΤΑΡΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ,

## ΤΟΠΙΚΩΝ ΣΥΝΟΔΩΝ,

Μετὰ τῆς ἐξηγήσεως

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ, ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ, ΚΑΙ ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΡΙΣΤΗΝΟΥ,

Καὶ πίνακος ἀναλυτικοῦ ἁπάντων τῶν ἐν τῷ τρίτῳ τόμῳ κανόνων, μετὰ τῆς συμφωνίας αὐτῶν.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΑΘΗΝΗ͂ΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1853.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλεψίτυπον, καὶ καταδιώκεται κατὰ τὸν νόμον.

ΙΔΟΥ, φίλοι ὁμογενεῖς, παραδίδομεν ὑμῖν καὶ τὸν τρίτον τόμον τοῦ Συντάγματος τῶν θείων καὶ ἱερῶν Κανόνων τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς Ἐκκλησίας, ἐν ᾧ, ὡς ἐν τῷ προλόγῳ εἴρηται, περιέχονται οἱ ἱεροὶ Κανόνες τῶν τοπικῶν Συνόδων, μετὰ τῆς ἐξηγήσεως Ἰωάννου τοῦ Ζωναρᾶ, Θεοδώρου τοῦ Βαλσαμῶνος, καὶ Ἀλεξίου τοῦ Ἀριστηνοῦ. Καὶ εἰς τὴν ἐπεξεργασίαν τοῦ σπουδαιοτάτου τούτου μέρους τοῦ Συντάγματος τοῦ Πατριάρχου Φωτίου πᾶσαν κατεβάλομεν προσπάθειαν, ὥστε τὰ ἐκδιδόμενα κείμενα ν' ἀπαλλαχθῶσι τῶν ἐν ταῖς προηγουμέναις ἐκδόσεσιν οὐκ εὐαρίθμων ἁμαρτημάτων, καὶ ν' ἀποκατασταθῶσιν εἰς τὴν γνησίαν καὶ ἀρχέτυπον αὐτῶν καθαρότητα· οἱ φίλοι καὶ ζηλωταὶ τῆς ἐκκλησιαστικῆς παιδείας θέλουσι κρίνει, ἂν, ὡς φρονοῦμεν, ἐπετύχομεν τοῦ σκοπουμένου. Δὲν διστάζομεν δὲ καὶ αὖθις νὰ κηρύξωμεν, ὅτι τὸ πλεονέκτημα τοῦτο ὀφείλομεν ἰδίως εἰς τὸν ὁποῖον κεκτήμεθα Τραπεζούντιον κώδικα, οὗ τινος τὴν ἐπὶ τῶν μέχρι τοῦδε ἐπεξεργασθέντων χειρογράφων ἀδιαφιλονείκητον ὑπεροχὴν μαρτυρεῖ πᾶσα, οὕτως εἰπεῖν, σελὶς τῆς παρούσης ἐκδόσεως. Ἀλλὰ καὶ ἡ ἀρίστη τοῦ ἐν τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ (Spicilegium Romanum) Νομοκάνονος ἔκδοσις οὐ σμικρὸν συνετέλεσεν εἰς τὴν ἀκρίβειαν τοῦ κειμένου τῶν ἱερῶν Κανόνων, καὶ ἰδίως τῶν ἐν Σαρδικῇ καὶ ἐν Καρθαγένῃ Συνόδων, πληρέστερον ἐν αὐτῷ ἐκτεθειμένων. Οἱ ἐκδόται τοῦ Πηδαλίου, συντομίας βεβαίως χάριν, ἀφήρεσαν ἀπὸ τῶν Κανόνων τούτων πᾶν ὅ,τι δὲν ἀποτελεῖ τὴν κυρίαν αὐτῶν διάταξιν· ἀλλὰ πολλάκις ἡ συντομία αὕτη παραβλάπτει οὐκ ὀλίγον τὴν σαφήνειαν τοῦ κειμένου, στεροῦσα τὸν ἀναγνώστην τῶν αἰτιολογιῶν τῆς διατάξεως. Ταύτας ἡμεῖς ἐκρίναμεν δέον ν' ἀποκαταστήσωμεν, ἀκολουθήσαντες πιστῶς τὸ ὑπὸ τοῦ Πατριάρχου Φωτίου καὶ τῶν Ἐξηγητῶν αὐτοῦ παραδεδεγμένον σύστημα. Ἐπειδὴ δὲ τῆς ἐν Καρθαγένῃ Συνόδου οἱ Κανόνες συνετάχθησαν λατινιστὶ, ἐξελληνισθέντες ἀκολούθως περὶ τὴν ϛ'. πιθανῶς ἑκατονταετηρίδα, δὲν ἐδιστάσαμεν νὰ παραβάλωμεν πάντοτε τὸ ἑλληνικὸν αὐτῶν κείμενον πρὸς τὸ πρωτότυπον λατινικὸν, κατὰ τὴν ἀρίστην τοῦ Βρυνσίου ἔκδοσιν, καὶ ἐκ

τῆς ἐργασίας ταύτης οὐκ εὐκαταφρόνητον πρὸς τὴν ἐκλογὴν τῆς ὀρθοτέρας γραφῆς ἠρύσθημεν βοήθειαν.

Καὶ τὸν παρόντα τόμον συνοδεύει πίναξ ἀναλυτικὸς τῶν κανονικῶν διατάξεων, μετὰ τῆς συμφωνίας τῶν σχετικῶν Κανόνων. Σημειωτέον δὲ ὅτι ὡς πρὸς τὴν ἐν Καρθαγένῃ Σύνοδον, ἐξεδώκαμεν τὸν ἐν τῇ βιβλιοθήκῃ τοῦ Ἰουστέλλου καὶ Βοέλλου ἀρχαῖον τῶν Κανόνων αὐτῆς πίνακα, συμπληρώσαντες ὀλίγα τινὰ ἐλλιπῆ αὐτοῦ μέρη, καὶ σημειώσαντες τὰς ἡμετέρας ταύτας προσθήκας διὰ παρενθέσεων. Ὀφείλομεν δὲ νὰ παρατηρήσωμεν, ὅτι ἐν ἁπάσαις ταῖς εἰς τοὺς Κανόνας παραπομπαῖς ἠκολουθήσαμεν, ὡς μᾶλλον παρ' ἡμῖν ἐν χρήσει, τὴν ἀρίθμησιν τοῦ Πηδαλίου, ἂν καὶ ἐνίοτε διαφέρουσαν τῆς τοῦ Συντάγματος τοῦ Φωτίου καὶ τῶν Ἐξηγητῶν, παραθέσαντες ὅμως πάντοτε καὶ ταύτην, πρὸς μείζονα τῆς ἀναζητήσεως αὐτῶν εὐκολίαν εἴτε ἐν τῷ Πηδαλίῳ, εἴτε ἐν τῇ ἡμετέρᾳ ἐκδόσει, ὅπου ὡς κυρίαν ἀρίθμησιν παρεδέχθημεν τὴν κατὰ τὸν Φώτιον (1).

Ἀρξαμένην τὴν παροῦσαν ἡμῶν ἔκδοσιν ἐνεθάῤῥυναν καὶ ἐπροστάτευσαν ἥ τε ἁγία καὶ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, καὶ ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, μὴ ἀπαξιώσασαι νὰ καταστέψωσι μὲ εὐλογίας τοὺς κόπους ἡμῶν, καὶ περιβαλοῦσαι διὰ τῆς ὑψηλῆς αὐτῶν ἐπιδοκιμασίας τὴν μεθ' υἱϊκῆς ταπεινοφροσύνης καὶ βαθυτάτου σεβασμοῦ ὑποβληθεῖσαν αὐταῖς ἱερὰν ταύτην βίβλον.

Μόλις δὲ ἐδημοσιεύθησαν οἱ δύω αὐτῆς πρῶτοι τόμοι, καὶ μυρίαι ἄλλαι ἐνθαῤῥύνσεις ἀφίχθησαν πανταχόθεν.

Διὰ Β. Διατάγματος τῆς 20 Αὐγούστου 1852 ὑπογεγραμμένου, ἐν τῇ ἀπουσίᾳ τῆς Α. Μ. τοῦ Βασιλέως, ὑπὸ τῆς κραταιᾶς προστάτιδος τῶν φώτων Μεγαλειοτάτης Βασιλίσσης τῆς Ἑλλάδος, ἐνεκρίθη νὰ συνδράμῃ τὸ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίας Ἐκπαιδεύσεως Ὑπουργεῖον εἰς τεσσαράκοντα σώματα τοῦ παρόντος βιβλίου, τὸ ὁποῖον, ὡς ἡ Αὐτῆς Μεγαλειότης εὐηρεστήθη νὰ ἐκφρασθῇ, *ἀναπληροῖ μίαν τῶν κυριωτέρων χρειῶν τῆς ἑλληνικῆς κοινωνίας.*

(1) Ἀνάγνωθι ὅσα περὶ τῆς διττῆς ταύτης ἀριθμήσεως ἐγράφησαν ἐν ἀρχῇ τῶν κανόνων τῆς ἐν Καρθαγένῃ συνόδου, Τόμ. Γ'. σελ 297 ἐν τῇ Σημειώσει.

ὁ μακαριώτατος Ἀρχιεπίσκοπος τῆς Νέας Ἰουστινιανῆς καὶ πάσης Κύπρου, καὶ οἱ εὐκλεῶς διέποντες τοὺς ἱεραρχικοὺς θρόνους Οὐγγροβλαχίας, Κερκύρας, Κεφαλληνίας, Ζακύνθου, Ἄρτης, οὐ μόνον ἠξίωσαν νὰ περιβάλωσι τὴν ἔκδοσιν ταύτην διὰ τῆς πνευματικῆς αὐτῶν ἐπιδοκιμασίας, ἀλλὰ καὶ ἔσπευσαν νὰ μᾶς προτρέψωσι θερμότατα, ὥστε νὰ μὴ δειλιάσωμεν εἰς τὸν ὁποῖον ἀπεδύθημεν ἀγῶνα, ἐφοδιάσαντες ἡμᾶς πρὸς τοῦτο διὰ τῶν πανιέρων καὶ πατρικῶν αὐτῶν εὐχῶν.

Τέλος, πρὸ ὀλίγων ἡμερῶν εἰδοποιήθημεν παρὰ τοῦ ἐπὶ τοῦ Β. Οἴκου καὶ τῶν Ἐξωτερικῶν Ὑπουργείου, ὅτι κατὰ σύστασιν τοῦ παρὰ τῇ Αὐτοκρατορικῇ αὐλῇ τῆς Πετρουπόλεως πρέσβεως τῆς Α. Μ. τοῦ Βασιλέως τῆς Ἑλλάδος Κ. Κ. Ζωγράφου, ἡ Ἁγιωτάτη Διοικοῦσα Σύνοδος τῆς μεγάλης καὶ ὁμοδόξου Ῥωσσικῆς Αὐτοκρατορίας, ἐκτιμῶσα τὴν ἀξίαν τοῦ προκειμένου ἔργου, διέταξεν ἁπάσας τὰς αὐτόθι ἐκκλησιαστικὰς Ἀκαδημίας, καὶ τὰ θρησκευτικὰ Ἐκπαιδευτήρια, νὰ συνδράμωσι τὴν παροῦσαν ἔκδοσιν. Θέλομεν δὲ σπεύσει, πρὸς τεκμήριον δικαίας εὐγνωμοσύνης, νὰ δημοσιεύσωμεν τὰ ὀνόματα τῶν νέων τούτων συνδρομητῶν, ἅμα διαβιβασθέντα παρὰ τοῦ ἐξοχωτάτου Κ. Κόμητος Πρατάσσωφ, Γενικοῦ Ἐπιτρόπου τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Αὐτοκράτορος τῆς Ῥωσσίας παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ, πρὸς τὸν ἐν Πετρουπόλει Κύριον πρέσβυν τῆς Ἑλλάδος, μᾶς κοινοποιηθῶσι διὰ τοῦ ἐπὶ τῶν Ἐξωτερικῶν Β. Ὑπουργείου (1).

(1) Ὁ ἐπὶ τοῦ Β. Οἴκου καὶ τῶν Ἐξωτερικῶν ἀξιότιμος Ὑπουργὸς Κ. Α. Παΐκος ἐσύστησε στενῶς τὴν παροῦσαν ἔκδοσιν πρὸς ἅπαντας τοὺς ΚΚ. πρέσβεις καὶ προξένους τῆς Ἑλλάδος, καὶ δὲν διστάζομεν νὰ πιστεύσωμεν, ὅτι οἱ ἁπανταχοῦ ὁμογενεῖς, ἐκτιμῶντες τὴν ἐμβρίθειαν τοῦ βιβλίου, καὶ ἐνθυμούμενοι ὅτι ἡ συνδρομὴ αὐτῶν συνετέλεσε πάντοτε εἰς τὴν πραγματοποίησιν τῶν καλῶν καὶ μεγάλων ἔργων ἐν τῇ Ἑλλάδι, θέλουσιν ὑποστηρίξει τὴν διὰ μόνων τῶν χρηματικῶν δυνάμεων ἑνὸς ἀτόμου μὴ δυναμένην ν᾽ ἀποπερατωθῇ παροῦσαν ἐργασίαν. Τὸ προκείμενον βιβλίον δὲν ἀφορᾷ εἰδικῶς τὴν δεῖνα ἢ δεῖνα τάξιν τῆς κοινωνίας μας· εἶναι ὁ Κώδιξ τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, εἰς ἣν πᾶς ὁμογενὴς, εἴτε κληρικὸς, εἴτε λαϊκὸς, εἴτε φιλολόγος, εἴτε νομικὸς, εἴτε ἔμπορος, εἴτε κτηματίας, ἀνήκει.

Τοιουτοτρόπως τὸ μέγα τοῦτο καὶ δυσχερὲς ἔργον, οὗπερ, ὡς ἀνωτέρου τῶν ἡμετέρων δυνάμεων, μετὰ φόβου καὶ δισταγμοῦ ἐπελαβόμεθα, ἐνθαῤῥυνόμενον καὶ προστατευόμενον πανταχόθεν, θέλει ἐντὸς ὀλίγου αἰσίως ἀποπερατωθῇ πρὸς δόξαν τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι.

---

Ἰδοὺ δὲ καὶ τὸ πρὸς τὸν ἐν Πετρουπόλει πρέσβυν τῆς Ἑλλάδος Κ. Κ. Ζωγράφον ἔγγραφον τοῦ Κ. Κόμητος Πρατάσσωφ, Γενικοῦ Ἐπιτρόπου τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Αὐτοκράτορος τῆς Ῥωσσίας παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ.

Saint-Pétersbourg, ce 30 Novembre 1852.

Monsieur.

J' ail' honneur de Vous informer en réponse à la lettre que Vous avez bien voulu m' adresser en date du 8 septembre dernier, que le Saint Synode, ayant pris connaissance de Votre intervention en faveur d' une publication en langue grecque, entreprise à Athènes sous le titre Recueil des Saints Canons, vient d'ordonner à toutes les Académies ecclésiastiques, ainsi qu' à tous les Séminaires, de souscrire pour le susdit ouvrage. Veuillez agréer, etc. etc.

(signé) Comte Pratassoff.

A S. Ex. Monsieur C. Zographo, Envoyé Extraordinaire et Ministre Plénipotentiaire de S. M. Hellénique, à Saint-Pétersbourg.

# Η ΕΝ ΚΑΡΧΗΔΟΝΙ

# ΓΕΝΟΜΕΝΗ ΣΥΝΟΔΟΣ

## ΗΣ ΕΞΗΡΧΕΝ Ο ΜΕΓΑΣ ΚΥΠΡΙΑΝΟΣ, ΚΑΙ ΙΕΡΟΜΑΡΤΥΣ, ΕΠΙΣΚΟΠΟΣ ΩΝ ΚΑΡΧΗΔΟΝΟΣ.

ΖΩΝΑΡ. Αὕτη ἡ σύνοδος πασῶν τῶν συνόδων προγενεστέρα ἐστί. Προτερεύει μὲν γὰρ τῶν ἄλλων ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας γεγονυῖα σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις ἐπὶ Αὐρηλιανοῦ, βασιλέως Ῥωμαίων (1), ἠθροίσθη· αὕτη δὲ κἀκείνης ἀρχαιοτέρα ἐστίν. Ὁ γὰρ μέγας Κυπριανὸς ἐπὶ Δεκίου βασιλέως τὸν τῆς μαρτυρίας ἤνυσε δρόμον· πολλοστὸς δ᾽ ἐστὶν ὁ Αὐρηλιανὸς πρὸς τὸν Δέκιον· πολλοὶ γὰρ μετὰ τὸν Δέκιον ἐκράτησαν αὐτοκράτορες, μεθ᾽ οὓς ὁ Αὐρηλιανὸς τῆς βασιλείας ἠξίωτο· οὕτω μὲν οὖν προγενεστέρα πασῶν ἐστίν. Ἠθροίσθησαν δ᾽ ἐν αὐτῇ ἐπίσκοποι πρὸς τέσσαρσιν ὀγδοήκοντα, ζητήσεως γενομένης εἰ τοὺς ἐξ αἱρέσεως ἐπιςρέφοντας, καὶ τοὺς σχισματικούς, βαπτίζεσθαι δεῖ, προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. Ἰοβιανὸς γάρ τις ἐπίσκοπος*σὺν ἑτέροις ἐπισκόποις*(2) ἐπέστειλε περὶ τούτου τῷ θείῳ Κυπριανῷ, ἐρωτῶν, εἰ δεῖ τοὺς τοιούτους βαπτίζεσθαι. Τότε γὰρ καὶ ὁ Ναυάτος τῆς τῶν λεγομένων Καθαρῶν αἱρέσεως ἦρξε, πρεσβύτερος γεγονὼς τῆς ἐκκλησίας Ῥωμαίων, σχισματικὸς ὢν κυρίως, ἀλλ᾽ οὐχ αἱρετικός· οὐ γὰρ πρὸς δόγμα τι τοῖς ὀρθόφροσι διεφέρετο, ἀλλὰ τοῖς ἐν διωγμοῖς ὑποκύψασί τε καὶ θύσασιν ἀπηγόρευε τὴν μετάνοιαν. Ἐπεὶ δὲ ὁ τότε τῆς Ῥωμαίων ἐκκλησίας προεστηκὼς Κορνήλιος μετὰ τῶν ὑπ᾽ αὐτὸν ἐπισκόπων ζητήσαντες περὶ τοῦ εἰσαγομένου, ἐψηφίσαντο δέχεσθαι εἰς μετάνοιαν καὶ τοὺς ἐπιθύσαντας, ὁ δὲ Ναυάτος τῆς

(1) Χ. Τρ.—Οὐ κεῖται τὸ, Ῥωμαίων παρὰ Βευερ. οὐδὲ Κ. εἰμὴ μόνον λατινιστί.—(2) Χ. Τρ.—τὰ μεταξὺ *οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰμὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ.


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

οἰκείας ἐνστάσεως οὐ μεθίετο, ἐξέκοψαν τῆς ἐκκλησίας ἐκεῖνον, καὶ ἀπεκήρυξαν ὡς μισάδελφον. Ὁ δὲ, καὶ ἄλλους ὁμόφρονας ἐσχηκὼς, καθ' ἑαυτὸν ἐποιεῖτο παρασυνάξεις, καὶ σχίσμα παρὰ τῇ ἐκκλησίᾳ ὑπ' ἐκείνου καὶ τῶν αὐτῷ συγκοινωνούντων ἐγένετο. Περὶ σχισματικῶν τοίνυν καὶ αἱρετικῶν ἐρωτήσαντος Ἰοβιανοῦ, ἀντεπέστειλεν αὐτῷ τε καὶ τοῖς συνεπισκόποις αὐτοῦ ὁ μέγας Κυπριανὸς, καὶ ἡ σὺν αὐτῷ σύνοδος, τὴν ἐπιστολὴν ταύτην.

ΒΑΛΣ. Αὕτη ἡ σύνοδος πασῶν τῶν συνόδων προγενεστέρα ἐστί. Γέγονε γὰρ ἐπὶ Δεκίου βασιλέως, καὶ μετ' αὐτὴν ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, κατὰ Παύλου τοῦ Σαμοσατέως, ἐπὶ Αὐρηλιανοῦ βασιλέως. Συνηθροίσθησαν δὲ εἰς Καρχηδόνα ὀγδοήκοντα πρὸς τοῖς τέσσαρσιν ἅγιοι Πατέρες, καὶ συνεζήτησαν, εἰ χρὴ βαπτίζεσθαι τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας εἰδωλοθύτας, κατὰ τὴν περὶ τούτου ἐρώτησιν τοῦ ἐπισκόπου Ἰοβιανοῦ. Ὅτι δὲ τότε καὶ ὁ Ναυάτος, πρεσβύτερος ὢν τῆς Ῥωμαίων ἐκκλησίας, καθηρέθη, ὡς μὴ δεχόμενος εἰς μετάνοιαν τοὺς θύσαντας τοῖς εἰδώλοις, κἀντεῦθεν ἐποίει σχίσμα μετά τινων ἀσυνέτων, ἐπολυπραγμονήθη, εἰ χρὴ καὶ τοὺς σχισματικοὺς βαπτίζεσθαι, ὡς καὶ τοῦτο ἐρωτήσαντος τοῦ Ἰοβιανοῦ.

## Κανὼν Α΄(1).

Ἐν κοινοβουλίῳ ὄντες, ἀγαπητοὶ ἀδελφοὶ, ἀνέγνωμεν γράμματα ἀφ' ὑμῶν σταλέντα, περὶ τῶν παρὰ τοῖς αἱρετικοῖς, ἢ σχισματικοῖς, δοκούντων βεβαπτίσθαι, ἐρχομένων πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἥτις ἐστὶ μία, ἐν ᾗ βαπτιζόμεθα καὶ ἀναγεννώμεθα. Περὶ ὧν καὶ πεποίθαμεν, καὶ ὑμᾶς αὐτοὺς ἐκεῖνα πράττοντας, τὴν στεῤῥότητα τοῦ τῆς καθολικῆς ἐκκλησίας κανόνος (2) κρατεῖν. Ὅμως ἐπεὶ συγκοινωνοὶ ἡμῶν ἐστὲ, καὶ ζητῆσαι (3) περὶ τούτου διὰ τὴν κοινὴν ἀγάπην ἠθελήσατε, οὐ πρόσφατον

(1) Παρὰ Κ. ἀναγινώσκεται τοιάδε ἐπιγραφή· Ἐπιστολὴ τοῦ μεγάλου Κυπριανοῦ πρὸς τὸν Ἰοβιανὸν καὶ ἐκείνου συνεπισκόπους. — Κανὼν Α. — (2) αἱ λέξεις, τοῦ . . . κανόνος, εὕρηνται ἐν Χ. Τρ. οὐχὶ δὲ παρὰ τοῖς λοιποῖς. — (3) Π. Βευερ. — συζητῆσαι Χ. Τρ.

γνώμην, οὐδὲ νῦν ἡδρασμένην προσφέρομεν, ἀλλὰ τὴν πάλαι ὑπὸ τῶν προγενεστέρων ἡμῶν μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας δεδοκιμασμένην (1), καὶ ὑφ' ἡμῶν παρατηρηθεῖσαν, κοινούμεθα ὑμῖν, καὶ συζεύγνυμεν, τοῦτο καὶ νῦν χειροτονοῦντες, ὅπερ διὰ παντὸς ἰσχυρῶς καὶ ἀσφαλῶς κρατοῦμεν(2), μηδένα βαπτίζεσθαι δύνασθαι ἔξω τῆς καθολικῆς ἐκκλησίας· ἑνὸς ὄντος βαπτίσματος, καὶ ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ ὑπάρχοντος. Γέγραπται γάρ· Ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, τοὺς μὴ δυναμένους ὕδωρ συσχεῖν (3). Καὶ πάλιν, ἡ ἁγία Γραφὴ προμηνύουσα λέγει· Ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχεσθε, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίητε (4). Δεῖ δὲ καθαρίζεσθαι, καὶ ἁγιάζεσθαι τὸ ὕδωρ πρῶτον ὑπὸ τοῦ ἱερέως, ἵνα δυνηθῇ τῷ ἰδίῳ βαπτίσματι τὰς ἁμαρτίας τοῦ βαπτιζομένου ἀνθρώπου ἀποσμῆξαι. Διά τε Ἰεζεκιὴλ τοῦ προφήτου λέγει Κύριος (5)· Καὶ ῥαντίσω ὑμᾶς καθαρῷ ὕδατι, καὶ καθαριῶ ὑμᾶς, καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν. Πῶς δὲ δύναται καθαρίσαι καὶ ἁγιάσαι ὕδωρ, ὁ ἀκάθαρτος ὢν αὐτὸς, καὶ παρ' ᾧ Πνεῦμα ἅγιον οὐκ ἔστι, λέγοντος τοῦ Κυρίου ἐν τοῖς Ἀριθμοῖς (6), Καὶ πάντων ὧν ἅψεται ὁ ἀκάθαρτος, ἀκάθαρτα ἔςαι; Πῶς βαπτίζων δύναται ἄλλῳ δοῦναι ἄφεσιν ἁμαρτιῶν ὁ μὴ δυνηθεὶς τὰ ἴδια ἁμαρτήματα ἔξω τῆς ἐκκλησίας ἀποθέσθαι; Ἀλλὰ καὶ αὐτὴ ἡ ἐρώτησις, ἡ ἐν τῷ βαπτίσματι γινομένη, μάρτυς ἐστὶ τῆς ἀληθείας· λέγοντες γὰρ τῷ ἐξεταζομένῳ, Πιστεύεις αἰώνιον ζωὴν καὶ ἄφεσιν ἁμαρτιῶν λαμβάνειν; οὐκ ἄλλο τι λέγομεν, εἰ μὴ ὅ,τι ἐν τῇ καθολικῇ ἐκκλησίᾳ δοθῆναι δύναται. Παρὰ δὲ τοῖς αἱρετικοῖς, ὅπου ἐκκλησία οὐκ ἔστιν, ἀδύνατον ἁμαρτημάτων ἄφεσιν λαβεῖν·

(1) Ἀποσ. Καν. 46, 47, 68. — Β'. 7. — ϛ'. 95. — (2) Π. — κρατοῦντες Χ. Τρ. Βενεβ. Κ. — (3) Ἱερεμ. Β', 13. — (4) Παροιμ. Ε', 15, 16. — (5) Ἰεζ. Λϛ', 25. — (6) Ἀριθ. Κ', 22.

καὶ διὰ τοῦτο οἱ τῶν αἱρετικῶν συνήγοροι, ἢ τὴν ἐπερώτησιν ἐναλλάξαι ὀφείλουσιν, ἢ τὴν ἀλήθειαν ἐκδικῆσαι, εἰ μή τι αὐτοῖς καὶ τὴν ἐκκλησίαν προσνέμουσιν, οὓς βάπτισμα ἔχειν διαβεβαιοῦνται(1). Ἀνάγκη δέ ἐστι καὶ χρίεσθαι τὸν βεβαπτισμένον, ἵνα, λαβὼν χρίσμα, μέτοχος γένηται Χριστοῦ· ἁγιάσαι δὲ ἔλαιον οὐ δύναται ὁ αἱρετικὸς, ὁ μήτε θυσιαστήριον ἔχων, μήτε ἐκκλησίαν· ὅθεν (2) οὐ δύναται χρίσμα τὸ παράπαν παρὰ τοῖς αἱρετικοῖς εἶναι. Πρόδηλον γάρ ἐστιν ἡμῖν, μηδαμῶς δύνασθαι παρ' ἐκείνοις ἁγιάζεσθαι ἔλαιον εἰς εὐχαριστίαν. Εἰδέναι γὰρ καὶ μὴ ἀγνοεῖν ὀφείλομεν, ὅτι γέγραπται· Ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου (3)· ὃ δὴ καὶ πάλαι ἐμήνυσε τὸ Πνεῦμα τὸ ἅγιον ἐν ψαλμοῖς. Μήπως, ἐξιχνιασθείς τις, καὶ ἀπὸ τῆς εὐθείας ὁδοῦ πλανηθεὶς, παρὰ τοῖς αἱρετικοῖς, τοῖς τοῦ Χριστοῦ ἀντιπάλοις, χρισθῇ. Πῶς δὲ εὔξεται ὑπὲρ τοῦ βαπτισθέντος, οὐχὶ ἱερεὺς, ἀλλ' ἱερόσυλος καὶ ἁμαρτωλὸς, λεγούσης τῆς Γραφῆς, ὅτι, Ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει(4); Διὰ τῆς ἁγίας ἐκκλησίας νοοῦμεν ἄφεσιν ἁμαρτιῶν· τίς δὲ δύναται δοῦναι, ὅπερ αὐτὸς οὐκ ἔχει; ἢ πῶς δύναται πνευματικὰ ἐργάζεσθαι ὁ ἀποβαλὼν Πνεῦμα ἅγιον; Διὰ τοῦτο καὶ ἀνανεοῦσθαι ὀφείλει ὁ πρὸς τὴν ἐκκλησίαν ἐρχόμενος, ἵνα ἔσω διὰ τῶν ἁγίων ἁγιασθῇ· γέγραπται γὰρ, ὅτι, Ἅγιοι ἔσεσθε, καθὼς ἐγὼ ἅγιός εἰμι, λέγει Κύριος (5)· ἵνα καὶ ὁ (6) πλάνῃ βουκοληθεὶς, ἐν τῷ ἀληθεῖ καὶ ἐκκλησιαστικῷ βαπτίσματι, καὶ αὐτὸς (7) τοῦτο ἀποδύση-

(1) τὰ, ἀπὸ τοῦ, εἰ μή τι, ἕως τοῦ, προσνέμουσι, κεῖνται ἐν Χ. Τρ. καὶ Κ. — ἐν δὲ Π. ἕως τοῦ προσνέμουσι, — παρὰ δὲ Βευερ. παραλείπεται ὅλη ἡ περίοδος. — (2) Χ. Τρ. Ἑ. Κ. — τὸ, ὅθεν, οὐ κεῖται ἐν Π. οὐδὲ παρὰ Βευερ. — ἀλλ' οὕτω, οὐ δύναται δὲ χρίσμα. — (3) Ψαλμ. ΡΜ'. 6.—(4) Ιω. Θ', 31. — (5) Λευϊτ. ΙΑ', 44. —ΙΘ', 2. — Κ', 7. — (6) Π. Βευερ. — ὁ ἐπὶ πλάνῃ Χ. Τρ. = ὁ ἐπὶ πλάνης Ἑ. Κ. — (7) Χ. Τρ. = αὐτὸ, Π. Βευερ. Κ. Ἑ.

ται, ὅστις πρὸς Θεὸν ἐρχόμενος ἄνθρωπος, καὶ ἱερέα ἐπιζητῶν, ἐν πλάνῃ εὑρεθεὶς, ἱεροσύλῳ προσέπεσε. Δοκιμάζειν γάρ ἐστι τὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν (1) βάπτισμα, τὸ συνευδοκεῖν τοῖς ὑπ' ἐκείνων βεβαπτισμένοις (2). Οὐ γὰρ δύναται ἐν μέρει ὑπερισχύειν· εἰ ἠδυνήθη βαπτίσαι, ἴσχυσε καὶ ἅγιον Πνεῦμα δοῦναι· εἰ οὐκ ἠδυνήθη, ὅτι ἔξω ὢν, Πνεῦμα ἅγιον οὐκ ἔχει, οὐ δύναται τὸν ἐρχόμενον βαπτίσαι, ἑνὸς ὄντος τοῦ βαπτίσματος, καὶ ἑνὸς ὄντος τοῦ ἁγίου Πνεύματος, καὶ μιᾶς ἐκκλησίας ὑπὸ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ἐπάνω Πέτρου τοῦ Ἀποστόλου ἀρχῆθεν λέγοντος, τῆς ἑνότητος (3) τεθεμελιωμένης· καὶ διὰ τοῦτο τὰ ὑπ' αὐτῶν γινόμενα, ψευδῆ καὶ κενὰ ὑπάρχοντα, πάντα ἐστὶν ἀδόκιμα. Οὐ γὰρ δύναταί τι (4) δεκτὸν καὶ αἱρετὸν εἶναι παρὰ τῷ Θεῷ τῶν ὑπ' ἐκείνων γινομένων, οὓς ὁ Κύριος πολεμίους καὶ ἀντιπάλους αὐτοῦ λέγει ἐν τοῖς Εὐαγγελίοις· Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστὶ, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει (5). Καὶ ὁ μακάριος Ἀπόστολος Ἰωάννης, ἐντολὰς Κυρίου τηρῶν, ἐν τῇ ἐπιστολῇ προέγραψεν (6)· Ἠκούσατε, ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν δὲ ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν. Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. Ὅθεν καὶ ἡμεῖς συνιέναι ὀφείλομεν, καὶ νοεῖν, ὡς (7) οἱ ἐχθροὶ Κυρίου, καὶ οἱ ἀντίχριστοι ὠνομασμένοι, δυνατοὶ οὐκ (8) εἶεν χάριν δοῦναι τῷ Κυρίῳ (9). Καὶ διὰ τοῦτο ἡμεῖς οἱ σὺν Κυρίῳ ὄντες (10), καὶ ἑνότητα Κυρίου κρατοῦντες, καὶ κατὰ τὴν ἀξίαν αὐτοῦ χορηγούμενοι, τὴν ἱερατείαν αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ λειτουργοῦντες, ὅσα

(1) Χ. Τρ. Κ. Ἑ. — Τὸ, καὶ σχισματικῶν οὐ κεῖται παρὰ Βευερ. οὐδ' ἐν Π. — (2) Π. Κ. Ἐ. Βευερ. — βαπτιζομένοις Χ. Τρ. — (3) Χ. Τρ. — ἄνευ τοῦ, τῆς οἱ λοιποί. — (4) Χ. Τρ. — οὐδὲν γὰρ δύναται, Π. — οὐδὲ Ἐ. Κ. — (5) Ματθ. ΙΒ', 30. — (6) προσέγραψε Χ. Τρ. — ά. Ἰω. Β', 18. — (7) Π. Ἐ. Κ. — εἰ οἱ ἐχθροὶ Χ. Τρ. Βευερ. — (8) ὁ, οὐκ, οὐ κεῖται ἐν Χ. Τρ. Π. Ἑ. Κ. — τοῦ Κυρίου Βευερ. — (9) Π. Χ. Τρ. — (10) Π. — ἰόντες Βευερ. Κ. Ἐ.

οἱ ἀντικείμενοι αὐτῷ, τουτέστι πολέμιοι, καὶ ἀντίχριστοι ποιοῦσιν, ἀποδοκιμάσαι καὶ ἀποποιῆσαι καὶ ἀποῤῥίψαι, καὶ ὡς βέβηλα ἔχειν ὀφείλομεν. Καὶ τοῖς ἀπὸ πλάνης καὶ στρεβλότητος ἐρχομένοις ἐπὶ γνώσει τῆς ἀληθινῆς καὶ ἐκκλησιαστικῆς πίστεως, δοῦναι καθόλου θείας δυνάμεως μυστήριον, ἑνότητός τε, καὶ πίστεως, καὶ ἀληθείας.

---

ΖΩΝΑΡ. Αὕτη ἡ ἐπιστολὴ, καθάπαξ τοὺς ὑπὸ αἱρετικῶν, ἢ σχισματικῶν βαπτισθέντας, προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ, βαπτίζεσθαι διατάττεται, καὶ ἐκ διαφόρων ἐνθυμημάτων, καὶ ἐπιχειρημάτων, καὶ ῥητῶν γραφικῶν, τὸν οἰκεῖον λόγον κατασκευάζει. Ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος, ἐν κανόνι αὐτῆς ἑβδόμῳ, οὐ πάντας τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας ἄνωθεν κελεύει βαπτίζεσθαι, ἀλλ' ἀπαριθμεῖ τίνας μὲν δεῖ δέχεσθαι διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας τήν τε οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πᾶσαν μὴ φρονοῦσαν, ὡς ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία φρονεῖ, σφραγιζομένους, ἤτοι χριομένους τῷ ἁγίῳ μύρῳ· τοὺς δὲ λοιποὺς πάντας, ὧν τινας καὶ ὀνομαστὶ καταλέγει, βαπτίζεσθαι διορίζεται, δεχομένους ὡς Ἕλληνας, ὃς δῆτα κανὼν καὶ ἐν τῷ ἰδίῳ τόπῳ ἐξήγηται. Ὅθεν φαίνεται, ὅτι οὐκ ἐδέχθη παρὰ τῶν μετέπειτα ἁγίων Πατέρων ἡ διαταγὴ αὕτη. Ἐναντία τοίνυν ἐν τούτῳ τῷ κεφαλαίῳ τῶν δύο συνόδων εἰσαγουσῶν, τὰ τῆς δευτέρας κρατεῖ συνόδου, ὅτι τε μεταγενεστέρα ἐστὶ, καὶ ὅτι οἰκουμενικὴ, ἐν ᾗ πάντως ἐκ πάντων τῶν πατριαρχικῶν θρόνων συνῆσαν, ἢ οἱ πατριάρχαι αὐτοὶ, ἢ τοποτηρηταί. Ὅτι δὲ οὐκ ἐδέχθη ὁ παρὼν κανὼν παρὰ πάντων τῶν ἁγίων Πατέρων, δηλοῦται καὶ ἐκ τοῦ δευτέρου κανόνος τῆς ἐν τῷ Τρούλλῳ γενομένης συνόδου, τῆς λεγομένης ἕκτης. Ἀπαρίθμησιν γὰρ ἐν αὐτῷ οἱ τῆς συνόδου ἅγιοι Πατέρες ἐκείνης ποιούμενοι τῶν ὀφειλόντων κρατεῖν κανόνων, ταῦτα περὶ τοῦ κανόνος τούτου ῥήμασιν αὐτοῖς διεξιᾶσιν. Ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ, τοῦ γενομένου ἀρχιεπισκόπου τῆς Ἄφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προειρημένων(1) προέδρων

---

(1) Χ. Τρ. — οὐ κεῖται παρὰ τοῖς λοιποῖς τό, προειρημένων.

τόποις καὶ μόνοις, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος, ἐκράτησεν. Ἐντεῦθεν οὖν δείκνυται, ὅτι καὶ ἀρχῆθεν οὐ παρὰ πᾶσιν ἦν ἐνεργῶν ὁ κανών. Ταῦτα μὲν οὖν τὰ τῆς ἐπιστολῆς· αἱ δὲ ἐν τῇ κοινῇ διασκέψει δοθεῖσαι γνῶμαι παρ' ἑκάστου τῶν ἐν τῇ συνόδῳ συνειλεγμένων, ἔχουσιν οὕτω κατ' ἐπιτομήν.

*Κυπριανὸς εἶπεν.*

Ἠκούσατε, ἀγαπητοὶ συνεπίσκοποι, τί μοι ἔγραψεν Ἰοβιανὸς, ὁ συνεπίσκοπος ἡμῶν, συμβουλὴν παρὰ τῆς μετριότητός μου βουλόμενος λαβεῖν περὶ τοῦ ἀνοσίου καὶ ἀνόμου βαπτίσματος τῶν αἱρετικῶν· καὶ τί αὐτῷ ἐγὼ ἀντέγραψα, δογματίζων ὃ ἅπαξ καὶ δεύτερον, καὶ πολλάκις ἐκρίναμεν, τοὺς αἱρετικοὺς, τοὺς προσερχομένους τῇ ἐκκλησίᾳ, βαπτίσματι βαπτίζεσθαι δεῖν, καὶ ἁγιάζεσθαι. Ἔπειτα ἀνεγνώσθη ὑμῖν καὶ ἄλλα γράμματα Ἰοβιανοῦ, δι' ὧν, κατὰ τὸ αὐτοῦ εὐσεβὲς ἀντίγραμμα, οὐ μόνον ἡμῖν συνεπευδόκησεν, ἀλλὰ καὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας χάριν ὡμολόγησεν. Ὑπόλοιπον οὖν περὶ αὐτοῦ τί ἕκαστος ὑμῶν φρονεῖ εἰπεῖν, μηδενὸς ἀφ' ὑμῶν ἐν τούτῳ κρινομένου, μηδὲ, εἰ ἐναντία φρονοίη, ἀκοινωνήτου γινομένου. Οὔτε γάρ τις ἐπίσκοπον ἑαυτὸν καθίστησιν, οὐδὲ τυραννικῇ αὐθαδείᾳ εἰς ἀνάγκην τοῦ ἕπεσθαι αὐτῷ τοὺς συνεπισκόπους βιάζεται, ὁπότε εἷς ἕκαστος ἐπίσκοπος ἐξουσίαν ἔχει πράττειν ἐλευθερίως ἃ φρονεῖ· ὡς γὰρ αὐτὸς ἄλλον κρίναι οὐ δύναται, οὕτως οὐδὲ ὑπὸ ἄλλου κριθῆναι. Περιμένομεν γὰρ πάντες τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κρίσιν, ὃς καὶ μόνος ἐξουσίαν ἔχει ἐπίσκοπον καθιστᾷν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, καὶ ἑνὸς ἑκάστου τὴν πρᾶξιν ἐξετάζειν καὶ δοκιμάζειν.

*Καικίλλιος Λιβεράριος εἶπεν.*

Ἓν βάπτισμα ἐν μόνῃ τῇ ἐκκλησίᾳ οἶδα, καὶ ἐκτὸς τῆς ἐκκλησίας οὐδαμοῦ· ἔνθα γὰρ ἐςι τὸ ἓν βάπτισμα, ὄντως καὶ ἐλπὶς ἀληθείας ἐςὶ, καὶ πίςις· οὕτω γὰρ γέγραπται· Μία πίςις, ἓν βάπτισμα (1). Οὐ παρὰ (2) τοῖς αἱρετικοῖς, παρ' οἷς οὐδεμία πίστις καὶ ἐλπὶς, ὅπου πάντα ψευδῆ, ὅπου ἐξορκίζει δαιμονιζόμενος,

(1) Ἐφεσ. Δ', 5. — (2) Χ. Τρ. — οὐ γὰρ τοῖς. Βευερ. Κ.

μυστήριον ἐρωτᾷ, οὗ τὸ στόμα λοιμώδη καὶ ἰώδη φθέγγεται, πίστιν δὲ δίδωσιν ἄπιστος, ἄφεσιν ἁμαρτιῶν παρέχει ἁμαρτωλὸς, καὶ εἰς ὄνομα Χριστοῦ βαπτίζει ἀντίχριστος, ὑπισχνεῖται ζωὴν νεκρὸς, εἰρήνην δίδωσιν εἰρήνης ἀλλότριος, Θεὸν ἐπικαλεῖται βλάσφημος, ἱερατείᾳ κέχρηται ἀσεβὴς, θυσιαστήριον προτίθησιν ἱερόσυλος, Θεῷ θυσίαν προσφέρει ὁ διαβόλῳ ὑπηρετῶν(1)· Οἱ αὐτοῖς συνηγοροῦντες εἰπάτωσαν ταῦτα πάντα ψευδῆ εἶναι περὶ τῶν αἱρετικῶν· ἰδοὺ (2) τίσιν ἀναγκάζεται ἡ ἐκκλησία συνευδοκεῖν, ἵνα χωρὶς βαπτίσματος καὶ ἀφέσεως ἁμαρτιῶν τοιούτοις κοινωνήσῃ· ὅθεν, ἀδελφοὶ, φεύγειν καὶ ἐκκλίνειν ὀφείλομεν, καὶ χωρίζειν ἑαυτοὺς ἀπὸ τοιούτων πλημμελημάτων, καὶ ἓν βάπτισμα κατέχειν, τὸ μόνον ἐν τῇ ἐκκλησίᾳ ὑπὸ τοῦ Θεοῦ(3) δεδωρημένον.

*Πρίαμος ἀπὸ Μαστρίπης εἶπεν.*

Δογματίζω, πάντα ἄνθρωπον ἀπὸ αἱρέσεως ἐρχόμενον, δεῖν βαπτίζεσθαι· μάτην γὰρ αὐτὸν ἐκεῖ βεβαπτίσθαι, μὴ ὄντος, εἰμὴ ἑνὸς βαπτίσματος, ἐν τῇ ἐκκλησίᾳ μόνῃ· ἐπεὶ καὶ ὁ Θεὸς εἷς, καὶ βάπτισμα ἓν, καὶ ἐκκλησία μία, ἐν ᾗ καὶ τὸ βάπτισμα, καὶ ὁ ἁγιασμὸς, καὶ ὅσα ἄλλα εἰς σωτηρίαν, καὶ εἰς ζωὴν αἰώνιον ἐπιτελεῖται· τὰ γὰρ ἔξω τῆς ἐκκλησίας γινόμενα, εἰς οὐδὲν τούτων ἀφικνεῖται.

*Πολύκαρπος Ἀδραμέντου εἶπεν.*

Οἱ τὸ τῶν αἱρετικῶν βάπτισμα δοκιμάζοντες, τὸ ἡμέτερον ἀδόκιμον ποιοῦσιν.

*Νουβάτος ἀπὸ Θαννουβασιλέως εἶπεν.*

Ἐπεὶ πᾶσαι(4) αἱ Γραφαὶ μαρτυροῦσι περὶ ἑνὸς καὶ μόνου τοῦ ἐν τῇ ἐκκλησίᾳ σωτηρίου βαπτίσματος, ὀφείλομεν τὴν ἡμετέραν πίστιν ὁμολογῆσαι, ἵνα τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς προσερχομένους τῇ ἐκκλησίᾳ, μετὰ τὸ ψευδὲς ἐκείνων βάπτισμα, τῷ ἀληθεῖ βαπτίσωμεν· καὶ διὰ τοῦτο ἐγὼ τοὺς ἐκεῖθεν ἐλθόντας πάντας ἐβάπτισα, καὶ τοὺς ἀπὸ κλήρου αὐτῶν λαϊκοὺς ἔστησα.

---

(1) Τὰ ἀπὸ τοῦ, θυσιαστήριον, ἕως, ὑπηρετῶν, οὐ κεῖται παρὰ Βευερ. — (2) εἴ γέ τισιν Χ. Τρ. — (3) Χ. Τρ. — ἡ ὑπὸ, οὐ κεῖται παρὰ Βευερ. Ἑ. Κ. — (4) Χ. Τρ. — ἄνευ τοῦ, ἐπεὶ, Βευερ. Κ.

*Νεμεσιανὸς ἀπὸ Θουβούνων εἶπε.*

Βάπτισμα, ὃ δίδωσιν αἱρετικὸς καὶ σχισματικὸς, μὴ εἶναι ἀληθὲς, πᾶσαι ἀληθεῖς(1) Γραφαὶ μαρτυροῦσιν· ἐπεὶ αὐτοὶ οἱ προεστῶτες αὐτῶν ψευδόχριστοί εἰσι καὶ ψευδοπροφῆται.

*Ἰαννουάριος ἀπὸ Λαβῆς εἶπε.*

Κατὰ τὰ προστάγματα τῶν ἁγίων Γραφῶν, κρίνω δεῖν πάντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι, καὶ οὕτως εἰς τὴν ἁγίαν ἐκκλησίαν προσδέχεσθαι.

*Λούκιος ἀπὸ Γαστρογαλβῆς εἶπεν.*

Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ φησίν· Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Ὁπότε οὖν σαφές ἐςι, τοὺς αἱρετικοὺς, τουτέστιν ἐχθροὺς τοῦ Θεοῦ,* μηδὲ ἔχειν ὀρθὴν τοῦ σωτηρίου μυστηρίου τὴν φανέρωσιν*,(2) μηδὲ δύνασθαι ζωοποιῆσαί τινα πνευματικῇ ὁμολογίᾳ, μωρανθέντας αὐτοὺς, καὶ ἔξω ὄντας τῆς ἐκκλησίας, ἁγίῳ βαπτίσματι βαπτίζειν αὐτοὺς ἐρχομένους ὀφείλομεν.

*Κρίσκης ἀπὸ Κρήτης εἶπε.*

Κρίνω (3) καὶ αὐτὸς τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς, ὁπόταν εἰς τὴν ἐκκλησίαν τὴν καθολικὴν ἔλθωσι, μὴ πρότερον δεχθῆναι, πρὶν ἐξορκισθῶσι καὶ βαπτισθῶσι, χωρὶς ἐκείνων τῶν τῇ ἐκκλησίᾳ βαπτισθέντων καὶ ἀποστάντων· οὗτοι γὰρ ὀφείλουσι μετανοήσαντες, χειροθεσίας μόνης τυχεῖν.

*Νικομήδης ἀπὸ Σεργομέων εἶπεν.*

Ἡ ἐμὴ ἀπόφασις αὕτη ἐστιν· ἵνα οἱ αἱρετικοὶ τῇ ἐκκλησίᾳ προσερχόμενοι βαπτισθῶσιν· ἐπεὶ μηδεμίαν ἔξω ἄφεσιν ἁμαρτιῶν εἰλήφασιν ὑπὸ τῶν αἱρετικῶν βαπτισθέντες.

*Σεκουνδιανὸς ἀπὸ Καρινδίας εἶπεν.*

Ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λεγει· Ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστί· καὶ Ἰωάννης ὁ Ἀπόστολος, τοὺς ἐξερχομένους τῆς ἐκκλησίας, ἀντιχρίστους ὀνομάζει· ἀδύνατον γάρ ἐστιν αὐτοὺς ὑπηρετῆσαι χάριτι Θεοῦ, καὶ σωτηρίῳ βαπτίσματι· καὶ διὰ τοῦτο, κρίνω τοὺς τῇ ἐκκλησίᾳ προσελθόντας, βαπτισθῆναι παρ᾽ ἡμῶν.

---

(1) Χ. Τρ. Ϛ. — τὸ, ἀληθεῖς, οὐ κεῖται παρὰ Βευερ. — (2) Χ. Τρ. — Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. — (3) Τὸ, κρίνω οὐ κεῖται εἰμὴ ἐν Χ. Τρ.

*Φῆλιξ ἀπὸ Γαμετῶν εἶπεν.*

Ὡς τυφλὸς τυφλὸν ὁδηγῶν ἅμα εἰς βόθρον ἐμπίπτουσιν (1)· οὕτω καὶ αἱρετικὸς αἱρετικὸν βαπτίζων τῷ βαπτιζομένῳ συναποθνήσκει· καὶ διὰ τοῦτο παρ' ἡμῖν τὸν αἱρετικὸν βαπτισθῆναι δεῖ, ἵνα μὴ ἡμεῖς οἱ ζῶντες, νεκροῖς κοινωνήσωμεν.

*Σουκέντιος ἀπὸ Ἀβιργεμανικιανῆς εἶπεν.*

Αἱρετικοῖς ἢ οὐδὲν ἔξεστιν, ἢ πάντα· εἰ δύνανται βαπτίσαι, δύνανται καὶ Πνεῦμα ἅγιον δοῦναι. Ἐπεὶ δὲ μὴ ἔχουσιν, οὐδὲ πνευματικῶς βαπτίζουσι· καὶ διὰ τοῦτο κρίνω δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

*Φουρτουνάτος ἀπὸ Θουκχαβὼρ εἶπεν.*

Οἱ ἔξω τῆς ἐκκλησίας ὄντες, καὶ ἐναντίοι τῷ Χριστῷ, ὡς τὰ πρόβατα καὶ τὴν ἀγέλην αὐτοῦ σκορπίζοντες, βαπτίζειν ἔξω οὐ δύνανται.

*Θήδατος ἀπὸ Θουρβῶν εἶπεν.*

Πάσῃ δυνάμει ἀγωνιστέον, ἵνα μὴ ὁ τὴν τῶν αἱρετικῶν πλάνην ἀφεὶς τὸ μόνον τῆς ἐκκλησίας βάπτισμα διστάσῃ λαβεῖν, ᾧ τις μὴ βαπτισθεὶς, ἀλλοτριοῦται τῆς τῶν οὐρανῶν βασιλείας.

*Προβατιανὸς ἀπὸ Σοφετίης εἶπεν.*

Εἰ ἀπὸ Θεοῦ ἡ αἵρεσίς ἐστιν, ἕξει αἱρετικὸς καὶ δωρεὰν Θεοῦ· εἰ δὲ μή ἐστιν ἀπὸ Θεοῦ, πῶς δύναται αὐτὸς ἔχειν τὴν χάριν τοῦ Θεοῦ καὶ ἄλλῳ διδόναι;

*Μονούαλος ἀπὸ Γέρβης εἶπεν.*

Τοῦ Κυρίου λέγοντος, Βαπτίσατε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, οἴδαμεν σαφῶς, τοὺς αἱρετικοὺς μήτε Πατέρα ἔχειν, μήτε Υἱὸν, μήτε Πνεῦμα ἅγιον· δεῖ οὖν ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζειν, ἵνα ἀναγεννηθῶσιν.

*Πολιτιανὸς ἀπὸ Μίλεως εἶπεν.*

Ὀρθόν ἐστι τὸν ἀπὸ αἱρέσεως ἐρχόμενον, ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι.

*Θέογνις ἀπὸ Ἱππῶνος Ῥηγίου εἶπεν.*

Ἀκολούθως τῷ μυστηρίῳ τοῦ Θεοῦ καὶ τῆς οὐρανίου χάριτος,

(1) Ματθ. ΙΕ. — Λουκ. ς'.

ἣν εἰλήφαμεν, βάπτισμα, ὅ ἐστιν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, οἴδαμεν.

*Διατίους ὁ Σεάδης εἶπεν.*

Ἡμεῖς, ὃ ἐφ' ἡμῖν ἐστιν, αἱρετικοῖς οὐ κοινωνοῦμεν, ἐὰν μὴ ἐν τῇ ἐκκλησίᾳ βαπτισθῇ, καὶ ἄφεσιν ἁμαρτιῶν λάβῃ.

*Προβάτος ἀπὸ Σοφιστοῦ εἶπεν.*

Ὁ δοκιμάζων παρὰ τοῖς αἱρετικοῖς βάπτισμα εἶναι, τί ἄλλο, ἢ τοῖς αἱρετικοῖς κοινωνεῖ;

*Ὀρτησιανὸς ἀπὸ Λαβούρνης εἶπεν.*

Καὶ ἡμεῖς ἓν βάπτισμα, ὅπερ ἐν τῇ ἐκκλησίᾳ οἴδαμεν, τοῦτο τῇ ἐκκλησίᾳ ἐκδικοῦμεν.

*Κάσσιος ἀπὸ Κομαζῶν εἶπεν.*

Ἐπεὶ δύο βαπτίσματα εἶναι οὐ δύναται, ὁ συγχωρῶν τοῖς αἱρετικοῖς βάπτισμα, ἑαυτὸν τοῦ βαπτίσματος ἀποστερεῖ· διὸ ἐπικυρῶ αἱρετικοὺς βαπτίζειν δεῖν, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔρχωνται, χωρὶς τῶν τῆς ἐκκλησίας τῶν πιστῶν χωρισθέντων, καὶ ἑαυτοὺς τῷ σκότει τῆς αἱρέσεως προδόντων, οὓς δεῖ ἐπανελθόντας, μόνῃ τῇ χειροθεσίᾳ προσλαβέσθαι.

*Ἰαννουάριος ἀπὸ Οὐβικοῦ εἶπεν.*

Εἰ μὴ συγκατατίθεται ἡ πλάνη τῇ ἀληθείᾳ, πολὺ μᾶλλον ἡ ἀλήθεια οὐ συγκατατίθεται τῇ πλάνῃ. Διὸ καὶ ἡμεῖς συνιστάμεθα τῇ ἐκκλησίᾳ, ἐν ᾗ καὶ προκαθηδράσθημεν, ἵνα τοὺς ἐν αὐτῇ μὴ βαπτισθέντας βαπτίσωμεν.

*Σεκουνδῖνος ὁ ἀπὸ Καλπῶν εἶπεν.*

Εἰ Χριστιανοί εἰσιν οἱ αἱρετικοὶ, διὰ τί ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ οὐκ εἰσίν; εἰ δὲ μὴ Χριστιανοί εἰσι, γινέσθωσαν. Δῆλον οὖν, ἐπάνω υἱῶν ἀλλοτρίων καὶ σπορᾶς ἀντιχρίστου, διὰ μόνης χειροθεσίας μὴ δύνασθαι ἅγιον Πνεῦμα κατελθεῖν.

*Οὐϊκτερῖνος ἀπὸ Θαβράκων εἶπεν.*

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίσαι, καὶ ἅγιον Πνεῦμα δοῦναι, καὶ ἄφεσιν ἁμαρτιῶν, τί αὐτῶν καταψευδόμεθα, ἵνα αὐτοὺς αἱρετικοὺς ὀνομάσωμεν;

*Ἄλλος Φῆλιξ ἀπὸ Θυΐνης εἶπεν.*

Ὀφείλομεν διαβεβαιῶσαι, ἵνα πάντες οἱ αἱρετικοὶ οἱ προσερχό-

μενοι τῇ ἐκκλησίᾳ βαπτισθῶσιν, ὅπως ἡ ἔξω γινομένη διαστροφὴ ἐπανορθωθῇ καὶ ἁγιασθῇ.

*Κουΐντος ἀπὸ Οὐῤῥοὺκ εἶπεν.*

Εἰ οἱ παρὰ τοῖς αἱρετικοῖς βαπτιζόμενοι ἀφέσεως ἁμαρτιῶν καὶ αἰωνίου ζωῆς τυγχάνουσι, τί πρὸς τὴν ἐκκλησίαν ἔρχονται; εἰ δὲ εἰς μετάνοιαν ἔρχονται, ἐν ᾗ καὶ ζωοποιοῦνται βαπτίσματι, ὅπερ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἐστὶ, βαπτισθῆναι καὶ ἁγιασθῆναι ὀφείλουσιν.

*Κάστος ἀπὸ Δίκης εἶπεν.*

Ὁ παραπεμπόμενος τὴν ἀλήθειαν, καὶ τῇ συνηθείᾳ ἑπόμενος, ἢ περὶ τοὺς ἀδελφοὺς φθονερός ἐστιν, οἷς ἡ ἀλήθεια ἀπεκαλύφθη, ἢ πρὸς τὸν Θεὸν τὸν ἀποκαλύψαντα ἀχάριστος.

*Εὐκράτιος ἀπὸ Θενῶν εἶπεν.*

Τοὺς αἱρετικοὺς, ἐρχομένους εἰς τὴν ἐκκλησίαν, ὀρθῷ καὶ καθολικῷ βαπτίσματι βαπτίζεσθαι δεῖ, ἵνα ἀπονιψάμενοι τὰς ἁμαρτίας ἁγιασθῶσιν.

*Λίβυσσος ἀπὸ Οὐργάσης εἶπεν.*

Ὁ Κύριός φησιν· Ἐγώ εἰμι ἡ ἀλήθεια, ὥστε, ἀποκαλυφθείσης τῆς ἀληθείας, παραχωρείτω ἡ συνήθεια, ἵνα, εἰ καὶ τὸ πρότερόν τις ἐν τῇ ἐκκλησίᾳ τοὺς αἱρετικοὺς μὴ ἐβάπτισε, νῦν βαπτίσῃ.

*Λευκῖνος ἀπὸ Θιουΐστου εἶπεν.*

Τοὺς γὰρ αἱρετικοὺς, ὡς βλασφήμους καὶ ἀνοσίους, πλάνοις λόγοις τὰς θείας Γραφὰς παραχαράσσοντας, ἀναθεματίζειν δεῖ· καὶ διὰ τοῦτο τοὺς τοιούτους ἐξορκίζειν καὶ βαπτίζειν ὀφείλομεν.

*Εὐγένιος Ἀμμεδάρων εἶπεν.*

Κἀγὼ τοῦτο κρίνω, δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

*Ἄλλος Φῆλιξ ἀπὸ Μεκκόρας εἶπεν.*

Καὶ αὐτὸς ἑπόμενος τῷ κανόνι τῶν θείων Γραφῶν, τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς βαπτίζεσθαι ἀποφαίνομαι.

*Ἰαννουάριος ἀπὸ Μουκούζης εἶπεν.*

Εἰ αἱρετικοὶ ἔχουσι βάπτισμα, ἡμεῖς οὐκ ἔχομεν· εἰ ἡμεῖς ἔχομεν, αἱρετικοὶ ἔχειν οὐ δύνανται· ἀμφισβητήσιμον δὲ οὐκ ἔστι τὴν ἐκκλησίαν τὴν καθολικὴν τῷ τοῦ Χριστοῦ βαπτίσματι

κεχρῆσθαι, τὴν μόνην κεκτημένην χάριν καὶ ἀγάπην καὶ ἀλήθειαν τοῦ Χριστοῦ.

*Ἀδέλφιδος ἀπὸ Θασβέλθης εἶπε.*

Μάτην τινὲς τῇ ἀληθείᾳ πολεμοῦσι, λέγοντες ἡμᾶς ἀναβαπτίζειν· ἡ γὰρ ἐκκλησία τοὺς αἱρετικοὺς οὐκ ἀναβαπτίζει, ἀλλὰ βαπτίζει.

*Δημήτριος ἀπὸ Πολεμόνου εἶπεν.*

Οἱ λέγοντες, ὅτι οἱ αἱρετικοὶ ἀληθῶς καὶ νομίμως βαπτίζωσιν, οὗτοι οὐ μόνον δύο, ἀλλὰ καὶ πολλὰ βαπτίσματα εἰσάγουσιν· ὅτι τε(1) γὰρ διάφοροι καὶ πολλαὶ αἱρέσεις εἰσί, κατὰ τὸν ἀριθμὸν αὐτῶν καὶ τὰ βαπτίσματα ἀριθμεῖται.

*Οὐϊκέντιος ἀπὸ Θιβάρης εἶπε.*

Τοὺς αἱρετικοὺς οἴδαμεν χείρονας τῶν σχισματικῶν· ἐὰν δὲ μετανοήσαντες θελήσωσιν ἐλθεῖν εἰς κανόνα τῆς ἀληθείας, πρότερον ἐξορκίζειν, ἔπειτα βαπτίζειν αὐτοὺς δεῖ· τότε γὰρ δύνανται τῆς Χριστοῦ ἐπαγγελίας τυχεῖν.

*Μάρκος ἀπὸ Μαθάρων εἶπε.*

Κρίνω, ὡς μηδὲν ἔχοντας τοὺς αἱρετικούς, βαπτίζεσθαι.

*Σάτιος ἀπὸ Σακιλιβύης εἶπεν.*

Εἰ τοῖς αἱρετικοῖς ἐν τῷ βαπτίσματι αὐτῶν ἄφεσις ἁμαρτιῶν γίνεται, μάτην τῇ ἐκκλησίᾳ προσέρχονται· οὐδὲν γάρ ἐστι τὸ δυνάμενον φοβῆσαι αὐτοὺς ἐν τῇ κρίσει τοῦ Χριστοῦ, ἄφεσιν ἁμαρτιῶν εἰληφότας.

*Αὐρήλιος ἀπὸ Ἀττικῆς εἶπε.*

Λέγοντος τοῦ Ἀποστόλου, ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινωνεῖν, κρίνω βαπτίζεσθαι τοὺς αἱρετικούς, ἵνα λάβωσι πρότερον ἄφεσιν ἁμαρτιῶν, καὶ οὕτως αὐτοῖς κοινωνήσωμεν.

*Ἰαμβὸς ἀπὸ Γερμανικείας εἶπεν.*

Οἱ τὸ τῶν αἱρετικῶν δοκιμάζοντες βάπτισμα, τὸ ἡμέτερον ἀποδοκιμάζουσιν.

*Λουκιανὸς ἀπὸ Ῥουκούμης εἶπεν.*

Εἰ δυνατὸν φῶς καὶ σκότος κοινωνεῖν, δύναται καὶ ἡμῖν καὶ

(1) Χ. Τρ. — ὁπότε Βευιρ. Κ.

τοῖς αἱρετικοῖς εἶναί τι κοινόν· κρίνω οὖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

*Πελάγιος ἀπὸ Λουπερκιανῆς εἶπεν.*

Εἰ αἵρεσις οὐκ ἔστιν ἐν ἐκκλησίᾳ, πῶς δύναται παρὰ τοῖς αἱρετικοῖς εἶναι τὸ τῆς ἐκκλησίας βάπτισμα;

*Ἰάδερ ἀπὸ Μηδείας εἶπεν.*

Μία πίστις, ἓν βάπτισμα· ἀλλὰ τῇ καθολικῇ ἐκκλησίᾳ ἔξεστι βαπτίζειν.

*Ἄλλος Φῆλιξ ἀπὸ Μαρδιανῆς εἶπε.*

Τὰ αὐτά.

*Παῦλος ἀπὸ Σαβᾶς εἶπεν.*

Εἰ ὁ Θεὸς ἀληθής ἐστι, πῶς ἔσται παρὰ τοῖς αἱρετικοῖς ἀληθὲς βάπτισμα, παρ' οἷς οὐκ ἔστι Θεός.

*Πομπώνιος ἀπὸ Διονυσιανῆς εἶπεν.*

Οἱ αἱρετικοὶ οὐ δύνανται βαπτίζειν, οὐδὲ ἄφεσιν ἁμαρτιῶν δοῦναι, οἱ μὴ ἔχοντες ἐξουσίαν λῦσαί τι ἐπὶ τῆς γῆς ἢ δῆσαι.

*Οὐινάτος ἀπὸ Θυνίσης εἶπεν.*

Ὁ τὸ βάπτισμα τῆς ἐκκλησίας τοῖς αἱρετικοῖς κοινῶν, τὴν νύμφην τοῦ Χριστοῦ μοιχοῖς παραδίδωσιν.

*Λυμμὸς ἀπὸ Ἀσυάγης εἶπεν.*

Ἡμεῖς ἓν βάπτισμα εἰλήφαμεν, καὶ τούτῳ ἐξακολουθοῦμεν· ὁ δὲ λέγων, καὶ τοῖς αἱρετικοῖς ἔξεστι βαπτίζειν, δύο βαπτίσματα εἰσάγει.

*Σατορνῖνος ἀπὸ Ἰουκτοριανῆς εἶπεν.*

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίζειν, ἀνέγκλητοί εἰσιν ἄνομα ποιοῦντες· οὐδὲ εὑρήσεις διὰ τί αὐτοὺς ὁ Χριστὸς ἐναντίους, ἢ ὁ Ἀπόστολος ἀντιχρίστους ὀνομάζει.

*Σατορνῖνος ἄλλος ἀπὸ Συκῆς εἶπεν.*

Οἱ ἐθνικοί, εἰ καὶ εἴδωλα σέβονται, ὅμως τὸν Θεὸν Πατέρα καὶ κτίστην ἐπιγινώσκουσι, καὶ ὁμολογοῦσι δεσπότην. Εἰς τοῦτο Μαρκίων βλασφημεῖ· καὶ πῶς οὐκ αἰσχύνονται οἱ τὸ Μαρκίωνος βάπτισμα δοκιμάζοντες.

*Μάρκελλος ἀπὸ Ζάμης εἶπεν.*

Ὁπότε ἄφεσις ἁμαρτιῶν οὐδαμοῦ, εἰ μὴ ἐν τῇ ἐκκλησίᾳ δίδοται, ὁ αἱρετικὸν μὴ βαπτίζων ἁμαρτωλῷ κοινωνεῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

*Εἰρηναῖος ἀπὸ Οὐλῶν εἶπεν.*

Εἰ διὰ τοῦτο ἡ ἐκκλησία τὸν αἱρετικὸν οὐ βαπτίζει, ὅτι ἤδη λέγεται βεβαπτίσθαι, προκρίνει ἡ αἵρεσις καὶ μείζων γίνεται.

*Δονάτος ἀπὸ Κιβαλινῆς εἶπεν.*

Ὁ λέγων παρὰ τοῖς αἱρετικοῖς χάριν βαπτίσματος εἶναι, πρότερον ἀποδειξάτω ἐκεῖ ἐκκλησίαν.

*Ζώσιμος ἀπὸ Θαραζοῦ εἶπεν.*

Ἀποκαλυφθείσης τῆς ἀληθείας, παραχωρείτω ἡ πλάνη τῇ ἀληθείᾳ.

*Ἰουλιανὸς ἀπὸ Φιλίππου εἶπεν.*

Γέγραπται (1)· Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Εἰ ἡ αἵρεσις ἐξ οὐρανοῦ ἐστι, δύναται καὶ οὐράνιον βάπτισμα δοῦναι.

*Φαῦστος ἀπὸ Θημίδης εἶπεν.*

Οἱ τὸ τῶν αἱρετικῶν πρὸς τὸ τῆς ἐκκλησίας βάπτισμα ἐνιςάμενοι, ἐκείνους μὲν Χριςιανοὺς, ἡμᾶς δὲ αἱρετικοὺς ποιοῦσιν.

*Γεμῖνος ἀπὸ Φόρμης εἶπεν.*

Ὃ ἅπαξ ἐκρίναμεν, τοῦτο καὶ κατέχομεν· ἵνα τοὺς ἀπὸ αἱρέσεων ἐρχομένους βαπτίζωμεν.

*Ῥογατιανὸς ἀπὸ Οὔσης εἶπεν.*

Τὴν ἐκκλησίαν ὁ Χριστὸς ᾠκοδόμησε, τὴν αἵρεσιν ὁ διάβολος· πῶς οὖν δύναται ἔχειν βάπτισμα Χριστοῦ ἡ συναγωγὴ τοῦ διαβόλου;

*Θεράπιος ἀπὸ Βουλισμίου εἶπεν.*

Ὁ τοῖς αἱρετικοῖς τὸ βάπτισμα τῆς ἐκκλησίας προδιδοὺς, τί ἄλλο ἢ τῆς νύμφης τοῦ Χριστοῦ προδότης γίνεται;

*Λούκιος ἀπὸ Μεμερέσης εἶπεν.*

Γέγραπται, ὅτι ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει· ὁ δὲ αἱρετικὸς, ὢν ἁμαρτωλὸς, πῶς ἀκούεται ἐν τῷ βαπτίζειν;

*Ἄλλος Φῆλιξ ἀπὸ Οὐαγλαχηνῆς εἶπεν.*

Ἐν τῷ προσδέχεσθαι τοὺς αἱρετικοὺς ἄνευ τοῦ τῆς ἐκκλησίας

(1) Ἰωάν. 3.

βαπτίσματος, μηδεὶς τὴν συνήθειαν λόγου καὶ τῆς ἀληθείας προκρινέτω.

*Ἄλλος Σατορνῖνος ἀπὸ Πλουτίμνης εἶπεν.*

Εἰ δύναται ἀντίχριστος δοῦναι τὴν χάριν τοῦ Χριστοῦ, δύνανται καὶ οἱ αἱρετικοὶ βαπτίζειν, οἱ ὀνομασθέντες ἀντίχριστοι.

*Κόϊντος ἀπὸ Οὐγβᾶς εἶπεν.*

Ὁ Θεὸς εἷς ἐστι, καὶ ἡ ἐκλησίᾳ μία, καὶ ἓν βάπτισμα· καὶ πῶς δύναταί τις βαπτισθῆναι ἐκεῖ, ὅπου οὔτε Θεὸς, οὔτε Χριστὸς, οὔτε ἐκκλησία ἐστίν.

*Ἰουλιανὸς ἀπὸ Μαρκελλιανῆς εἶπεν.*

Εἰ δύναται ἄνθρωπος δυσὶ κυρίοις δουλεύειν, Θεῷ καὶ μαμωνᾷ, δύναται καὶ τὸ βάπτισμα δυσὶν ὑπηρετεῖν.

*Τέναξ ἀπὸ ὁρίων Κελλίων εἶπε.*

Βάπτισμα ἕν ἐστιν, ἀλλὰ τῆς ἐκκλησίας, ἧς τὸ βάπτισμα ἀληθές.

*Ἄλλος Οὐίκτωρ ἀπὸ Ἀσούρας εἶπεν.*

Ὁμοίως.

*Δουνατοῦλος ἀπὸ Κάμψης εἶπεν.*

Ἀεὶ τοῦτο ἐγὼ ἐφρόνησα, ἵνα οἱ αἱρετικοὶ μηδὲν ἔξω λαβεῖν δυνάμενοι, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔλθωσι, βαπτισθῶσιν.

*Οὐήρουλος ἀπὸ Ῥουσικκάδας εἶπεν.*

Ἄνθρωπος αἱρετικὸς δύναται δοῦναι ὃ μὴ ἔχει· πολὺ μᾶλλον σχισματικὸς, ὅπερ εἶχεν ἀπολέσας.

*Πουδεντιανὸς ἀπὸ Κουϊνκόλης εἶπεν.*

Ἐάν τις ἀπὸ αἱρέσεως ἔλθῃ, βαπτισθῆναι αὐτὸν ὀρθῶς καὶ δικαίως κέκριται.

*Πέτρος ἀπὸ Ἱππῶνος Διαῤῥύτου εἶπεν.*

Ἐπεὶ ἓν βάπτισμά ἐστιν ἐν μόνῃ τῇ ἐκκλησίᾳ, διὰ τοῦτο τοὺς ἀπὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν ἐλθόντας, ὡς μηδὲν ἐκεῖθεν εἰληφότας, ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι κρίνω.

*Ἄλλος Λούκιος ἀπὸ Αὐσάφης εἶπεν.*

Ἑνὸς ὄντος Θεοῦ καὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ μιᾶς ἐλπίδος, καὶ μιᾶς ἐκκλησίας, τὰ παρὰ τοῖς αἱρετικοῖς πραττόμενα λύεσθαι δεῖν φημι, καὶ τοὺς ἀπ' αὐτῶν ἐρχομένους ἐν τῇ ἐκκλησίᾳ βαπτίζειν.

*Ἄλλος Φῆλιξ ἀπὸ Τουριτῶν εἶπεν.*

Ἐγὼ κρίνω, ἵνα, ἀκολούθως ταῖς θείαις Γραφαῖς, ἄνομοι παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντες, ἂν πρὸς τὴν ἐκκλησίαν καταφύγωσι, τῷ τῆς ἐκκλησίας βαπτίσματι, ἔνθα πᾶσα ἐξουσία παρὰ τοῦ Θεοῦ δέδοται, βαπτισθῶσιν.

*Πλουτιανὸς ἀπὸ Λαβάρης εἶπεν.*

Ἐγὼ πιστεύω βαπτίσματι σωτηρίαν μὴ εἶναι, εἰμὴ ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ· καὶ ὅταν ἔξω τῆς ἐκκλησίας γένηται, πιθηκισμὸν εἶναι.

*Σαλουϊανὸς ἀπὸ Ζυφάλης εἶπε.*

Τοὺς αἱρετικούς, μηδὲν ἔχειν συνέστηκε, καὶ διὰ τοῦτο πρὸς ἡμᾶς ἔρχονται, ἵνα λάβωσιν, ὃ μὴ ἔχουσιν.

*Ὀνωράτος ἀπὸ Λούγκης εἶπεν.*

Ὁπότε ὁ Χριστὸς ἀληθής ἐστιν, μᾶλλον τῇ ἀληθείᾳ ἢ τῇ συνηθείᾳ ἕπεσθαι ὀφείλομεν, ἵνα τοὺς αἱρετικούς, διὰ τοῦτο πρὸς ἡμᾶς ἐρχομένους, ὅτι ἔξω μηδὲν λαβεῖν ἠδυνήθησαν, τῷ τῆς ἐκκλησίας βαπτίσματι ἁγιάσωμεν.

*Οὐΐκτωρ ἀπὸ Ὀκτύβου εἶπεν.*

Τοῦτο καὶ αὐτὸς φρονῶ, ἵνα οἱ ἀπὸ αἱρέσεως ἐρχόμενοι ἀδιστάκτως βαπτισθῶσιν.

*Κλάριος ἀπὸ Μασκούλης εἶπε.*

Πρόδηλός ἐστιν ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπόφασις, ἀποστέλλοντος τοὺς ἑαυτοῦ Ἀποστόλους, καὶ αὐτοῖς μόνοις τὴν ἐξουσίαν ἐπιτρέποντος, οἷς ἡμεῖς ἐξακολουθοῦμεν, τῇ αὐτῶν ἐξουσίᾳ τὴν ἐκκλησίαν τοῦ Θεοῦ κυβερνῶντες, καὶ τοὺς πιστεύοντας βαπτίζοντες· καὶ διὰ τοῦτο οἱ αἱρετικοί, οἱ μήτε τὴν ἐξουσίαν ἔχοντες, μήτε τὴν ἐκκλησίαν, οὐδὲ βαπτίζειν τῷ τῆς ἐκκλησίας βαπτίσματι δύνανται.

*Σεκουνδιανὸς ἀπὸ Θάμβης εἶπεν.*

Οὐδαμῶς ὀφείλομεν τοὺς αἱρετικοὺς τῇ ἡμετέρᾳ φιλονεικίᾳ ἐνεδρεύειν, ἵνα οἱ ἐν τῇ ἐκκλησίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ βαπτισθέντες, *καὶ διὰ τοῦτο τὴν ἄφεσιν τῶν ἁμαρτιῶν μὴ λαβόντες,*(1) ὁπόταν ἡ ἡμέρα τῆς κρίσεως ἔλθῃ, ἡμᾶς αἰ-

(1) Χ. Τρ. — τὰ μεταξὺ τοῦ κεῖται παρὰ Βευερ. καὶ Κ.

τιάσωνται, ὅτι δι' ἡμᾶς οὐκ ἐβαπτίσθησαν, οὐδὲ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἔλαβον. Διόπερ μιᾶς οὔσης τῆς ἐκκλησίας, καὶ ἑνὸς βαπτίσματος, ὅταν πρὸς ἡμᾶς ἔλθωσι, μετὰ τῆς ἐκκλησίας καὶ τοῦ βαπτίσματος τυχεῖν ὀφείλουσιν.

*Αὐρήλιος ἀπὸ Χολλαβῆς εἶπεν.*

Ἰωάννης ὁ Ἀπόστολος, ἐν ἐπιστολῇ αὐτοῦ ἔφη· Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ τὴν διδαχὴν τοῦ Θεοῦ οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν, αὐτῷ μὴ λέγετε· ὁ λέγων αὐτῷ, χαίρειν, κοινωνεῖ τοῖς λόγοις αὐτοῦ καὶ τοῖς ἔργοις τοῖς πονηροῖς(1). Πῶς οὖν οὗτοι εἰσδεχθῆναι εἰς οἰκίαν τοῦ Θεοῦ δύνανται; ἢ πῶς αὐτοῖς χωρὶς τοῦ τῆς ἐκκλησίας βαπτίσματος κοινωνῆσαι δυνάμεθα, εἰ μὴ τοῖς πονηροῖς αὐτῶν ἔργοις κοινωνοῦμεν;

*Βίκτωρ ἀπὸ Γεμέλλων εἶπε.*

Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. Ἐπεὶ οὖν σαφές ἐστι, μὴ δύνασθαι αἱρετικόν τινα φωτίσαι, ἅτε δὴ τυφλῶν αὐτῶν ὄντων, τῶν τοιούτων τὸ βάπτισμα οὐδέν ἐστιν.

*Ματόλλιος ἀπὸ Οἴας εἶπεν.*

Κἀγὼ παρών, καὶ Πομπήϊος ἀπὸ Σαβράτων, καὶ Διογὰς ἀπὸ Λεπτιμάγνης, οἵπερ ἐνετείλαντό μοι, σώματι μὲν ἀπόντες, τῷ δὲ πνεύματι παρόντες, κρίνομεν, ὅπερ καὶ πολλοὶ συνεπίσκοποι ἡμῶν, τοὺς αἱρετικοὺς κοινωνεῖν ἡμῖν μὴ δύνασθαι, ἐὰν μὴ παρ' ἡμῶν βαπτισθῶσιν.

*Ἰούνιος ἀπὸ Νεαπόλεως εἶπεν.*

Ἀπ' ἐκείνου, οὗ ἅπαξ ἐκρίναμεν, οὐ χωρίζομαι· ἵνα τοὺς αἱρετικοὺς τοὺς ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζωμεν.

*Κυπριανὸς ἀπὸ Καρχηδόνος εἶπε.*

Τὴν ἐμὴν ἀπόφασιν ὁλόκληρος δείκνυσιν ἐπιστολή, πρὸς Ἰοβιανὸν συνεπίσκοπον ἡμῶν γραφεῖσα. Τοὺς αἱρετικούς, κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν μαρτυρίαν, ἐναντίους τοῦ Χριστοῦ καὶ ἀντιχρίστους ὀνομασθέντας, ὁπόταν τῇ ἐκκλησίᾳ προσέλθωσι, τῷ ἑνὶ τῆς ἐκκλησίας βαπτίσματι βαπτίζεσθαι δεῖν· ἵνα δυνη-

(1) Β', Ἰωάν. Ι.

θῶσι γενέσθαι ἀντὶ ἐχθρῶν φίλοι, καὶ ἐξ ἀντιχρίστων Χριστιανοί.

ΖΩΝΑΡ. Αὗται μὲν οὖν αἱ γνῶμαι τῶν ἐν τῇ συνόδῳ ταύτῃ συνελθόντων Πατέρων τῷ μεγάλῳ Κυπριανῷ· ἀλλ' οὔτε ἐπὶ τοῖς αἱρετικοῖς ἐκράτησαν πᾶσιν, οὔτε ἐπὶ τοῖς σχισματικοῖς. Ἡ γὰρ δευτέρα οἰκουμενικὴ σύνοδος, ὡς ἤδη εἴρηται, ὑπεξεῖλέ τινας τῶν αἱρετικῶν, καὶ ἄνευ βαπτίσματος δέχεσθαι τούτους θεσπίσασα, χριομένους μόνον τῷ θείῳ μύρῳ, καὶ ἀναθεματίζοντας τὴν οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πάσας ἁπλῶς. Καὶ διὰ τοῦτο οὐδὲ ἐξηγήθησαν αἱ γνῶμαι αὗται, ὡς μὴ ἀναγκαῖαι, οἷα μηδὲ ἐνεργοῦσαι, ἀλλὰ καὶ κατὰ σύνοψιν ἐγράφησαν.

ΒΑΛΣ. Ἐν τῷ προοιμίῳ γέγραπται, τίνος χάριν ἡ παροῦσα ἐξετέθη ἐπιστολή. Καὶ αὕτη μὲν διορίζεται τοὺς προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ ἀπὸ αἱρετικῶν, ἢ σχισματικῶν, βαπτίζεσθαι, κἂν ὑπ' ἐκείνων προεβαπτίσθησαν. Ὁ δὲ ζ'. κανὼν τῆς οἰκουμενικῆς β'. συνόδου, ποιούμενος διαίρεσιν τῶν ὀφειλόντων βαπτίζεσθαι, καὶ μὴ, ἕτερά τινα παρακελεύεται. Ἀνάγνωθι οὖν τοῦτον, καὶ πρόσχες τοῖς ἐν αὐτῷ, μεταγενεστέροις οὖσιν. Ἀνάγνωθι καὶ τὸν β'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ μάθῃς ὅτι τὰ τῆς παρούσης ἐπιστολῆς οὐκ ἐδέχθησαν παρὰ πάντων τῶν Πατέρων. Φησὶ γὰρ οὕτω ῥήμασιν αὐτοῖς· Ἔτι μὴν καὶ τὸν ἀπὸ Κυπριανοῦ, γενομένου ἐπισκόπου τῆς Ἀφρων χώρας, καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις καὶ μόνοις, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος, ἐκράτησε. Δείκνυται οὖν ἐντεῦθεν, ὅτι ἀρχῆθεν οὐ παρὰ πᾶσιν ἦν ἐνεργῶν ὁ κανών· σημείωσαι δὲ, ὅτι Ἄφροι λέγονται οἱ Καρχηδόνιοι. Ἐπεὶ δὲ ἔν τισιν ἀντιγράφοις ῥητῶς εὑρίσκονται καταγεγραμμέναι αἱ τῶν ὀγδοήκοντα πρὸς τοῖς τέσσαρσιν ἐπισκόπων γνῶμαι, τῶν συνομογνωμονησάντων μετὰ τοῦ ἁγίου Κυπριανοῦ, ἐμέλλομεν καὶ ταύτας γράψαι καὶ ἑρμηνεῦσαι. Ὅτι δὲ, ὡς εἴρηται, ὁ ζ'. κανὼν τῆς β'. συνόδου ἕτερά τινα ἐθέσπισε παρὰ τὰ περιεχόμενα τῇ παρούσῃ ἐπιστολῇ χάριν τῶν προσερχομένων τῇ πίστει αἱρετικῶν καὶ σχισματικῶν, παρείθη ἡ τούτων ἐξήγησις.

---

# ΚΑΝΟΝΕΣ

## ΤΗΣ ΕΝ ΑΓΚΥΡΑ ΣΥΣΤΑΣΗΣ ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. Πρώτη πασῶν τῶν συνόδων ἡ ἐν Ἀντιοχείᾳ γεγονυῖα σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, βασιλεύοντος ἐν Ῥώμῃ Αὐρηλιανοῦ, ἐστί. Καὶ αὕτη δὲ, ἡ ἐν Ἀγκύρᾳ, τῇ μητροπόλει τῆς Γαλατίας, συστᾶσα σύνοδος, προγενεστέρα ἐστὶ τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. Ἠθροίσθησαν δὲ ἐν αὐτῇ Πατέρες ἱεροὶ, ὧν ἐξῆρχεν Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος, ἐπίσκοπος Ἀμασείας. Ἐν γὰρ τοῖς διωγμοῖς τῶν Χριστιανῶν, πολλῶν μὴ δυνηθέντων μέχρι τέλους ἐγκαρτερῆσαι ταῖς βασάνοις, ἀλλ' ὑποκυψάντων* τοῖς τυράννοις καὶ θυσάντων*(2), εἶτά τινων μετανοούντων, καὶ προσερχομένων τῇ ἐκκλησίᾳ εἰς μετάνοιαν, ζήτησις ἐγένετο, πῶς χρὴ τοὺς ἀρνησαμένους τὸν Χριστὸν προσδέχεσθαι, καὶ περὶ τούτων ἡ σύνοδος αὕτη κανόνας ἐξέθετο (3), οἵτινές εἰσιν οὗτοι.

ΒΑΛΣ. Εἴπομεν πρὸ μικροῦ, ὡς ἡ ἐν Καρχηδόνι σύνοδος, πρώτη ἐστὶ πασῶν τῶν συνόδων, καὶ δευτέρα ἡ ἐν Ἀντιοχείᾳ, καὶ μετὰ ταύτας, ἡ ἐν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας συστᾶσα πρὸ τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. Ἐξῆρχον δὲ ταύτης, Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς (4) Βασίλειος, ἐπίσκοπος Ἀμασείας· καὶ συνεζήτησαν, εἰ χρὴ δέχεσθαι τοὺς θύσαντας τοῖς εἰδώλοις, καὶ προσερχομένους τῇ ἐκκλησίᾳ.

---

(1) Χ. Τρ. — τὸ, συστάσης, οὐ κεῖται παρὰ Βευερ. — Παρὰ δὲ Βρ. καὶ Ε. ἡ ἐπιγραφὴ ἀναγινώσκεται οὕτω· Κανόνες τῶν ἐν Ἀγκύρᾳ συνελθόντων μακαρίων Πατέρων, οἵτινες προγενέστεροι μέν εἰσι τῶν ἐν Νικαίᾳ ἐκτεθέντων κανόνων, δευτερεύουσι δὲ, διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου αὐθεντίαν. — (2) τὰ μεταξὺ τῶν* ἀναγινώσκεται ἐν Χ. Τρ. οὐχὶ δὲ παρὰ Βευερ. καὶ Κ. — (3) ἐξέθετο, καὶ περὶ ἑτέρων κεφαλαίων Χ. Τρ. — (4) καὶ ὁ ἅγιος Βασίλειος Ε.

## Κανὼν Α'.

Πρεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας (1), μήτε ἐκ μεθόδου τινὸς, ἀλλ' ἐξ ἀληθείας, μήτε προκατασκευάσαντας, καὶ ἐπιτηδεύσαντας, καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασάνοις ὑποβάλλεσθαι, ταύτας δὲ τῷ δοκεῖν καὶ τῷ σχήματι προσαχθῆναι· τούτους ἔδοξε, τῆς μὲν τιμῆς τῆς κατὰ τὴν καθέδραν μετέχειν· προσφέρειν δὲ αὐτοὺς, ἢ ὁμιλεῖν (2), ἢ ὅλως λειτουργεῖν τι τῶν ἱερατικῶν λειτουργιῶν, μὴ ἐξεῖναι.

---

ΖΩΝΑΡ. Τῶν ὑποκυψάντων ἐν τοῖς διωγμοῖς τοῖς τυράννοις, καὶ θυσάντων, οἱ μὲν βασάνοις ὑποβληθέντες, καὶ τῇ βίᾳ τούτων καὶ τῇ δριμύτητι μέχρι τέλους ἀντισχεῖν μὴ δυνάμενοι, ἡττήθησαν, καὶ τὴν πίστιν ἠρνήσαντο· οἱ δὲ, καὶ πρὸ τῆς πείρας τῶν βασάνων μαλακισθέντες, ἐνέδωκαν, καὶ, ἵνα μὴ δοκοῖεν αὐθαιρέτως θύειν, ἔπεισαν τοὺς κολαστὰς, ἢ χρήμασιν, ἢ παρακλήσεσι, πικρότερον προσενεχθῆναι τάχα αὐτοῖς, καὶ κολάσεις αὐτοῖς τῷ δοκεῖν ἐπαγαγεῖν, ἵν' οὕτω θύσαντες, δόξωσι τῇ βίᾳ νικηθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ μαλακισθέντες. Τοὺς γοῦν μετὰ ἀληθείας κολασθέντας, καὶ τῇ τῶν βασάνων πικρίᾳ ἐγκαρτερήσαντας μέχρι τινὸς, καὶ οὕτως ἡττηθέντας τῶν ἀφορήτων κολάσεων, καὶ ἐπιθύσαντας τῷ βωμῷ, εἶτα ἀναπαλαίσαντας, ἀντὶ τοῦ, τὸν ἐχθρὸν τὸν ἐν τῇ πλάνῃ ῥίψαντα αὐτοὺς, διὰ τῆς μετανοίας ἡττήσαντας, καὶ καταβαλόντας, καὶ ἐπὶ τῶν τυράννων αὖθις τὴν πίστιν ὁμολογήσαντας, εἰ πρεσβύτεροι ἦσαν, ἔδοξε τῇ συνόδῳ, τῆς τιμῆς μὲν τῆς ἐν ταῖς καθέδραις μετέχειν αὐτοὺς, μήτε δὲ προσφέρειν, μήτε ὁμιλεῖν, ἀντὶ τοῦ διδάσκειν, μήτε ὅλως λειτουργεῖν, ἀντὶ τοῦ ἐνεργεῖν τι τῶν ἱερατικῶν δικαίων.

ΒΑΛΣ. Κατὰ τὸν καιρὸν τοῦ διωγμοῦ τῶν Χριστιανῶν, ἱερεῖς τινες ἠναγκάσθησαν θῦσαι τοῖς εἰδώλοις. Καὶ οἱ μὲν, μέχρι

---

(1) Π. Βευερ. Ἑ. Κ.—ἐπαναπαλαίσαντας Χ. Τρ. Βρ.—(2) καὶ ὁμιλεῖν Βευερ.

θανάτου κολασθέντες, τὸν τοῦ μαρτυρίου ἀνεδήσαντο ςέφανον. οἱ δὲ, ἕως (1) τέλους τὰς βασάνους μὴ προσκαρτερήσαντες(2), ἡττήθησαν, καὶ τὴν πίστιν ἠρνήσαντο, καὶ τοῖς εἰδώλοις ἔθυσαν· ἄλλοι, καὶ πρὸ τοῦ βασανισθῆναι ὅλως, ἐνέδωκαν. Ἵνα δὲ μὴ δόξωσιν αὐθαιρέτως θύειν, ἐσπούδασαν διὰ χρημάτων, ἢ παρακλήσεων, ἢ ἄλλως πως, ἀπειλὰς βασάνων μεγάλων εἰς αὐτοὺς γενέσθαι. Διορίζονται οὖν οἱ Πατέρες, μόνους ἐκείνους τοὺς μετὰ ἀληθείας μὲν βασανισθέντας, διὰ δὲ τὴν δριμύτητα τῶν κολάσεων μὴ ὑπομείναντας καὶ τὸν τῆς τελειότητος στέφανον ἀναδήσασθαι, ἀλλὰ θύσαντας, εἶτα πάλιν ἀναπαλαίσαντας, τουτέςι νικήσαντας τὸν Σατανᾶν, τὸν ἐν τῇ πάλῃ ῥίψαντα αὐτοὺς, καὶ μετὰ καθαρᾶς ἐξομολογήσεως μετανοήσαντας, δέχεσθαι εἰς μόνην τιμὴν καὶ καθέδραν· μήτε δὲ προσφέρειν, μήτε ὁμιλεῖν, τουτέστι διδάσκειν, μήτε τι ἄλλο ἐνεργεῖν ἱερατικόν· ὥστε ἐξ ἀντιδιαστολῆς οἱ ἕτεροι, οἱ παρὰ τούτους, μὴ πραγματικῶς, ἀλλὰ κατὰ σκῆψιν τὰς βασάνους προφασισάμενοι, καὶ τὸν Θεὸν ἀρνησάμενοι, οὐδὲ τιμῆς ἢ καθέδρας ἀξιωθήσονται. Τί δὲ, ὡς Χριστιανοὶ ἁπλῶς μετὰ δακρύων μετανοοῦντες καὶ ἐξομολογούμενοι τὸ ἁμάρτημα, δεχθήσονται (3); Ἐμοὶ τέως δοκεῖ· οὐ γάρ ἐστιν ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Πλὴν καὶ οὗτοι, καὶ οἱ δεχόμενοι εἰς μόνην τιμὴν, ἐπιτιμηθήσονται κατὰ τοὺς ῥηθησομένους κανόνας (4).

## Κανὼν Β'.

Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τὴν μὲν ἄλλην τιμὴν ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερᾶς (5) λειτουργίας, τῆς τε τοῦ ἄρτον ἢ ποτήριον ἀναφέρειν, ἢ κηρύσσειν (6). Εἰ μέντοι τινὲς τῶν ἐπισκόπων τούτοις συνίδοιεν(7) κάματόν τινα, ἢ ταπείνωσιν

(1) Χ. Τρ.—καὶ ἕως Βευερ.—(2) Χ. Τρ. — μὴ καρτερήσαντες Ἑ. Βευερ.—(3) Βευερ. Ἑ. — ὡς Χριστιανοὶ τὸ ἁμάρτημα ἐξομολογούμενοι δεχθήσονται; Χ. Τρ. —(4) τὰ ἀπὸ τοῦ, Πλὴν καὶ οὗτοι, οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Ἑ. —(5) Π. Χ. Τρ. Βρ. Κ. — ἱερατικῆς Βευερ. Ἑ. — (6) τὸ, τῆς τε τοῦ ἄρτον, ἢ ποτήριον ἀναφέρειν, ἢ κηρύσσειν, οὐ κεῖται ἐν Χ. Τρ. —(7) Π. Βευερ. Ἑ. Κ. — συνειδῶσιν Χ. Τρ.

πρᾳότητος, καὶ ἐθέλοιεν πλέον τι διδόναι, ἢ ἀφαιρεῖν, ἐπ᾽ αὐτοῖς εἶναι τὴν ἐξουσίαν.

—

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ περὶ διακόνων ὁ κανὼν οὗτος διατάττεται, ὅσα περὶ πρεσβυτέρων ὁ ἀνώτερος. Πεπαῦσθαι γὰρ καὶ αὐτοὺς, ἀνεπιτηδεύτως ἡττηθέντας τῶν βασάνων, καὶ ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, πάσης τῆς ἱερᾶς λειτουργίας θεσπίζει. Προστίθησι δ᾽ ἐνταῦθα, ὅτι ἐὰν τοῖς μετανοοῦσι τούτοις συνίδοιεν ἐπίσκοποι κάματόν τινα, τουτέστι, κόπον ἐν τῇ μετανοίᾳ διὰ τὴν ἄρνησιν, ἢ ὅτι συντριβέντες διὰ τὸ ἁμάρτημα ἐταπεινώθησαν, καὶ πρᾳότητα ἐκτήσαντο, τοῖς ἴσως αὐτοῖς ὀνειδίζουσι τὸν ὄλισθον πράως καὶ μετὰ ταπεινώσεως προσφερόμενοι, ἀλλ᾽ οὐ θρασυνόμενοι, καὶ τούτοις ἐμπικραινόμενοι, καὶ ἐθέλοιεν οἱ ἐπίσκοποι, ὑφ᾽ οὓς τελοῦσι, πλέον τι τῶν παρὰ τῇ συνόδῳ ὁρισθέντων αὐτοῖς παρασχεῖν, διὰ τὴν τῆς μετανοίας θερμότητα, ἢ ἀφελεῖν τι τῶν ὁρισθέντων, ὡς μὴ γνησίως αὐτῶν μεταμελομένων, μηδὲ ταπεινουμένων· ταῦτα τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων ἀνατίθησιν ὁ κανὼν, καὶ τῇ διακρίσει αὐτῶν. Ἀνάγνωθι καὶ τὸν ιά. κανόνα τῆς πρώτης οἰκουμενικῆς συνόδου.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ περὶ διακόνων διοριζόμενος, προστίθησιν· ὡς, εἴπερ οἱ ἐγχώριοι ἐπίσκοποι κατανοήσουσι τοὺς μετὰ ἀληθείας βασανισθέντας, ἀξίους ἐλέους διὰ τὰ δάκρυα καὶ τὴν ταπείνωσιν αὐτῶν· ἢ τοὐναντίον, κολάσεως πλείονος διὰ τὴν ἀναίδειαν, ποιήσουσι κατὰ τὸ δόξαν αὐτοῖς, τουτέστιν, ἢ ἐπαυξήσουσι τὴν τιμωρίαν, ἢ προσθήσουσι μᾶλλον τὴν παρηγορίαν· παρὰ γὰρ τῇ ἐξουσίᾳ καὶ τῇ διακρίσει αὐτῶν τὰ περὶ τούτου ἀνέθεντο. Εἰ δέ τις ἐρεῖ, μὴ χώραν ἔχειν τὰ τῶν παρόντων κανόνων, Θεοῦ χάριτι, σήμερον, ὅτι τύραννος οὐ προκάθηται, ἀκούσει, ὅτι παρὰ τοῖς Ἀγαρηνοῖς καὶ τοῖς ἄλλοις ἀπίστοις πολλὰ τοιαῦτα γίνονται· καὶ καλῶς τὰ τῶν κανόνων καὶ νῦν ἐνεργήσουσι. Σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι πᾶσα ψυχικὴ θεραπεία εἰς τὴν ἐπισκοπικὴν ἀνηρτήθη διάκρισιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΡΙΣΤ. Κανὼν ά. καὶ β'. Πρεσβύτεροι καὶ διάκονοι, τὸ πρὶν ἐπιθύσαντες, εἶτα ἐξ ἀληθείας ἀναπαλαίσαντες, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετεχέτωσαν, μηδὲν τῶν ἁγίων ἐπιτελοῦντες.

Ὅσοι τῶν πρεσβυτέρων καὶ διακόνων ἐν καιρῷ διωγμοῦ βιασθέντες ἔθυσαν, εἶτα ἐν ἀληθείᾳ προσῆλθον ἀναπαλαίοντες ὅπερ ἔπραξαν, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετέχειν ὀφείλουσιν· ἱερατικὸν δέ τι ἐνεργεῖν οὐκ ἐξέςαι αὐτοῖς, οἷον ἄρτον ἢ ποτήριον ἀναφέρειν, ἢ λόγους διδασκαλίας τῷ λαῷ ποιεῖσθαι, ἢ ὅλως τι τῶν ἁγίων λειτουργιῶν ἐπιτελεῖν.

## Κανὼν Γ'.

Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρεθέντας, ἢ ὑπομείναντας βασάνους, ἢ εἰς δεσμωτήριον ἐμβληθέντας, βοῶντάς τε, ὅτι εἰσὶ Χριστιανοί, καὶ περισχισθέντας (1), ἤ τι εἰς τὰς χεῖρας (2) πρὸς βίαν ἐμβαλλόντων τῶν βιαζομένων, ἢ βρῶμά τι πρὸς ἀνάγκην δεξαμένους, ὁμολογοῦντας δὲ διόλου ὅτι εἰσὶ Χριστιανοί, καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμένους τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι, καὶ τῇ τοῦ βίου ταπεινότητι, τούτους, ὡς ἔξω ἁμαρτήματος ὄντας, τῆς κοινωνίας μὴ κωλύεσθαι· εἰ δὲ καὶ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας ἀκριβείας ἕνεκεν, ἢ καί τινων ἀγνοίᾳ, εὐθὺς προσδεχθῆναι (3). Τοῦτο δὲ ὁμοίως ἐπί τε τῶν ἐκ τοῦ κλήρου καὶ τῶν ἄλλων λαϊκῶν. Προσεξητάσθη δὲ κἀκεῖνο, εἰ δύνανται καὶ λαϊκοί, τῇ αὐτῇ ἀνάγκῃ ὑποπεσόντες, προάγεσθαι (4) εἰς τάξιν· ἔδοξεν οὖν καὶ τούτους, ὡς μηδὲν ἡμαρτηκότας, εἰ καὶ ἡ προλαβοῦσα εὑρίσκοιτο ὀρθὴ τοῦ βίου πολιτεία, προχειρίζεσθαι.

---

(1) περισχεθέντας Μάνσ. ἐν περισελ. καὶ Ἀρδ. — (2) Π. — ἤτοι εἰς τὰς χεῖρας Βρ. Χ. Τρ. — ἤτοι εἰς τὰς χεῖράς τι Βευερ. — (3) Χ. Τρ. Κ. Βρ. — προσδεχθῆναι δεῖ Π. — προσδεχθήτωσαν Βευερ. Ἐ. — (4) Π. Χ. Τρ. Ἐ. Βευερ. Μάνσ. ἐν περισελ. — προσάγεσθαι Κ. Βρ.

ΖΩΝΑΡ. Νόμος μαρτυρίου, φησὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, μήτε ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, καὶ τὰ ἑξῆς. Διὰ γοῦν τοῦτον τὸν λόγον, τινὲς ἑαυτοῖς συνειδότες ἀσθένειαν, ἐν τοῖς διωγμοῖς ἔφευγον καὶ ἐκρύπτοντο, κἀνταῦθα εὐαγγελικὴν πληροῦντες διαταγὴν, τοῦ Κυρίου εἰπόντος· Ὅταν διώκωσιν ἡμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν (1). Τοὺς οὖν φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, (καὶ τοῦτο δὲ τοῦ Κυρίου ἀπόφασις, φήσαντος· Παραδώσουσι δὲ γονεῖς τέκνα, καὶ ἀδελφὸν ἀδελφὸς) (2), καὶ τοὺς ἀφαιρεθέντας τὰ ὑπάρχοντα αὐτοῖς, ἢ ὑπομείναντας βασάνους, ἢ ἐγκλεισθέντας δεσμωτηρίοις, διόλου δὲ ὁμολογοῦντας, ὅτι Χριστιανοί εἰσι, καὶ περισχισθέντας τοὺς χιτῶνας, καὶ γυμνωθέντας, καὶ ἢ εἰς τὰς χεῖρας αὐτῶν πρὸς βίαν ἀκόντων ἐκείνων, ἐμβαλόντων τι τῶν βιαζομένων, οἷον λιβανωτὸν, ἢ ἕτερόν τι τῶν εἰς θυσίαν τοῖς εἰδωλολάτραις προσαγομένων, ἢ βρῶμά τι τῶν εἰδωλοθύτων δεξαμένους εἰς τὸ στόμα, πρὸς ἀνάγκης αὐτὸ τῶν βιαστῶν ἐμβαλόντων, τοὺς τοιοῦτόν τι πεπονθότας, βοῶντας δὲ διόλου, ὅτι εἰσὶ Χριστιανοὶ, καὶ διὰ τοῦτο πενθοῦντας, καὶ τῇ τε καταστολῇ καὶ τῷ σχήματι τὸ πένθος ἐνδεικνυμένους· καταστολὴ δὲ, τὸ μέτριον καὶ κατεσταλμένον τοῦ ἤθους ἐστὶν, ἢ τὰ περιβλήματα καὶ ἡ στολή· σχῆμα δὲ, ἡ ἔξωθεν φαινομένη κατήφεια, τὴν λύπην δηλοῦσα, ὃ καὶ βίου ταπεινότητα ὠνόμασεν ὁ κανών· τούτους οὖν μηδὲν ἁμαρτῆσαι οἱ Πατέρες φασίν· οὔτε γὰρ τὸ εἰδωλόθυτόν τι ἄκοντας δέξασθαι εἰς τὸ στόμα, οὔτε τὸ ἐν ταῖς χερσὶν αὐτῶν ἐμβληθῆναι λιβανωτὸν, ἁμαρτία ἐστὶν, εἰ ἐκεῖνοι, καὶ τούτων γινομένων, ἐπεκαλοῦντο τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ Θεὸν ὡμολόγουν αὐτόν· καὶ ὡς μηδὲν ἁμαρτόντας (3) μὴ κωλύεσθαι τῆς κοινωνίας παρεκελεύσαντο· κἂν τινες ἴσως ἀγνοήσαντες τὸ προσῆκον, ἢ πλέον τοῦ δέοντος τῆς ἀκριβείας ἐχόμενοι, ἐκώλυσάν τινας τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν, κἄν τε τῶν τοῦ κλήρου ἦσαν, κἄν τε τῶν τοῦ λαοῦ. Τοσοῦτον δέ, φασιν, οὐ λογισθήσεται τὰ ἄνω εἰρημένα

(1) Ματθ. Ι', 23. — (2) Ματθ. Ι, 21. — (3) Χ. Τρ. Κ. — ἁμαρτάνοντας Βευερ.

εἰς ἁμαρτήματα, ὥστε κἂν λαϊκός τις ᾖ ὁ ταῦτα ὑπομείνας, οὐ κωλυθήσεται διὰ ταῦτα εἰς ἱερωσύνην προβιβασθῆναι, εἰ ὁ βίος αὐτοῦ ὁ πρὸ τούτου ἀνεπίληπτος ἦν, καὶ ὀρθῶς πεπολίτευτο.

ΒΑΛΣ. Τινὲς κληρικοὶ καὶ λαϊκοὶ φεύγοντες τὰς τῶν τυράννων χεῖρας, καὶ συλληφθέντες, ἢ παρά τινων προδοθέντες, καὶ γυμνωθέντες τῶν προσόντων αὐτοῖς, ἔστι δ' ὅτε καὶ βασανισθέντες, καὶ φυλακισθέντες, ἐβόων εἶναι Χριστιανοί. Ὅτι δὲ κατὰ βίαν ἐνεβλήθη παρὰ τῶν δημίων ταῖς χερσὶ τούτων λιβανωτὸν τυχὸν, ὅπερ τοῖς εἰδώλοις θύεται, ἢ ἐν τῷ στόματι αὐτῶν βρῶμα εἰδωλόθυτον, ἐκωλύοντο τῆς μετὰ τῶν πιστῶν κοινωνίας, διὰ τὸ δῆθεν γενέσθαι αὐτοὺς εἰδωλοθύτας. Φασὶ γοῦν οἱ Πατέρες, τὸ κατὰ βίαν γενόμενον μὴ παρεμποδίζειν αὐτοὺς ὁμολογοῦντας διόλου εἶναι Χριστιανοὺς, ἀποκλαιομένους μετὰ κατανύξεως τὸ παρὰ τῶν τυράννων κατὰ βίαν γενόμενον εἰς αὐτούς· οὐδὲν γὰρ ἥμαρτον, ὥστε καὶ παρ' ἡμῶν κολάζεσθαι. Εἰ δὲ παρά τινων διὰ περισσοτέραν ἀκρίβειαν, ἢ δι' ἄγνοιαν τοῦ προσήκοντος, ἐκωλύθησαν τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν. Ὡς δέ τινος εἰπόντος, ἐπὶ μόνοις τοῖς λαϊκοῖς ἔχειν χώραν τὰ τοῦ κανόνος (οἱ γὰρ κληρικοὶ κατὰ τοὺς προῤῥηθέντας κανόνας δεχθήσονται), ἐπήγαγον, μὴ μόνον τοιούτους λαϊκοὺς συγκοινωνεῖν ἡμῖν, ἀλλὰ καὶ κληρικούς. Εἴρηται δὲ τοῦτο, διὰ τὸ μεγάλην εἶναι διαφορὰν τῶν ἀρνησαμένων ἑκουσίως τὸν Θεὸν, ἐκ τοῦ μὴ δύνασθαι τὰς κολάσεις ὑπενεγκεῖν, καὶ τῶν τοιοῦτόν τι μὴ πεποιηκότων διὰ φάκτου οἰκείου, ἀλλὰ ἀκουσίως κατὰ βίαν ὑποδεξαμένων εἰδωλόθυτα, ἢ λιβανωτὸν, καὶ καταπτυσάντων αὐτῶν· οἱ μὲν γὰρ ἥμαρτον, ὡς ἐνδόντες· ὤφειλον γὰρ ἀποθανεῖν διὰ τὸν Χριστόν· οἱ δὲ κατὰ βίαν ὑπεδέξαντο μόνον τὸ λιβανωτὸν (1), ἔργον δέ τι οὐκ ἐνήργησαν ἀσεβές. Ὅτι γοῦν οὐδὲν ἥμαρτον, καὶ κληρωθήσονται οἱ λαϊκοὶ, ἐὰν ἄξιοι εὑρίσκωνται, πάντως δὲ καὶ οἱ κληρικοὶ εἰς μείζονας βαθμοὺς διὰ τὸν αὐτὸν λόγον προαναβιβασθήσονται. Ἐπεὶ δὲ ᾐτιῶντό τινες τούτους, ὡς τὸ μαρτύ-

(1) ὑπεδέξαντο τὸ λιβανωτὸν Χ. Τρ.

ριον φυγόντας, καὶ κατασχεθέντας, εἶπον οἱ Πατέρες, μηδὲ ἐκ τούτου αὐτοὺς βλάπτεσθαι· καὶ πάντως ἄριστα καὶ τοῦτο ἐνομοθέτησαν. Φησὶ γὰρ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, μὴ ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων. Καὶ ἐν εὐαγγελίοις ὁ Κύριος εἶπεν· ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· τοῦ δὲ χρηματίσαντος ἐπισκόπου Ἀμυκλῶν (1), κυροῦ Νικολάου τοῦ Μουζάλωνος, κατὰ βίαν πρακτορικὴν ἀποκαρέντος, καὶ πολλὰ παρακλητεύσαντος, τὸ κατὰ βίαν εἰς αὐτὸν γεγονὸς περιαιρεθῆναι, καὶ πάλιν ἐνεργεῖν τὰ ἐπισκοπικὰ, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς, βλέπων τοῦτον παρουσιάζοντα μετὰ ἐπισκοπικῶν ἀμφίων συνοδικῶς, οὐ παρεδέξατο αὐτὸν, εἰπὼν, ὡς, εἰ μὲν τὴν συνοδικὴν ἐκδίκησιν καὶ διόρθωσιν ἀνέμενεν ὁ ἐπίσκοπος, εὗρεν ἂν κανονικὴν βοήθειαν· ἐπεὶ δὲ τὰ κατὰ βίαν περιβληθέντα αὐτῷ μοναχικὰ ἄμφια ἀσυντάκτως ἀπέθετο, καὶ αὐτεκδίκητος γέγονεν, οὐ τεύξεται βοηθείας. Ἀλλὰ τοῦ ἁγιωτάτου τούτου πατριάρχου μεταστάντος πρὸς Κύριον, ὁ μετ' ἐκεῖνον ἁγιώτατος πατριάρχης κυρὸς Μιχαὴλ, τὴν μὲν κατὰ βίαν γενομένην απόκαρσιν ὡς μηδὲ γενομένην λογιζόμενος, ἐδικαίωσε συνοδικῶς τὸν ἐπίσκοπον, καὶ μᾶλλον ὡς μηδὲ ἀναγκαζόμενον ὅλως μετὰ τῶν μοναχικῶν ἐμφανισθῆναι. Εἰ γάρ, φησιν, ἔβλεπέ τοῦτον μετὰ τῶν μοναχικῶν παριστάμενον, οὐκ ἂν αὐτὸν ἀπεκατέστησεν, ὡς καταδεξάμενον τὸ γεγονός· ὅτε, καί τινων εἰπόντων, δεκτὰς εἶναι τὰς περιστατικὰς ἀποκάρσεις, αὐτὸς διέγνω τὴν κατὰ βίαν ἀπόκαρσιν μὴ εἶναι περιστατικὴν, ἀλλὰ τὴν διὰ νόσον. Καὶ τὴν μὲν ἀποκατάστασιν οὕτως ἐποιήσατο μετὰ σημειώματος(2)· τὸν δὲ ἐπίσκοπον, ὡς ὀλιγωρήσαντα, καὶ ἑαυτὸν δικαιώσαντα, καιρικῆς ἀλειτουργησίας ἐπιτιμίῳ ὑπέβαλε. Καὶ ἄλλοι δὲ πολλοὶ κατὰ βίαν περιτμηθέντες παρὰ Ἀγαρηνῶν, καὶ ἄλλα τινὰ πεποιηκότες ἢ καὶ παθόντες ἀσεβῆ, μετὰ ἐξομο-

(1) Χ. Τρ. — χρηματισθέντος ἐπισκόπου Ἀμυκλῶν Βευερ. Ἐ. — (2) Βευερ. — τὰ ἀπὸ τοῦ, λογιζόμενος ἐδικαίωσε, ἕως τοῦ, σημειώματος, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Ἐ. — ἀλλ' οὕτω· τὴν μὲν κατὰ βίαν γενομένην ἀπόκαρσιν ὡς μηδὲ γενομένην λογιζομένη ἐσχόλασε· τὸν δὲ ἐπίσκοπον κτλ.

λόγησιν καθαρὰν καὶ προσήκουσαν μετάνοιαν, παρὰ τῇ ἐκκλησίᾳ ἐδέχθησαν, καὶ δι' ἐπιτιμίων ἐθεραπεύθησαν. Τὴν μέντοι Κομνηνὴν κυρὰν Θεοδώραν, τὴν χρηματίσασαν σύμβιον τοῦ Λαπαρδᾶ ἐκείνου κυροῦ Ἀνδρονίκου, ἀποκαρεῖσαν κατὰ βίαν τοῦ τυράννου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μετασχηματισθῆναι, καὶ συζυγῆναι τῷ Κράλῃ (1) Οὐγγρίας, ἐκθύμως τοῦτο ζητήσαντι, διὰ τὸ μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς στοιχῆσαι τῇ ἀποκάρσει, κἂν κατὰ βίαν ἐγένετο, καὶ ἐν κοινοβιακῇ διάγειν μονῇ. Ἑτέρας δὲ γυναῖκας εὐγενεῖς, οὕτως ἀποκαρείσας, ἐδικαίωσεν ἡ αὐτὴ σύνοδος μετὰ θάνατον τοῦ τυράννου μετασχηματισθῆναι, ἢ ὡς ἔτι περιόντων τῶν ἀνδρῶν αὐτῶν, ἢ διὰ τὸ μὴ καταδέξασθαι ὅλως τὴν ἀπόκαρσιν μετὰ θάνατον τοῦ τυράννου.

ΑΡΙΣΤ. Οἱ βασανισθέντες καὶ βιασθέντες ἀληθῶς, καὶ μετὰ τυραννίδος βρώματα λαβόντες εἰδώλου, τῆς κοινωνίας μὴ κωλυέσθωσαν. Καὶ λαϊκοὶ δὲ τοῦτο παθόντες, ὡς οὐδὲν ἡμαρτηκότες, εἰ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἄλλως ἀνεπίληπτοι ὄντες.

Οἱ μετὰ βασάνων εἰδολώθυτον βρῶμα δέξασθαι βιασθέντες, τῶν βιαζόντων τῷ στόματι αὐτῶν τοῦτο ἐμβαλόντων μετὰ ἀνάγκης, ὡσαύτως δὲ καὶ οἱ τοιουτοτρόπως λιβανωτὸν εἰς τὰς χεῖρας αὐτῶν δεξάμενοι, καὶ πρὸς βίαν εἰς τὸν τρίποδα ἐπιῤῥίψαι τοῦτο καταναγκασθέντες, ὁμολογοῦντες δὲ διόλου, ὅτι εἰσὶ Χριστιανοὶ, καὶ, τούτου συμβάντος, πένθος ἀεὶ ἐπιδεικνύμενοι, τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι, καὶ τῇ τοῦ βίου ταπεινότητι, οὗτοι, ὡς ἔξω ἁμαρτήματος ὄντες, τῆς κοινωνίας μὴ κωλυέσθωσαν, ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ μενέτωσαν. Εἰ δὲ λαϊκοί εἰσιν οἱ τοιοῦτοι, καὶ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἐὰν ὁ προλαβὼν βίος αὐτῶν ἐστιν ἀνεπίληπτος· ἐκ τούτου μόνου οὐ κωλυθήσονται τῆς τοιαύτης ἐπιτυχεῖν τιμῆς.

## Κανὼν Δ'.

Περὶ τῶν πρὸς βίαν θυσάντων, ἐπὶ δὲ τούτοις καὶ τῶν

(1) Χ. Τρ. — τῷ κράτει Βευερ. — ὅστις καὶ λατινιστὶ μεταφράζει Crate, παρὰ δὲ 'Ε, οὗ κεῖται ὅλως τὸ χωρίον ἀπὸ τοῦ, τὴν μέντοι Κομνηνήν,

δειπνησάντων εἰς τὰ εἴδωλα, ὅσοι μὲν ἀπαγόμενοι, καὶ σχήματι φαιδροτέρῳ (1) ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον τοῦ παρασκευασθέντος δείπνου ἀδιαφόρως, ἔδοξεν, ἐνιαυτὸν ἀκροᾶσθαι, ὑποπεσεῖν δὲ τρία ἔτη, εὐχῆς δὲ μόνης (2) κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον.

---

ΖΩΝΑΡ. Ὅσοι, φησὶν ὁ κανὼν, βιασθέντες ἔθυσαν, ἢ καὶ ἐν τοῖς εἰδώλοις ἐδείπνησαν, μετασχόντες τῶν εἰδωλοθύτων, τούτων τὴν διάθεσιν χρὴ σκοπεῖν, καὶ πρὸς ἐκείνην τυποῦν αὐτοῖς καὶ τὰ ἐπιτίμια. Εἰ μὲν ἀπαγόμενοι πρὸς τὸ θῦσαι ἢ δειπνῆσαι, καὶ σχῆμα φαιδρὸν ἐπεδείκνυντο, καὶ ἐσθῆτι λαμπρᾷ ἐκόσμησαν ἑαυτοὺς, καὶ τῶν εἰδωλοθύτων μετέσχον ἀδιαφόρως, τουτέστι μὴ διαφερόμενοι καὶ δακνόμενοι ὡς μεμιασμένων γευόμενοι, ἀλλ' ἐμφορούμενοι τούτων, ὡς εἰ ἦσαν ἀμίαντα· τούτους, ἐνιαυτὸν μὲν ἀκροᾶσθαι κελεύει, ἐν τῷ νάρθηκι ἱσταμένους, καὶ ἀκούοντας τῶν Γραφῶν, τρία δὲ ἔτη ὑποπίπτειν, ἤτοι ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι· εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, ὅπερ ἐστὶ τὸ μέχρι τέλους συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὅπερ ἐστὶν ἡ τῶν ἁγιασμάτων μετάληψις.

ΒΑΛΣ. Τοῦ διαληφθέντος τρίτου κανόνος, συγγνωμονήσαντος ἀδιαστίκτως τοῖς κατὰ βίαν ὑποδεξαμένοις εἰδωλόθυτα, ἐπεί τινες ἤθελον καὶ τοὺς κατὰ βίαν φαγόντας αὐτὰ, ἢ καὶ θύσαντας, συγγινώσκεσθαι, ὥρισαν οἱ ἅγιοι Πατέρες διὰ τούτου τοῦ κανόνος καὶ τοῦ πέμπτου, ὡς, ὅσοι μὲν ἀπαγόμενοι πρὸς τὸν εἰδωλικὸν δεῖπνον σχῆμα χαιρόντων ἐνεδείξαντο, καὶ μετὰ λαμπροτέρων ἐσθήτων ἀνέπεσον, καὶ μετέσχον τῶν εἰδωλοθύτων, ἐπιτιμηθήσονται, ὡς ὅλως ἐνδόντες πρὸς τὴν ἀσέβειαν. Διὸ ἐπὶ ἕνα μὲν ἐνιαυτὸν ἀκροάσονται τῶν θείων Γραφῶν ἐν τῷ νάρθηκι, καὶ μετὰ τοῦτο ἐπὶ τριετίαν ὑποπέσωσι (3), τουτέστιν, ἐκκλησιάσωσιν ὀπίσω τοῦ ἄμβωνος ἱστάμενοι, μέχρι τῆς τῶν κατηχουμένων

---

(1) σφοδροτέρῳ Μάνσ. ἐν περισελ. Ἰουστ. — (2) Π. Χ. Τρ. Βρ. Κ. Σ. Ρ. — τὸ, μόνης, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (3) ὑποπεσοῦσι Ἑ.

ἐξελεύσεως· τηνικαῦτα γὰρ καὶ αὐτοὶ ἐξέλθωσι. Συμπληρωθέντων δὲ καὶ τούτων τῶν τριῶν ἐνιαυτῶν, ἐπὶ ἔτη δύο συγκοινωνήσωσι τοῖς πιστοῖς, καὶ ἔκτοτε εἰς τὸ τέλειον ἔλθωσι, τουτέςι, καὶ τῶν θείων ἁγιασμάτων μεταλάβωσιν. Ὅσοι δὲ ἀπαγόμενοι τὴν βίαν ἀπεκλαίοντο, καὶ μετὰ πενθικῆς ἐσθῆτος ἀνέπεσον καὶ ἔφαγον, μετὰ τὴν τριετίαν τῆς ὑποπτώσεως εἰς κοινωνίαν ἐκκλησιαστικὴν δεχθήσονται· οὐ μέντοι γε δὲ καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται· τοῦτο γάρ ἐστι, τὸ δεχθῆναι τούτους χωρὶς προσφορᾶς. Εἰ δὲ ἀνέπεσον μὲν, οὐκ ἔφαγον δὲ, ἐπὶ διετίαν ὑποπέσωσι, καὶ εἰς τὸν τρίτον χρόνον συνεκκλησιάσουσι τοῖς πιστοῖς χωρὶς προσφορᾶς· μετὰ γὰρ τὴν παραδρομὴν καὶ τούτου, τῆς θείας μεταλήψεως ἀξιωθήσονται. Ταῦτα δὲ πάντα εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνέθεντο οἱ Πατέρες, ὡς ἂν πρὸς τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος καὶ τὴν ῥαθυμίαν, ἢ προστεθήσονται τὰ ἐπιτίμια, ἢ ἐκκοπήσονται· ἐξετάζεται δὲ καὶ ἡ προτέρα τούτων ἀναστροφὴ, ἵνα ἢ φιλανθρωπίας, ἢ αὐστηρίας τύχωσιν. Ἐρωτήσει δέ τις, καὶ διὰ τί οἱ μὲν τῷ γ'. κανόνι δηλούμενοι κληρικοὶ, ἢ λαϊκοὶ, κατὰ βίαν ὑποδεξάμενοι λίβανον, ἢ εἰδωλόθυτον, οὐκ ἐπιτιμῶνται, ὡς μὴ ἐπταικότες, ἀλλὰ καὶ εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προκόπτουσιν, οἱ δὲ ἐν τῷ τέλει τοῦ έ. κανόνος περιεχόμενοι, καὶ κατὰ βίαν ἀναπεσόντες, ἐπιτιμῶνται ὡς ἡμαρτηκότες, καὶ ταῦτα δακρυῤῥοοῦντες, καὶ μηδὲ γευσάμενοι τῶν εἰδωλοθύτων; Λύσις. Διαφορὰ μεγάλη ἐστὶ τῶν κατὰ βίαν ὑποδεξαμένων τὰ βέβηλα δῶρα, καὶ μηδὲν ἐξ οἰκείου φάκτου ἐπταικότων, καὶ τῶν ἀπὸ βίας ἐργασαμένων ἀσεβές τι, ὅπερ ἐςὶ τὸ ἀναπεσεῖν εἰς τὸν δεῖπνον· κἀντεῦθεν ἐκεῖνοι μὲν, ὡς μὴ διαπραξάμενοί τι κακὸν (παρ' ἄλλων γὰρ εἰς τὸ στόμα ἢ εἰς τὰς χεῖρας αὐτῶν ἐνεβλήθη τὸ εἰδωλόθυτον), οὐκ ἐπιτιμῶνται· οὗτοι δὲ, ὡς ἀσέβειαν πλημμελήσαντες μετὰ οἰκείου φάκτου, δηλονότι ἀναπεσόντες, ἐπιτιμῶνται. Ταῦτα δὲ ἐθεσπίσθησαν ἀκολούθως τοῖς ὑπὸ τῶν νόμων διορισθεῖσι. Φησὶ γὰρ ἐν βιβλίῳ δεκάτῳ τῶν βασιλικῶν, τίτλῳ α'. ὡς, τὸ μὲν κατὰ βίαν ἀφαιρεθὲν ἀπό τινος, μένει πάλιν τῆς δεσποτείας τούτου, καὶ οὐδέποτε παρ' οἱουδήτινος δεσπόζεται, κατὰ τὸν νόμον τὸν λέγοντα, τὰ φούρτιβα καὶ τὰ βιπόσεσα οὐδέποτε οὐσουκαπιτεύονται, ἤτοι οὐ δεσπόζονται· τὸ δὲ κατὰ

φόβον δοθὲν πρός τινα παρά τινος οὐσουκαπιτεύεται παρὰ τοῦ καλῇ πίστει νομέως, κἂν ὕπεστι τῷ φόβῳ καὶ βίᾳ· μετετέθη γὰρ τοῦτο διὰ οἰκειοχείρου(1)φάκτου τοῦ ἀληθοῦς δεσπότου. Εὐλόγως τοίνυν ὁ μηδὲν ἐνεργήσας ἀσεβὲς οὐκ ἐπιτιμᾶται, ὥσπερ συγγινώσκεται καὶ ὁ κατὰ βίαν ἀφαιρεθεὶς τὸ οἰκεῖον, καὶ ἀνακαλεῖται αὐτὸ μέχρι τριακονταετίας· ὁ δὲ ἐργασάμενός τι ἀσεβές, ὡς ὁ ἀναπεσὼν κατὰ βίαν ἐπὶ τὸν β ἔβηλον δεῖπνον, ἐπιτιμᾶται, καθὼς οὐ συγγινώσκεται καὶ ὁ κατὰ φόβον οἰκειοχείρως παραδοὺς πρός τινα τὸ οἰκεῖον· μετὰ γὰρ δεκαετίαν ἀπόλλυσι τὴν δεσποτείαν αὐτοῦ.

ΑΡΙΣΤ. Ὅσοι ἀπαγόμενοι μετὰ θυμηδίας ἀνῆλθον καὶ ἔφαγον, ἐπὶ ἑξαετίαν ὑποπιπτέτωσαν.

Ὅσοι θῦσαι ἐβιάσθησαν, ἢ καὶ δειπνῆσαι ἐν τῷ εἰδωλείῳ, ἐὰν μετὰ τοῦτο ὑπείξαντες μετὰ σχήματος φαιδροτέρου ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ τοῦ δείπνου μετέσχον, ἢ καὶ τὴν θυσίαν προσέφερον· οὗτοι ἐπὶ ἐνιαυτὸν μετὰ τῶν ἀκροωμένων ταχθήσονται, ἐπὶ δὲ τρία ἔτη ὑποπεσοῦνται, καὶ ἐφ' ἕτερα δύο ἔτη μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξονται, καὶ μόνων τῶν εὐχῶν κοινωνήσουσι· μετὰ δὲ τὴν ἑξαετίαν ταύτην, τῆς τελειότητος τύχωσι, καὶ τῶν θείων ἁγιασμάτων μετάσχωσιν.

## Κανὼν Ε'.

Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς, καὶ ἀναπεσόντες ἔφαγον, μεταξὺ δι' ὅλης τῆς ἀνακλίσεως δακρύοντες, εἰ ἐπλήρωσαν τὸν τῆς ὑποπτώσεως τριετῆ χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν· εἰ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ τρίτῳ κοινωνησάτωσαν ἔτει (2) χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τετραετίᾳ λάβωσι (3). Τοὺς δὲ ἐπισκόπους ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δοκιμάσαντας, φιλανθρωπεύεσθαι (4), ἢ πλείονα

(1) Χ. Τρ. — δι' οἰκείου Ἐ. Βευερ. — (2) Π. Κ. Ἐ. Βρ. — κοινωνείτωσαν χρόνῳ Χ. Τρ. — κοινωνείτωσαν ἔτει, Βευερ. — (3) Π. Βρ. Βευερ. Κ. — τῇ τριετίᾳ Χ. Τρ. Ἐ. — (4) Π. Χ. Τρ. Ἐ. Κ. Βρ. — φιλανθρωπεύσασθαι Βευερ.

προστιθέναι χρόνον. Πρὸ πάντων δὲ, καὶ ὁ προάγων(1) βίος, καὶ ὁ μετὰ ταῦτα, ἐξεταζέσθω, καὶ οὕτως ἡ φιλανθρωπία ἐπιμετρείσθω.

---

ΖΩΝΑΡ. Εἴρηται τὴν διάθεσιν σκοπεῖν τῶν θυσάντων ἐκ βίας, καὶ πρὸς ἐκείνην οἰκονομεῖν αὐτούς. Εἰπὼν οὖν ὁ κανὼν τὰ περὶ τῶν θυσάντων, καὶ μὴ πενθούντων, ἀλλὰ φαιδρότερον διακειμένων, νῦν καὶ περὶ τῶν φαγόντων μὲν εἰδωλόθυτα, δακνομένων δ' ἐπὶ τούτῳ καὶ δακρυόντων, φησίν· οὓς μετὰ τριετίαν τῆς ὑποπτώσεως δέχεσθαι παρακελεύεται εἰς σύστασιν χωρὶς προσφορᾶς, ἤγουν συνίστασθαι μὲν ἐν τῇ ἐκκλησίᾳ τοῖς πιστοῖς, μὴ μεταλαμβάνειν δέ. Εἰ δὲ οὐκ ἔφαγον, φησὶ, διετίαν ὑποπεσόντες, τουτέστι μετὰ τῶν κατηχουμένων ἱστάμενοι, καὶ σὺν ἐκείνοις ἐξερχόμενοι, τοῦ τρίτου ἀψάμενοι ἐνιαυτοῦ, κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἤγουν τῆς μετὰ τῶν πιστῶν στάσεως· κοινωνίαν γὰρ ἐνταῦθα οὐ τὴν μετάληψιν τῶν ἁγιασμάτων λέγει, ἀλλὰ τὴν μετὰ τῶν πιστῶν σύστασιν· διὸ ἐπήνεγκε, χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τριετίᾳ λάβωσιν, ἵνα, πληρουμένης τῆς τριετίας, καὶ τοῦ ἀγαθοῦ μετάσχωσι· ταῦτα μὲν ὥρισαν οἱ τῆς συνόδου. Ἐπεὶ δὲ (2) ᾔδεισαν, ὅτι οὐ πάντες ὁμοίως μετανοοῦσιν, ἀλλ' οἱ μὲν ἐπιμελέστερον ἔχονται τῆς μετανοίας, οἱ δὲ ῥᾳθυμότερον, τὸ πᾶν τῆς ἐπ' αὐτοῖς οἰκονομίας τοῖς ἐπισκόποις ἀνέθεντο, ὥςε δοκιμάζειν ἐκείνους τὸν τρόπον τῆς ἑκάστου ἐπιστροφῆς, καὶ φιλανθρωπεύεσθαι, καὶ συστέλλειν τὸν χρόνον τῶν ἐπιτιμίων τοῖς θερμότερον μετανοοῦσι, καὶ πλείονα προστιθέναι χρόνον τοῖς νωθρότερον· σκοπεῖν δὲ καὶ τὸν προλαβόντα βίον αὐτῶν, καὶ τὸν μετὰ ταῦτα, εἰ σωφρόνως ἔζων καὶ συντετηρημένως, καὶ ζῶσιν, ἢ ἀνειμένως καὶ ἀδιαφόρως, καὶ οὕτως ἐπιμετρεῖν αὐτοῖς τὴν φιλανθρωπίαν.

ΒΑΛΣ. Περὶ τοῦ παρόντος κανόνος διελάβομεν ἐν τῇ ἑρμηνείᾳ τοῦ δ'. κανόνος, καὶ πλέον τι μὴ ζήτει.

ΑΡΙΣΤ. Οἱ μετὰ πενθικῆς στολῆς ἀνεληλυθότες, καὶ φαγόντες μετὰ δακρύων, τριετίαν ὑποπιπτέτωσαν· εἰ δὲ μὴ ἔφαγον διε-

(1) προέχων Σ. Ρ. — (2) Χ. Τρ. — ἐπειδὴ ᾔδεισαν Βαυερ. Κ.

τίαν. Ὁ προάγων δὲ βίος, καὶ ὁ ἑπόμενος σπουδαῖος ὤν, ἢ οὐ σπουδαῖος, τὸν ἐπίσκοπον φιλανθρωπότερον, ἢ ἀφιλανθρωπότερον δείκνυσιν.

Οἱ εἰς τὸ εἰδωλεῖον ἀνελθεῖν βιασθέντες, καὶ φαγεῖν ἐν αὐτῷ, ἐὰν μετὰ πενθικῆς ἀνῆλθον στολῆς, καὶ ἐν τῷ ἐσθίειν ἐδάκρυον· οὗτοι, ὡς τῇ κολάσει ὑπείξαντες, καὶ τὸ πᾶν μὴ λογιζόμενοι ἀκουσίως ποιῆσαι, διὰ τὸ τοῖς οἰκείοις μέλεσι χρήσασθαι εἰς τὴν τῶν ἀπαιτουμένων ἀθέσμων ἐκπλήρωσιν, τριετίαν μόνην ὑποπιπτέτωσαν· εἶτα, χωρὶς τῆς μετοχῆς τῶν θείων ἁγιασμάτων, δεχθήτωσαν μετὰ τῶν πιστῶν. Εἰ δὲ μὴ ἔφαγον, ἀνῆλθον δὲ μόνον, ἐπὶ διετίαν ἔσονται ὑποπίπτοντες, ἐπὶ ἐνιαυτὸν τοῖς πιστοῖς συνιστάμενοι· καὶ μετὰ ταύτην τὴν τριετίαν, τὴν τελειότητα λάβωσι. Παρὰ τῇ ἐξουσίᾳ δὲ κείσεται τοῦ ἐπισκόπου, ὡς ὁρᾷ αὐτούς, εἴτε σπουδάζοντας, εἴτε καὶ ἀμελοῦντας, οὕτω καὶ διατεθῆναι, καὶ ἢ φιλανθρωπεύσασθαι, καὶ συντεμεῖν τὸν χρόνον τῆς μετανοίας, ἢ μᾶλλον προσθεῖναι· κατεξετάσει δὲ καὶ τὸν προλαβόντα βίον αὐτῶν ὁποῖος ἦν· καὶ ἐξ ἀμφοτέρων τῶν καταστάσεων, τῆς τε νῦν ὑπούσης, καὶ τῆς προτέρας, ἢ μειώσει, ἢ ἐπαυξήσει τὰ ἐπιτίμια.

## Κανὼν Ϛʹ.

Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολάσεων, καὶ ἀφαιρέσεως ὑπαρχόντων, ἢ μετοικίας, καὶ θυσάντων, καὶ μέχρι τοῦ παρόντος καιροῦ μὴ μετανοησάντων, μηδὲ ἐπιστρεψάντων, νῦν δὲ παρὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντων, καὶ εἰς διάνοιαν τῆς ἐπιστροφῆς γενομένων, ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι, καὶ μετὰ τὴν μεγάλην ἡμέραν ὑποπεσεῖν τρία ἔτη, καὶ μετὰ ἄλλα δύο (1) ἔτη κοινωνῆσαι, χωρὶς προσφορᾶς, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὥστε τὴν πᾶσαν ἑξαετίαν πληρῶσαι. Εἰ δέ τινες πρὸ τῆς συνόδου ταύτης ἐδέχθησαν εἰς μετάνοιαν, ἀπ' ἐκείνου τοῦ χρόνου λελογίσθαι αὐτοῖς

(1) τρία Ἰους. ἐν περισιλ.



ΒΙΒΛΙΟΘΗΚΗ ... ΡΑΔΥΣ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὴν ἀρχὴν τῆς ἑξαετίας (1). Εἰ μέν τοι κίνδυνος καὶ θανάτου προσδοκία ἐκ νόσου, ἢ ἄλλης τινὸς προφάσεως συμβαίη, τούτους ἐπὶ ὅρῳ δεχθῆναι.

---

ΖΩΝΑΡ. Τοὺς μὴ μέχρι πείρας βασάνων ἐληλυθότας, ἀλλ' ἀπειλαῖς εἴξαντας, καὶ ἀφαίρεσιν φοβηθέντας χρημάτων, ἢ μετοικίαν, τουτέστιν ἐξορίαν, καὶ θύσαντας, *καὶ μηδὲ μετὰ ταῦτα μετανοήσαντας* (2), μηδὲ (3) ἐπιστρέψαντας, νῦν δὲ, φασὶν οἱ Πατέρες, κατὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντας, καὶ μετανοῆσαι θελήσαντας, ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι. Μεγάλην δὲ ἡμέραν τὸ ἅγιον Πάσχα ὠνόμασαν, τὴν τοῦ Κυρίου δηλονότι ἀνάστασιν· καὶ μετὰ τὸ Πάσχα, τρία ἔτη εἶναι ἐν ὑποπτώσει, μετὰ τῶν κατηχουμένων δηλαδὴ συνισταμένους, καὶ σὺν αὐτοῖς ἐξιόντας, καὶ ἄλλα δύο ἔτη κοινωνῆσαι χωρὶς προσφορᾶς, ἀντὶ τοῦ, συνίστασθαι τοῖς πιστοῖς μὴ μεταλαμβάνοντας, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ἤγουν τὴν τῶν ἁγιασμάτων μετάληψιν, ὥστε διὰ πάντων τῶν τόπων τῶν ἐπιτιμίων πληρῶσαι τὴν ἑξαετίαν. Εἰ δέ τινες, φασὶ, πρὸ τῆς συνόδου προσῆλθον, καὶ ἐδέχθησαν εἰς μετάνοιαν, ἔκτοτε λογίζεσθαι, ἤγουν συμψηφίζεσθαι αὐτοῖς τὸν χρόνον τῆς ἑξαετίας. Εἰ δὲ τοῖς ἐν ἐπιτιμίοις ἀκοινωνησίας οὖσιν νοσήσασι, ἢ ἄλλως πως κίνδυνος θανάτου γένηται προσδοκήσιμος, τούτους δεχθήσεσθαι μὲν εἰς κοινωνίαν τῶν ἁγίων δώρων (4), ἐπὶ ὅρῳ δὲ, ἤγουν ἐπὶ διαστίξει, ὥςε, εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, ἀλλ' ἀναῤῥωσθῆναι, μηκέτι αὖθις κοινωνῆσαι, εἰ μὴ ὁ ὡρισμένος παρέλθῃ χρόνος τῆς ἑξαετίας.

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι Πατέρες, τί ὀφείλει γίνεσθαι εἰς τοὺς θύσαντας διὰ τὸ ἀνύποιςον (5) τῶν βασάνων, ἀρτίως διαλαμβάνουσι περὶ τῶν θυσάντων διὰ μόνην ἀπειλὴν κολάσεων, ἢ ἀφαίρεσιν τῶν προσόντων τούτοις, ἢ ἐξορίαν, καὶ μὴ μετανοησάντων μέχρι

---

(1) Π. Βρ. — τὴν ἑξαετίαν Βευερ. — λελόγισται αὐτοῖς ἀρχὴ τῆς ἑξαετίας 'Ε. Κ. — (2) τὰ ἐντὸς τῶν *οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν Χ. Τρ. — καὶ λατινιστὶ παρὰ Κ. — (3) Χ. Τρ. — μὴ ἐπιστρέψαντας Βευερ. Κ. — (4) δωρεῶν Χ. Τρ. — (5) Χ. Τρ. 'Ε. — ἀνυπόστατον Βευερ.

τοῦ καιροῦ τῆς συνόδου. Διορίζονται οὖν, ὡς, ἐπεὶ ἀρτίως προσέρχονται τῇ ἐκκλησίᾳ, ὀφείλουσιν ἐπιτιμηθῆναι, καὶ πρῶτον μὲν ἀκροᾶσθαι τῶν θείων Γραφῶν ἐν τῷ νάρθηκι μέχρι τῆς μεγάλης ἡμέρας, ἤτοι τοῦ Πάσχα, καὶ μετὰ τοῦτο ὑποπίπτειν ἐπὶ ἔτη τρία, καὶ ἔκτοτε ἐκκλησιάζειν μετὰ τῶν πιστῶν ἐπὶ ἔτη δύο, καὶ οὕτω μεταλαμβάνειν τῶν ἁγιασμάτων, ὡς ἤδη ἑξαετίας πληρωθείσης. Ἐπεὶ δὲ, φασὶ, τινὲς ἀπὸ τούτων προσεδέχθησαν εἰς μετάνοιαν, ὀφείλει λογισθῆναι αὐτοῖς ἡ ἑξαετία ἀφ' οὗ καιροῦ ἐπέστρεψαν εἰς μετάνοιαν. Ὅσοι μέντοι ἐξ αὐτῶν κινδυνεύουσι τελευτῆσαι ἀπὸ νόσου ἢ ἑτέρας τινὸς αἰτίας, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται· πλὴν, εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, μηκέτι αὖθις κοινωνείτωσαν, ὡς ἀνεπιτίμητοι, εἰ μὴ παρέλθῃ ἡ ὡρισμένη ἑξαετία· τοῦτο γάρ ἐστι τὸ ἐπὶ ὅρῳ, ἤγουν ἐπὶ διαστίξει δεχθῆναι τούτους εἰς τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν. Ὥστε σημείωσαι, ὅτι πλειόνως(1) ἐπιτιμῶνται οἱ μὴ βασανισθέντες καὶ θύσαντες, παρὰ τοὺς βασανισθέντας καὶ θύσαντας.

ΑΡΙΣΤ. Ἀνὴρ ἀπειλῇ μόνον εἴξας, καὶ θύσας, εἶτα μετανοήσας, πενταετίαν ὑποπιπτέτω.

Οἱ μὴ ὑπενεγκόντες βάσανα, ἀλλ' ὑπὸ μόνης ἀπειλῆς πτοηθέντες, καὶ θύσαντες, καὶ ἐπὶ καιρὸν τῇ πλάνῃ ταύτῃ προσκαρτερήσαντες, εἶτα μετανοήσαντες καὶ ἐπιστρέψαντες, ἐνιαυτὸν μὲν ἐπ' ἀκροωμένοις ἔσονται, ἐπὶ τριετίαν μετὰ τῶν ὑποπιπτόντων, ἐπὶ διετίαν συστήσονται μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν κοινωνήσουσι μόνον· καὶ μετὰ τὸ πληρῶσαι τὴν πᾶσαν ἑξαετίαν, ἐλεύσονται ἐπὶ τὸ τέλος, καὶ τῆς θείας μετάσχωσι μεταλήψεως.

## Κανὼν Ζ'.

**Περὶ τῶν συνεστιαθέντων ἐν ἐθνικῇ ἑορτῇ (2), ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἴδια βρώματα ἐπικομισαμένων, καὶ φαγόντων(3), ἔδοξε διετίαν ὑποπεσόντας δεχθῆναι· τὸ δὲ, εἰ χρὴ μετὰ τῆς προσφορᾶς ἕκαστον, τῶν ἐπισκόπων**

(1) Χ. Τρ. — πλείονος Ἑ. — (2) Χ. Τρ. Βευερ. — ἐν ἑορτῇ ἐθνικῇ Π. Ἑ. Κ. Βρ. — (3) Π. Βρ. Ἑ Κ. — ἢ φαγόντων Χ. Τρ. — ἢ καὶ φαγόντων Βευερ.

ἐστὶ δοκιμάσαι(1), καὶ τὸν ἄλλον βίον ἐφ' ἑκάστου ἐξετάσαι (2).

—

ΖΩΡΑΡ. Εἰ δέ τινες ἐν ἑορτῇ ἐθνικῇ συνεστιάθησαν ἐθνικοῖς καὶ (3) ἀπίστοις, ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἐν εἰδωλείῳ τυχὸν, ἢ ἄλλῳ τόπῳ, εἰς τελετὰς αὐτοῖς τελουμένας ἀνειμένῳ (4), κἂν ἴδια βρώματα ἐκόμισαν καὶ ἔφαγον οἱ πιστοὶ, δι' αὐτὸ μέν τοι τὸ συνεστιαθῆναι τοῖς ἐθνικοῖς, καὶ οὕτω δόξαι συνεορτάσαι (5) αὐτοῖς, ἔδοξε τῇ συνόδῳ, διετίαν ὑποπεσεῖν αὐτοὺς, τουτέστι μετὰ τῶν κατηχουμένων ἵστασθαι, καὶ σὺν αὐτοῖς ἐξιέναι, καὶ μετὰ τὴν διετίαν δεχθῆναι. Ὅπως δὲ χρὴ ἕκαστον αὐτῶν δεχθῆναι, εἴτε καὶ εἰς μετάληψιν τῶν ἁγιασμάτων, εἴτε εἰς μόνην τὴν μετὰ τῶν πιστῶν σύστασιν, τῶν ἐπισκόπων ἐστὶ, φασὶ, δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἑκάστου ἐξετάσαι.

ΒΑΛΣ. Τινὲς πιστοὶ εὑρεθέντες ἐν χώραις ἀλλοεθνῶν κατά τινα καιρὸν ἑορτῆς ἐθνικῆς συνέφαγον τούτοις ἐν τόπῳ τινὶ ἀφωρισμένῳ εἰς τοῦτο αὐτό. Ὅτι δὲ οὐκ ἦσαν τὰ βρώματα ἀπὸ ἐθνικῶν, ἀλλ' οἰκεῖα, ἤθελον συντηρηθῆναι ἀκαταιτίατοι. Φασὶ γοῦν οἱ Πατέρες, ὡς εἰ καὶ μὴ(6) ἐμολύνθησαν διὰ βρωμάτων μυσαρῶν, ἀλλ' ἐπεὶ συνανέπεσον μετὰ ἀπίστων, καὶ διὰ κοινῆς τραπέζης συνεκοινώνησαν ὥσπερ αὐτοῖς (7) ἑορτάζουσι, ἐπιτιμηθήσονται εἰς ὑπόπτωσιν ἐπὶ διετίαν· καὶ μετὰ τοῦτο δεχθήσονται κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου, εἴτε εἰς μόνην κοινωνίαν, εἴτε καὶ εἰς ἁγίαν(8) μετάληψιν. Τί δέ ; ἐὰν μὴ κατὰ τὸν ἑορτάσιμον καιρὸν, ἀλλ' ἐν ἑτέρᾳ ἡμέρᾳ καὶ ἐν ἑτέρῳ τόπῳ συνέφαγον μετὰ τῶν ἀπίστων, ἀνεπιτίμητοι ἔσονται ; Λύσις. Οὐδαμῶς· καὶ οὕτω γὰρ ἐπιτιμηθήσονται. Εἰ μὲν γὰρ ἐξ ἀνάγκης συνέφαγον μετὰ τῶν ἀπίστων, ὡς πρεσβευταὶ τυχὸν ὄντες, ἢ αἰχμάλωτοι, διὰ μετρίου φαρμάκου θεραπευθήσονται· εἰ δὲ ἀπὸ καταφρονήσεως καὶ ἀδια-

(1) Π.—ἄνευ τοῦ, ἐστὶ Βρ. Κ. 'Ε.—ἐστὶ τὸ δοκιμάσαι Βευερ. — τὸ δὲ εἰ χρὴ ἕκαστον μετὰ τῆς προσφορᾶς, τῶν ἐπισκόπων δοκιμάσαι· Χ. Τρ.—(2) Π. Χ. Τρ. 'Ε. Κ. Βευερ. — ἀξιῶσαι Βρ. — (3) Χ. Τρ. — ἐν ἀπίστοις Κ. Βευερ. — (4) ἀνειμένως Χ. Τρ.—(5) συνεορτάζειν Χ. Τρ. — (6) ὡς εἰ μὴ ἐμολύνθησαν Χ. Τρ. — (7) ἐπὶ τοῖς ἑορτάζουσι Χ. Τρ. — (8) εἴτε εἰς τὴν ἁγίαν Χ. Τρ.

φορίας, πλειόνως ἐπιτιμηθήσονται, πλὴν οὐ κατ' ἐκείνους τοὺς δόξαντας συνεορτάζειν μετὰ τῶν ἀπίστων. Ὥσπερ πάλιν ἐπέκεινα καὶ τούτων τιμωρηθήσονται οἱ μὴ φαγόντες οἰκεῖα βρώματα, ἀλλὰ τὰ τῆς ἐθνικῆς ἑορτῆς. Ταῦτα δὲ πάντα, εἰς τὴν τοῦ ἐπισκόπου διάκρισιν ἀνηρτήθησαν. Σημείωσαι ταῦτα, πολλὰ χρησιμεῦσαί σοι ὀφείλοντα εἰς τοὺς μετὰ τῶν Ἀγαρηνῶν συμφαγόντας, ἢ ἄλλων ἐθνικῶν. Οἱ Ἴβηρες δὲ ἀδιάφορον λέγουσιν εἶναι τὸ μετὰ τῶν ὀρθοδόξων καὶ αἱρετικῶν ἐσθίειν· καὶ πῶς τοῦτο γίνεται, ἀγνοῶ.

ΑΡΙΣΤ. Ἐάν τις, ἴδια βρώματα ἔχων, συνεστιάθη τοῖς ἔθνεσιν ἐν ταῖς ἑορταῖς αὐτῶν, διετίαν ὑποπιπτέτω.

Εἴ τις ἐν ταῖς ἑορταῖς τῶν ἐθνῶν, ταῖς ἐν ἀφωρισμένῳ τινὶ τόπῳ γινομέναις, συνῆλθε, καὶ ἴδια βρώματα ἔχων, συνέφαγε μετ' αὐτῶν, διετίαν μόνην ὑποπιπτέτω· εἰ δὲ χρὴ αὐτὸν ἔκτοτε εἴτε τῶν εὐχῶν μόνον μετὰ τῶν πιστῶν κοινωνεῖν, ἢ καὶ τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν, παρὰ τῇ κρίσει ἔσται τοῦ ἐπισκόπου, τὸν ἄλλον αὐτοῦ δὴ τοῦ μετανοοῦντος βίον κατεξετάζοντος.

## Κανὼν Η'.

**Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες μετὰ βίας, τετραετίαν ὑποπεσέτωσαν, δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ τελείως δεχθήτωσαν.**

---

ΖΩΝΑΡ. Ἃ μὲν ἐν τοῖς ἀνωτέρω κανόσιν ὡρίσθησαν (1) περὶ τῶν ἅπαξ θυσάντων οἱ τῆς συνόδου ταύτης Πατέρες διετάξαντο, νῦν δὲ καὶ περὶ τῶν δὶς ἢ τρὶς ἐκ βίας τεθυκότων φασίν, οὓς καὶ τετραετίαν διάγειν ἐν ὑποπτώσει κελεύουσιν, ἐπὶ διετίαν δὲ ἄλλην κοινωνεῖν τοῖς πιστοῖς, ἤτοι συνίστασθαι αὐτοῖς, καὶ συνεύχεσθαι ἄνευ προσφορᾶς, ἤγουν τῆς τοῦ ἀγαθοῦ μεταλήψεως, καὶ τῷ ἑβδόμῳ ἔτει τελείως δέχεσθαι, τουτέστι καὶ εἰς μετάληψιν τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ Κυρίου.

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι Πατέρες περὶ τῶν ἅπαξ θυσάντων, νῦν καὶ περὶ τῶν δὶς καὶ τρὶς θυσάντων φασίν. Ἐπεὶ γὰρ ἔλεγόν τινες, ταὐτὸν εἶναι τὸ ἅπαξ καὶ τὸ πολλάκις θῦσαι, ὥρισαν οἱ

(1) Χ. Τρ. — εἴρηται Βευερ. Κ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πατέρες πλειόνως ἐπιτιμᾶσθαι τοὺς δὶς ἢ τρὶς θύσαντας κατὰ βίαν, ὥστε διὰ τὸ μέγεθος τοῦ κακοῦ μεγεθύνεται καὶ ἡ κόλασις· καὶ πάντως τοῦτο προχωρήσει καὶ ἐφεξῆς.

ΑΡΙΣΤ. Ὁ δεύτερον καὶ τρίτον θύσας, ἀλλὰ μετὰ βίας, ἑπταετίαν ὑποπιπτέτω.

Ὅσοι οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον, καὶ τρίτον ἔθυσαν βιασθέντες, οὗτοι τετραετίαν ὑποπεσάτωσαν, διετίαν χωρὶς προσφορᾶς τῶν εὐχῶν μόνον μετὰ τῶν πιστῶν κοινωνησάτωσαν· καὶ τῷ ἑβδόμῳ ἔτει δεξάσθωσαν τὴν τελείωσιν.

## Κανὼν Θ'.

Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν, ἀλλὰ καὶ ἐπανέστησαν, καὶ ἠνάγκασαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγένοντο τοῦ ἀναγκασθῆναι, οὗτοι ἔτη μὲν τρία, τὸν τῆς ἀκροάσεως δεξάσθωσαν τόπον, ἐν δὲ ἄλλῃ ἑξαετίᾳ τὸν τῆς ὑποπτώσεως· ἄλλον δὲ (1) ἐνιαυτὸν κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἵνα τὴν δεκαετίαν πληρώσαντες, τοῦ τελείου μετάσχωσιν· ἐν μέντοι τούτῳ τῷ χρόνῳ, καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον.

---

ΖΩΝΑΡ. Εἰ δέ τινες οὐ μόνον ἀπέστησαν τῆς εἰς τὸν Κύριον πίστεως, ἀλλὰ καὶ ἐπανέστησαν, ἀντὶ τοῦ, κατ' αὐτῆς ἐγένοντο, καὶ ἠνάγκασαν ἀδελφοὺς θῦσαι, ἢ καὶ αἴτιοι ἐγένοντο ἀναγκασθῆναι αὐτοὺς, οἷον φυγόντας καὶ κρυπτομένους, καταμεμηνυκότες (2) αὐτοὺς, ἢ ἀγνοουμένους ὅτι Χριστιανοί εἰσι, δήλους αὐτοὺς θέμενοι τοῖς διώκταις, τοὺς τοιούτους ᾠκονόμησαν οἱ Πατέρες, τρία μὲν ἔτη ἐν ἀκροάσει πληρῶσαι, ἐκτὸς τοῦ ναοῦ ἱσταμένους ἐν τῷ προνάῳ· ἓξ δὲ ἄλλα ἐν ὑποπτώσει διαγαγεῖν, καὶ ἐνιαυτὸν ἕτερον κοινωνῆσαι τῶν εὐχῶν τοῖς πιστοῖς, καὶ μετὰ τὴν δεκαετίαν ταύτην μετασχεῖν τοῦ τελείου. Ἐν δὲ τῷ χρόνῳ τούτῳ, τῆς μετανοίας αὐτῶν δηλονότι, φασὶ, χρὴ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον· εἰ γὰρ ἀμελῶς ἢ καὶ πλημμελῶς διαγνωσθῶσι ζῶντες, ἐπιταθήσεται ὁ χρόνος τῶν ἐπιτιμίων αὐτοῖς.

---

(1) ὁ δὲ, οὐ κεῖται παρὰ Βευερ. — (2) καταμεμηνυκέναι Χ. Τρ.

ΒΑΛΣ. Τοσοῦτόν τινες ἐδειλάνδρησαν πιστοὶ διὰ τὰς βασάνους, καὶ ἀπέστησαν ἐκ τῶν ὀρθοδόξων, ὡς καὶ χωρῆσαι κατὰ τούτων, ποτὲ μὲν ἀναγκάζοντες αὐτοὺς φρονῆσαι τὰ τῶν τυράννων, ποτὲ δὲ καὶ καταμηνύοντες κρυπτομένους· τούτους γοῦν ἐπὶ δεκαετίαν ἐπιτιμᾶσθαι οἱ ἅγιοι Πατέρες διωρίσαντο. Μὴ εἴπῃς δὲ τοὺς ῥηθέντας πιστοὺς οὕτως ἀπαλλοτριωθῆναι τῆς πίστεως τῶν Χριστιανῶν, ὡς καὶ γενέσθαι ἀπίστους, καὶ διώκειν τοὺς ὀρθοδόξους· τοὺς τοιούτους γὰρ ἀλλοτρόπως ἡ ἐκκλησία δέχεται, ὥσπερ καὶ τοὺς ἐκ γενετῆς απίστους, μᾶλλον δὲ καὶ μετὰ πλείονος ἐξετάσεως· ἀλλ' εἰπὲ αὐτοὺς φρονεῖν μὲν καὶ εἰσέτι τὰ τῶν ὀρθοδόξων, διὰ δὲ τὰς βασάνους ταχέως ἐνδοῦναι, καὶ κατὰ σκῆψιν ὑποκρίνεσθαι τὰ τῶν κακοδόξων· ὥστε τοὺς βλέποντας αἱρετικοὺς μὴ σκανδαλίζεσθαι, ἀλλὰ συντίθεσθαι παρομοίως τούτοις, καὶ αὐτοὺς πιστεύειν. Διὰ γὰρ τοῦτο, καὶ ἐπιτιμίοις καθυποβάλλονται, καὶ οὐ δέχονται ὡς οἱ εἰδωλολάτραι καὶ οἱ ἄπιστοι.

ΑΡΙΣΤ. Ὁ μὴ μόνον ἐθελουσίως τεθυκώς, ἀλλὰ καὶ ἕτερον ἀναγκάσας, δεκαετίαν ὑποπιπτέτω.

Οὗτος, ὡς καὶ ἑαυτὸν ἀπολέσας, καὶ ἑτέρους συνωθήσας, καὶ βιάσας εἰς τὴν ἀπώλειαν, εἰ ὑποστρέψει, ἐπὶ τριετίαν μὲν ἔστω μετὰ τῶν ἀκροωμένων, ἐν δὲ ἄλλῃ ἑξαετίᾳ, μετὰ τῶν ὑποπιπτόντων· ἐπὶ δὲ ἕτερον ἕνα ἐνιαυτὸν, μετὰ τῶν συνισταμένων, καὶ κοινωνείτω, μέχρι τέλους τῆς θείας μυσταγωγίας, τῶν εὐχῶν μετὰ τῶν πιστῶν· καὶ οὕτω τοῦ δεκαετοῦς χρόνου παραῤῥυέντος, μετασχέτω τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήτω· ἐὰν μέντοι καὶ ὁ ἄλλος αὐτοῦ βίος ἐπιτηρούμενος οὐκ ἀπείργῃ τοῦτον τῆς θείας μεταλήψεως.

## Κανὼν Ι'.

Διάκονοι, ὅσοι καθίστανται (1), παρ' αὐτὴν τὴν κατάστασιν εἰ ἐμαρτύραντο (2) καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι οὕτω μένειν (3), οὗτοι μετὰ ταῦτα γαμή-

(1) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. — καθιστάμενοι Βευερ. — (2) Π Βρ. Ἑ. Κ. — εἰ ἐμαρτυρήσαντο Χ. Τρ. — εἰ διεμαρτύραντο Βευερ. — (3) διαμένειν Χ. Τρ.

σαντες, ἔστωσαν ἐν τῇ ὑπηρεσίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοῖς ὑπὸ τοῦ ἐπισκόπου. Τοῦτο δὲ, εἴ τινες σιωπήσαντες (1), καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕτω, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

—

ΖΩΝΑΡ. Φησὶν ὁ κανὼν οὗτος, ὅτι ὅσοι ἐν τῷ καθίστασθαι εἰς διακονίαν, ἤγουν ἐν τῷ μέλλειν χειροτονεῖσθαι διεμαρτύραντο, ἀντὶ τοῦ, φανερῶς εἶπον ὡς ἐπὶ μάρτυσιν, ὡς ἀναγκαῖόν ἐστιν αὐτοῖς εἰς γάμον ἐλθεῖν, μὴ δυναμένοις παρθενεύειν, οὗτοι μετὰ τὴν χειροτονίαν εἰς γάμον ἐλθόντες μενέτωσαν ἐν τῇ ὑπηρεσίᾳ, ἤτοι τῇ διακονίᾳ· δοκοῦσι γὰρ ἐπιτραπῆναι τὸ μετὰ τὴν χειροτονίαν ἐλθεῖν εἰς γάμον ὑπὸ τοῦ ἐπισκόπου. Εἰ δέ τινες σιωπήσαντες ἐν τῷ μέλλειν χειροτονεῖσθαι, καὶ καταδεξάμενοι διὰ τῆς σιωπῆς ἄγαμοι μένειν, (κἀνταῦθα γὰρ ἡ σιωπὴ συγκατάθεσιν δηλοῖ), μετὰ τὴν χειροτονίαν ἔγημαν,* τοὺς τοιούτους* (2) πεπαῦσθαι τῆς διακονίας, ὁρίζει. Ταῦτα μὲν τὰ τοῦ παρόντος κανόνος. Ὁ δὲ εἰκοστὸς ἕκτος τῶν ἁγίων Ἀποστόλων κανὼν, μόνοις ἀναγνώσταις, καὶ ψάλταις ἐνδίδωσι, μετὰ τὸ εἰς κλῆρον καταταγῆναι, γαμεῖν. Καὶ ὁ ἕκτος τῆς ἕκτης συνόδου κανὼν τῷ ἀποστολικῷ κανόνι ἑπόμενος, ἀπαγορεύει παντὶ πρεσβυτέρῳ καὶ διακόνῳ καὶ ὑποδιακόνῳ (3) μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ τοὺς μὴ τὸν κανόνα φυλάττοντας, καθαιρεῖσθαι κελεύει· πρὸ δὲ τῆς χειροτονίας τοὺς εἰρημένους θεσπίζει συναλλάττειν γάμον, εἰ βούλοιντο. Ἐναντίων οὖν προδήλως τῶν κανόνων τούτων ὄντων, ὁ τῆς ἕκτης συνόδου κρατεῖν ὀφείλει, ὡς μεταγενέστερος, καὶ τῷ ἀποστολικῷ συμφωνῶν κανόνι· οὐ γάρ ποτε πρεσβύτερος ἢ διάκονος, μετὰ τὴν χειροτονίαν γυναῖκα λαβὼν, ἐν τῇ οἰκείᾳ ἔσται ἐπιτιμίᾳ, ἢ ἱερουργεῖν παραχωρηθήσεται.

ΒΑΛΣ. Τῷ κανόνι τούτῳ μὴ προσχῇς, διοριζομένῳ τοὺς διακόνους μετὰ τὸ χειροτονηθῆναι συνάπτεσθαι γυναιξὶν, ὅτι ἐν

(1) Χ. Τρ. Π. Βρ. Ἑ. Κ. — παρασιωπήσαντες Βευερ. — (2) Χ. Τρ. — (3) τὸ, καὶ ὑποδιακόνῳ οὐ κεῖται ἐν Χ. Τρ.

τῷ χειροτονεῖσθαι διεμαρτύραντο, τουτέστιν εἶπον πρὸς τοὺς ἐπισκόπους αὐτῶν ἀναγκαῖον εἶναι αὐτοῖς εἰς γάμον ἐλθεῖν, καὶ οἱονεὶ ἔλαβον τὸ ἐνδόσιμον. Εἴτε γὰρ προανεφώνησαν τὰ περὶ τούτου, εἴτε ἐσιώπησαν χειροτονούμενοι, οὐ παραχωρηθήσονται μετὰ τὴν χειροτονίαν γυναικὶ συζευχθῆναι· ὅτι ὁ ϛ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται καθαιρεῖσθαι τοὺς μετὰ τὴν χειροτονίαν γάμους συναλλάττοντας πρεσβυτέρους, διακόνους, καὶ ὑποδιακόνους· τὸ δὲ ἀκανόνιστον, οὔτε ἀπὸ ἐπιτροπῆς ἐπισκοπικῆς, οὔτε ἀπὸ μόνου τοῦ σιωπῆσαι ἐκχωρηθήσεται, ὡς ἀνυπόστατον. Ἀνάγνωθι καὶ τὴν γ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λέγουσαν, ὡς εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου εἶχον ἄδειαν οἱ ἱερωμένοι ἐντὸς διετίας ψηφιζομένης μετὰ τὴν χειροτονίαν λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ καὶ τοῦτο, ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, οὐκ ὀφείλει κρατεῖν.

**ΑΡΙΣΤ.** Ὁ μέλλων διάκονος χειροτονεῖσθαι, εἰ προεμαρτύρατο τῷ ἐπισκόπῳ μὴ δύνασθαι καρτερεῖν ἄγαμον, γαμήσας ἔστω διάκονος· εἰ δὲ σιωπήσας ἔγημεν ὕστερον, ἀποβαλλέσθω.

Οὗτος ὁ κανὼν διαγορεύει τὸν πρὸ τῆς χειροτονίας προμαρτυράμενον τῷ ἐπισκόπῳ, μὴ δύνασθαι παρθενεύειν, ἀλλ' εἰς γάμου βούλεσθαι κοινωνίαν ἐλθεῖν, μὴ κωλύεσθαι καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ μένειν ἐπὶ τῆς αὐτῆς αὖθις ὑπηρεσίας τε καὶ τιμῆς. Τὸν δὲ σιωπήσαντα καὶ καταδεξάμενον ἐν τῇ χειροτονίᾳ ἄγαμον μένειν, τῆς διακονίας πεπαῦσθαι, εἴπερ μετὰ τοῦτο γάμου νόμῳ γυναικὶ συναφθῇ. Πλὴν τῷ παρόντι κανόνι ἀντίκειται ὁ ἕκτος κανὼν τῆς ἕκτης συνόδου, μὴ παραχωρῶν ὅλως τῷ προελθόντι ἀγάμῳ εἰς ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου βαθμὸν, μετὰ τὴν χειροτονίαν γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον· ἀλλὰ τὸν τοῦτο τολμήσαντα ποιῆσαι, διαταττόμενος καθαιρεῖσθαι· καὶ κρατεῖ ὁ κανὼν ἐκεῖνος, καὶ οὗτος ἤργησεν.

## Κανὼν ΙΑ'.

**Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπὸ ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΖΩΝΑΡ. Καὶ ὁ μέγας Βασίλειος, ἐν εἰκοστῷ δευτέρῳ κανόνι αὐτοῦ, τὸν ἐξ ἁρπαγῆς ἔχοντα γυναῖκα, μὴ πρότερον παραδέχεσθαι εἰς μετάνοιαν βούλεται, εἰ μὴ ἀφαιρεθῇ ἐξ αὐτοῦ ἡ ἁρπαγεῖσα, καὶ τῷ μνηστευσαμένῳ αὐτὴν δοθῇ, εἰ τέως βούλοιτο λαβεῖν αὐτήν. Οὕτω καὶ τὸν κανόνα τοῦτον νοητέον λέγειν τὸ ἀποδίδεσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις αὐτάς· εἰ αἱροῖντο δηλονότι λαβεῖν αὐτάς· ἄκοντες γὰρ οὐκ ἀναγκασθήσονται.

ΒΑΛΣ. Περὶ τῶν ἁρπαζόντων κόρας οἱασδήτινας, τὰ εἰκότα διελήφθη ἐν τῷ λ'. κεφ. τοῦ θ'. τίτλ. τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τοῦτο. Ὡσαύτως ἀνάγνωθι καὶ τὸν ϟβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν νή. ὅλον τίτλον τοῦ ξ'. βιβλίου. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ἀποδίδοσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις, μὴ εἴπῃς ἀναγκάζεσθαι τούτους ταύτας λαβεῖν, ἀλλὰ θέλειν (1) καὶ ζητεῖν αὐτοὺς αὐτάς. Τοῦτο γὰρ καὶ ἐπὶ μοιχαλίδων γυναικῶν εἴρηται ἐν βιβλίῳ κή τίτ. ζ'. κεφ. ά. ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος ριζ'. Εἰ δὲ θέλεις εἰπεῖν, καὶ ἄκοντας λαμβάνειν αὐτὰς τοὺς μνηστῆρας, ἑρμήνευσον τὸν κανόνα κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, ἣν καὶ ἀνάγνωθι περὶ τὰς ἀρχάς· πρὸς δὲ καὶ τὰ εἰς ἑρμηνείαν τῆς αὐτῆς ἐπιστολῆς γραφέντα, ἀλλὰ καὶ τὸν κϐ'. κανόνα τοῦ ἁγίου Βασιλείου οὕτως ἑρμήνευσον.

ΑΡΙΣΤ. Εἰ ἐμνηστεύθη κόρη, ἡρπάγη δὲ παρ' ἄλλου, τῷ προτέρῳ ἀποκαθίσταται.

Ὁ μὲν κανὼν οὗτος, τὴν μνηστευθεῖσάν τινι κόρην, καὶ μετὰ ταῦτα ὑφ' ἑτέρου ἁρπαγεῖσαν, προστάττει ἀποκαθίστασθαι τῷ προτέρῳ μνηστῆρι, κἂν ὑπὸ τοῦ ἁρπάσαντος αὐτὴν ἡ παρθένος ἐφθάρη. Ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν μεγάλαις ποιναῖς ὑποβάλλει τὸν ἁρπαγὴν ποιησάμενον γυναικός, καὶ τὸν βοηθήσαντα αὐτῷ ἐν τῇ ἁρπαγῇ, καὶ τοὺς ἄλλους τοὺς οἱανδήποτε σπουδὴν τούτῳ εἰσενεγκόντας. Καὶ οὐδὲ συγχωρεῖ, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνή, κἂν οἱ γονεῖς αὐτῆς, τῷ

(1) καὶ θέλειν Χ. Τρ.

ἁρπάσαντι συναφθῆναι πρὸς γάμον· ἀλλὰ καὶ εἰ συναινέσουσιν οἱ γονεῖς τῷ τοιούτῳ συνοικεσίῳ, περιορίζονται.

## Κανὼν ΙΒ'.

Τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι, ὡς ἀπολουσαμένους.

—

ΖΩΝΑΡ. Τὸ παλαιὸν, τὸ μὲν κήρυγμα ἐδέχοντο οἱ πλείους, καὶ ἐπίστευον τῷ Χριστῷ, βαπτίζεσθαι δὲ ὑπερετίθεντο. Διὸ καὶ ὁ Θεολόγος Γρηγόριος, καὶ ὁ μέγας Βασίλειος, τοὺς εἰς τὸ ἅγιον βάπτισμα προτρεπτικοὺς συνεγράψαντο λόγους. Ἦσαν οὖν ἐν τοῖς καιροῖς τῶν διωγμῶν τοιοῦτοι πολλοὶ, Χριστιανοὶ μὲν ὄντες, μήπω δὲ βαπτισθέντες. Φησὶν οὖν περὶ τούτων ὁ κανὼν, ὅτι, ἐάν τινες ἔθυσαν κατασχεθέντες ὡς Χριστιανοὶ, ἀφώτιστοι δὲ ὄντες μετὰ ταῦτα ἐβαπτίσθησαν, οὐδὲν αὐτοὺς κωλύει τὸ θῦσαι εἰς τὸ προαχθῆναι εἰς τάξιν, τουτέστιν εἰς ἱερωσύνης βαθμόν· τὸ γὰρ ἅγιον βάπτισμα, ἅπαντα τὰ πρῴην μολύσματα ἀπολοῦσαι καὶ ἐκκαθᾶραι πιστεύεται, ὁποῖα ἂν εἶεν.

ΒΑΛΣ. Τινὲς ἄπιστοι τὸ μὲν κήρυγμα ἐδέχοντο, καὶ ἐπίστευον τῷ Χριστῷ· βαπτίζεσθαι δὲ ὑπερετίθεντο. Ἐπεὶ οὖν οὗτοι κατὰ τοὺς λοιποὺς ἀπίστους θύσαντες ἠξίουν, μετὰ τὸ βαπτισθῆναι ἱερωθῆναι, καὶ οὐ παρεχωροῦντο, ὡς τινῶν λεγόντων μὴ ὀφείλειν τούτους εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προαναβιβάζεσθαι κατὰ τοὺς προῤῥηθέντας κανόνας, τοὺς ἐπιτιμῶντας τοὺς θύσαντας τοῖς εἰδώλοις· διωρίσαντο οἱ Πατέρες, τούτους εἰς ἱερωσύνην προάγεσθαι, ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπολουσαμένους καὶ καθαρισθέντας ἀπὸ παντὸς ῥύπου ἁμαρτίας. Ἐρωτήσει δέ τις, καὶ τίνος χάριν, τούτους μὲν ἑκοντὶ καὶ μὴ κατὰ βίαν θύσαντας δεχόμεθα καὶ βαπτίζομεν, καὶ τῷ κλήρῳ συντάττομεν (1), τοὺς δὲ Χριστιανοὺς κατὰ βίαν θύσαντας, οὐ μόνον ἱερωσύνης οὐκ ἀξιοῦμεν, ἀλλὰ καὶ ἐπιτιμίοις καθυποβάλλομεν, ὡς προείρηται; Λύσις. Ἐκεῖνοι μὲν Χριστιανοὶ ὄντες, καὶ

(1) συνάπτομεν Έ.

τὰς βασάνους μὴ ἀναμείναντες, ἀλλὰ θύσαντες, ἀρνησίθεοι γεγόνασι, καὶ ὡς τὰ ἔσχατα ἐπταικότες, εἰς ἱερωσύνην οὐ παραδέχονται, ἀλλὰ καὶ ἐπιτιμῶνται· οὗτοι δὲ, ἐκ γενετῆς ὄντες ἄπιστοι, καὶ πρὸ τοῦ θείου βαπτίσματος θύσαντες, οὐκ ἠρνήσαντο τὸν Θεόν· πῶς γὰρ, ὃν ἔτι οὐ παρεδέξαντο, διὰ τὸ μηδὲ βαπτισθῆναι; καὶ κατὰ τοῦτο οὐδὲ ἥμαρτον ποιήσαντες κατὰ τὴν οἰκείαν θρησκείαν· κἀντεῦθεν καὶ προσερχόμενοι τῇ ἐκκλησίᾳ δέχονται ὡς ἄπιστοι. Καὶ ἐπεὶ οἱ τοιοῦτοι βαπτιζόμενοι καὶ ἱερωσύνης ἀξιοῦνται, μετὰ δοκιμασίας ἐπισκοπικῆς, οὐδὲ αὐτοὶ κωλυθήσονται ἱερωθῆναι, ἀλλὰ γενήσεται καὶ ἐπὶ τούτοις πάντα τὰ τοῖς θείοις Πατράσι διωρισμένα χάριν τῶν ἐξ ἀπίστων βαπτισθέντων καὶ θελόντων ἱερωθῆναι.

## *Ἑτέρα ἑρμηνεία.*

Τῷ παρόντι κανόνι χρησάμενος (1) ὁ ἁγιώτατος ἐκεῖνος παπατριάρχης κυρὸς Πολύευκτος, πρῶτον μὲν ἐξώθησεν ἐκ τῶν ἱερῶν περιβόλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τὸν βασιλέα κυρὸν Ἰωάννην τὸν Τσιμισκὴν, ὡς φονεύσαντα τὸν βασιλέα κύριον Νικηφόρον τὸν Φωκᾶν (2)· ὕστερον δὲ ἐδέξατο. Εἶπε γὰρ μετὰ τῆς ἁγίας συνόδου ἐν τῇ γενομένῃ τηνικαῦτα συνοδικῇ πράξει, τῇ ἐν τῷ χαρτοφυλακείῳ ἀποκειμένῃ, ὡς, ἐπεὶ τὸ χρίσμα τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου (3) ἁμαρτήματα ἀπαλείφει, οἷα καὶ ὅσα ἂν ὦσι (4), πάντως καὶ τὸ χρίσμα τῆς βασιλείας τὸν πρὸ ταύτης γεγονότα φόνον παρὰ τοῦ Τσιμισκῆ ἐξήλειψεν. Ἀκολούθως οὖν τῇ τοιαύτῃ πράξει, λέγουσιν ὅσοι μᾶλλόν εἰσι συμπαθέστεροι καὶ τὸν τοῦ Θεοῦ ἔλεον τῆς κρίσεως προαρπάζουσι, διὰ τοῦ χρίσματος τῆς ἀρχιερωσύνης τὰ πρὸ ταύτης ἀπολείφεσθαι ἁμαρτήματα, καὶ διενίσανται* καλῶς περὶ*(5) τῶν πρὸ τῆς ἀρχιερωσύνης ψυχικῶν μολυσμάτων τοὺς ἀρχιερεῖς μὴ εὐθύνεσθαι· ὡς γὰρ οἱ βασιλεῖς Χριστοὶ Κυρίου κέκληνται (6) καὶ εἰσὶν,

---

(1) ἐν Χ. Τρ. ἡ β'. ἑρμηνεία συνέχεται μετὰ τῆς, πρώτης οὕτω: Χάριν τῶν ἐξ ἀπίστων βαπτισθέντων καὶ θελόντων ἱερωθῆναι, τῷ γὰρ τοιούτῳ κανόνι χρησάμενος κτλ. παρὰ δὲ Ἑ. οὐ κεῖται ὅλως.—(2) τὸν βασιλέα τὸν φωκᾶν Χ. Τρ.—(3) τὰ πρὸ τοῦ βαπτίσματος Χ. Τρ.—(4) κἂν καὶ οἷα καὶ ὅσα ὦσιν ἀπαλείφει Χ. Τρ. —(5) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. — (6) Χ. Τρ. — λέγονται Βευερ.

οὕτω καὶ οἱ ἀρχιερεῖς εἰσί τε καὶ ὀνομάζονται. Κατασκευάζουσι (1) δὲ τὸν οἰκεῖον λόγον καὶ ἀπὸ τοῦ εἶναι τῆς αὐτῆς δυνάμεως (2) τὰς ἀναγινωσκομένας εὐχὰς, ὅτε στέφονται οἱ βασιλεῖς, καὶ ὅτε χειροτονοῦνται οἱ ἀρχιερεῖς. Ἀντὶ δὲ τοῦ χριομένου ἐλαίου τοῖς βασιλεῦσι καὶ τοῖς ἀρχιερεῦσι, κατὰ τὸν παλαιὸν νόμον, εἶπον ἀρκεῖν τοῖς ἀρχιερεῦσι τὸν ἐπικείμενον ζυγὸν τοῦ εὐαγγελίου τῷ τραχήλῳ αὐτῶν, καὶ τὴν (3) δι᾽ ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος σφραγῖδα τοῦ χειροτονοῦντος. Εἰς συγκρότησιν (4) δὲ τούτων πάντων ἀναντίῤῥητον, χρῶνται καὶ τῷ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου λόγῳ,* τῷ γραφέντι μετὰ τὴν οἰκείαν χειροτονίαν πρὸς τὸν πατέρα αὐτοῦ*(5), οὗ ἡ ἀρχή· Πάλιν ἐπ᾽ ἐμὲ χρίσμα καὶ πνεῦμα· καὶ μάθῃς ὅτι οὐδὲν ἧττον ἀξιοῦται τῆς τοῦ παναγίου Πνεύματος χάριτος ὁ ἀναξίως χειροτονηθεὶς, καὶ ἐν καθαρότητι τὸν μετὰ τὴν χειροτονίαν βίον ἀνύσας, τοῦ ἀξίως χειροτονηθέντος, καὶ μετὰ τῆς αὐτῆς καθαρότητος τὸν ἐν ἡμῖν βίον ἀπολιπόντος. Ταῦτα περὶ ἀρχιερέων· περὶ γὰρ ἱερέων καὶ ἑτέρων κληρικῶν, ζήτει συνόδου Νικαίας κανόνα ιθ', συνόδου Νεοκαισαρείας κανόνα θ'. ιά. Βασιλείου κανόνα κζ', καὶ Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανόνα δ'. ἑ. ή. καὶ σημείωσαι ἀπὸ πάντων (6), ὅτι ἡ μὲν χειροτονία τῶν ἀρχιερέων καὶ τὸ χρίσμα τῶν βασιλέων ἀπαλείφουσι τὰ πρὸ τῆς χειροτονίας καὶ τοῦ χρίσματος ἁμαρτήματα, οἷα ἂν ὦσι. Διὰ γὰρ τοῦτο καὶ ἐξουσίαν ἔχουσιν οἱ ἐπίσκοποι ἀφιέναι ἁμαρτήματα, ὡς ἀκούσαντες ἅμα τῷ χειροτονηθῆναι, Ὅσα δήσετε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα λύσετε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ. Ἡ δὲ χειροτονία τῶν ἱερέων καὶ τῶν ἑτέρων ἱερωμένων (7) μικρὰ ἁμαρτήματα ἀπαλείφει, συγκατάθεσιν, φημὶ, καὶ ψεῦδος, καὶ ἕτερα τοιαῦτα (8), μὴ ἐπάγοντα καθαίρεσιν· πορνείαν δὲ οὐχί· ὅθεν οὐδὲ ἀφιέναι ἁμαρτίας οἱ ἱερεῖς δύνανται· καὶ ἀνά-

(1) κατασκευάζονται. Βευερ. — (2) Χ. Τρ. — παρὰ δὲ Βευερ. τὸ, τῆς αὐτῆς δυνάμεως ἕπεται μετὰ τὸ, οἱ βασιλεῖς. — (3) Χ. Τρ. — τὸ τὴν, οὐ κεῖται παρὰ Βευερ. — (4) Χ. Τρ. — εἰς σύστασιν Βευερ. — (5) τὰ μεταξὺ τῶν ἐν Χ. Τρ. μόνον κεῖται. — (6) Χ. Τρ. — ἐκ τούτων Βευερ. — (7) Χ. Τρ. — ἡ δὲ τῶν ἱερέων καὶ τῶν λοιπῶν χειροτονία Βευερ. — (8) Χ. Τρ. — οἷον συγκατάθεσιν, ψεῦδος καὶ τὰ τοιαῦτα. Βευερ.

γνωθι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα θ'. τὰ αὐτὰ περὶ ἱερέων λέγοντα. Μὴ ἐναντιωθῇ δέ σοι ὁ ιζ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, λέγων· Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν χρησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου, μηδὲ ὁ ιη'. κανὼν, τὰ αὐτὰ σχεδὸν διοριζόμενος. Ἀλλ' ἐκλαβοῦ τὸ εἶναι εἰς τὸ γενέσθαι, καὶ εἰπὲ, ὅτι (1) οὐδεὶς οὕτως ὀλισθήσας ἀξιωθήσεται ἐπισκοπικοῦ ἢ ἱερατικοῦ ἀξιώματος· ἀξιωθεὶς δὲ παρὰ τὰ δεδογμένα, εἰ μέν ἐστιν ἐπίσκοπος, οὐκ ἀνακριθήσεται διὰ τὰς ῥηθείσας αἰτίας· καὶ ὅτι (2) οἱ ἀρχιερεῖς, ἅμα τῷ χειροτονηθῆναι, οὐ μόνον ἀποστολικοῦ χαρίσματος ἀξιοῦνται, ἀλλὰ καὶ προφητικοῦ. Οὕτω γὰρ καὶ Σαοὺλ ἐν προφήταις, καὶ Καϊάφας ἄκων προεφήτευσεν *εἰπὼν περὶ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ*· Συμφέρει ἕνα ἀπολέσθαι ὑπὲρ παντὸς τοῦ λαοῦ* (3). Ἦν γὰρ, φησὶν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Εἰ δὲ ἱερεύς ἐστιν, ἢ ἕτερος ἱερωμένος, καθαιρεθήσεται. Ἀνάγνωθι καὶ τὸ κθ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ εὑρήσεις ἐν αὐτῷ νόμους διαφόρους πολλὰ περὶ ἱερέων καὶ ἑτέρων ἱερωμένων διαλαμβάνοντας, ἐπισκόπων δὲ ὅλως μνείαν μὴ ποιουμένους.

ΑΡΙΣΤ. Ὁ πρὸ τοῦ βαπτίσματος θύσας, ἀνεύθυνος μετὰ τὸ βάπτισμα.

Ἐπεὶ τὸ ἅγιον βάπτισμα πάντα ῥύπον ψυχικὸν ἀποπλύνει, εἰκότως ὁ πρὸ τοῦ βαπτίσματος θύσας, μετὰ τὸ βάπτισμα ἔσται ἀνεύθυνος, καὶ εἰς ἱερατικὸν βαθμὸν προαχθήσεται, εἴπερ ὁ μετὰ ταῦτα βίος αὐτοῦ εὑρεθῇ ἀνεπίληπτος.

## Κανὼν ΙΓ'.

Χωρεπισκόποις (4) μὴ ἐξεῖναι πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν, ἀλλὰ μὴν (5) μηδὲ πρεσβυτέρους πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι ὑπὸ τοῦ ἐπισκόπου μετὰ γραμμάτων, ἐν ἑτέρᾳ παροικίᾳ.

---

(1) (2) Χ. Τρ. — τὸ, ὅτι, οὐ κεῖται παρὰ Βευερ. — (3) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. — (4) Π. Χ. Τρ. — χωρεπισκόπους Ἑ. Κ. Βρ. Βευερ. — (5) Π. Βευερ. — ἀλλὰ μηδὲ Κ. Ἑ. — ἀλλὰ μὴν μηδὲ πρεσβύτερον Χ. Τρ.

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ι. κανὼν τὰ αὐτὰ περὶ τῶν χωρεπισκόπων (1) ὁρίζει, ἀπαγορεύων αὐτοῖς χειροτονίαν πρεσβυτέρου ἢ διακόνου (2), μόνους δὲ ἐπιτρέπων χειροτονεῖν ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ ἐφορκιστάς· ἄνευ δὲ ἐπιτροπῆς τῶν ἐπισκόπων, οἷς ὑπόκεινται, μὴ ἐξεῖναι αὐτοῖς πρεσβύτερον, ἢ διάκονον χειροτονεῖν, ἀλλὰ μηδὲ πρεσβυτέρους ἐν πόλεσι καθιστᾷν. Εἰ γὰρ ἐν ταῖς χώραις, ἐν αἷς ἐπισκοποῦσιν, οὐ δύνανται χειροτονεῖν τοὺς εἰρημένους, μᾶλλον ἐν πόλεσι τοῦτο ποιεῖν κωλύονται. Τὴν δὲ ἐπιτροπὴν βούλεται ὁ κανὼν διὰ γραμμάτων γίνεσθαι, ἤτοι ἔγγραφον, ἵνα μή τις εἴη περὶ τούτου ἀμφιβολία, τοῦ μὲν χωρεπισκόπου λέγοντος ἐπιτραπῆναι, τοῦ δὲ ἐπισκόπου ἀρνουμένου, ἢ διὰ λήθην, ἢ ἄλλως.

ΒΑΛΣ. Εἰ θέλεις μαθεῖν, τίνες εἰσὶν οἱ χωρεπίσκοποι, καὶ τίνα τὰ τούτων προνόμια, ἀνάγνωθι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ιδ'. τῆς ἐν Ἀντιοχείᾳ κανόνα ι. καὶ τὴν πρὸς τοὺς χωρεπισκόπους ἐπιστολὴν τοῦ ἁγίου Βασιλείου. Διορίζονται δὲ καὶ οἱ τῆς παρούσης συνόδου Πατέρες, μὴ χειροτονεῖν χωρεπίσκοπον πρεσβυτέρους, ἢ διακόνους, χωρὶς ἐγγράφου ἐπιστολῆς τοῦ ἐγχωρίου ἐπισκόπου, ἀλλὰ μηδὲ πρεσβύτερον πόλεως. Περὶ μέντοι τοῦ παρόντος κανόνος ἠθέλομεν γράψαι τινά· ἐπεὶ δὲ ὁ τῶν χωρεπισκόπων βαθμὸς παντελῶς ἠπράκτησεν, οὐδὲ ἡμεῖς ματαιοπονῆσαι ἠθελήσαμεν.

ΑΡΙΣΤ. Χωρεπίσκοπος οὐ χειροτονεῖ ἄνευ ἐπιτροπῆς ἐπισκόπου.

Ὁ μὲν κανὼν οὗτος ἀδιαστίκτως τοὺς χωρεπισκόπους κωλύει χειροτονεῖν ἄνευ ἐπιτροπῆς ἐπισκόπου. Ὁ δὲ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου συγχωρεῖ αὐτοῖς μόνον ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς καθιστᾷν, μὴ μέντοι γε πρεσβύτερον, ἢ διάκονον χειροτονεῖν τολμᾷν, δίχα γνώμης τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾗ ὑπόκειται αὐτός τε, καὶ ἡ χώρα. Ὁ δὲ μέγας Βασίλειος, εὑρὼν ἀνεξετάστως γινομένους τοὺς ὑπηρέτας τῆς ἐκκλησίας παρὰ τῶν χωρεπισκόπων, πολλάκις δὲ καὶ παρὰ

(1) Βευερ. Κ. — περὶ τῶν ἐπισκόπων Χ. Τρ. — (2) Βευερ. Κ. — Χειροτονεῖν πρεσβυτέρους διακόνους Χ. Τρ.

τῶν πρεσβυτέρων καὶ διακόνων εἰσαγομένους, κατ᾽ ἐπιτροπὴν τῶν αὐτῶν ἐπισκόπων· οὐ συγχωρεῖ τοῖς χωρεπισκόποις, ἄνευ γνώμης αὐτοῦ τινα εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν παραδέχεσθαι· ἀλλὰ κατεξετάζεσθαι μὲν τοὺς ἀξίους παρὰ τῶν χωρεπισκόπων καὶ παραδέχεσθαι, μὴ συναριθμεῖν δὲ αὐτοὺς τῷ κλήρῳ, πρὸ τοῦ ἀνενεγκεῖν αὐτῷ τὰ περὶ αὐτῶν. Χωρεπίσκοποι δέ εἰσιν, οἱ σήμερον ἔν τισι κώμαις καὶ χώραις πρωτοπαπάδες λεγόμενοι.

## Κανὼν ΙΔ'.

**Τοὺς ἐν κλήρῳ πρεσβυτέρους ἢ διακόνους ὄντας, ἀπεχομένους (1) κρεῶν, ἔδοξεν ἐφάπτεσθαι, καὶ οὕτως, εἰ βούλοιντο, κρατεῖν ἑαυτῶν· εἰ δὲ μὴ βούλοιντο (2), ὡς μηδὲ τὰ μετὰ κρεῶν βαλλόμενα λάχανα ἐσθίειν, καὶ εἰ μὴ ὑπείκοιεν (3) τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.**

—

ΖΩΝΑΡ. Ἐν πεντηκοστῷ τρίτῳ κανόνι, οἱ ἅγιοι Ἀπόστολοι διετάξαντο, τοὺς μὴ μεταλαμβάνοντας κρεῶν καὶ οἴνου ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους, ὡς βδελυσσομένους αὐτά, καὶ οὐ δι᾽ ἄσκησιν, καθαιρεῖσθαι. Ἐπεὶ δὲ εἰκὸς ἦν τινας βδελυττομένους τὸ κρέας καὶ τὸν οἶνον, ἀπέχεσθαι αὐτῶν, λέγειν δὲ ὅτι δι᾽ ἄσκησιν αὐτῶν ἀπεχόμεθα, ὥρισεν ἡ σύνοδος αὕτη, ἅπτεσθαι τῶν κρεῶν τοὺς ἀπεχομένους αὐτῶν, ἀντὶ τοῦ ἀπογεύεσθαι αὐτῶν, κατά τινας καιροὺς συνάξεων, καὶ οὕτως αὖθις, εἰ βούλοιντο, ἐγκρατεύεσθαι. Εἰ δὲ οὕτω βούλονται ἀπέχεσθαι αὐτῶν, ὡς μηδὲ λάχανα μετὰ κρεῶν ἑψόμενα ἐσθίειν, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως, τουτέστιν ἐξωθεῖσθαι τοῦ βαθμοῦ καὶ τῆς τιμῆς ἐν ᾗ τυγχάνουσιν ὄντες.

ΒΑΛΣ. Τὰ μὲν περιεχόμενα τῷ ἀποστολικῷ νά. κανόνι, χάριν τῶν ἀπεχομένων γάμου, οἴνου, καὶ κρεῶν, προηρμηνεύθησαν ἐκεῖσε. Ἐπεὶ δὲ διελήφθη ἐν τῷ τοιούτῳ κανόνι, μὴ κολάζεσθαι τοὺς δι᾽ ἄσκησιν νηστεύοντας, ἀλλὰ τιμωρεῖσθαι τοὺς

(1) Βευερ. Χ. Τρ. — καὶ ἀπεχομένους Π. Βρ. Κ. Ἑ. — (2) Π. — εἰ δὲ μηδὲ βούλοιντο Βευερ. — εἰ δὲ βούλοιντο Κ. Ἑ. Βρ. — (3) Π. Βρ. Κ. Ἑ. — καὶ μηδὲ ὑπείκοιεν Βευερ. — καὶ ὑπείκοιεν Χ. Τρ.

βλασφημοῦντας κατὰ τῶν οἰκονομιῶν τοῦ Θεοῦ. Εἰκὸς δὲ ἦν (1) εἰπεῖν τινας, καὶ πόθεν ἀναφανήσονται οἱ διὰ ἀγαθὸν τρόπον, καὶ οἱ διὰ φαῦλον νηστεύοντες; οἱ τῆς παρούσης συνόδου Πατέρες εὐμαρῶς καὶ τοῦτο διηυλήτωσαν· ἔφασαν γὰρ, ὡς, εἰ βούλονται οἱ νηστεύοντες ἅπαν σκάνδαλον περιαιρῆσαι, ἐφαπτέσθωσαν μόνον τῶν κρεῶν, καὶ πάλιν νηστευέτωσαν, εἰ αἱροῦνται· εἰ δὲ τοῦτο οὐ ποιοῦσιν, ἀλλ' οὐδὲ τὰ λάχανα τὰ μετὰ τῶν κρεῶν βαλλόμενα ἐσθίουσιν, ἀναγκαζόμενοι πάντως παρὰ τοῦ ἐπισκόπου ἐκ προσαγγελίας τινῶν (2), καταλαμβάνονται διὰ τρόπον οὐκ ἀγαθὸν ἀπέχεσθαι τῶν κρεῶν, καὶ καθαιρείσθωσαν, ὡς μὴ τῷ κανόνι ὑποτασσόμενοι. Καλῶς δὲ ἐκεῖσε μὲν ὁ κανὼν εἶπεν,· ἢ παύεσθαι, ἢ καθαιρεῖσθαι ταύτους· ἐνταῦθα δὲ παύεσθαι τῆς τάξεως οἱ Πατέρες διωρίσαντο. Ἔτι γὰρ τοῦ ἀμφιβόλου μὴ λυθέντος, ὤφειλε πάντως ὁ αἰτιώμενος παρεγγυηθῆναι περιαιρῆσαι διὰ τοῦ κρεωφαγῆσαι τὸ σκάνδαλον, καὶ οὕτω κατακριθῆναι. Ἐνταῦθα δὲ τῆς ὑποψίας περιαιρουμένης διὰ τῆς ὑποτυπωθείσης οἰκονομίας παρὰ τῶν Πατέρων, ἐξ ἀνάγκης ὁ μὴ κατὰ ταύτην ποιῶν καθαιρεῖται ἀπεντεῦθεν. Ἐπεὶ δὲ πρεσβυτέρων καὶ διακόνων μόνων ἐμνήσθη ὁ παρὼν κανὼν, ὁ δὲ ῥηθεὶς ἀποστολικὸς κανὼν πάντων τῶν ἀνθρώπων μέμνηται, ὀφείλεις καὶ σὺ τὰ ἐνταῦθα διορισθέντα εἰς πάντας ἐλκύσαι. Ὡς ἔοικεν οὖν, καὶ οἱ αἰτιώμενοι διὰ βωγομιλικὴν αἵρεσιν, ἀκολούθως τῷ παρόντι κανόνι, ἀναγκάζονται κρεωφαγῆσαι ἢ τυροφαγῆσαι, καὶ περιαιρῆσαι τὴν ὑποψίαν τῆς βωγομιλικῆς νηστείας. Ἀλλὰ καὶ οἱ πλείους τῶν εὐλαβεστέρων μοναχῶν, μὴ θέλοντες καταλῦσαι εἰς ἰχθύας διὰ τὸ τῆς ἁγίας Τεσσαρακοστῆς αἰδέσιμον, κατὰ τοῦτον δῆθεν τὸν κανόνα, τούτων μὲν ἀπέχονται, ἐσθίουσι δὲ τὰ ἀποβράσματα αὐτῶν, καὶ τὰ σὺν αὐτοῖς ἑψόμενα λάχανα. Καὶ τὸ μὲν οὕτω γινόμενον εἰς τοὺς κατηγορουμένους διὰ βωγομιλικὴν αἵρεσιν, καλῶς εἴποι τις γίνεσθαι· ὥσπερ καὶ ἀπογεύσασθαί τινα κρέατος ἢ τυροῦ εἰς τὰς ἑβδομάδας, καθ' ἃς Ἀρμένιοι, ἢ ἄλλοι αἱρετικοὶ νηστεύουσι (3)·

(1) Χ. Τρ. — εἰκὸς δὲ εἰπεῖν Ἑ. Βευερ. — (2) Βευερ. — ἐκ προσαγγελιῶν. Ἑλ. — ἐκ προσαγγελίας τινῶν Χ. Τρ. — (3) Χ. Τρ. Βευερ. — ἢ ἕτεροι αἱρετικοὶ Ἑ.

καὶ μᾶλλον ὅταν εἰς ὕποπτον χώραν διάγῃ· ποιεῖ γὰρ τοῦτο, ἵνα μὴ λογισθῇ συννηστεύειν τοῖς αἱρετικοῖς. Τὸ δὲ γινόμενον παρὰ τῶν νηστευόντων ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς, καὶ καταλυόντων, ὡς εἴρηται, οὐ δοκεῖ μοι ἀκατάγνωστον· ἔδει γὰρ τοὺς νηστεύοντας μὴ καταλύειν ἐν τοῖς τοιούτοις, καὶ ἀτιμάζειν τὴν νηστείαν. Ὁ δὲ κανὼν εἶπε τὸ ἐσθίειν τοιαῦτα λάχανα, οὐχ ὡς προτρέπων ἀπέχεσθαι μὲν τῶν κρεῶν, τὰ δ' ἐν αὐτοῖς λάχανα ἐσθίειν, ἀλλ' ὡς μισῶν τοὺς διὰ βδελυρίαν καὶ ἀποστροφὴν τῶν κρεῶν ἀποτασσομένους καὶ αὐτοῖς τοῖς λαχάνοις τοῖς μετὰ τῶν κρεῶν ἑψομένοις· ὥστε πανταχοῦ (1) ἡ διάθεσις σκοπεῖται τοῦ καταλύοντος καὶ μὴ καταλύοντος. Οἱ δὲ Λατῖνοι μοναχοὶ, τῶν μὲν κρεῶν ἀπεχόμενοι, τὸ δὲ στέαρ τούτων ἀδιαφόρως μετὰ λαχάνων ἐσθίοντες, οὐ δοκοῦσί μοι ποιεῖν κατὰ τὸν παρόντα κανόνα· οὐ γὰρ, ἵνα μὴ αἰτιαθῶσιν ὡς ἀπεχόμενοι τῶν κρεῶν, καταλύουσιν εἰς τὸ στέαρ, ἀλλ' ἵνα τὴν γαστέρα ἐμπλήσωσι, καὶ τὸν φάρυγγα θεραπεύσωσιν.

ΑΡΙΣΤ. Ἱερατικὸς, κρεῶν ἀπεχόμενος, γευσάμενος μόνον, οὕτως ἀπεχέσθω· εἰ δὲ μηδὲ τῶν μετὰ κρέατος γεύοιτο λαχάνων, πεπαύσθω.

Ὁ ἀπεχόμενος κρεῶν πρεσβύτερος, ἢ διάκονος, ἀπογευσάσθω. Εἰ δὲ οὐ πείθεται, ὡς μηδὲ τῶν λαχάνων τῶν μετὰ κρέατος γεύσασθαι, καθαιρείσθω, ὡς τὴν τοῦ Θεοῦ ἀποδοκιμάζων δημιουργίαν, καὶ διαβάλλων αὐτήν· καὶ ζήτει καὶ τῶν ἁγίων Ἀποςόλων καν. νά.

## Κανὼν ΙΕ'.

**Περὶ τῶν διαφερόντων τῷ Κυριακῷ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι(2) τὸ Κυριακόν. Ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴπερ προσήκει ἀπολαβεῖν τὴν τιμὴν, εἴτε καὶ μὴ, διὰ τὸ πολλάκις τὴν πρόσοδον(3) τῶν πεπραμένων ἀποδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν.**

—

ΖΩΝΑΡ. Ἐὰν, μὴ ὄντος ἐπισκόπου, ἐκποιήσωνταί τινα τῶν διαφερόντων ἀκινήτων τῇ ἐκκλησίᾳ οἱ τοῦ κλήρου, διά τινα ἴσως

(1) Βευερ. Χ. Τρ. — πάντως Ἑ. — (2) ἀναβαλλεῖσθαι Βρ. — (3) Χ. Τρ. Βευερ. — τὴν εἴσοδον Π. Βρ. Ἑ. Κ.

κατεπείγουσαν χρείαν· (διὰ γὰρ τῶν πρεσβυτέρων τὸν κλῆρον ᾐνίξατο ὁ κανὼν, μνησθεὶς αὐτῶν διὰ* (1) τὸ ὑπερέχον τοῦ βαθμοῦ·) ἀνακαλεῖσθαι ταῦτα δύναται ἡ ἐκκλησία, ἤτοι ὁ ἐπίσκοπος, οὗ τῇ κρίσει ἀνατίθησιν ὁ κανὼν δοκιμάσαι, εἰ χρὴ ἀντιστραφῆναι τὸ τίμημα, ἢ μή· ἴσως γὰρ εὐπρόσοδον ὂν τὸ ἀκίνητον περιεποιήσατο τῷ ἀγοραστῇ πλείονα τὴν τιμήν. Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου εἰκοστὸς ἔννατος κανὼν ἀπρόσοδα ἀκίνητα δίδωσιν ἐκποιεῖσθαι, ἀνάγκης ἐπικειμένης, ἀλλὰ καὶ τὰ τοιαῦτα μετὰ διαστίξεως.

ΒΑΛΣ. Ἐν τῷ ιβ'. κανόνι τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, ἱκανῶς διελάβομεν περὶ ἐκποιήσεως ἀκινήτων ἐκκλησιαστικῶν. Οἱ δὲ τῆς παρούσης συνόδου Πατέρες, μαθόντες παρὰ ἱερέων διαπραθῆναι, χηρευούσης τῆς ἐπισκοπῆς, ἀκίνητα ἐπισκοπικὰ, τὰ καὶ Κυριακὰ λεγόμενα (2), ὡς τῷ Κυρίῳ ἀνατεθειμένα, μὴ ἀνεκτὸν τὸ γεγονὸς ἡγησάμενοι, διωρίσαντο ἀνακαλεῖσθαι ταῦτα τὸ Κυριακὸν, ἤγουν τὸν τοῦ Κυρίου λαὸν(3), ὡς τῆς πράσεως οὔσης ἀνυποστάτου, καὶ δι' ἄλλα μὲν πολλὰ, οὐχ ἧττον δὲ καὶ διὰ τὸ χηρεύειν τὴν ἐκκλησίαν ἐπισκόπου κατὰ τὸν τῆς διαπράσεως καιρόν. Ὥσπερ δέ τινος εἰπόντος, τί ἄρα καὶ γενήσεται εἰς τὸ δοθὲν τίμημα παρὰ τοῦ ἀγοραστοῦ; ἀπεφήναντο οἱ Πατέρες, παρὰ τῇ διακρίσει τοῦ ἐπισκόπου τὰ περὶ τούτου εἶναι ἀνατεθειμένα, καὶ αὐτὸς δοκιμάσει, εἰ προσήκει τὸν ἀγοραστὴν λαβεῖν τὸ παρὰ τούτου δοθὲν τίμημα, εἴτε καὶ μή. Εἰ μὲν γὰρ ἀπὸ τῆς εἰσόδου τοῦ διαπραθέντος ἱκανώθη αὐτὸ, ἀναργύρως πρὸς τὴν ἐπισκοπὴν ἀντιστραφήσεται τὸ ἀκίνητον· εἰ δ' οὔ, ἐξ ἀντιδιαστολῆς λάβοι τοῦτο ἀπὸ (4) τοῦ ἐπισκόπου. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἐρωτήσει δέ τις, τίνος χάριν ὁ κανὼν πρεσβυτέρων μόνων ἐμνήσθη, καὶ οὐχὶ καὶ τῶν λοιπῶν κληρικῶν; Λύσις. Διὰ τοῦ ὀνόματος τῶν πρεσβυτέρων τὸν ἅπαντα κλῆρον ᾐνίξατο· μνησθεὶς γὰρ αὐτῶν, ὡς ὑπερεχόντων ἐν τῷ βαθμῷ, ἔδοξε καὶ περὶ τῶν (5) ἄλλων διαλαβεῖν· ἂν γὰρ ἀνατρέπεται ἡ γεγονυῖα πρᾶσις παρὰ τῶν πρε-

(1) Χ. Τρ. — ἄνευ τῆς, διὰ, Βευερ. Κ. — (2) Ἑ. — καὶ τὰ κυριακὰ Βευερ. —(3) ἴσως, ναόν.—(4) παρὰ Βευερ.—(5) Χ. Τρ.—καὶ περὶ ἄλλων, Βευερ. Ἑ.

σβυτέρων, πολλῷ πλέον ἀνατραπήσεται ἡ παρ' ἑτέρων γινομένη κληρικῶν· ὥστε μὴ κατὰ ἀντιδιαστολὴν νοήσῃς, τὴν παρὰ ἄλλων κληρικῶν οὕτω γινομένην πρᾶσιν ἐῤῥωμένην εἶναι. Τῆς δὲ πράσεως ὡς ἀνυποστάτου ἀνατρεπομένης, πῶς οἱ Πατέρες λέγουσι τῆς ἐπισκοπικῆς εἶναι διακρίσεως τὸ ἀντιστραφῆναι τὸ τίμημα, εἴτε καὶ μή; πάντως ὤφειλεν ὁ ἀγοραστὴς μὴ ζητεῖν τὸ τίμημα, κατὰ τὸν καθόλου νομικὸν κανόνα, τὸν λέγοντα, Ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς, ἀγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν. Λύσις. Οὐ διωρίσαντο οἱ Πατέρες, ἐξ ἀνάγκης ἀντιςρέφεσθαι τὸ τίμημα, ὑπεναντίως τῷ ῥηθέντι νόμῳ(1), ἀλλὰ μᾶλλον ὁ ἐπιστατικώτερον ἀναγινώσκων τὸν κανόνα εὑρήσει τούτους ἀρνησαμένους τὴν ἀντιστροφὴν τοῦ τιμήματος. Ἐπεὶ γὰρ παρὰ τῇ ἐπισκοπικῇ διακρίσει τὰ περὶ τούτου ἀνέθεντο κατὰ λόγον συμπαθέστερον, καὶ εἶπον, ὡς ἀληθὴς ἀρχιερεὺς καὶ πρὸς τὸ τῆς ἐκκλησίας ἀποβλέψει ἀζήμιον, καὶ πρὸς τὸ τοῦ ἀγοράσαντος, καὶ ποιήσει τὸ δόξαν αὐτῷ ἀγαθοθελὲς καὶ ἀκατάγνωστον, κἂν μὴ ἀκριβές ἐστιν· ἔδοξαν ἀποφαίνεσθαι μὴ ἔχειν ἐνδύναμον ἀγωγὴν τὸν ἠγορακότα κατὰ τῆς ἐκκλησίας (2), καὶ διὰ τοῦτο ὀφείλειν αὐτὸν παρακαλεῖν καὶ μὴ ἐνάγειν. Ἀνάγνωθι καὶ κεφ. δ'. τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου, τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα κθ'. καὶ τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον κανόνα ιβ'. ὡσαύτως καὶ τὰς ἑρμηνείας τούτων.

ΑΡΙΣΤ. Ἐάν τι τῆς ἐκκλησίας πρεσβύτεροι διαπράσοιεν, ἔστω ἀβέβαιον, καὶ μενέτω τῇ κρίσει τοῦ ἐπισκόπου.

Τελευτήσαντος ἐπισκόπου τὰ τῆς ἐκκλησίας πράγματα ἀμείωτα ὀφείλουσι φυλάττεσθαι παρὰ τῶν κληρικῶν· ἢ, κληρικῶν μὴ ὑπόντων, παρὰ τοῦ μητροπολίτου· ὥστε πάντα ἀποδοθῆναι τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, καὶ μήτε παρὰ τοῦ μητροπολίτου, ἢ τῶν κληρικῶν σφετερίζεσθαί τι, ἢ ἀφαιρεῖσθαι τούτων, μήτε μὴν τὴν χηρεύουσαν ἐκκλησίαν ἐπὶ πολὺ ἀνεπίσκοπον μένειν, ἀλλ' ἐντὸς μηνῶν τριῶν τὰς χειροτονίας τῶν ἐπισκόπων γίνεσθαι, εἰ μήπου τις ἀπαραίτητος ἀνάγκη τὸν και-

(1) κανὼν Βευερ. — (2) τὸ, κατὰ τῆς ἐκκλησίας οὐ κεῖται παρὰ Βευερ.

ρὸν ἐπεκταθῆναι παρασκευάσει. Εἴ τι οὖν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐν τῷ μεταξὺ τοῦ καιροῦ οἱ κληρικοὶ διαπράσωσι, καθ᾽ ὃν ἐπισκόπου ἡ ἐκκλησία χηρεύει, ἔσται ἀβέβαιον, καὶ παρὰ τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου κείσεται, ἢ τὴν πρᾶσιν ἀνατρέψαι, καὶ ἐπαναλαβεῖν τὸ πρᾶγμα, ἢ στέρξαι ταύτην, καὶ ἀπολαβεῖν τὴν τιμήν. Ζήτει τῆς ἐν Καρχηδόνι συνόδου κανόνα κθ΄.

## Κανὼν Ις΄.

Περὶ τῶν ἀλογευσαμένων, ἢ καὶ (1) ἀλογευομένων, ὅσοι πρὶν εἰκοσαετεῖς γενέσθαι, ἥμαρτον, πέντε καὶ δέκα ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν. Ἐξεταζέσθω δὲ αὐτῶν καὶ ὁ ἐν τῇ ὑποπτώσει βίος, καὶ οὕτω τυγχανέτωσαν τῆς φιλανθρωπίας. Εἰ δέ τινες κατακόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν. Ὅσοι δὲ ὑπερβάντες τὴν ἡλικίαν ταύτην, καὶ γυναῖκας ἔχοντες περιπεπτώκασι τῷ ἁμαρτήματι, πέντε καὶ εἴκοσιν ἔτεσιν ὑποπεσόντες, κοινωνίας (2) τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα ἐκτελέσαντες πέντε ἔτη ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, τυγχανέτωσαν τῆς προσφορᾶς. Εἰ δέ τινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὸν πεντηκονταετῆ (3) χρόνον ἥμαρτον, ἐπὶ τῇ ἐξόδῳ τοῦ βίου τυγχανέτωσαν τῆς κοινωνίας.

---

ΖΩΝΑΡ. Τοὺς ζώοις ἀλόγοις συμφθαρέντας, οὐχ ὁμοίως πάντας οἰκονομεῖσθαι ὁ κανὼν διατάττεται· ἀλλὰ διαφορὰς ποιεῖται κατὰ τὰς ἡλικίας αὐτῶν. Τοὺς μὲν γὰρ μήπω τὸν εἰκοστὸν φθάσαντας χρόνον, πεντεκαίδεκα ἔτη βούλεται ὑποπίπτειν· εἶτα ἐν ἄλλοις πέντε ἔτεσι κοινωνεῖν τοῖς πιστοῖς τῶν εὐχῶν, (ἀντὶ τοῦ συνίστασθαι αὐτοῖς καὶ συνεύχεσθαι,) καὶ μετὰ τὰ πέντε ἔτη τῆς συστάσεως, μεταλαμβάνειν καὶ τῶν θείων δωρεῶν. Χρὴ δὲ, φησί, καὶ τὴν διαγωγὴν αὐτῶν ἐξετάζεσθαι, τὴν ἐν τοῖς χρόνοις τῶν ἐπιτιμίων, ὡς, εἴγε ἀδιαφόρως καὶ ἐν τοῖς καιροῖς

---

(1) ἄνευ τοῦ, καὶ, Χ. Τρ. — (2) Π. Χ. Τρ. — ὑποπεσάτωσαν καὶ κοινωνίας Βιντρ. Βρ. 'Ε. Κ. — (3) Χ. Τρ. Π. 'Ε. Κ. — τὸν πεντηκοστὸν Βιντρ.

τούτοις ζῶσι, καὶ οὐκ ἐνδείκνυνται θερμότητα ἐν τῇ μετανοίᾳ, οὐκ ἂν τύχωσι φιλανθρωπίας. Εἰ δέ τινες, φησίν, ἐπὶ μακρὸν χρόνον ἥμαρτον, καὶ εἰς κόρον ἐνεφορήθησαν τοῦ κακοῦ, οἱ τοιοῦτοι τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν, ἤτοι τὸν εἰκοσαετῆ χρόνον· καὶ παρὰ τοῖς πολιτικοῖς γὰρ νόμοις, μακρὸς χρόνος ὁ εἰκοσαετὴς λέγεται. Καὶ ταῦτα μὲν περὶ νέων φησὶν ὁ κανὼν, καὶ μηδὲ γυναῖκας ἐχόντων. Ὅσοι δὲ τὴν τῆς νεότητος ἡλικίαν ὑπερβάντες, καὶ εἰς ἄνδρας καταςάντες, καὶ γυναιξὶ συζῶντες, περιέπεσον τῷ ἁμαρτήματι τούτῳ, τοὺς τοιούτους ὑποπίπτειν μὲν λέγει ὁ κανὼν εἴκοσι καὶ πέντε ἔτη, καὶ οὕτως ἕτερα πέντε ἔτη κοινωνεῖν τοῖς πιςοῖς τῶν εὐχῶν, καὶ μετὰ τὰ τριάκοντα ἔτη τυγχάνειν τῆς ἁγίας μεταλήψεως· τοὺς δὲ καὶ γυναῖκας ἔχοντας, καὶ εἰς γῆρας ἤδη κλίναντας, καὶ ἔτι τῷ κακῷ τούτῳ συνεχομένους, οὐδέποτε βούλεται ἀξιοῦσθαι τῆς θείας μεταλήψεως, εἰμὴ ἐν τῇ ἐξόδῳ τοῦ βίου.

ΒΑΛΣ. Θαυμασίαν διαίρεσιν καὶ πολλοῦ ἐπαίνου ἀξίαν ποιοῦσιν οἱ Πατέρες ἐνταῦθα· διατάττονται γὰρ, ὡς οἱ μετὰ ἀλόγων ζώων συμφθαρέντες ἢ καὶ συμφθειρόμενοι, ῥητέον δὲ καὶ συμφθαρησόμενοι, εἰκοσαετεῖς μὲν μὴ ὄντες, πεντεκαίδεκα ἔτη ὑποπιπτέτωσαν, καὶ μετὰ τοῦτο τῆς μετὰ τῶν πιστῶν εὐχῆς ἀξιούσθωσαν ἐπὶ πενταετίαν· καὶ ταύτης δὲ πληρωθείσης, μεταλαμβανέτωσαν τῶν θείων ἁγιασμάτων, τοῦ ἐπισκόπου ὀφείλοντος φιλανθρωπότερόν τι ἐπ᾽ αὐτοῖς ποιεῖν, εἴπερ ἴσως τοῦτο παρακαλεῖ ἡ κατὰ τὴν ὑπόπτωσιν θεάρεςος αὐτῶν ἀναςροφὴ καὶ μετάνοια. Ταῦτα δέ φασιν οὕτω γίνεσθαι εἰς τοὺς ἀπὸ φυσικῆς ἀνάγκης ἐνίοτε ἁμαρτάνοντας· οἱ γὰρ κατακόρως, τουτέςιν ὑπὲρ τὴν χρείαν καὶ ἀδιαφόρως χρησάμενοι τῇ ἀλογίστῳ ταύτῃ ἁμαρτίᾳ, ἐπὶ μακρὸν χρόνον ὑποπιπτέτωσαν. Τοὺς μέντοι ὑπερβάντας τὸν εἰκοσαετῆ χρόνον, καὶ γυναῖκας ἔχοντας, περιπεσόντας τῷ ἁμαρτήματι τούτῳ, ἐπὶ πέντε καὶ εἴκοσι χρόνους ὑποπίπτειν διορίζονται, καὶ οὕτω τῆς μετὰ τῶν πιστῶν κοινωνίας ἀξιοῦσθαι ἐπὶ χρόνους πέντε· πληρωθέντων δὲ καὶ τούτων, τυγχάνειν καὶ τῶν θείων ἁγιασμάτων. Οἱ δὲ τὸν πεντηκονταετῆ χρόνον ὑπερβάντες, ἐὰν καὶ γυναῖκας ἔχοντες εἰς τοιοῦτόν τι περιπέσωσιν, οὐδέποτε τῆς θείας ἀξιωθήσονται μεταλήψεως, εἰμὴ ἐν τῇ ἐξόδῳ τοῦ βίου. Ἐπεὶ δὲ εἰς τρία διεῖλον οἱ ἅγιοι Πατέρες τοὺς ἁμαρτάνοντας, καὶ παρεκελεύ-

σαντο ἄλλως κολάζεσθαι τοὺς μὴ φθάσαντας εἰς εἰκοσαετῆ χρόνον, καὶ ἄλλως τοὺς εἰς πεντηκονταετίαν καταντήσαντας, καὶ ἄλλως τοὺς ὑπερβάντας τὸν πεντηκονταετῆ χρόνον· τοῖς μὲν γὰρ ἐλάττονος ἡλικίας οὖσι, συγγνωμονοῦσιν ἁμαρτάνουσι διὰ τὴν ἀνάγκην τῆς φύσεως, καὶ διὰ τὸ ὀλισθηρὸν τοῦ φρονήματος· τοὺς δὲ μείζονος ὄντας ἡλικίας καὶ κατὰ τοῦτο στερεωτέρους περὶ τὸ νοεῖν, πλειόνως κολάζουσιν, ὥσπερ καὶ τοὺς εἰς γῆρας ἐληλακότας, τοιοῦτόν τι ἐπταικότας, ἐπὶ πλέον τιμωροῦσιν, ὡς συνετωτέρους, καὶ μὴ δυναμένους φυσικὴν ἀνάγκην προβαλέσθαι· ἐρωτήσει τις, διὰ τί, τοὺς μὲν ὑπερβάντας τὸν κ΄. χρόνον, καὶ τὸν ν΄. γυναῖκας ἔχοντας καὶ πταίσαντας, οἱ Πατέρες κολάζουσι, τοὺς δὲ μὴ πληρώσαντας τὴν εἰκοσαετίαν, κἂν γυναῖκας οὐκ ἔχουσι, τιμωροῦσι; Λύσις. Εἰς τοὺς ἔτι διὰ τὴν ἡλικίαν περὶ τὸ κακὸν ἀκμάζοντας, καὶ ὄντας ἀφρονεστέρους, φιλανθρωπότερον οἱ Πατέρες διετέθησαν, καὶ οὐ προσέθεντο τὴν περὶ τῶν γυναικῶν διάστιξιν, ἀδιάφορον ἡγησάμενοι τὸ ἔχειν τούτους γυναῖκας, εἴτε καὶ μή· τοὺς δὲ λοιποὺς πλέον βαρύνοντες, ὡς μὴ συγγινωσκομένους ἢ ἀπὸ παθημάτων ἀκμῆς, ἢ ἀπὸ ἡλικίας ἀστηρίκτου, ἐπήγαγον ἐπὶ πλέον τούτους τιμωρεῖσθαι, εἴπερ ἔχουσι καὶ γυναῖκας· πλὴν γίνωσκε, ὡς, καὶ μὴ ἔχοντες γυναῖκας, οὐκ ἐκφεύξονται τὰ ἐπιτίμια, ἀλλὰ παρομοίως κολασθήσονται. Μακρὰν μέντοι ὑπόπτωσιν εἶπόν τινες τὴν εἰκοσαετῆ, κατασκευάζοντες τοῦτο ἀπὸ τοῦ νόμου, τοῦ λέγοντος διὰ μακροῦ χρόνου, τουτέστιν εἰκοσαετοῦς, δεσπόζεσθαι παρὰ τοῦ καλῇ πίστει νομέως τὸ τοῦ ἀπόντος ἀκίνητον· οὐκ ἤρεσαν δὲ τοῦτο λέγοντες, διὰ τὸ λέγεσθαι μακρὸν χρόνον καὶ τὸν δεκαετῆ, δι᾽ οὗ ὁ καλῇ πίστει νομεὺς δεσποτείαν κτᾶται ἀκινήτου διαφέροντος παρόντι τινί, ἀλλ᾽ ἤκουσαν, μακρὸν χρόνον ἐκεῖνον εἶναι, τὸν ὑποτετυπωμένον παρὰ τοῦ ἐπισκόπου. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, δι᾽ ἑνὸς ἐπιτιμίου, τῆς ἀποχῆς δηλονότι τῶν θείων ἁγιασμάτων, τιμωρεῖσθαι τοὺς ἐν γήρει οὕτως ἐπταικότας, μὴ εἴπῃς τὰ ἄλλα ἐπιτίμια μὴ ἐπάγεσθαι ὡς παρασιωπηθέντα. Τῷ γὰρ φρικτῷ τούτῳ ἐπιτιμίῳ ἐξ ἀνάγκης ἕπονται καὶ τὰ λοιπά· καὶ εἰ μὴ πλείονα, ἀλλὰ τέως τριάκοντα ἔτη καὶ αὐτοὶ δουλεῦσαι τοῖς ἐπιτιμίοις ἀναγκασθήσονται. Οὐ προσετέθησαν δὲ οἱ τοσοῦτοι χρόνοι παρὰ

τῶν Πατέρων, διὰ τὸ μετρητοὺς πάντη ἀνθρώπους ζῆν ἐπὶ χρόνοις τριάκοντα ψηφιζομένοις μετὰ τὴν πεντηκονταετίαν.

ΑΡΙΣΤ. Ὁ ἀλογευσάμενος πρὸ τῶν εἴκοσι χρόνων, πεντεκαίδεκα ἔτεσιν ὑποπιπτέτω· εἰ δὲ καὶ τὴν ἡλικίαν ταύτην ὑπερβὰς, καὶ γυναῖκα ἔχων, περιπέπτωκε, πέντε καὶ εἴκοσιν ἔτεσιν ὑποπιπτέτω. Ὁ δὲ καὶ γυναῖκα ἔχων, καὶ ὑπὲρ τὰ πεντήκοντα τελῶν ἔτη, ἄχρι τῆς ἐξόδου ὑποπιπτέτω.

Τὸ μὲν ὀγδοηκοστὸν πρῶτον κεφάλαιον τοῦ τριακοστοῦ ἑβδόμου τίτλου τοῦ ἑξηκοστοῦ βιβλίου τῶν βασιλικῶν, ἀλογευσαμένους λέγει τοὺς κτηνοβάτας· οὓς καὶ προστάττει καυλοκοπεῖσθαι, καὶ τοὺς μετὰ ἀῤῥένων τὴν ἀσχημοσύνην ἐργαζομένους· οὓς καὶ διορίζεται ὁ κανὼν, εἰ μὲν ἥττονες τῶν εἴκοσι χρόνων εἰσὶν, ἐπὶ πεντεκαίδεκα ἔτεσιν ὑποπίπτειν, καὶ ἐφ᾿ ἕτερα πέντε συνίςασθαι μετὰ τῶν πιςῶν, καὶ μόνων τῶν εὐχῶν κοινωνεῖν, εἶτα τῶν θείων ἁγιασμάτων ἐφάπτεσθαι· τοὺς δὲ τοὺς εἴκοσιν ὑπερβάντας χρόνους, καὶ γυναῖκας ἔχοντας, καὶ τῷ τοιούτῳ περιπεσόντας πάθει, εἴκοσι καὶ πέντε ἔτη τελέσαντας ἐν τῇ ὑποπτώσει, καὶ ἕτερα πέντε ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, μετὰ ταῦτα τυγχάνειν τῆς μετοχῆς τῶν θείων ἁγιασμάτων· τοὺς δὲ τὸν πεντηκονταετῆ χρόνον ὑπερελάσαντας, γυναῖκας ἔχοντας, ὑποπίπτειν διὰ βίου παντὸς, καὶ ἐν τῇ ἐξόδῳ τοῦ ἀγαθοῦ ἐφοδίου ἐπιτυγχάνειν.

## Κανὼν ΙΖ'.

**Τοὺς ἀλογευσαμένους καὶ λεπροὺς ὄντας, ἤτοι λεπρώσαντας, τούτους προσέταξεν ἡ ἁγία σύνοδος, εἰς τοὺς χειμαζομένους εὔχεσθαι.**

---

ΖΩΝΑΡ. Τοὺς ζώοις ἀλόγοις συμφθαρέντας, καὶ λεπροὺς ὄντας, ἀντὶ τοῦ, ἀκαθάρτους, μεμιασμένους, (τοῦτο δὲ κατὰ τὸν Μωσαϊκὸν νόμον, ὃς τοὺς λεπροὺς ἀκαθάρτους ἐνόμιζεν), ἤτοι λεπρώσαντας, ἤγουν καὶ(1) αὐτὰ τὰ ζῶα μιάναντας, τούτους ἡ σύνοδος διετάξατο, εἰς τοὺς χειμαζομένους εὔχεσθαι, ἤτοι μετὰ τῶν χειμαζομένων· χειμαζομένους δέ τινες καλοῦσι τοὺς δαιμονῶντας· οὐκ οἶμαι δὲ τούτους λέγειν ἐνταῦθα τοὺς τῆς συνόδου Πατέρας. Οἱ γὰρ δαιμονῶντες, ἢ διόλου μεμήνασι, καὶ

---

(1) [illegible] καὶ, [illegible] ἐν Χ. Γρ.

οὐδέποτε εὔχονται, ἀδιάλειπτον ἔχοντες τὴν μανίαν, ἢ ἐκ διαλειμμάτων πάσχουσι, καὶ ἐν τοῖς διαλείμμασιν, ὅτε σωφρονοῦσι, καὶ μεταλαμβάνειν παραχωροῦνται, κατὰ τὸν γ'. κανόνα τοῦ Ἀλεξανδρείας (1) Τιμοθέου. Εἰ οὖν τοῖς ἐκ διαλειμμάτων δαιμονῶσι συνεύξονται ἀδιαστίκτως οἱ ἀλογευσάμενοι, ἠπράκτησαν διὰ τούτου τοῦ κανόνος αἱ αἱρέσεις καὶ διαστίξεις τοῦ προλαβόντος κανόνος. Τί οὖν ἐστι τὸ εἰς τοὺς χειμαζομένους εὔχεσθαι, οὐκ ἔχω εἰπεῖν.

ΒΑΛΣ. Περὶ τῶν ἀλογευσαμένων ἱκανῶς διελάβομεν ἐν τῷ προλαβόντι κανόνι. Ὁ δὲ παρὼν κανὼν, λεπροὺς τούτους κατονομάζων, ἤτοι ἀκαθάρτους καὶ μεμιασμένους, κατὰ τὸν Μωσαϊκὸν νόμον, διορίζεται εὔχεσθαι αὐτοὺς εἰς τοὺς χειμαζομένους. Εἶπον δέ τινες χειμαζομένους εἶναι τοὺς δαιμονῶντας· οὐκ ἔστι δὲ τοῦτο ἀληθὲς, ὡς ἐμοὶ δοκεῖ. Οἱ γὰρ δαιμονῶντες, ἢ διόλου μεμήνασι καὶ οὐδέποτε εὔχονται· ἢ ἐκ διαλείμματος, καὶ μεταλαμβάνειν (2) παραχωροῦνται· ὅπερ εἰς τοὺς ἀλογευομένους ἀπεντεῦθεν οὐ παραχωρεῖται. Χειμαζόμενοι τοίνυν κληθήσονται κυρίως οἱ ἐν τῷ νάρθηκι ἱστάμενοι καὶ ἀκροώμενοι τῶν θείων Γραφῶν, τόπον ἐπέχοντες χειμαζομένων, καὶ εἰς τὸν ἐκκλησιαστικὸν λιμένα τῆς σωτηρίας εἰσελθεῖν μὴ παραχωρούμενοι. Ὅτι δὲ τοῦτο οὕτως ἔχει, δῆλον καὶ ἀπὸ τῶν ῥηθέντων εἰς τὸν διελθόντα κανόνα. Ἐπεὶ γὰρ ἐν ἐκείνῳ, περὶ μὲν τῶν ἄλλων τόπων, ἤγουν τῆς ὑποπτώσεως καὶ τῆς κοινωνίας, τὰ εἰκότα οἱ Πατέρες παρεκελεύσαντο, περὶ δὲ τῆς ἀκροάσεως οὐδέν τι διέλαβον, ὥρισαν ἐνταῦθα καὶ τὰ περὶ τοῦ τοιούτου τόπου, ὡς ἂν κἀκεῖσε ἐξακούηται· ἀδύνατον γὰρ ἦν, τὸν οὕτως ἐπιτιμώμενον μὴ στῆναι εἰς τὸν τόπον τῶν ἀκροωμένων πρὸ τῆς ὑποπτώσεως.

ΑΡΙΣΤ. Ὁ λεπρὸς ἀλογευσάμενος, ἢ καὶ λεπρώσας, τοῖς χειμαζομένοις συνεύχοιτο.

Ἐπειδὴ ἀκάθαρτος ἦν ὁ λεπρὸς ἐν τῷ νόμῳ τῷ τοῦ Μωσέως, κατὰ τοῦτο καὶ ὁ κανὼν τὸν ἀλογευσάμενον, ὡς ἀκάθαρτον κατονομάζει λεπρόν. Βούλεται οὖν τοὺς τοιούτους τοὺς ἐν γυναιξὶ παρὰ φύσιν, ἢ ἐν ἄῤῥεσιν, ἢ ἐν ἀλόγοις τὴν αἰσχύνην

(1) Χ. Τρ.—τοῦ Ἀλεξανδρέως Βευερ. Κ.—(2) Βευερ. Χ. Τρ.—μεταδίδειν Ἑ.

ἐργαζομένους, καὶ λεπρώσαντας ἑαυτοὺς, ἢ καὶ ἑτέροις τῆς οἰκείας μεταδόντας ἀκαθαρσίας, ὡς κατακόρως χρησαμένους τῷ πάθει, μετὰ τῶν χειμαζομένων συνεύχεσθαι. Χειμαζόμενοι δέ εἰσι, κατὰ τὸν μέγαν Διονύσιον, οἱ ὑπὸ πνεύματος πονηροῦ κατεχόμενοι, οἳ μετὰ τῶν πιστῶν οὐ συνεχωροῦντο εὔχεσθαι, ἀλλὰ τόπους εἶχον ἀφωρισμένους, καὶ ηὔχοντο ἐν αὐτοῖς. Ζήτει τοῦ μεγάλου Βασιλείου κανόνα ξβ'. καὶ ξγ'. καὶ εὑρήσεις ἐπὶ τῶν τοιούτων ἀσελγειῶν ἥττονα τὰ ἐπιτίμια.

## Κανὼν ΙΗ'.

Εἴ (1) τινες ἐπίσκοποι κατασταθέντες (2), καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης, εἰς ἣν ὠνομάσθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ βιάζεσθαι τοὺς καθεστῶτας, καὶ στάσεις κινεῖν κατ' αὐτῶν, τούτους ἀφορίζεσθαι. Ἐὰν μέντοι βούλοιντο εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τιμῆς· ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεστῶτας ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς (3) καὶ τὴν τιμὴν τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους.

---

ΖΩΝΑΡ. Ἐάν τινες ἐπίσκοποι κατασταθέντες, ἀντὶ τοῦ, χειροτονηθέντες, μὴ δεχθῶσι παρὰ τῆς παροικίας, εἰς ἣν ὠνομάσθησαν, ἧς ἐπεκλήθησαν δηλονότι ἐπίσκοποι· ἐπέλθωσι δὲ ἑτέρᾳ παροικίᾳ ἤγουν ἑτέρᾳ ἐκκλησίᾳ, καὶ ἀθροισμῷ πιστῶν, καὶ βιάζωνται τοὺς καθεστῶτας ἐκεῖ, τοὺς κεχειροτονημένους ἐν τῇ παροικίᾳ ἐκείνῃ, καὶ στάσεις κινῶσι κατ' αὐτῶν, τούτους ὁ κανὼν ἀφορίζεσθαι κελεύει, ὥστε μὴ συντιμᾶσθαι τοῖς ἐπισκόποις. Εἰ δὲ βούλοιντο συγκαθῆσθαι τοῖς πρεσβυτέροις, τούτου τυγχάνειν, ἤτοι πρεσβυτέρου ἔχειν τιμήν. Ἐὰν δὲ στάσεις κινῶσι πρὸς τοὺς ὄντας ἐκεῖ ἐπισκόπους, τότε καὶ τῆς τοῦ πρεσβυτέρου τιμῆς στερεῖσθαι αὐτοὺς, καὶ γίνεσθαι ἐκκηρύκτους, τουτέστι καὶ τῆς ἐκκλησίας ἐκπτώτους.

ΒΑΛΣ. Ὁ ιδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ ιέ. καὶ

---

(1) Ἐάν τινες Χ. Τρ. — (2) Χ. Τρ. Βρ. Βευερ. Κ. Ἑ. — καταστάντες Π. — (3) [illegible] Χ. Τρ. Βρ. [illegible] Κ. — αὐτοῖς Βευερ.

ὁ λϛ'. ἀλλὰ μὴν καὶ ὁ ιζ'. καὶ ὁ ιη'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, πολλά τινα διαλαμβάνουσι περὶ τῶν χειροτονουμένων ἐπισκόπων, καὶ μὴ δεχομένων ὑπὸ τῶν παροικιῶν αὐτῶν, καὶ ἀνάγνωθι τούτους. Ὁ μέντοι παρὼν κανὼν διορίζεται, τοὺς μὴ δεχθέντας ἐπισκόπους εἰς ἃς ὠνομάσθησαν παροικίας, μὴ ἀπέρχεσθαι εἰς ἑτέρας, καὶ βιάζειν τοὺς προέδρους (1) αὐτῶν, μήτε μὴν διεγείρειν κατὰ τούτων τοὺς ὑπ' αὐτοὺς κληρικούς τε καὶ λαϊκούς· τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας ἀφορίζεσθαι. Ὡς δέ τινος εἰπόντος, καὶ ποῖος ἔσται τόπος κατοικίας τοῖς τοιούτοις; ἐπήγαγον οἱ Πατέρες, ὡς, εἰ βούλοιντο οἱ χειροτονηθέντες διάγειν εἰς ἑτέρας παροικίας, ἤγουν εἰς τὰς προτέρας κατοικίας αὐτῶν, καὶ ἀνέχονται εἰς πρεσβυτέρου τόπον καθῆσθαι, οὐ κωλυθήσονται. Τοίνυν καὶ οὕτω μὲν ποιοῦντες ἀνενόχλητοι διατηρηθήσονται, ἔχοντες τὴν τοιαύτην τιμήν. Ἐὰν δὲ στάσεις καὶ διαφορὰς ἔχωσι μετὰ τοῦ ἐγχωρίου ἐπισκόπου, ἀφαιρεθήσονται καὶ τὴν τοῦ πρεσβυτέρου τιμήν, καὶ γενήσονται ἐκκήρυκτοι. Ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ εἴπῃς τοὺς μὴ δεχθέντας ἐπισκόπους καθῆσθαι εἰς τοὺς τόπους τῶν πρεσβυτέρων διὰ ὑπόπτωσιν τῆς τιμῆς τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ἀλλὰ διὰ τὸ μὴ εἶναι ἕτερον τόπον τοῦ πρεσβυτερίου μείζονα. Τυχὸν γάρ τινος ἐξ αὐτῶν ὄντος ἀπὸ Ἡρακλείας, καὶ ὑποστρέψαντος εἰς ταύτην, οἱ μὲν πρεσβύτεροι, ὧν εἷς ποτε ἦν καὶ ὁ ψηφισθείς, τοὺς τῶν ἱερέων ἕξουσι τόπους· οὗτος δὲ εἰς ἐπισκοπικὸν ἀξίωμα προαναβιβασθείς, μετὰ τῶν λοιπῶν ἐπισκόπων τοῦ Ἡρακλείας καθίσει, καὶ ὑπὲρ τὰ ἐσκαμμένα (2) πηδῶν, τουτέστιν ἰδιούμενος τὸν τοῦ μητροπολίτου τόπον, οὐκ εἰσακουσθήσεται· τὸ γὰρ καθῆσθαι τοῦτον μετὰ τῶν πρεσβυτέρων, ὅτε καὶ ἑτέρων ἐπισκόπων καθέδρα ἐστίν, ὕβρις ἐστὶ τῆς ἀρχιερωσύνης. Ὀφείλεις οὖν ἐνταῦθα θεματίσαι, ὅτι ὁ ἐγχώριος ἐπίσκοπος οὐκ εἶχε συνόντας αὐτῷ καὶ ἑτέρους ἐπισκόπους, ἀλλὰ μόνους πρεσβυτέρους, οἳ καὶ συνεκάθηντο. Τὸ ἀφαιρεῖσθαι δὲ τὸν παρὰ ταῦτα ποιοῦντα τὴν τιμὴν τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι ἐκκήρυκτον, μὴ νοήσῃς ἐκλαμβάνεσθαι εἰς

(1) τοὺς προτέρους Χ. Τρ. — (2) Χ. Τρ. Βευερ. — ἐστραμμένα Ἑ.

καθαίρεσιν, ἀλλ' εἰς μόνην ὑπόπτωσιν τῆς τιμῆς τούτου, ἤγουν οὐδὲ μετὰ τῶν πρεσβυτέρων καθῆσθαι ἀξιωθήσεται.

ΑΡΙΣΤ. Ὁ ἐπίσκοπος καταστὰς, εἰ οὐ δέχεται παρὰ τῆς παροικίας εἰς ἣν ἐκλήθη, ἀλλ' ἑτέροις ἐπισκόποις ἐνοχλεῖ, ἀφοριζέσθω. Εἰ δὲ τοῖς πρεσβυτέροις ἐθέλει συναριθμεῖσθαι, συναριθμείσθω· εἰ δὲ καὶ τοῖς ἐκεῖ ἐπισκόποις διαστασιάζοι, ἀπωθείσθω καὶ τῆς πρεσβυτέρου τιμῆς.

Ὁ γενόμενος ἐπίσκοπος, καὶ μὴ προσδεχθεὶς παρὰ τῶν λαῶν, ὧν τὴν φροντίδα ἐνεχειρίσθη, εἰ ἐπιχειρήσει ἐν ἀλλοτρίᾳ παροικίᾳ ἐπισκοπικόν τι δίκαιον ἐνεργῆσαι, καὶ τοῖς ἐκεῖσε ἐπισκόποις ὄχλησίν τινα ἐπαγαγεῖν, ἀφορισθήσεται. Εἰ δὲ μετὰ τῶν πρεσβυτέρων ἐθέλει συναριθμεῖσθαι, καὶ συγκαθῆσθαι αὐτοῖς, καὶ τῆς ἴσης ἀπολαύειν τιμῆς, συγκαταλεγήσεται τούτοις. Εἰ δὲ καὶ πρὸς τοὺς ἐκεῖσε καθεστῶτας ἐπισκόπους διαστασιάζει, καὶ ἐπισκοπικά τινα δίκαια ὑφαρπάζει, καὶ τὴν τιμὴν ταύτην τῶν πρεσβυτέρων ἀφαιρεθήσεται, καὶ ἀφορισθήσεται.

## Κανὼν ΙΘ'.

Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι, ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. Τὰς μέντοι συνερχομένας παρθένους τισὶν ὡς ἀδελφὰς ἐκωλύσαμεν.

---

ΖΩΝΑΡ. Οἱ παρθενεύειν ἐπαγγελλόμενοι, κἂν ἄνδρες εἶεν, κἂν γυναῖκες, ἀθετοῦντες τὰς ἐπαγγελίας αὐτῶν, τῷ ἐπιτιμίῳ τῶν διγάμων ὑποβαλλέσθωσαν· ὅρον γὰρ τὸν τύπον, καὶ τὸν κανόνα λέγει· ἤγουν ὅσα περὶ τῶν διγάμων κεκανόνισται καὶ διατετύπωται, ταῦτα κρατήσει καὶ ἐπ' αὐτῶν, ὥστε μετ' ἐνιαυτὸν δέχεσθαι. Κωλύει δὲ ὁ κανὼν τὰς παρθενίαν ἐπαγγελλομένας συνέρχεσθαι ἀνδράσιν, ἀντὶ τοῦ συζῆν, συνοικεῖν, καὶ ἀδελφὰς ἑαυτὰς ὀνομαζούσας τῶν οἷς συνδιάγουσιν, ἵνα μηδὲ ὑποψία τις ᾖ κατ' αὐτῶν ἀπρεπής. Ὁ δὲ μέγας Βασίλειος, ἐν ὀκτωκαιδεκάτῳ κανόνι αὐτοῦ, τῷ κρίματι τῆς μοιχείας ὑποκεῖσθαι τὴν ὁμολογήσασαν παρθενεύειν, καὶ μὴ τὴν ὁμολογίαν φυλάξασαν, ἀπεφήνατο.

ΒΑΛΣ. Τοὺς ἀθετήσαντας τὴν πρὸς Θεὸν γενομένην παρ-

αὐτῶν ἐπαγγελίαν, χάριν τοῦ παρθενεύειν, οἱ Πατέρες καθυποβάλλουσιν ὅρῳ διγάμων, τουτέστιν ἐπιτιμίῳ. Ἐπεὶ δέ τινες, ὡς ἔοικε, παρθενεύειν ὁμολογήσασαι, ἐσκανδάλιζον πολλοὺς διὰ τὸ συνοικεῖν μετά τινων ἀνδρῶν, λεγομένων εἶναι ἀδελφῶν αὐτῶν, ἐκώλυσαν οἱ Πατέρες καὶ τοῦτο. Ἀθέτησιν δὲ ἐνταῦθα τῆς διὰ τὴν παρθενίαν ἐπαγγελίας, μὴ εἴπῃς τὴν πορνείαν, ἀλλὰ τὸν νόμιμον γάμον. Διὰ τοῦτο γὰρ καὶ ὑπὸ μόνου ἐπιτιμίου διγάμων κολάζουσι τούτους. Εἰ γὰρ ἐπόρνευσάν τινες ἐξ αὐτῶν, τιμωρηθήσονται διὰ ἐπιτιμίων τοὺς πόρνους κολαζόντων. Παρθένους μέντοι ὀφείλεις εἰπεῖν ἐνταῦθα, ἄνδρας δηλονότι καὶ γυναῖκας, μὴ τοὺς ἀποταξαμένους τῷ κόσμῳ, καὶ ἐπιλεξαμένους τὸν μονήρη βίον, ἀλλ' ἑτέρους τινὰς μετὰ λαϊκοῦ σχήματος προσερχομένους τῷ Θεῷ, καὶ παρθενεύειν ἐπαγγελλομένους. Οἱ γὰρ τὸν μονήρη βίον ἐπιλεξάμενοι, ἀθετοῦντες τὴν πρὸς Θεὸν ὁμολογίαν αὐτῶν, καὶ γάμοις προσομιλοῦντες, οὐχ ἐπιτιμίῳ διγάμων καθυποβληθήσονται, ἀλλὰ, διασπωμένου τοῦ γάμου ὡς ἀνυποστάτου, μεγάλως κολασθήσονται, καὶ τῷ μοναστηρίῳ, ἐν ᾧ ἀπεκάρησαν, παραδοθήσονται, καθὼς καὶ ἐν ἑτέραις διαφόραις κανόσιν εἴπομεν. Ἐπεὶ δὲ ὁ μέγας Βασίλειος διορίζεται ἐν ιη. κανόνι αὐτοῦ, ὡς μοιχαλίδα κατακρίνεσθαι τὴν ἀθετήσασαν παρθένον (1), τὴν πρὸς Θεὸν ὁμολογίαν αὐτῆς, ἀνάγνωθι τοῦτον, καὶ τῆς ϛ'. συνόδου κανόνα μϛ'.

**ΑΡΙΣΤ.** Ὁ ἐπαγγειλάμενος παρθενίαν, καὶ ἀθετῶν, τετραετίαν ἀφοριζέσθω· καὶ αἱ παρθένοι ὡς ἀδελφοῖς τισι μὴ προσίτωσαν.

Ὁ μὲν κανὼν οὗτος ἐν τῷ πλάτει, τὸν ἐπαγγειλάμενον παρθενίαν, καὶ ἀθετοῦντα αὐτὴν, τὸν τῶν διγάμων ὅρον ἐκπληροῦν ἀπαιτεῖ. Τὸ δὲ ἐπιτίμιον τοῦ διγάμου, ὡς ὁ τέταρτος κανὼν τοῦ μεγάλου Βασιλείου λέγει, τοῦτό ἐστι, τὸ ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι, κἂν ἄλλοι τῶν Πατέρων ἐπὶ διετίαν τοῦτον ἀφώρισαν. Ὁ δὲ αὐτὸς μέγας Βασίλειος, ἐν τῷ ἐννεακαιδεκάτῳ κανόνι αὐτοῦ, παρίστησιν, ὡς ὁμολογίας ἀνδρῶν περὶ παρθενίας οὐκ ἔγνωμεν, εἰ μήπου τινὲς ἑαυτοὺς τῷ τῶν μοναζόντων τάγματι

(1) Χ. Τρ. — παρθενίαν Βενετ. Ἐ.

κατηρίθμησαν· πλὴν καὶ ἐπ' αὐτῶν τῶν ἀνδρῶν παρθενίαν ἐπαγγελλομένων, ἐκεῖνο προσῆκον ἡγεῖται εἶναι, τὸ ἐρωτᾶσθαι αὐτοὺς, καὶ τὴν ὁμολογίαν αὐτῶν ἐναργῆ λαμβάνειν· ὥστε, ἐπειδὰν τὴν ὁμολογίαν αὐτῶν ἀθετήσωσι, καὶ πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον μετατεθῶσι, τῷ τῶν πορνευσάντων ἐπιτιμίῳ αὐτοὺς καθυπάγεσθαι. Ὁ γοῦν συνοψίσας τὸν παρόντα κανόνα, τὸν μὲν ἐν τῷ πλάτει κείμενον ἀφορισμὸν τῶν διγάμων τῷ ἀθετοῦντι τὴν παρθενίαν παρέδραμε· τὸ δὲ παρὰ τοῦ μεγάλου Βασιλείου ἐπαγόμενον τῷ τοιούτῳ προσέθετο, ἤγουν τὸ τῶν πορνευόντων ἐπιτίμιον. Ἐπεὶ δὲ ἡ ἐπιτίμησις τῶν τοιούτων ἐν ἑπτά ἐστιν ἔτεσιν, δύο μὲν προσκλαιόντων, δύο δὲ ἀκροωμένων, ἐφ' ἑτέροις δὲ δυσὶν ὑποπιπτόντων, καὶ ἐν ἑνὶ τοῖς πιστοῖς συνισταμένων, τῷ δὲ ὀγδόῳ παραδεχομένων εἰς τὴν μετοχὴν τῶν ἁγιασμάτων, καθὼς ὁ πεντηκοστὸς ἔννατος τοῦ αὐτοῦ μεγάλου Βασιλείου κανὼν διορίζεται· εὑρίσκονται δέ ποτε καί τινες τῷ τῆς πορνείας ἐπιτιμίῳ ὑπεύθυνοι ὄντες, καὶ ἐν τέσσαρσιν ἔτεσι τὴν ἐπιτίμησιν ἔχοντες· ἐν ἑνὶ δὲ προσκλαίοντες, ἔξω τῶν περιβόλων τῆς ἐκκλησίας ἱστάμενοι, ἐν δὲ τῷ δευτέρῳ εἰς ἀκρόασιν παραδεχόμενοι, ἐν τῷ τρίτῳ εἰς μετάνοιαν μετὰ τῶν ὑποπιπτόντων ταττόμενοι, ἐν δὲ τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, τῆς προσφορᾶς ἀπεχόμενοι, καὶ ἐν τῷ πέμπτῳ, τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἐπιτυγχάνοντες, ὡς οἱ γυναῖκα ἔχοντες ἐκ διαφθορᾶς λαθραίας, ἢ καὶ βιαιοτέρας· καθὼς ὁ εἰκοστὸς δεύτερος κανὼν τοῦ αὐτοῦ ἁγίου διαλαμβάνει. Κατ' αὐτὸν τὸν κανόνα, ὡς ἔοικεν, ὁ τὸν παρόντα συναψίσας κανόνα, τὸ ἧττον ἐπιτίμιον τῶν πορνευόντων, ἤγουν τὴν τετραετίαν, προσέθετο. Κωλύει δὲ ὁ κανὼν οὗτος καὶ τὰς παρθένους μετὰ ἀνδρῶν ὅλως συναναστρέφεσθαι καθ' οἱανδήτινα πρόφασιν.

## Κανὼν Κ'.

Ἐάν τινος γυνὴ μοιχευθῇ, ἢ μοιχεύσῃ τις, ἐν ἑπτὰ ἔτεσι δεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς προάγοντας.

ΖΩΝΑΡ. Τὴν μοιχαλίδα καὶ τὸν μοιχὸν, δι' ἑπτὰ ἐτῶν ὥρισεν ἡ σύνοδος αὕτη εἰς τὸ τέλειον ἔρχεσθαι, ἤγουν εἰς τὴν ἁγίαν μετάληψιν· τοὺς δὲ ἑπτὰ ἐνιαυτοὺς καταμερίζεσθαι εἰς τοὺς τῶν ἐπιτιμίων βαθμούς.

ΒΑΛΣ. Ἐν τῷ πζ'. καὶ λή. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀρκούντως διελάβομεν περὶ μοιχαλίδος καὶ μοιχοῦ. Ὁ δὲ παρὼν κανὼν διορίζεται ἀξιοῦσθαι τούτους τῆς ἁγίας μεταλήψεως μετὰ ἑπτὰ ἔτη, καταμεριζόμενα εἰς τοὺς βαθμοὺς τῶν ἐπιτιμίων. Ἀνάγνωθι καὶ τὸν κά. κανόνα καὶ κβ'. τοῦ ἁγίου Βασιλείου.

ΑΡΙΣΤ. Ἡ μοιχαλὶς καὶ ὁ μοιχὸς ἑπταετίαν ἀφοριζέσθωσαν.

Καὶ ὁ ὀγδοηκοστὸς ἕβδομος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, ἐν ἑπτὰ ἔτεσι τῷ μοιχῷ ἐπάγει τὴν ἐπιτίμησιν, καθὼς δὴ καὶ ὁ παρὼν διαλαμβάνει κανών· ὥςε ἐνιαυτὸν μὲν ἕνα προσκλαίειν, διετίαν ἀκροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω καταξιοῦσθαι τῆς προσφορᾶς, ἐὰν μετὰ δακρύων ποιήσηται τὴν μετάνοιαν. Ὁ δὲ πεντηκοστὸς ὄγδοος κανὼν τοῦ μεγάλου Βασιλείου ἐν πεντεκαίδεκα ἔτεσιν ἐπιτιμᾷ τὸν μοιχόν· ὥςε ἐν τέσσαρσι μὲν προσκλαίειν, ἐν πέντε δὲ ἀκροᾶσθαι, ἐν τέσσαρσιν ὑποπίπτειν, ἐν δυσὶ συνίστασθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα ἀξιοῦσθαι τῆς κοινωνίας.

## Κανὼν ΚΑ'.

Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν καὶ ἀναιρουσῶν τὰ γεννώμενα, καὶ σπουδαζουσῶν φθόρια ποιεῖν, ὁ μὲν πρότερος ὅρος μέχρις ἐξόδου ἐκώλυσε, καὶ τούτῳ συντίθενται (1). Φιλανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δεκαετῆ χρόνον, κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους πληρῶσαι (2).

ΖΩΝΑΡ. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι, καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθῶσιν, ἀναιροῦσι τὰ ἔμβρυα ἐξεπίτηδες, ἢ βάρη

(1) Π. Κ. Ἐ. Βρ. Βιυερ. — συντίθεται Χ. Τρ. — συμπείθονται Μάνσ.

(2) Βιυερ. Σ. Ῥ. — ἄνευ τοῦ πληρῶσαι Χ. Τρ. Π. Κ. Ἑ. Βρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ταῖς κοιλίαις ἑαυτῶν ἐπιτιθεῖσαι καὶ συμπιέζουσαι ταύτας, ἢ φάρμακά τινα πίνουσαι, καὶ φθείρουσαι τὰ κυοφορούμενα. Ταύτας οὖν, φησὶν ὁ κανὼν οὗτος, ὅτι ὁ πρότερος ὅρος ἐπετίμησεν ἀκοινωνησίᾳ μέχρι θανάτου, καὶ ὥστε ἐν τῷ θνήσκειν μόνον ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. Ἡμεῖς δὲ, φασὶν οἱ τῆς συνόδου Πατέρες, φιλανθρωπότερόν τι εὑρόντες, δεκαετίαν ὡρίσαμεν, ὥστε διὰ δέκα ἐτῶν καταμεριζομένων εἰς τοὺς ὡρισμένους βαθμοὺς, ἤτοι τοὺς τόπους τῶν ἐπιτιμίων, τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, καὶ τὸν τοῦ συνεστῶτος, ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. Καὶ ὁ μέγας δὲ Βασίλειος, ἐν δευτέρῳ αὐτοῦ κανόνι, ταῖς κατ' ἐπιτήδευσιν φθειρούσαις τὰ ἔμβρυα, δεκαετίαν ἐπιτιμᾷ· λέγει δὲ δεῖν μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας ὁρίζειν τὴν θεραπείαν.

ΒΑΛΣ. Ἀπὸ ὅρου ἀρχαιοτέρου ἐκκλησιαστικοῦ, κατὰ μόνας τὰς τελευταίας ἀναπνοὰς, τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως ἠξιοῦντο αἱ συλλαβοῦσαι λαθραίως, καὶ διὰ τὸ μὴ ἐπιγνωσθῆναι ἀναιροῦσαι τὰ ἔμβρυα αὐτῶν καθ' οἱονδήτινα λόγον. Οἱ δὲ τῆς συνόδου ταύτης Πατέρες φιλανθρωπευσάμενοι, ὥρισαν μετὰ δέκα ἐνιαυτοὺς μεριζομένους εἰς τοὺς τέσσαρας βαθμοὺς τῶν ἐπιτιμίων, ἤγουν εἰς τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, καὶ τὸν τοῦ συνεστῶτος, μεταλαμβάνειν αὐτάς· φθόριον δ' ἐστὶν ἅπαν φάρμακον φθεῖρον τὸ ἐγκυμονούμενον. Ἀνάγνωθι τὸν β'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὸν ϟά. τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτῶν.

ΑΡΙΣΤ. Αἱ πόρναι λαμβάνουσαι φθόρια, δεκαετίαν ὑποπιπτέτωσαν.

Αἱ δεχόμεναι δηλητήρια ἐπὶ τῷ τὰ ἔμβρυα αὐτῶν ἀνελεῖν, ἐπὶ δέκα ἐπιτιμάσθωσαν ἔτεσι· δύο μὲν ἔτη ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ἱστάμεναι καὶ προσκλαίουσαι· τρία δὲ παρὰ τοῖς βασιλικοῖς ἐστῶσαι πυλῶσι, καὶ τῶν θείων Γραφῶν ἀκροώμεναι· ἄλλην δὲ τετραετίαν ἐντὸς τοῦ περιβόλου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος ὑποπίπτουσαι, καὶ μετὰ τῶν

κατηχουμένων συνεξιοῦσαι, ἐπὶ δὲ ἐνιαυτὸν συνιστάμεναι τοῖς πιστοῖς, καὶ τῶν εὐχῶν κοινωνοῦσαι· καὶ οὕτω, μετὰ τοὺς βαθμοὺς τούτους, τῆς τελειώσεως ἀξιούμεναι.

## Κανὼν ΚΒ΄. (1)

Περὶ ἑκουσίων φόνων, ὑποπιπτέτωσαν μὲν, τοῦ δὲ τελείου ἐν τῷ τέλει τοῦ βίου καταξιούσθωσαν.

---

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν, ἀκοινωνησίας ἐπιτιμίῳ κολάζει τὸν ἑκούσιον φόνον, μὴ συγχωρῶν μετέχειν τῶν ἁγιασμάτων τὸν ἑκουσίως φονεύσαντα, εἰ μὴ ἐν τῷ τέλει τοῦ βίου. Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ πεντηκοστῷ ἕκτῳ κανόνι, εἰκοσαετίαν ὁρίζει ἐπὶ τούτοις, οὕτως αὐτὴν διαιρῶν, προσκλαίειν μὲν τετραετίαν, ἀκροᾶσθαι δὲ πέντε ἔτη, ὑποπίπτειν δὲ ἑπτὰ ἕτερα, καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπὶ τετραετίαν, καὶ, τούτων ἐκμετρουμένων, μετέχειν τῶν ἁγιασμάτων.

ΒΑΛΣ. Τὰ τῶν ἑκουσίων φόνων ἐπιτίμια ὁ νς΄. κανὼν τοῦ ἁγίου Βασιλείου ὑποτυποῖ· καὶ πρόσχες μᾶλλον τοῖς ἐν αὐτῷ.

ΑΡΙΣΤ. Ὁ αὐθαίρετος ἀνδροφόνος, ἐν τῷ τέλει τοῦ τελείου τυγχανέτω.

Ὁ ἑκουσίως φονεύων, ἐν τῷ τέλει τοῦ βίου καταξιοῦται τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων μεταλαμβάνει, κατὰ τὸν παρόντα κανόνα. Ὁ δὲ πεντηκοστὸς ἕκτος κανὼν τοῦ μεγάλου Βασιλείου, ἐπὶ εἴκοσιν ἔτη τὸν ἑκούσιον φονέα ἀπείργει τῆς κοινωνίας· τέσσαρα μὲν ἔτη διοριζόμενος προσκλαίειν αὐτὸν, πέντε δὲ ἔτη ἀκροᾶσθαι, ἐν ἑπτὰ ἔτεσιν ὑποπίπτειν, καὶ ἐν τέσσαρσι συνίστασθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα μετασχεῖν τῶν ἁγιασμάτων.

## Κανὼν ΚΓ΄.

Ἐπὶ (2) ἀκουσίων φόνων, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μετασχεῖν κατὰ τοὺς ὡρι-

---

(1) Ὁ ΚΒ΄. κανὼν ἔχει τὴν θέσιν τοῦ ΚΓ΄. ἐν Χ. Τρ. παρὰ Βευερ. καὶ Ἑ. τὸ δὲ Π. ὁ Βρ. καὶ ὁ Κ. καὶ ἡ Σ. Ρ̓. ἀκολουθοῦσι τὴν παροῦσαν τάξιν. — (2) Βρ. Σ. Ρ̓. — περὶ, οἱ λοιποί.

σμένους βαθμούς· ὁ δὲ δεύτερος, τὸν πενταετῆ χρόνον πληρῶσαι.

—

ΖΩΝΑΡ. Τίνες εἰσὶν ἀκούσιοι φόνοι, καὶ τίνες ἑκούσιοι, ὁ μέγας Βασίλειος ἐν ὀγδόῳ αὐτοῦ κανόνι ὁρίζεται. Ἐν δὲ τῷ νζ'. κανόνι, ἐπὶ δεκαετίαν ἀκοινώνητον εἶναι τὸν ἀκουσίως φονεύσαντα διορίζεται. Οὕτω δὲ τὴν δεκαετίαν καταμερίζει εἰς τοὺς τόπους τῶν ἐπιτιμίων· δύο μέν, φησί, προσκλαύσει ἔξω τοῦ ναοῦ ἑστώς, τρία δὲ ἔτη ἐν ἀκροάσει ἔσται, τέσσαρα δὲ ἔτη ὑποπεσεῖται, καὶ ἐνιαυτὸν σταθήσεται, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος, ἐν τῷ ή. κανόνι αὐτοῦ καὶ ἐν τῷ νζ', πλατύτερον περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων διαλαμβάνει· καὶ ἀνάγνωθι τούτους, καὶ μάθῃς ἀκριβέστερον, ποῖοί τέ εἰσιν ἑκούσιοι καὶ ἀκούσιοι φόνοι, καὶ τίνα τὰ κατὰ τούτων ἐπιτίμια. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ ϥά. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. Ὁ ἀκούσιος φονευτής, πενταετίαν ὑποπιπτέτω.

Περὶ τοῦ ἀκουσίου φονευτοῦ, οὗτος μὲν ὁ κανὼν πενταετίαν ὁρίζει εἰς ἐπιτίμησιν. Ὁ δὲ νζ'. τοῦ Βασιλείου κανών, δύο ἔτη προσκλαίειν τὸν τοιοῦτον παρακελεύεται, τρία ἔτη ἐν ἀκροωμένοις διατελεῖν, τέσσαρα ὑποπίπτειν, καὶ ἐν ἐνιαυτῷ συνίστασθαι τοῖς πιστοῖς· ὥστε διὰ δεκαετίας τυγχάνειν τῆς τελειώσεως, καὶ ἀξιοῦσθαι τῆς κοινωνίας.

## Κανὼν ΚΔ'.

**Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν(1) ἐξακολουθοῦντες (2), ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς πενταετίας, κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους, τρία ἔτη ὑποπτώσεως, καὶ δύο ἔτη εὐχῆς, χωρὶς προσφορᾶς.**

—

(1) τῶν χρόνων — Βρ. — (2) Π. Χ. Τρ. Κ. Ἑ. — κατακολουθοῦντες Βευηρ.

ΖΩΝΑΡ. Τὸ κεχρῆσθαι μαντεύμασι, καὶ ταῖς ἐθνικαῖς ἢ καὶ ἑλληνικαῖς ἀκολουθεῖν συνηθείαις τοὺς Χριστιανοὺς, καὶ γόητας προσδέχεσθαι ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἤτοι μαγειῶν, ὡς τάχα παρά τινων περιεργασθέντας, ἢ ἐπὶ καθάρσει τῶν γοητειῶν προσκαλεῖσθαι αὐτοὺς ἀπηγόρευται, καὶ τοὺς τούτοις χρωμένους ὁ κανὼν ὑπὸ ἐπιτίμιον ποιεῖται πενταετίας, ὡς τρία ἔτη ὑποπίπτειν, καὶ δύο ἔτη συνεύχεσθαι τοῖς πιστοῖς· μετὰ δὲ τὴν πενταετίαν, ἀξιοῦσθαι καὶ τῆς τοῦ ἀγαθοῦ μεταλήψεως. Ὁ δὲ μέγας Βασίλειος, ἐν ὀγδοηκοστῷ τρίτῳ κανόνι, ἑξαετίας ἐπιτιμίῳ τοὺς τοιούτους κολάζει.

ΒΑΛΣ. Οὐ μόνον τοὺς γόητας καὶ τοὺς μάντεις κολάζουσιν οἱ κανόνες, ἀλλὰ καὶ τοὺς χρωμένους αὐτοῖς. Ἐπεὶ οὖν τινες νοσηλευόμενοι, καὶ νομίζοντες ἀπὸ φαρμακειῶν (1) πάσχειν, ἢ καὶ ἀπολέσαντές τινα τῶν προσόντων αὐτοῖς, μετεκαλοῦντο γόητας εἰς τοὺς οἴκους αὐτῶν, ἐφευρεῖν ἐπαγγελλομένους ἐν αὐτοῖς τὰς μαγείας, ἐξ ὧν δῆθεν κατεκλίθησαν οἱ νοσηλευόμενοι, καὶ καθάραι τὸ ἀπὸ τούτων μῦσος, ἢ καὶ τὸ ἀπολεσθὲν καταμηνύσαι· ἄλλοι δὲ συνηθείαις ἐθνικαῖς προσέχοντες, περὶ εὐτυχημάτων καὶ δυστυχημάτων ἐρωτήσεις ἐποιοῦντο ἀπὸ ἀστρολόγων καὶ ἑτέρων, δαιμονιώδη μεταχειριζομένων ἔργα· ὥρισαν οἱ Πατέρες ἐπὶ πενταετίαν τούτους ἐπιτιμᾶσθαι, ἤγουν ἐπὶ μὲν τρισὶν ἔτεσιν ὑποπίπτειν, ἐν δὲ δυσὶν εὔχεσθαι μετὰ τῶν πιστῶν, καὶ μετὰ ταῦτα ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Ἀνάγνωθι τὸν ξά. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα, καὶ τὸν πγ΄. κανόνα τοῦ ἁγίου Βασιλείου, ἐπὶ ἑξαετίαν ἐπιτιμῶντα τούτους. Ἔχε δὲ ἐπὶ μνήμης, ὅτι τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλονται καὶ οἱ προσερχόμενοι γητευτρίαις καὶ κριτρίαις(2) ταῖς μετὰ κριθῶν μαντευομέναις.

ΑΡΙΣΤ. Ὁ καταμαντευόμενος, καὶ ὁ εἰσάγων τινὰ ἐν τῷ οἴκῳ ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ καθάρσει, πενταετίαν ὑποπιπτέτω.

Ὁ μάντεσιν, ἢ γητευταῖς, ἢ φυλακτηρίοις, ἢ ἑτέροις τισὶ τοιούτοις ἑαυτὸν ἐκδεδωκὼς, ἐπὶ τῷ ἐκκαλυφθῆναι ἃ δι' ἐπιθυ-

(1) ἀπὸ μαγειῶν Χ. Τρ. —(2) Χ. Τρ. Βευερ. — καὶ κριθίαις καὶ Ἑ.

μίας ἔχει, ἢ ἐπὶ φαρμακείας κακῷ τὸ κακὸν ἰώμενος, ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ ἐπὶ διετίαν συστήσεται τοῖς πιστοῖς, καὶ μόνων τῶν εὐχῶν κοινωνήσει· καὶ οὕτω μετὰ τὴν πενταετίαν μεθέξει τῆς προσφορᾶς. Ὁ δὲ ξά. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου ἐπὶ ἑξαετίαν τὸν τοιοῦτον ὁρίζει ἀπείργεσθαι.

## Κανὼν ΚΕ΄.

**Μνηστευσάμενός τις κόρην, προσεφθάρη τῇ ἀδελφῇ (1) αὐτῆς, ὡς καὶ ἐπιφορέσαι (2) αὐτήν· ἔγημε δὲ τὴν μνηστὴν μετὰ ταῦτα, ἡ δὲ φθαρεῖσα ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν ἐν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας κατὰ τοὺς ὡρισμένους βαθμούς.**

---

ΖΩΝΑΡ. Μνηστείαν τις συνεστήσατο ἐπί τινι κόρῃ· μήπω δὲ τῶν γαμηλίων ἐπ' αὐτοῖς τελεσθέντων, ὁ μνηστὴρ συνεφθάρη τῇ ἀδελφῇ τῆς μνηστῆς, ὡς ἔγκυον ἐκείνην γενέσθαι· τοῦτο γάρ ἐστι τὸ ἐπιφορέσαι αὐτήν. Εἶτα ὁ ἀνὴρ ἔγημε τὴν μνηστὴν, ἡ φθαρεῖσα δὲ ἀπήγξατο. Κατὰ τῶν συνειδότων οὖν τὴν ἄτοπον (3) ταύτην πρᾶξιν δεκαετία ὡρίσθη, ὥστε αὐτοὺς, ταύτης παρελθούσης, δεχθῆναι εἰς τοὺς συνεστῶτας. Ὁ δὲ τοῦ μεγάλου Βασιλείου ἑβδομηκοστὸς ὄγδοος κανὼν, τὸν δύο ἀδελφὰς εἰς συνοικέσιον ἀγαγόμενον κατὰ ἄλλον καὶ ἄλλον χρόνον, ἐνιαυτὸν προσκλαίειν ὁρίζει, δύο δ' ἐπακροᾶσθαι, τρεῖς ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιςοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσῃ. Εἴποι οὖν ἄν τις, πῶς ἐνταῦθα βαρύτερον τοὺς συνειδότας οἱ τῆς συνόδου ἐκόλασαν; Οἶμαι τοίνυν, ὅτι ἔνθα δύο ἀδελφὰς ὁ αὐτὸς εἰς γάμον ἄγεται, ἀθεμιτογαμία μόνη πλημμελεῖται. Ἐπὶ δὲ τῆς παρούσης ὑποθέσεως πολλὰ τὰ τολμηθέντα (4) ἦσαν, φθορὰ τῆς παρθένου, ἀθεμιτογαμία, ὡς δύο ἀδελφαῖς τοῦ αὐτοῦ μιχθέντος, καὶ φόνος ἐκ τῆς αἰτίας ταύτης γενόμενος, καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη τὸ ἐπιτίμιον.

---

(1) προσέφθειρε τὴν ἀδελφὴν αὐτῆς Ἰουστ. ἐν περισσλ. — (2) Βρ. Χ. Τρ. Κ. Ε. — ἐπιφορῆσαι Π. Βευερ. — (3) Χ. Τρ. Κ. — ἄδικον Βευερ. — (4) τὰ τολμήματα Χ. Τρ.

ΒΑΛΣ. Ἀπὸ φάκτου τινὸς οἱ Πατέρες παρεκινήθησαν τὸν παρόντα κανόνα ἐκθέσθαι. Προσηγγέλθη γὰρ αὐτοῖς, ὅτι ἄνθρωπός τις μνηστευσάμενος κόρην, συνεφθάρη μετὰ τῆς ἀδελφῆς αὐτῆς, ὡς καὶ κατὰ γαστέρα ταύτην ἐκ τούτου συλλαβεῖν, (τοῦτο γάρ ἐστι τὸ ἐπιφορέσαι), καὶ μετὰ τοῦτο κατὰ γάμου κοινωνίαν συνηρμόσθη τῇ οἰκείᾳ μνηστῇ· ἡ δὲ αὐταδέλφη ταύτης, σὺν τῷ ἁμαρτήματι τῆς αἱμομιξίας, ἐφόνευσεν ἑαυτήν. Ὥρισαν οὖν, τοὺς συνειδότας ταῦτα τὰ κακὰ, μετὰ δεκαετίαν ὀφείλουσαν διὰ τῶν συνήθων βαθμῶν παρελθεῖν, δεχθῆναι εἰς τὴν μετὰ τῶν πιστῶν εὐχήν. Μὴ ἐναντιωθῇ δέ σοι πρὸς ταῦτα ὁ οη. κανὼν τοῦ ἁγίου Βασιλείου, διοριζόμενος μετὰ ἑπτὰ χρόνους καταξιοῦσθαι τῶν θείων ἁγιασμάτων τὸν συναρμοσθέντα κατὰ νόμον γάμου δυσὶν ἀδελφαῖς· ἐνταῦθα γὰρ πολλὰ ἐτολμήθησαν ἄτοπα, πορνεία, ἀθεμιτογαμία, καὶ φόνος, ἐκεῖσε δὲ μόνη ἀθεμιτογαμία, καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη ὧδε τὸ ἐπιτίμιον. Ἐρωτήσει δέ τις, διὰ τί ὁμοίως ἐπιτιμῶνται τοῖς αὐτουργοῖς καὶ οἱ συνειδότες; Λύσις. Ἐπὶ τῶν ἀθεμίτων γάμων, πλέον ὤφειλον ἐπιτιμᾶσθαι οἱ συνειδότες παρὰ τοὺς αὐτουργούς· τούτους γὰρ πολλάκις ἀκολασία ἐρωτικὴ καὶ μὴ βουλομένους κατάγει πρὸς τὸ ἀθέμιτον· ἐκεῖνοι δὲ συγγνωστέοι οὐκ εἰσὶν, ὡς ἐπὶ τῷ κακῷ συμπράξαντες χωρὶς ἀνάγκης τινὸς, καὶ εὐχαριστείτωσαν ὅτι ὁμοίως τοῖς αὐτουργοῖς κολάζονται· συνειδότες δέ εἰσιν οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἴδησιν, καὶ κωλύσαι μὴ δυνάμενοι.

ΑΡΙΣΤ. Κόρην τίς τινος μνηστευσάμενος προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, εἶτα τὴν μνηστὴν ἔλαβεν· ἡ πρώτη ἀπήγξατο· καὶ οἱ συνειδότες, δεκαετίαν ὑποπιπτέτωσαν.

Καὶ οἱ συνειδότες γὰρ τὸ γενόμενον, καὶ τὴν ἀγχόνην δυνάμενοι κωλύσαι, καὶ μὴ κωλύσαντες, ὡς αἴτιοι φόνου κρίνονται, καὶ δεκαετίαν ἐπιτιμῶνται· καὶ οὕτω συνίστανται καὶ συνεύχονται τοῖς πιστοῖς.

# ΚΑΝΟΝΕΣ

## ΤΗΣ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. ΒΑΛΣ. Ἡ ἐν Νεοκαισαρείᾳ τῇ κατὰ Πόντον συστᾶσα σύνοδος, δευτέρα μέν ἐστι τῆς ἐν Ἀγκύρᾳ, τῶν δὲ λοιπῶν προγενεστέρα, καὶ αὐτῆς τῆς πρώτης οἰκουμενικῆς τῆς ἐν Νικαίᾳ. Οἱ γοῦν ἐν ταύτῃ συναθροισθέντες ἅγιοι Πατέρες, οἷς συνῆν καὶ ὁ ἅγιος μάρτυς Βασίλειος, ἐπίσκοπος Ἀμασείας, κανόνας ἐπὶ καταστάσει ἐκκλησιαστικῇ ἐξεφώνησαν, οἵτινές εἰσιν οὗτοι.

### Κανὼν Α΄.

Πρεσβύτερος, ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι(2)· ἐὰν δὲ πορνεύσῃ, ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον, καὶ ἄγεσθαι εἰς μετάνοιαν (3).

—

ΖΩΝΑΡ. Ἐὰν γάμον νόμιμον τάχα ἑαυτῷ πρεσβύτερος συναλλάξῃ, μετατίθεται τῆς τάξεως αὐτοῦ, ἀντὶ τοῦ, ἐκβάλλεται τῆς ἱερωσύνης, καθαιρεῖται γάρ. Ἐὰν δὲ πορνεύσῃ, ἢ μοιχεύσῃ, τελείως ἐξωθεῖται τῆς ἐκκλησίας, καὶ εἰς μετανοούντων ἄγεται τόπον, ὥστε προσκλαίειν, καὶ ἀκροᾶσθαι, καὶ τὰ λοιπὰ ἀναπληροῦν. Ὁ δὲ μέγας Βασίλειος, ἐν λϐ΄. κανόνι, ταῦτα λέγει ῥητῶς· Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Τὰ αὐτὰ δὲ τῷ μεγάλῳ Βασιλείῳ καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος διατάττεται ἐν τῷ κζ΄. κανόνι αὐτῆς. Ζητητέον οὖν τὰ ἐκεῖ εἰρημένα.

---

(1) Χ. Τρ. Βενερ. — Κανόνες τῶν ἐν Νεοκαισαρείᾳ συνελθόντων ἁγίων καὶ μακαρίων Πατέρων, οἵτινες δεύτεροι μὲν εἰσι τῶν ἐν Ἀγκύρᾳ, τῶν δὲ ἐν Νικαίᾳ προγενέστεροι, διὰ δὲ σεβασμιότητα προτέτακται αὐτῶν ἡ ἐν Νικαίᾳ—Κ. Βρ. —

2) Π. Χ. Τρ. Ἑ. Κ. Βρ. Σ. Ρ̓. — τῆς τάξεως αὐτοῦ μετατιθέσθω . . . ἐξωθείσθω τέλειον καὶ ἀγέσθω εἰς μετάνοιαν. Βενερ.

Οἶμαι δὲ καὶ τοῦ μεγάλου Βασιλείου, καὶ τῆς ἐν Καρθαγένῃ συνόδου, ἐπικρατεστέρους εἶναι, ὡς μεταγενεστέρους, καὶ ὡς τῷ ἀποστολικῷ συμφωνοῦντας κανόνι, ὃς τοὺς ἐπὶ πορνείᾳ ἁλόντας ἱερωμένους καθαιρεῖσθαι καὶ μὴ ἀφορίζεσθαι λέγει (1).

ΒΑΛΣ. Ὁ ἀποστολικὸς κϛʹ. κανὼν, τοὺς τοῦ βήματος συναπτομένους μετὰ τὴν χειροτονίαν γυναιξὶ κατὰ νόμον γάμου, καθαιρεῖσθαι διατάττεται· καὶ ὁ παρὼν κανὼν, παρομοίως αὐτῷ διορίζεται. Ἐπάγει δὲ, ὅτι, ἐάν τις ἐξ αὐτῶν πορνεύσῃ, ἢ μοιχεύσῃ, οὐ μόνον καθαιρεθήσεται, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν κοινωνίας ἐκβληθήσεται, καὶ ἀναγκασθήσεται τοὺς τέσσαρας τόπους τῆς μετανοίας διελθεῖν, καὶ οὕτω μετασχεῖν (2) τῶν θείων ἁγιασμάτων. Τὰ περὶ τούτων δὲ ἀνῃρέθησαν ἀπὸ τοῦ κζʹ. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἀπὸ τοῦ λϐʹ. κανόνος τοῦ μεγάλου Βασιλείου, λέγοντος· Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται· οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΑΡΙΣΤ. Γήμας πρεσβύτερος, μετατιθέσθω τῆς τάξεως· ἐξωθείσθω δὲ μοιχεύσας, ἢ πορνεύσας, καὶ ἀγέσθω εἰς μετάνοιαν.

Ὁ γυναῖκα λαβὼν πρεσβύτερος, τῆς μὲν ἱερωσύνης μεταχινεῖται, τῆς δὲ τιμῆς καὶ τῆς καθέδρας μετέχει. Ὁ δὲ πορνεύσας, ἢ μοιχεύσας, τέλεον ἐξωθεῖται, καὶ εἰς μετάνοιαν ἄγεται.

## Κανὼν Βʹ.

Γυνὴ, ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου (3)· πλὴν ἐν τῷ θανάτῳ διὰ τὴν φιλανθρωπίαν εἰποῦσα, ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἕξει τὴν μετάνοιαν. Ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν τοιούτῳ γάμῳ οὖσα, ἤτοι ὁ ἀνὴρ, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

---

ΖΩΝΑΡ. Ἐὰν γυνὴ κατὰ γάμον δύο ἀδελφοῖς συνοικήσῃ,

(1) Βευερ. Χ. Τρ.—Τὰ ἀπὸ τοῦ, καὶ ὡς τῷ ἀποστολικῷ συμφωνοῦντας κανόνι, ἕως τοῦ τέλους τῆς ἑρμηνείας, οὐ κεῖται παρὰ Κ. εἰ μὴ μόνον λατινιστί.— (2) μεταλαβεῖν Ε. — (3) ὁ Βευερ. προστίθησι, μὴ πειθομένη λῦσαι τὸν γάμον.

ἐξωθείσθω τῆς ἐκκλησίας μέχρι θανάτου, μὴ πειθομένη λῦσαι τὸν γάμον· εἰ δὲ θνήσκουσα ἐπαγγέληται, ὅτι ὑγιάνασα λύσει τὸν γάμον, τεύξεται τῆς ἁγίας μεταλήψεως τότε, καὶ ἀναῤῥωσθεῖσα ἕξει μετάνοιαν, ἀντὶ τοῦ, δεχθήσεται εἰς μετάνοιαν. Ἐὰν δὲ τὸ ἓν τῶν προσώπων τούτων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι· ὁ γὰρ μετανοῶν, ἀφιστάμενος τῆς ἁμαρτίας, πιστεύεται μετανοεῖν· εἰ δ' ἔτι τὸ κακὸν πράττει, πῶς λογισθήσεται μεταμέλεσθαι, ἢ πῶς δεχθήσεται εἰς μετάνοιαν; Ὁ δὲ μέχρι θανάτου τῆς γυναικὸς μὴ ἀποστὰς τῆς ἀθεμιτογαμίας, δείκνυσιν, ὅτι, εἰ καὶ ἔτι περιῆν, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας. Ὡς γοῦν ὅσον τὸ ἐπ' ἐκείνῳ (1) τῷ κακῷ ἐπιμένων, δυσχέρειαν ἕξει πρὸς τὴν μετάνοιαν. Καὶ ὥσπερ ὁ μέγας Βασίλειος ἐν λθ'. κανόνι φησίν· Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον· οὕτω καὶ ὁ ἀθεμιτογαμῶν (2), ἕως ἂν μὴ λύσῃ (3) τὸν ἀθέμιτον γάμον, ἁμαρτάνει, καὶ εἰς μετάνοιαν ἄδεκτος ἔσται.

**ΒΑΛΣ.** Οἱ τῆς παρούσης συνόδου ἅγιοι Πατέρες διώκουσιν ἀπὸ τῆς ἐκκλησίας μέχρι θανάτου, ἤγουν μέχρις ἂν τῷ βίῳ περίεστι, τὴν λαβοῦσαν κατὰ νόμον γάμου δύο ἀδελφούς, καὶ μὴ ἀποστᾶσαν τῆς ἀθεμιτογαμίας. Ὡς δέ τινος εἰπόντος, εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ τότε τῶν θείων ἁγιασμάτων ἀξιωθήσεται; ἐπήγαγον, ὡς, εἴπερ ἐν τῷ τελευτᾶν ἡ τοιαύτη γυνὴ κατάθηται διαζευχθῆναι μετὰ ὑγείαν, τότε μὲν μεταλαβεῖν παραχωρηθήσεται· μετὰ δὲ τὸ ἀπαλλαγῆναι τῆς νόσου, καὶ ἀποστῆναι τῆς ἀθεμιτογαμίας, προσδεχθήσεται εἰς μετάνοιαν. Καὶ τοῦτο μὲν γενήσεται, ὅταν προβῇ ἐν ζωῇ αὐτῶν διαζύγιον. Ἐὰν δὲ τὸ ἓν τῶν προσώπων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι· ὁ γὰρ μετανοῶν, ἀφιστάμενος τῆς ἁμαρτίας, πιστεύεται μετανοεῖν· ὁ δὲ μέχρι θανάτου μὴ ἀποστὰς αὐτῆς δείκνυσιν, ὅτι, εἰ καὶ ἔτι περιῆν τὸ τελευτῆσαν μέρος, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας. Ὅτι οὖν ὁ ζῶν ἀναφαίνεται, ὅσον τὸ ἐπ' ἐκείνῳ, τῷ κακῷ ἐπιμένων, δυ-

(1) Χ. Τρ. — τὸ ὑπ' ἐκείνῳ Κ. Βιυερ. — (2) Χ. Τρ. Κ. — ἀθεμιτουργῶν Βιυερ. — (3) ἕως ἂν λύσῃ Χ. Τρ.

σχέρειαν ἕξει πρὸς τὴν μετάνοιαν. Τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἐναντιοῦσθαι τῷ παρόντι κανόνι τὸν τοῦ μεγάλου Βασιλείου οή. κανόνα, λέγοντα, Τὸν δύο ἀδελφὰς εἰς συνοικέσιον ἀγαγόμενον, μετὰ ἑπταετίαν ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Ὁ μὲν γὰρ παρὼν κανὼν νομοθετεῖ περὶ γυναικὸς ἀθέμιτον γάμον ποιησάσης, καὶ μὴ διαζευχθείσης ἐξ αὐτοῦ δι' ὅλης τῆς ζωῆς αὐτῆς, καὶ διὰ τοῦτο οὔσης ἀπαραδέκτου εἰς μετάνοιαν· ὁ δὲ ῥηθεὶς θεματίζει τὸν ἀθεμιτογαμήσαντα ἀποστῆναι τῆς ἁμαρτίας, καὶ διὰ τοῦτο προσδέχεται αὐτὸν εἰς μετάνοιαν. Ἀνάγνωθι καὶ τὸν λθ'. κανόνα τοῦ ἁγίου Βασιλείου, ὀνομάζοντα μοιχαλίδα τὴν ἔτι τῷ μοιχῷ συζῶσαν· ὥστε σημείωσαι, ὅτι τῷ ἁμαρτάνοντι καὶ ἀφισταμένῳ τοῦ κακοῦ, ἐπιτίμια δίδονται, οὐ μὴν τῷ ἐπιμένοντι· οὗτος γὰρ πάντη ἀπόβλητος ἐστίν. Ἐρωτήσει δέ τις· εἰ δὲ οὐ θελήσει ἡ ῥηθεῖσα γυνὴ καταθέσθαι τὴν μετὰ τὴν ὑγείαν ἀπόστασιν τοῦ (1) ἀθεμίτου γάμου, οὐ μετάσχῃ τελευτῶσα τῆς ἁγίας μεταλήψεως; Λύσις. Ὁ μὲν παρὼν κανὼν οὐδέν τι περὶ τούτου φησίν· οἶμαι δὲ ἀσυμπαθὲς εἶναι τὸ μὴ ἀξιωθῆναι ταύτην τοῦ καλοῦ ἐφοδίου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, ὀρθόδοξον οὖσαν· διὸ κἂν μὴ ποιήσῃ τοιαύτην κατάθεσιν, διὰ τῆς θείας μεταλήψεως ἐφοδιασθήσεται. Καὶ εἰ μὲν ὑγιάνασα λύσῃ τὸν ἀθέμιτον γάμον, παραδεχθήσεται εἰς μετάνοιαν· εἰ δὲ μή, τῆς ἐκκλησίας παντάπασιν ἐξοστρακισθήσεται, ὡς τῷ κακῷ ἐπιμένουσα.

ΑΡΙΣΤ. Ἡ ἀδελφοῖς γημαμένη δυσί, διὰ βίου ἐξωθείσθω· εἰ δὲ κατὰ τὸν θάνατον ὑπισχνοῖτο λύσειν τὸν γάμον, ἂν ἐπιβιώῃ, ἕξει μετάνοιαν· εἰ δὲ τελευτήσει τῶν συνοίκων ὁ εἷς, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

Ἡ δυσὶν ἀδελφοῖς γαμηθεῖσα, καὶ τῷ ἀθεμίτῳ γάμῳ ἐπιμένουσα, διὰ βίου παντὸς αὐτῆς ἐξωθείσθω τῆς ἐκκλησίας. Ζήτει καὶ τοῦ μεγάλου Βασιλείου κανόνα κγ'. Εἰ δὲ πρὸς θάνατον ἐλθοῦσα ὑποσχεθῇ λύσειν τὸν γάμον, ἐὰν ἐπιζήσῃ, δέχεται εἰς μετάνοιαν· ὅπως δέ, ζήτει κανόνα ξζ'. καὶ ξη'. τοῦ μεγάλου Βασιλείου. Ὡς δέ τινος εἰπόντος, εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ

(1) τοῦ τοιούτου ἀθεμίτου Βευερ.

τότε τῶν θείων ἁγιασμάτων ἀξιωθήσεται; ἐπήγαγον, ὡς, ἐὰν δὲ ἐν τῷ παρανόμῳ τούτῳ γάμῳ ὁ εἷς ἐξ αὐτῶν τελευτήσῃ, δυσχερὴς τῷ ζῶντι ἡ μετάνοια, διὰ τὸ μὴ διακοπῆναι τὸ ἄθεσμον παρὰ τὴν αὐτοῦ γνώμην τε καὶ προαίρεσιν.

## Κανὼν Γ'.

**Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων ὁ μὲν χρόνος σαφὴς ὁ ὡρισμένος, ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν συντέμνει τὸν χρόνον.**

—

ΖΩΝΑΡ. Ἐν τετάρτῳ κανόνι ὁ μέγας Βασίλειος τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφορίζεσθαι λέγει· καὶ τοῦτον τὸν χρόνον, οὐκ ἀπὸ κανόνος εἶναί φησιν, ἀλλ' ἐκ συνηθείας, καὶ τῆς τῶν προειληφότων ἀκολουθίας· καὶ τὴν τριγαμίαν δὲ, εἰς πολυγαμίαν ἀνάγει. Τίνα δὲ λέγει χρόνον ὡρισμένον ὁ παρὼν κανὼν, ἠγνόηται· προγενεστέρα γάρ ἐστι πολλῷ τοῦ μεγάλου Βασιλείου ἡ σύνοδος αὕτη, καὶ παντελῶς εἰ ὥριστο πρὸ ταύτης χρόνος ἐπὶ τῶν τριγάμων, οὐκ ἂν ἠγνοήθη τῷ τὰ πάντα σοφῷ Βασιλείῳ· εἰ μήπου λέγει καὶ αὕτη ἡ σύνοδος ὡρισμένον χρόνον τὴν συνήθειαν. Ὁ μὲν οὖν χρόνος, φησὶν, ὡρισμένος ἐστίν· ἡ δὲ τῶν ἐπὶ τριγαμίᾳ μετανοούντων ἀναστροφὴ, καὶ ἡ πίστις ἡ πρὸς τὸν Θεὸν, συντέμνει τὸν χρόνον· εἰ γὰρ ὁ τούτους οἰκονομῶν ὁρᾷ αὐτοὺς σπουδὴν ἐνδεικνυμένους, καὶ θερμότητα περὶ τὴν μετάνοιαν, καὶ οὐκ ἀπογινώσκοντας, ἀλλὰ πιστεύοντας, ὅτι διὰ τὴν πολλὴν ἀγαθότητα τοῦ Θεοῦ ἀφεθήσεται αὐτοῖς τὸ ἁμάρτημα, συντεμεῖ τὸν χρόνον καὶ ἐλαττώσει αὐτόν.

ΒΑΛΣ. Τοὺς πολυγάμους φησὶν ὁ κανὼν ἐπιτιμᾶσθαι διὰ χρόνου ὡρισμένου, ἤτοι προεγνωσμένου ἀπὸ συνηθείας. Πλὴν παρὰ τῇ ἐπισκοπικῇ διακρίσει ἐστὶ καὶ τὸν τοιοῦτον χρόνον συντεμεῖν διὰ τὴν ἀγαθὴν τοῦ ἡμαρτηκότος (1) ἐπιστροφήν. Ἐπεὶ δὲ ἀπὸ τούτου οὐ παρίσταται τίνες εἰσὶν οἱ πολυγαμοῦντες, οὐδὲ τίς ἐστιν ὁ ὡρισμένος χρόνος, κἀντεῦθεν ἄλλως καὶ ἄλλως τὰ περὶ τούτου ἐξελήφθησαν, οὐδὲ ἡμεῖς ἠδυνήθημεν γράψαι τι

(1) Χ. Τρ. — τοῦ ἁμαρτάνοντος Ἑ. Βευερ.

ἐνταυθοῖ. Ἐν μέν τοι τῷ δ'. κανόνι τοῦ μεγάλου Βασιλείου, τοῦ Θεοῦ διδόντος, εἴποιμεν τὰ εἰκότα περὶ τῶν τριγάμων καὶ πολυγάμων, καὶ περὶ τοῦ χρόνου τῶν διδομένων ἐπιτιμίων ἑκάστῳ αὐτῶν.

ΑΡΙΣΤ. Τῶν πολυγάμων ὁ χρόνος σαφής· τὸ δὲ τῆς μετανοίας σπουδαῖον αὐτὸν ὑποτέμνεται.

Ὁ χρόνος τῆς ἐπιτιμίας τῶν τριγάμων καὶ πολυγάμων κεῖται ἐν τῷ τετάρτῳ κανόνι τοῦ μεγάλου Βασιλείου, καὶ ἐν τῷ ὀγδοηκοστῷ κανόνι αὐτοῦ. Ἐπὶ πέντε γὰρ ἔτεσι, φησὶ, τὸν τρίγαμον ἀφορίζεσθαι· πλὴν μὴ πάντη ἀπείργειν αὐτὸν τῆς ἐκκλησίας, ἀλλ' ἐν δυσὶν, ἢ καὶ τρισὶν ἔτεσιν, τῆς τῶν θείων Γραφῶν ἀκροάσεως αὐτὸν ἀξιοῦν, καὶ μετὰ ταῦτα, μέχρι τοῦ πληρωθῆναι τὴν πενταετίαν, συστήκειν μετὰ τῶν πιστῶν· τῆς δὲ τοῦ ἀγαθοῦ κοινωνίας ἀπέχεσθαι· καὶ οὕτω, γνησίως μετανοοῦντα, εἰς κοινωνίαν παραδεχθῆναι. Τοὺς δὲ πολυγάμους, ὡς πλέον τι καὶ πορνείας ἁμαρτάνοντας, ἐνιαυτὸν προσκλαίειν, τρεῖς ὑποπίπτειν, καὶ οὕτω δέχεσθαι μετὰ τῶν πιστῶν. Παρὰ τῇ ἐξουσίᾳ δὲ κεῖται τοῦ ἐπισκόπου, ὡς ὁ παρὼν κανὼν λέγει, ἐλαττῶσαι τὸν χρόνον τῆς μετανοίας, πρὸς τὴν διαγωγὴν καὶ τὴν πίστιν ὁρῶντος τοῦ μετανοοῦντος.

## Κανὼν Δ'.

Ἐὰν πρόθηταί τις, ἐπιθυμήσας (1) γυναικὸς, συγκαθευδῆσαι μετ' αὐτῆς (2), μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐῤῥύσθη.

---

ΖΩΝΑΡ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς, οἱ ἅγιοι Πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν, καὶ πρᾶξιν· ὧν τὰς δύο καὶ πρώτας ἀνεπιτιμήτους εἶναι, τὰς δὲ μετ' αὐτὰς δύο ὑπὸ ἐπιτίμιον· οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς καὶ παλαίσας ἀπεπέμψατο τὸ ἐνθύμημα· ἡ δὲ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. Ἐὰν οὖν ἐπιθυμία προσέβαλέ τινι γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ,

(1) Βενερ. — ἐπιθυμῆσαι Βρ. — (2) αὐτῇ Βενερ.

οὐκ ἦλθε δὲ εἰς ἔργον, τουτέστιν, οὐ τὴν πρᾶξιν ἐπλήρωσε, φαίνεται, ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐῤῥύσατο· πλὴν οὐκ ἀνεπιτίμητος ἔσται. Καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον γίνεται· καὶ τοῦτο δῆλον ἐκ τοῦ ἑβδομηκοστοῦ κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος· Διάκονος ἐν χείλεσι μιανθεὶς, ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται· τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος· εἰ δέ τι πλέον φωραθῇ τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεθήσεται. Ἐντεῦθεν δῆλον, ὅτι ἄλλο δηλοῖ τὸ, ἐπισχεθήσεται, ὡς εἴρηται, δηλαδὴ τὸ, προσκαίρως τῆς λειτουργίας εἰρχθήσεται· εἰ καί τισιν οὐχ οὕτω νοεῖται, οἷς καὶ τὸ χείλεσι μιανθῆναι ἑτέρως ἐκλαμβάνεται, οὐκ εὐσόχως μέντοι, ὡς οἶμαι.

ΒΑΛΣ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς, οἱ ἅγιοι Πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν, καὶ πρᾶξιν· ὧν τὰς δύο τὰς πρώτας ἀνεπιτιμήτους εἶναι, τὰς δὲ μετ' αὐτὰς, δύο ὑπὸ ἐπιτίμιον· οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς, καὶ παλαίσας, ἀπεπέμψατο τὸ ἐνθύμιον· ἡ δὲ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. Ἐὰν οὖν ἐπιθυμία προσέβαλέ τινι γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ, οὐκ ἦλθε δὲ εἰς ἔργον, ἤτοι οὐκ ἐπλήρωσε τὴν πρᾶξιν, φαίνεται, ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐῤῥύσατο. Πλὴν οὐκ ἀνεπιτίμητος ἔσται, καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον γίνεται· καὶ τοῦτο δῆλον ἐκ τοῦ ό. κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος· Διάκονος ἐν χείλεσι μιανθεὶς, ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται· τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. Εἰ δέ τι πλέον φωραθῇ τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται. Τὸ μέντοι μιανθῆναι ἐν χείλεσι, τινὲς ἄλλως ἑρμηνεύουσι· καὶ ῥηθήσεται τὰ περὶ τούτου ἐν τῷ ό. κανόνι τοῦ ἁγίου Βασιλείου·

**ΑΡΙΣΤ.** Ὁ ἐπιθυμήσας μὲν, μὴ δράσας δὲ, Θεῷ ἐῤῥύσθη.

Ὅστις μέχρι ψιλῆς προθέσεως συγκαθευδῆναι γυναικὶ ἐπεθύμησεν, ἐχόμενον δέ τι σπουδῆς οὐκ ἔπραξε, οὔτε [εἰς] ἔργον ἡ ἐνθύμησις αὐτοῦ ἦλθε, φαίνεται, ὡς ἀπὸ τῆς ἄνωθεν ἐῤῥύσθη χάριτος· εἰ γὰρ καὶ ἐπεθύμησε, καὶ ἐσπούδασε, καὶ μέσοις τισὶν εἰς ἀπάρτισιν τοῦ μέσου ἐχρήσατο, ἀποτέλεσμα δὲ ἡ σπουδὴ αὐτοῦ οὐκ ἔσχε, διά τινα παρεμπεσόντα ἐμπόδια ἔξωθεν, ἐπιτιμίοις ὑπόκειται· ὡς ὁ ἑβδομηκοστὸς κανὼν τοῦ ἁγίου Βασιλείου διαγορεύει περὶ τοῦ ἐν χείλεσι μιανθέντος διακόνου.

## Κανὼν Ε'.

**Κατηχούμενος, ἐὰν εἰσερχόμενος εἰς Κυριακὸν, ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνῃ (1), ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω.**

---

**ΖΩΝΑΡ.** Δύο τάξεις ἦσαν τῶν κατηχουμένων τὸ παλαιόν· οἱ μὲν γὰρ πιστοὶ ὄντες, ὑπερτιθέμενοι δὲ τὸ βάπτισμα, μετὰ τῶν κατηχουμένων ἵσταντο, καὶ, τῆς ἐπὶ κατηχουμένοις εὐχῆς λεγομένης, ἔκλινον τὸ γόνυ· ὅτε δὲ ἐξεφωνήθη τὸ, οἱ Κατηχούμενοι προέλθετε, τότε ἐξήρχοντο· οἱ δὲ ἄρτι προσελθόντες καὶ ἀτελέστεροι ὄντες, τῶν ἁγίων Γραφῶν ἤκουον, καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου ἀπῄεσαν. Ὅταν οὖν ὁ κατηχούμενος ἁμαρτάνῃ, εἰ μὲν τῶν τελεωτέρων τὸ γόνυ κλινόντων, δηλονότι ἐν τῇ εὐχῇ ἐστιν, ἀκροάσθω, τουτέστι μετὰ τῶν μέχρις ἀκροάσεως ἱσταμένων στήτω, εἰ ἀπόσχηται τοῦ ἁμαρτάνειν· εἰ δὲ τῶν ἀκροωμένων ἐστὶν, ἔτι καὶ ἁμαρτάνει, ἐξωθείσθω, ἀντὶ τοῦ ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων.

**ΒΑΛΣ.** Δύο τάξεις τῶν κατηχουμένων εἰσίν· οἱ μὲν γὰρ ἄρτι προσέρχονται, καὶ, ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν Γραφῶν καὶ τῶν θείων Εὐαγγελίων εὐθὺς ἐξίασιν· οἱ δὲ ἤδη προσῆλθον, καὶ γεγόνασι τελεώτεροι, ὅθεν καὶ τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένοντες, τὸ γόνυ κλίνουσιν ἐν ταύτῃ·

---

(1) Χ. Τρ. — ἁμαρτάνων Βευερ. Ἐ. Κ. Βρ. = Φανῇ ἁμαρτάνων Σ. Ρ.

ὅταν δὲ ἐκφωνηθῇ τὸ, Οἱ κατηχούμενοι προέλθετε, τότε ἐξέρχονται καὶ οὗτοι. Φησὶν οὖν ὁ κανὼν, ὅτι, ἐὰν κατηχούμενος ἁμαρτάνῃ, εἰ μὲν τῶν τελεωτέρων ἐστὶν, ἐὰν ἀπόσχηται τοῦ ἁμαρτάνειν, ἐλθέτω εἰς τὸν τόπον τῶν ἀτελεστέρων, τουτέστι, στήτω μέχρι τοῦ Εὐαγγελίου ἐν τῷ ναῷ· εἰ δὲ τῶν ἀτελεστέρων, τῶν καὶ ἀκροάσεως μόνης ἀξιουμένων, καὶ οὐκ ἀφίσταται τῆς ἁμαρτίας, ἐξωθείσθω, ἀντὶ τοῦ, ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων. Τί δέ; ἐὰν ἀποστῇ ὁ ἀτελέστερος τῆς ἁμαρτίας, οὐκ ἐπιτιμηθήσεται, καθὼς ὁ τελεώτερος, ἀλλ' εἰς τὸν πρότερον τόπον στήσεται; Λύσις. Δύο τόποι εἰσὶ τῶν κατηχουμένων, ὡς εἴρηται, ὁ μέχρι τῆς ἀναγνώσεως τῶν θείων Εὐαγγελίων, καὶ ὁ μέχρι τῆς ἐξελεύσεως τῶν κατηχουμένων· οἱ γοῦν τελεώτεροι ἁμαρτάνοντες, καὶ ἀφιστάμενοι, μικρὸν ὑποβιβασθήσονται εἰς τὸν τόπον τῶν ἀτελεστέρων· μὴ ἀφιστάμενοι δὲ, εἰς τὸν τόπον τῶν προσκλαιόντων στήσονται· οἱ δὲ ἀτελέστεροι ἁμαρτάνοντες, μὴ ἀφιστάμενοι μὲν, εἰς τὸν τόπον τῶν προσκλαιόντων ἀπαχθήσονται· ἀφιστάμενοι δὲ, οὐκ ἔχουσι τόπον ἔνθα καταταχθήσονται. Εἰ γὰρ εἴπωμεν τούτους μετὰ τῶν προσκλαιόντων στῆναι, ἀπογνώσεως θλίψει καταβαπτίσομεν, καὶ οὐδεμία ἔσται διαφορὰ ἀφισταμένων καὶ μὴ ἀφισταμένων· διά τοι τοῦτο, ὡς ἀποστάντες τοῦ κακοῦ, στήσονται καὶ πάλιν μετὰ τῶν ἀκροωμένων.

ΑΡΙΣΤ. Ὁ ἐν τῷ κατηχεῖσθαι ἁμαρτάνων, ἐὰν γόνυ κλίνων μηκέτι ἁμαρτάνῃ, ἀκροάσθω· εἰ δὲ καὶ ἀκροώμενος ἁμαρτάνοι, τέλεον ἀπωθείσθω.

Δύο εἴδη τῶν κατηχουμένων εἰσίν· οἱ μὲν γὰρ ἄρτι προσέρχονται· διὸ καὶ ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν Γραφῶν, καὶ τῶν θείων Εὐαγγελίων, εὐθὺς ἐξίασιν· οἱ δὲ πρὸ καιροῦ προσῆλθον, καὶ γεγόνασι τελεώτεροι· ὅθεν καὶ μετὰ τὸ Εὐαγγέλιον, τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένουσι, καὶ ἐν τῷ προσφωνεῖσθαι τὸ, Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε, τὸ γόνυ κλινοῦσιν. Οἱ γοῦν τελεώτεροι, ὡς γευόμενοι καλοῦ Θεοῦ ῥήματα, καὶ παραπεσόντες, μετακινοῦνται τῆς στάσεως, καὶ τοῖς ἀκροωμένοις συντάττονται· εἰ δὲ καὶ ἀκροώμενοι ἁμαρτάνουσι, τῆς ἐκκλησίας τέλεον ἐξωθοῦνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ϛ'.

Περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι, ὁπότε βούλεται· οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ· διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

---

ΖΩΝΑΡ. Τὰς ἐν τῇ γαστρὶ φερούσας δεῖ βαπτίζειν, φησὶν ὁ κανὼν, ὅτε βούλονται. Τινῶν δὲ λεγόντων, ὅτι λοιπὸν τὸ κυοφορούμενον συμβαπτίζεται τῇ μητρὶ, καὶ οὐ χρὴ αὐτὸ μετὰ τὸ γεννηθῆναι βαπτίζεσθαι, ἵνα μὴ δὶς δοκῇ βαπτίζεσθαι, ἐπήγαγε τὸ, οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ, ἀντὶ τοῦ, αὐτὴ γὰρ μόνη τοῦ ἁγίου ἀξιοῦται βαπτίσματος, καὶ οὐχὶ κἀκεῖνο διὰ μέσης αὐτῆς· ὅτι, φησὶν, ἐπὶ τῇ ὁμολογίᾳ τοῦ (1) συντάττεσθαι τῷ Χριστῷ ἡ ἑκάστου προαίρεσις ἀπαιτεῖται, καὶ ἐξ αὐτῆς δείκνυται, εἰ προθύμως πρόσεισι τῷ ἁγίῳ βαπτίσματι. Ἐπεὶ δὲ τὸ ἔμβρυον ἐστέρηται προαιρέσεως, οὐδὲ βαπτίζεσθαι δοκεῖ, ὥστε αὐτὸ χρήζει αὖθις βαπτίσματος, ὅτε προαιρεῖσθαι δυνήσεται.

ΒΑΛΣ. Τινὲς ἔλεγον, μὴ ὀφείλειν βαπτίζεσθαι τὰς ἐξ ἀπίστων τῇ ἐκκλησίᾳ προσερχομένας κυοφορούσας, ἀλλ' ἀναμένειν τὴν εἰς τὸ φῶς τοῦ τοκετοῦ ἐξέλευσιν, ἵνα μὴ, ταύτης βαπτιζομένης, δόξῃ συμβαπτίζεσθαι καὶ τὸ ἐγκυμονούμενον, ὡς ἡνωμένον διόλου αὐτῇ, κἀντεῦθεν μετὰ τὸ γεννηθῆναι, ἢ ἀφώτιστον καταλειφθῇ, ἢ βαπτιζόμενον, λογισθῇ καὶ αὖθις βαπτίζεσθαι. Οἱ γοῦν Πατέρες, τὴν ἀντίθεσιν ταύτην μὴ παραδεξάμενοι, ὥρισαν ἀποκριματίστως βαπτίζεσθαι τὰς κυοφορούσας, ὅτε βούλοιντο, διὰ τὸ μηδεμίαν κοινωνίαν ὑπεῖναι τῇ τικτούσῃ μετὰ τοῦ τικτομένου, ὅσον εἰς τὸν λόγον τοῦ φωτίσματος· ἄλλως δὲ, φασὶν, ἀναγκαία ἐστὶν ἡ ἑκάστου ὁμολογία ἐν τῷ βαπτίζεσθαι, τὸ δὲ ἔμβρυον, στερημένον διαθέσεως, οὐ δύναται τὰς ἐπὶ τῷ βαπτίσματι ὁμολογίας ποιῆσαι. Προσετέθη δὲ τῷ κανόνι τὸ, ὅτε βούλοιντο, διὰ τοὺς λέγοντας, πρὸ μὲν τοῦ εἰδοποιηθῆναι τὸ ἔμβρυον εἰς ἄνθρωπον, ἀκινδύνως βαπτίζεσθαι τὴν μητέρα ἐγκυ-

---

(1) Χ. Τρ. — τὸ, τοῦ, οὐ κεῖται παρὰ Κ, καὶ Βιυιρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μονοῦσαν, μετὰ δὲ τοῦτο οὐ καλῶς αὐτὴν βαπτίζεσθαι, διὰ τὸ εἶναι τοιαύτης διαθέσεως τὸ ἐγκυμονούμενον, οἵας εἰσὶ καὶ τὰ ἀρτιγέννητα νήπια, τὰ μὴ δυνάμενα ὁμολογεῖν. Τῷ τοι (1) καὶ εἶπον οἱ Πατέρες, ἐπ' ἀδείας ἔχειν τὴν ἐγκυμονοῦσαν, ὅτε θέλει βαπτίζεσθαι· τὰ μὲν γὰρ ἔμβρυα, ὅπως ἔχουσι διαθέσεως, οὐδεὶς περιεργάζεσθαι δύναται, ἢ ἀναδέξασθαι· τὰ δὲ νήπια διὰ τῶν ἀναδεχομένων αὐτὰ κατατίθενται, καὶ πραγματικῶς φωτιζόμενα, θείας καταξιοῦνται ἐλλάμψεως. Ἀνάγνωθι καὶ τὰ ἐν τῷ ι. κεφ. τοῦ δ'. τίτλου τοῦ παρόντος συντάγματος παρ' ἡμῶν γραφέντα.

ΑΡΙΣΤ. Ἡ κυοφοροῦσα, ὅτε θέλει, βαπτίζεται· ἑκάστου γὰρ ἡ προαίρεσις κρίνεται.

Οὐ γὰρ ἐμποδισθήσεται ἡ κυοφοροῦσα διὰ τὸ τικτόμενον βαπτισθῆναι· οὐδὲ γὰρ λογίζεται τὸ ἔμβρυον συμβαπτίζεσθαι τῇ τικτούσῃ, ὥστε, ἐὰν μετὰ τὸ γεννηθῆναι βαπτισθῇ, νομισθῆναι βαπτίζεσθαι δεύτερον· ἐκεῖνο γὰρ μήπω εἰς φῶς ἐλθόν, οὔτε καθ' ἑαυτὸ ὕπεστιν, οὔτε προαίρεσιν ἔχει.

## Κανὼν Ζ'.

**Πρεσβύτερον εἰς γάμους διγαμούντων (2) μὴ ἑστιᾶσθαι· ἐπεὶ μετάνοιαν αἰτοῦντος τοῦ διγάμου, τίς ἔσται ὁ πρεσβύτερος, ὁ διὰ τῆς ἑστιάσεως συγκατατιθέμενος τοῖς γάμοις. (3);**

---

ΖΩΝΑΡ. Ἡ διγαμία ὑπὸ ἐπιτίμιόν ἐστιν, ἐνιαυτὸν γὰρ τῆς ἁγίας μεταλήψεως εἴργεται· τὸ δὲ ἐπιτίμιον οἱ ἱερεῖς ἐπάγουσιν, εἰς μετάνοιαν ἐρχομένου τοῦ διγαμήσαντος. Ὁ γοῦν διὰ τῆς παρουσίας αὐτοῦ συναινεῖν δοκῶν τῷ δευτέρῳ γάμῳ ἱερεὺς τίς ἔσται, φησὶν ὁ κανὼν, τουτέστι, πῶς οὐκ αἰδεσθήσεται ἐπιτιμῶν τῷ δευτερογαμοῦντι ὁ διὰ τῆς παρουσίας αὐτοῦ συνευδοκῶν τῇ δευτερογαμίᾳ; Ἀλλὰ ταῦτα ἐν γράμμασιν· ἡμῖν δὲ καὶ πατριάρχης ὤφθη, καὶ μητροπολῖται διάφοροι, συνεστιώμενοι δευτερογαμήσαντι βασιλεῖ.

---

(1) Χ. Τρ.—διό τοι Βευερ. Ἑ.—(2) Π. Κ. Ἑ. Βρ.—εἰς γάμον διγαμοῦντος Χ. Τρ. Ζ. Ῥ. Βευερ. (3) τοῖς γάμοις συγκατατιθέμενος Σ. Ῥ.

ΒΑΛΣ. Ὁ διγαμήσας λαϊκὸς οὐ παραχωρεῖται μετασχεῖν τῶν θείων ἁγιασμάτων ἀπεντεῦθεν, ἀλλὰ μετὰ ἐνιαυτόν. Φησὶ γοῦν ὁ κανὼν, ὡς, ἐπεὶ τὸ ἐπιτίμιον τοῦτο παρὰ τοῦ ἱερέως ἐπάγεται τῷ διγαμήσαντι, οὐκ ὀφείλει οὗτος συνεστιᾶσθαι αὐτῷ εἰς τὸν γάμον· δοκεῖ γὰρ ὥσπερ διὰ τῆς παρουσίας συναινεῖν, καὶ οὐ δυνήσεται ἐπιτιμῆσαι τὸν διγαμήσαντα. Καλῶς οὖν διωρίσατο μὴ συνεστιᾶσθαι τούτῳ τὸν ἱερέα κατὰ τὸν καιρὸν τοῦ γάμου· μετὰ γὰρ τὸν γάμον, οὐ κωλυθήσεται συνανακεῖσθαι αὐτῷ, ὡς μηδὲ ἀκοινωνήτῳ ὄντι. Εἰπὼν δέ τις ποτὲ, ὀφείλειν τὸν διγαμήσαντα μετὰ τὴν ἀπόστασιν τῆς διγαμίας δέχεσθαι εἰς μετάνοιαν, καὶ ἐπιτιμᾶσθαι, (ἔτι γὰρ τοῦ γάμου συνισταμένου, ταῦτα χώραν οὐκ ἔχουσι κατὰ τὸν καθόλου κανόνα), ἤκουσε μὴ εἶναι τὸν γάμον ἀθέμιτον ὥστε διασπᾶσθαι, καὶ διὰ τοῦτο ἔῤῥωται μὲν, ἐπιτιμᾶται δὲ μετρίως, ὡς εἴρηται.

*Ἑτέρα ἑρμηνεία.*

Ὁ παρὼν κανὼν κωλύει τοὺς πρεσβυτέρους ἑστιᾶσθαι μετὰ διγάμων, καὶ παριστᾷ διὰ τούτου ἐπιτετιμημένον εἶναι τὸν δεύτερον γάμον. Τὸ αὐτὸ δὲ φαίνεται καὶ ἀπὸ τοῦ γ'. κανόνος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ ἀπὸ τοῦ δ'. κανόνος τοῦ ἁγίου Βασιλείου. Ἐπεὶ δὲ βλέπομέν τινας σκανδαλιζομένους ἐκ τοῦ μηδέ τινα *τῶν ἁπάντων* (1) δευτερογαμήσαντα ἐπιτιμηθῆναι ποτὲ, μηδὲ τὴν τοιαύτην ἱερολογίαν ἐμποδίζεσθαι, μᾶλλον μὲν οὖν καὶ ἔστιν ὅτε ἐπιτρέπεσθαι διὰ πιττακίου χαρτοφυλακικοῦ (2), εἴδομεν δὲ καὶ πατριάρχην, καὶ ἑτέρους ἀρχιερεῖς(3) συνεσθίοντας μετὰ δευτερογάμων(4) βασιλέων καὶ ἄλλων μεγιςάνων, φαμὲν, ὅτι κἂν ἐπιτιμίῳ καιρικῆς(5) ἀκοινωνησίας ἐκ τῶν ῥηθέντων κανόνων οἱ δευτερογαμοῦντες ὑπόκεινται, ἀλλ' ὁ τῆς ἑνώσεως τόμος, ὁ καταστρωθεὶς παρ' ἡμῶν εἰς τὸν δ'. κανόνα τοῦ ἁγίου Βασιλείου, ἐξισώσας τῷ πρώτῳ γάμῳ διόλου τὸν δεύτερον, καὶ εἰπὼν πότε καὶ οὗτοι ἐπιτιμᾶσθαι ὀφείλουσιν, ἔλυσε τὸ ἐπιτίμιον. Φησὶ γὰρ ἐν μέρει· Ταῦτα

(1) Χ. Τρ. — (2) Χ. Τρ. — χαρτοφύλακος Βευερ. — (3) Χ. Τρ. — καὶ ἀρχιερεῖς πολλοὺς Βευερ. — (4) Χ. Τρ. — διγαμούντων Βευερ. — (5) Χ. Τρ. — χρονικῆς Βευερ.

μὲν καὶ περὶ τοῦ τρίτου γάμου. Οὐ μὴν δὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν· ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν πονηρὰν αἰτίαν ἔχειν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμους καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων, καὶ πονηρᾶς ἀκαθαρσίας· καὶ ἐφεξῆς ἐπιτιμᾷ μὲν (1) τούτους μόνους· τοὺς δὲ λοιπούς, ἀνεπιτιμήτους συντηρεῖ.

ΑΡΙΣΤ. Οὐχ ἑστιᾶται πρεσβύτερος ἐπὶ διγάμοις· ἐκείνου γὰρ συγγνώμης δεομένου, τίς ἐκεῖνον ἀξιώσει συγγνώμης;

Ὁ ἱερεὺς εὐλογήσας τὸν δίγαμον, τῆς τραπέζης ὀφείλει ὑπαναχωρεῖν, καὶ μὴ συνεστιαθῆναι αὐτῷ. Εἰ γὰρ ὑπὸ ἐπιτίμιόν ἐστιν ὁ δίγαμος, ποία ἔσται τῷ πρεσβυτέρῳ συγγνώμη, τῷ διὰ ἑστιάσεως τοῖς τοιούτοις συγκατατιθεμένῳ γάμοις;

## Κανὼν Η'.

**Γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐὰν ἐλεγχθῇ (2) φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται. Ἐὰν δὲ καὶ (3) μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν· ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας (4).**

ΖΩΝΑΡ. Ἀνδρὸς λαϊκοῦ γυνὴ μοιχευθεῖσα, καὶ φανερῶς ἐλεγχθεῖσα, κωλύει τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν, τουτέστιν εἰς βαθμὸν ἱερατικόν τινα· πλὴν ἡ φανερῶς ἐλεγχθεῖσα, οὐχ ἡ ἐν ὑποψίᾳ (5) γενομένη, ἢ καὶ κατηγορηθεῖσα παρά τινος τῶν κατηγορεῖν δυναμένων (6) αὐτῆς προσώπων· οὐ γὰρ τῷ βουλομένῳ ἐφεῖται περὶ μοιχείας κατηγορεῖν, ἀλλὰ ῥητοῖς προσώποις. Ἐὰν δὲ καὶ ἱερωμένου γυνὴ μοιχευθῇ, ἀπολῦσαι αὐτὴν ὀφείλει, τουτέστι διαζυγῆναι αὐτῆς· εἰ δὲ συζῆν αὐτῇ βούλεται, κωλύεται τῆς ἐγχειριθείσης αὐτῷ διακονίας, ἤτοι τοῦ βαθμοῦ εἰς ὃν κατετάχθη· ἡ γὰρ μοιχευθεῖσα μεμίανται· ὁ δὲ ταύτῃ μιγνύμενος, ἓν σῶμα γίνεται· καὶ λοιπὸν με-

(1) Χ. Τρ. — ἐπιτιμῶμεν Βευερ. — (2) Π. Βρ. Ἑ. Κ. Σ. Ῥ. — ἐὰν γυνή... ἐλεγχθῇ Χ. Τρ. — (3) Χ. Τρ. Βευερ. Βρ. — δ, καὶ οὐ κεῖται ἐν Π. — (4) Π. Βρ. Ε. Κ. Σ. Ῥ. Βευερ. — διακονίας Χ. Τρ. Βευερ. — (5) ἐν ὑπολήψει Χ. Τρ. — (6) Χ. Τρ. Κ. — οὐ δυναμένων Βευερ.

τέχει κἀκεῖνος τοῦ μιάσματος· ὁ δὲ μεμιασμένος, πῶς δεχθήσεται εἴς τι θεῖον λειτούργημα;

ΒΑΛΣ. Ἔμαθες ἀπὸ διαφόρων νόμων (1), ὡς ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ, καὶ συμπαθεῖν τὸ ἁμάρτημα· ζήτει καὶ βασιλικῶν βιβλίον κή. τίτ. ζ΄. κεφ. ά. λέγον, ἐντὸς διετίας δύνασθαι τὸν ἄνδρα λαμβάνειν ἀκινδύνως ἐκ τοῦ μοναστηρίου τὴν οἰκείαν γυναῖκα, καταδικασθεῖσαν ὡς μοιχαλίδα, καὶ ἐγκλεισθεῖσαν· ἔκτοτε γὰρ κουρεύεται. Φησὶ τοίνυν ὁ κανὼν, ὡς, εἰ καὶ δύναται ὁ ἀνὴρ τοῦτο ποιεῖν, ἤγουν τὸ συμπαθεῖν τὸ ἁμάρτημα τῆς μοιχευθείσης γυναικὸς, ἀλλ' ἐπεὶ ὁ ιή. ἀποστολικὸς κανὼν οὐ παραχωρεῖ ἱερατικῷ καταλόγῳ συναριθμηθῆναι τὸν λαβόντα γυναῖκα πόρνην, ἢ ἐκβεβλημένην, ἢ σκηνικὴν, οὐδὲ οὗτος εἰς βαθμὸν ἱερατικὸν ἀναχθήσεται. Καὶ τοῦτο μὲν ἐὰν λαϊκοῦ τινος γυνὴ μοιχευθῇ. Ἐὰν δὲ ἱερωμένου, αὐτὸς μὲν, ὡς μηδέν τι πταίσας, ἐὰν διαζυγῇ αὐτῆς ἀπεντεῦθεν, ἔσται εἰς τὸν οἰκεῖον βαθμόν· εἰ δὲ οὐ θελήσει τοῦτο ποιῆσαι, ἀλλὰ συνδιάγει μετὰ τῆς μοιχαλίδος, καθαιρεθήσεται ὡς μετασχὼν τοῦ μιάσματος, διὰ τὸ συμμίγνυσθαι τῇ μοιχευθείσῃ. Ἐρωτήσει δέ τις· διὰ τί εἰπόντες περὶ μοιχαλίδος (2) γυναικὸς οἱ Πατέρες οὐκ ἠρκέσθησαν, ἀλλὰ προσέθεντο τὴν μοιχείαν φανερῶς ἐλεγχθῆναι; Λύσις. Διάφοροι νόμοι παρακελεύονται, μὴ ἄλλως τὴν γυναῖκα ὡς μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τουτέστι διὰ πέντε μαρτύρων ὀμνυόντων ἰδεῖν ἐπ' αὐτοφώρῳ τὴν μοιχείαν τελουμένην. Κατὰ τοῦτο γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ μοιχικὸν ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε, ἀνὴρ, πατὴρ, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, καὶ θεῖος πρὸς μητρός. Οὐδὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχεῦσαι καταδικάζεται, ὅπερ ἐστὶ καινόν (3). Προσέθεντο οὖν οἱ Πατέρες, ἐκείνην καταδικάζεσθαι ὡς μοιχαλίδα, τὴν ἐλεγχθεῖσαν διὰ φανερῶν ἀποδείξεων, ὡς εἴρηται, οὐ μὴν τὴν ὑποπτευθεῖσαν ἀπὸ ὁμιλίας ἢ συνοικήσεως, ἢ ἄλλης τινὸς αἰτίας. Τί δέ; ἐὰν ὁ λαϊκὸς μετὰ

(1) Χ. Τρ. — κανόνων Ἑ. — (2) Χ. Τρ. — περὶ μοιχείας Βευερ. Ἑ. — (3) καὶ καινὸν Βευερ.

τὸ μοιχευθῆναι τὴν γυναῖκα τούτου ἀπολύσῃ αὐτὴν, προαναβιβασθήσεται εἰς βαθμὸν, ὥσπερ οὐ καθαιρεῖται ὁ ἱερωμένος, ὁ ἀπολύσας τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ; Λύσις. Ἀπὸ τοῦ ιή. ἀποστολικοῦ κανόνος κωλύεται προαναβιβασθῆναι εἰς βαθμὸν ὁ γυναῖκα πόρνην ἀγόμενος· πολλῷ οὖν πλέον οὐ προαναβιβασθήσεται ὁ μετὰ μοιχαλίδος συμφθαρεὶς, κἂν ἐν ἀγνοίᾳ. Διὰ γὰρ τοῦτο καὶ οἱ Πατέρες, ἐπὶ μὲν τοῦ λαϊκοῦ διαίρεσιν οὐ πεποιήκασι, χάριν τοῦ ἀπολυθῆναι τὴν μοιχαλίδα, καὶ μὴ ἀπολυθῆναι, ἀλλ' ἀδιαστίκτως διωρίσαντο μὴ δύνασθαι τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν· ἐπὶ δὲ τοῦ ἱερέως, εἰσήγαγον τὴν διαίρεσιν. Ἔστι δὲ καὶ διαφορὰ τοῦ μήπω ἱερωθέντος καὶ τοῦ ἱερωθέντος, καὶ διά τι (1) πταῖσμα καθαιρεθῆναι μέλλοντος. Ὁ μὲν γὰρ, μὴ ἐπιτυχὼν πλείονός τινος, οὐ τοσοῦτον βαρυθυμήσει, ἀλλ' εὐχαριστήσει μᾶλλον, ὡς τῷ κανόνι μὴ προσκρούσας· ὁ δὲ, διά τι πταῖσμα ἑτέρου ἀφαιρούμενος τὸ προσὸν αὐτῷ ἀξίωμα, μεγάλως δεινοπαθήσει· τὸ γὰρ εἰς πεῖραν ἧκον ἀνιαρὸν εἰς ἀφαίρεσιν.

ΑΡΙΣΤ. Ὁ λαϊκὸς, οὗ ἡ γυνὴ μεμοίχευται, οὐ κληροῦται· καὶ ὁ ἐν κλήρῳ, εἰ κατέχει μοιχευθεῖσαν αὐτὴν, ἐκδιώκεται.

Εἰ ὁ κεκληρωμένος, τὴν γυναῖκα αὐτοῦ μοιχευθεῖσαν μὴ ἀπολύων, τῆς ἀξίας μετακινεῖται, πῶς ὁ λαϊκὸς, οὗ ἡ γυνὴ μεμοίχευται, εἰς κλῆρον παραδεχθήσεται;

## Κανὼν Θ'.

**Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ, ὅτι ἥμαρτε πρὸ τῆς (2) χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς, διὰ τὴν ἄλλην σπουδήν· τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφασαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι. Ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν.**

---

ΖΩΝΑΡ. Ἐάν τις πρὸ τῆς εἰς ἱερωσύνην χειροτονίας ἁμάρτῃ

(1) Χ. Τρ. Βευερ. — διὰ τὸ πταῖσμα Ε. — (2) Π. Χ. Τρ. Βρ. Σ. Ρ. — πρὸ χειροτονίας Ε. Βευερ.

σώματι, ἤγουν μέχρι μίξεως σαρκικῆς ἔλθῃ, εἶτα προαχθῇ, ἀντὶ τοῦ, πρεσβύτερος χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν ὁμολογήσῃ τὴν ἁμαρτίαν, προσφέρειν μὲν οὐ συγχωρεῖται, τουτέστιν ἱερουργεῖν, μενεῖ δὲ ἐν τοῖς ἄλλοις, τουτέστιν ἐν τῇ τιμῇ τῶν ἱερέων, ἐν τῇ καθέδρᾳ, καὶ ἐν τῷ θυσιαστηρίῳ μεταλήψεται τῶν ἁγιασμάτων (1), καὶ ἄλλα ἕξει προνόμια, διὰ τὴν ἄλλην σπουδὴν σπουδαῖος (2)· ἁμαρτήματα γὰρ τὰ ἐλάττω, τὰ πρὸ τῆς μίξεως δηλαδὴ, οἷον τὴν συγκατάθεσιν, τὸ ἅψασθαι χειρὶ γυναικὸς, τὸ μέχρι φιλήματος προελθεῖν, ἡ χειροθεσία λύει, φησί· καὶ οὐδὲτοῦτο ὡς ὁμολογούμενον εἶπεν, ἀλλὰ κεκολασμένως, ἔφασαν, εἰπὼν, οἱ πολλοὶ, ἀντὶ τοῦ, ὡς παρά τινων λέγεται. Εἰ μὲν οὖν αὐτὸς ὁμολογεῖ τὸ ἁμάρτημα, τὰ εἰρημένα γενήσεται· εἰ δὲ οὐχ ὁμολογεῖ, οὔτε προφανῶς ἐλέγχεται (3), τότε χρὴ τὴν ἐξουσίαν τοῦ ἱερουργεῖν ἢ παύσασθαι ἐκεῖνον ἔχειν, ἵνα, εἰ σύνοιδεν ἑαυτῷ τὸ ἁμάρτημα, παύσηται τῆς λειτουργίας, κρεῖσσον γὰρ, φησί που ὁ νόμος, τὰ ἁμαρτήματα καταλιμπάνεσθαι ἀνεκδίκητα, ἢ τινας ἀναιτίως κολάζεσθαι.

ΒΑΛΣ. Ἱερεὺς πορνεύσας πρὸ τῆς χειροτονίας, ὡμολόγησεν ἑκὼν μετὰ τὴν χειροτονίαν (4) τὴν ἁμαρτίαν. Φασὶν οὖν οἱ Πατέρες, τὸν τοιοῦτον ὡς αὐτοθελῶς ἐξομολογησάμενον, τῆς μὲν ἱερουργίας παυθῆναι, ἔχειν δὲ τὰ ἄλλα προνόμια τῶν ἱερέων, δηλονότι τὴν μετὰ τῶν ἱερέων καθέδραν, τὴν ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μετάληψιν, καὶ ἕτερά τινα, καὶ μάλιστα, ἐὰν πρὸς ἀρετὴν σπουδαῖός ἐστιν. Ὡς τινος δὲ εἰπόντος, ἐπακολουθεῖν τῷ πάθει τῆς πορνείας καὶ ἄλλα τινα ἁμαρτήματα, συγκατάθεσιν, ἀφὴν χειρὸς, φιλήματα, καὶ τοιαῦτα, καὶ ἀπὸ τούτων ἐμποδίζεσθαι τὸν ἐξομολογησάμενον, ὥστε ἔχειν τιμὴν ἱερέως, ἐπήγαγον οἱ Πατέρες, ὡς, ἐπεὶ ἀπὸ τοιούτων ἁμαρτημάτων οὐκ ἐμποδίζεταί τις εἰς ἱερωσύνην προαναβιβασθῆναι, διὰ τὸ λύεσθαι ταῦτα ὑπὸ τῆς χειροτονίας, οὐ κωλυθήσεται ἐξ αὐτῶν ἔχειν τὰ ἄλλα προνόμια· καὶ ταῦτα μὲν ὅταν ὁ ἱερεὺς

(1) Χ. Τρ. — τῶν ἁγιασμάτων μεταλήψεται Βευερ. Κ. — (2) Βευερ. — Σπουδαῖος ἁμαρτήματα γὰρ κτλ. Κ. — τὸ, σπουδαῖος ἁμαρτήματα γὰρ τὰ ἐλάττω, οὐ κεῖται ἐν Χ. Τρ. — (3) Χ. Τρ. — ἐλέγχοιτο Κ. Βευερ. — (4) τὸ, μετὰ τὴν χειροτονίαν κεῖται παρὰ Βευερ. μόνον.

ἐξομολογήσηται τὸ ἁμάρτημα. Ἐὰν δὲ μήτε ὁμολογήσῃ, μήτε ἐλεγχθῇ φανερῶς, οὐδοπωσοῦν παρασαλευθήσεται, ἀλλὰ παρ' αὐτῷ κείσεται ἐξουσία τοῦ ἱερουργεῖν, ἢ παύσασθαι, πρὸς τὸ οἰκεῖον συνειδός· ὥσπερ, ἐὰν ἐλεγχθῇ, ἀπεντεῦθεν καθαιρεθήσεται, καὶ οὐδὲ τιμῆς ἢ ἄλλου προνομίου ἀξιωθήσεται. Προσέθεντο δὲ οἱ Πατέρες τὸν φανερὸν ἔλεγχον, διὰ τὸ μηδένα καθαιρεῖσθαι, εἰμὴ διὰ φανερῶν ἀποδείξεων, ἤγουν διὰ καταθέσεως μαρτύρων πέντε ὀμνυόντων. Φησὶ δὲ καὶ ὁ νόμος, κρεῖττόν ἐστι τὰ ἁμαρτήματα ἀνεκδίκητα καταλιμπάνεσθαι, ἤ τινας ἀναιτίως κολάζεσθαι. Ἀνάγνωθι καὶ τὸν κζ'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὴν οθ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, καὶ ἀπὸ τῶν γεγονυιῶν ἐρωτήσεων εἰς τὴν ἐν Κωνσταντινουπόλει σύνοδον τὴν ἑρμηνείαν τῆς ἀποκρίσεως, τῆς λεγούσης, εἰς τὸν τόπον τάττεσθαι τῶν λαϊκῶν τοὺς καθαιρεθέντας· καὶ συναγαγὼν εἰπὲ, ὅτι διαφορά ἐστι τοῦ πρὸ τῆς χειροτονίας ἡμαρτηκότος καὶ ἐξομολογησαμένου, καὶ τοῦ καταδικασθέντος διὰ ἔγκλημα μετὰ τὴν χειροτονίαν· ὡσαύτως καὶ τοῦ διγαμήσαντος μετὰ τὴν χειροτονίαν, καὶ ἀφαιρεθέντος τὴν ἱερωσύνην. Ὁ μὲν γὰρ ἐξομολογησάμενος τὴν πρὸ τῆς χειροτονίας ἁμαρτίαν, μόνου τοῦ προσφέρειν στερηθήσεται· καθέδρας δὲ ἱερατικῆς ἀξιωθήσεται, καὶ λοιπῶν τοιούτων, κατὰ τὸν *παρόντα κανόνα καὶ τὸν* (1) πθ'. κανόνα τοῦ ἁγίου Βασιλείου· ὁ δὲ διγαμήσας, καὶ ἑαυτὸν τοιουτοτρόπως ἐκ τῆς ἱερωσύνης μετακινήσας, τῶν ἔξω τοῦ βήματος διακονιῶν ἀξιωθήσεται κατὰ τὴν οθ'. νεαρὰν τοῦ Φιλοσόφου (2)· ὁ δὲ καταδικασθεὶς οὐδὲ ταῦτα ἐνεργήσει, ἀλλ' εἰς τόπον λαϊκῶν ῥιφθήσεται. Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα κά. καὶ κϛ', καὶ τὰ ἐν αὐτοῖς. Ἡ δὲ οθ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, ἔχει κατὰ ῥῆμα οὕτω· Τὰ ἅπαξ ἀνατεθειμένα τῷ Θεῷ, ἀναφαίρετα δεῖν εἶναι τεθέσπιςαι (3), καὶ τοῦτο οὐ μόνον ἐπὶ κειμηλίων ἀνιερουμένων, ἀλλὰ πολύ γε καὶ μᾶλλον ἐπ' ἀνθρώπων, οἷς διὰ τοῦ κλή-

(1) Χ. Τρ. — τὰ μεταξὺ *οὐ κεῖται παρὰ Βευερ. καὶ 'Ε. — (2) Χ. Τρ. 'Ε. — τὸ, κατὰ τὴν οθ'. νεαρὰν τοῦ Φιλοσόφου, οὐ κεῖται παρὰ Βευερ. — (3) Νεαρ. Οθ'. Λέοντ. — καθίστασθαι 'Ε. Χ. Τρ. — καθίσταται Βευερ.

ρου προσγένηται ἡ πρὸς τὸ θεῖον ἀνάθεσις, κἂν (οἷα πολλὰ τὰ ἀνθρώπινα πταίσματα) τῆς τάξεως, ἐν ᾗ διαπρέπειν κατεκληρώθησαν, ἡ τύραννος αὐτοὺς ἐξωθήσοιεν ἁμαρτία. Οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναπτόμενον γυναικὶ (1), παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν ἐπαναστρέφεσθαι βίον, ἀκυροῦμεν τὸ δόγμα· θεσπίζομεν δὲ μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι.

ΑΡΙΣΤ. Ἐὰν ὁμολογήσῃ πρεσβύτερος, ὅτι προήμαρτε, μὴ προσφερέτω, καὶ μόνον· τινὰ γὰρ τῶν ἁμαρτημάτων αἱ χειροτονίαι ἀφιᾶσιν. Εἰ δὲ μήθ' ὁμολογοίη, μήτ' ἐλέγχοιτο, αὐτὸς ἐχέτω τὴν ἐξουσίαν.

Τὰ μὲν ἄλλα πάντα ἁμαρτήματα ἡ χειροθεσία λύει· μόνης δὲ τῆς σωματικῆς ἁμαρτίας ἡττᾶται. Ἐὰν οὖν τις, πορνείαν προημαρτηκὼς, εἰς ἱερωσύνην παρεδέχθη, καὶ μετὰ τὴν χειροτονίαν ὡμολόγησε τὰ ἁμαρτήματα, τῆς μὲν καθέδρας καὶ τιμῆς τῶν πρεσβυτέρων μεθέξει, ἱερατικὸν δέ τι οὐκ ἐνεργήσει. Εἰ δὲ μήτε αὐτὸς ὁμολογοίη, μήτε παρ' ἄλλου ἐλέγχοιτο φανερῶς, παρὰ τῇ αὐτοῦ ἐξουσίᾳ κείσεται τῆς ἱερωσύνης παυθῆναι, εἴτε καὶ μή.

## Κανὼν Ι'.

Ὁμοίως καὶ διάκονος, ἐὰν τῷ αὐτῷ (2) ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω.

---

ΖΩΝΑΡ. Ἐκπεσεῖται γὰρ τῆς διακονίας, καὶ εἰς ὑπηρέτου τόπον καταβιβασθήσεται· οἱ γὰρ ὑπηρέται οὐ προσφέρουσιν.

ΒΑΛΣ. Ἐν τῷ θ'. κανόνι τὰ περὶ πρεσβυτέρων ἡμαρτηκότων διελήφθησαν(3), ἐν δὲ τῷ παρόντι περὶ διακόνων· καὶ οὗτοι γὰρ ἐξομολογούμενοι, τοῦ μὲν διακονικοῦ ἀξιώματος ἐκπε-

(1) γαμετῇ Βευερ. — (2) Χ. Τρ. Π. — ἐὰν ἐν τῷ αὐτῷ Βρ. Βευερ. — (3) Χ. Τρ. Ε. — διελέχθησαν Βευερ.

σοῦνται, εἰς ὑπηρέτου δὲ τάξιν καταβιβασθήσονται, ἤτοι ἀχειροτονήτου ὑποδιακόνου, ἢ ἀναγνώστου.

ΑΡΙΣΤ. Καὶ ὁ διάκονος, τῷ αὐτῷ ἁμαρτήματι συσχεθείς, ὑπηρέτης μενέτω.

Καὶ διάκονος, τῷ αὐτῷ περιπεσὼν ἁμαρτήματι, παυθήσεται τοῦ ἄρτον, ἢ ποτήριον ἀναφέρειν, ἢ τὸν λαὸν διδάσκειν, ἢ ὅλως τι τῶν ἱερατικῶν λειτουργεῖν· ὑπηρέτης δὲ μόνον ἔσται τῆς ἐκκλησίας.

## Κανὼν ΙΑ'.

Πρεσβύτερος πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλὰ ἀποτηρείσθω. Ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη(1), καὶ ἤρξατο διδάσκειν.

—

ΖΩΝΑΡ. Τοῦτον τὸν κανόνα ἡ ἕκτη σύνοδος οὕτω τίθησι, καὶ ἐξηγήθη ἐκεῖ, τεσσαρεσκαιδέκατος ὤν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀπαραλλάκτως κεῖται ἐν τῷ ιδ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐξηγήθη ἐκεῖσε.

ΑΡΙΣΤ. Εἰ μὴ τριακονταέτης, μὴ γινέσθω πρεσβύτερος, κἂν ᾖ ἀξιόλογος, ἔχων παράδειγμα τὸ τοῦ Σωτῆρος φώτισμα.

Περὶ τοῦ μὴ γίνεσθαι τὸν ἥττονα τῶν τριάκοντα χρόνων πρεσβύτερον, κἂν πάνυ ἄξιος ᾖ ὁ ἄνθρωπος, καὶ ὁ παρὼν διαγορεύει κανών, καὶ ὁ τεσσαρεσκαιδέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου.

## Κανὼν ΙΒ'.

Ἐὰν νοσῶν τις φωτισθῇ, εἰς πρεσβυτέριον(2) ἄγεσθαι οὐ δύναται· οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ (3), ἀλλ' ἐξ ἀνάγκης· εἰμὴ τάχα διὰ τὴν μετὰ ταῦτα αὐτοῦ σπουδὴν καὶ πίστιν, καὶ διὰ σπάνιν ἀνθρώπων.

—

ΖΩΝΑΡ. Ὃς ὑγιαίνων μὲν ὑπερετίθετο βαπτισθῆναι, νοσήσας

(1) ἐφωτίσθη Βρ. — (2) Χ. Τρ. Σ. Ρ. — εἰς πρεσβύτερον οἱ λοιποί. — (3) αὐτῷ Χ. Τρ.

δὲ, καὶ κίνδυνον περὶ τὴν ζωὴν ὑφορώμενος ἐβαπτίσθη, οὗτος εἰς ἱερωσύνην οὐ προαχθήσεται, δοκεῖ γὰρ ἀναβάλλεσθαι τὸ φώτισμα διὰ τὸ φιλήδονον καὶ φιλόσαρκον, καὶ τὸ θέλειν ἀνέτως ζῇν, καὶ μὴ ὑπαχθῆναι (1) τῷ ζυγῷ τοῦ Εὐαγγελίου, καὶ ἐξ ἀνάγκης ἡ πίστις αὐτοῦ, ἀλλ' οὐκ ἐκ προαιρέσεως γενέσθαι φαίνεται. Εἰ δὲ σπουδαῖος μετὰ τὸ βάπτισμα φανῇ περὶ τὴν τῶν θείων ἐντολῶν φυλακὴν, καὶ περὶ τὴν πίστιν βέβαιος, καὶ σπάνις εἴη ἀνθρώπων πρὸς ἱερωσύνην ἐπιτηδείων, τότε γενήσεται.

ΒΑΛΣ. Ἄπιςός τις ὑγιαίνων μὲν, οὐκ ἐπέσπευδε (2) τὸ βάπτισμα, νοσήσας δὲ ἐφωτίσθη. Φασὶν οὖν οἱ ἅγιοι Πατέρες, ὡς, ἐπεὶ οὐκ ἐξ ἀγαθῆς προαιρέσεως οὗτος ἐβαπτίσθη, ἀλλ' οἷον ὑπὸ τῆς ἀνάγκης τῆς νόσου νυττόμενος, ὡς μὲν πιστὸς μετὰ τὴν ὑγείαν δεχθήσεται, εἰς ἱερωσύνης δὲ βαθμὸν οὐ προαναβιβασθήσεται· εἰ μήπου σπουδαῖός ἐστι περὶ τὴν ἀρετὴν καὶ τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ σπάνις εἴη ἀνθρώπων πρὸς ἱερωσύνην ἐπιτηδείων· τότε γὰρ ἱερωθήσεται. Σημείωσαι οὖν, ὅτι καὶ ἀμφότερα ὀφείλουσι συνδραμεῖν, ἡ περὶ τὴν ἀρετὴν σπουδὴ, καὶ ἡ σπάνις τῶν ἀνθρώπων· ἑνὸς γὰρ λείποντος ἐξ αὐτῶν, οὐ παραβαθήσεται ὁ κανών. Ἔτι σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, οὕτω καὶ ἐπὶ τῆς ἀποκάρσεως, ὁ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς ἀποκαρεὶς, εἰς τὶ μὲν ὡς μοναχὸς λογισθήσεται, εἰς τὶ δὲ οὐ παραδεχθήσεται κατὰ μονάσαντας, ὅτι καὶ ἡ ἀπόκαρσις δεύτερον λογίζεται βάπτισμα. Εἰ μὲν γὰρ ἐπιζήσει ὁ οὕτως ἀποκαρεὶς, καὶ ἀξίαν ἐπιδείξεται μετάνοιαν καὶ δουλείαν τῆς ἀποκάρσεως, οὐ λογισθήσεται ὡς ἀκουσίως ἀποκαρείς· εἰ δ' ἅμα τῇ ἀποκάρσει, τὸ κοινὸν τοῦ θανάτου πίῃ ποτήριον, παρὰ μὲν τῷ Θεῷ, ὡς ἐγὼ τέως νομίζω, ὡς ἐν ὑγείᾳ μονάσας δεχθήσεται· ἀσπάζονται γὰρ οἱ ἅγιοι Πατέρες καὶ τὰς περιστατικὰς ἀποκάρσεις, καὶ ὡς ἐκ θείας φασὶ φωνῆς, Ἐν ᾧ σε εὕρω, κρινῶ σε· παρὰ δὲ τοῖς ἀνθρώποις, οὐδὲ δόξει ἀποκαρῆναι. Ὥστε ἐὰν ὑπὸ αἵρεσιν ἀποκάρσεως κατελείφθη αὐτῷ τόδε τι, καὶ ἐν ζωῇ ὢν οὐκ ἀπεκάρη,

(1) Ἑ. — καὶ ὑπαχθῆναι Χ. Τρ. Βευερ. — (2) Βευερ. — ἐπέσπευδε Χ. Τρ. Ἑ.

ἀλλ' ἐν ταῖς τελευταίαις ἀναπνοαῖς τὸν μονήρη βίον εἵλετο, καὶ εὐθὺς ἀπέθανεν, οὐ λήψεται ὁ κληρονόμος αὐτοῦ τὰ καταλειφθέντα, διὰ τὸ πληρωθῆναι τάχα τὴν αἵρεσιν, ἀλλὰ καταδικασθήσεται, ὡς μηδὲ δόξαντος ἀποκαρῆναι τοῦ τελευτήσαντος κἀντεῦθεν ἀτονησάσης καὶ τῆς αἱρέσεως. Ἀνάγνωθι καὶ τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου κεφ. έ. ὅπερ συνωψίσθη περὶ τὰ μέσα τοῦ ά. κεφ. τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ περὶ τὸ τέλος τοῦ ά. κεφ. τοῦ β'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ κατὰ τὴν παροῦσαν ἑρμηνείαν ἑρμήνευσον καὶ ἐκεῖνο τὸ κεφάλαιον, καὶ εἰπὲ, ὅτι, εἰ μὲν ὁ ἐπὶ αἱρέσει παιδοποιΐας λαβὼν πρᾶγμα βεβαρημένον, ἐν ὑγείᾳ ἀποκαρῇ ἀγαθῇ χάριτι, καλῶς ἵνα καταλείψῃ αὐτὸ εἰς εὐσεβεῖς αἰτίας, καὶ ἡ ὑποκατάστασις ἀπρακτήσει. Εἰ δὲ ἐν τῷ καιρῷ τῆς τελευταίας αὐτοῦ ἀναπνοῆς, οὐ παραπέμψει τοῦτο εἰς εὐσεβεῖς αἰτίας, διὰ τὸ ἀτονῆσαι τὴν αἵρεσιν, καὶ ἕξουσι χώραν τὰ τῆς ὑποκαταστάσεως.

ΑΡΙΣΤ. Ὁ διὰ νόσον βαπτισθεὶς, μὴ γινέσθω πρεσβύτερος, εἰ μὴ διὰ τὸν ἀγῶνα τὸν ἑξῆς, καὶ σπάνιν ἀνθρώπων.

Ὁ μὲν μή τινος ἀνάγκης κατεπειγούσης ἐπιζητήσας τὸ βάπτισμα, ἐπειδὴ πάντα ῥύπον ψυχικὸν ἱκανόν ἐστιν ἀποπλῦναι αὐτὸ, καὶ εἰς πρεσβύτερον, καὶ εἰς ἐπίσκοπον προαχθήσεται, καθὼς ὁ ὀγδοηκοστὸς κανὼν τῶν ἁγίων Ἀποστόλων, ὁ δεύτερος τῆς ἐν Νικαίᾳ συνόδου, ὁ τρίτος τῆς ἐν Λαοδικείᾳ, καὶ ὁ δέκατος τῆς ἐν Σαρδικῇ(1) διαγορεύει. Ὁ δὲ διὰ νόσον βαπτισθεὶς, ὡς μὴ ἐκ προαιρέσεως, ἀλλ' ἐξ ἀνάγκης προσελθὼν τῷ φωτίσματι, οὐκ ἄλλως εἰς ἱερωσύνην παραδεχθήσεται, εἰ μὴ συνδράμωσι καὶ ἀμφότερα, τὸ σπάνιν τε ἀξιολόγων ἀνθρώπων εἶναι, καὶ τὸ ἀγωνίσασθαι αὐτὸν μετὰ τὸ βάπτισμα.

## Κανὼν ΙΓ'.

Ἐπιχώριοι (2) πρεσβύτεροι ἐν τῷ Κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρων πόλεως· οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ, οὐδὲ

(1) διορθ. ἐκδ. — Καρθαγένῃ Βευερ. — (2) Π. Ἐ. Κ. Βρ. — ἐπιχώριοι δὲ Χ. Τρ. — Βευερ.

ποτήριον· ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, δίδωσιν.

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Χαλκηδόνι συνόδου ἕκτος κανὼν, μηδένα ἀπολελυμένως χειροτονεῖσθαι διακελεύεται. Οἱ γοῦν ἐν χωρίων ἢ κωμῶν ἐκκλησίαις χειροτονηθέντες, πῶς ἐν ἐκκλησίᾳ πόλεως δυνήσονται προσφέρειν, καὶ ταῦτα παρόντος τοῦ ἐπισκόπου τῆς πόλεως, ἢ πρεσβυτέρων ἐν αὐτῇ καθιερωθέντων; Οὔτε οὖν προσφέρειν δύνανται οἱ τοιοῦτοι, ἤγουν προσκομίζειν ἐπὶ λειτουργίᾳ, οὔτε ἄρτον ἢ ποτήριον διδόναι ἐν εὐχῇ, τουτέστιν, οὐδὲ τῶν ἁγίων δώρων ἔξεστιν αὐτοῖς μεταδιδόναι τῷ λαῷ ἐν εὐχῇ, ἤτοι ἐν ἱερουργίας καιρῷ. Οἱ γὰρ προσφέρειν οὐ δυνάμενοι, οὐδὲ τὰ ἄλλα τὰ τοῖς προσφέρουσιν ἀνήκοντα πράξουσιν ἐκεῖ. Ἐὰν δὲ ἀπῶσιν ὁ τῆς πόλεως ἐπίσκοπος καὶ οἱ ἐν αὐτῇ ἱερεῖς, καὶ κληθῇ χωρίου ἢ κώμης ἱερεὺς εἰς εὐχὴν, τότε καὶ τῶν ἁγιασμάτων μεταδίδωσιν.

ΒΑΛΣ. Πανταχοῦ τῆς ἐκκλησιαστικῆς εἰρηναίας καταστάσεως τοῖς Πατράσιν ἐμέλησε. Διὸ, φασὶν, ὡς, ἐπεὶ ἕτεροι πρεσβύτεροι χειροτονοῦνται εἰς τὰς ἔξω τῶν πόλεων ἐκκλησίας, καὶ ἕτεροι ἐν τῷ Κυριακῷ τῆς πόλεως, ἤγουν ἐν τῇ ἐπισκοπῇ, οὐκ ὀφείλουσιν οἱ ἐπιχώριοι πρεσβύτεροι καταυθαδιάζειν τῶν τῆς πόλεως ἱερέων καὶ τοῦ ἐπισκόπου, καὶ ἱερουργεῖν ἐν τῷ Κυριακῷ, παρόντος καὶ ταῦτα τοῦ ἐπισκόπου, ἢ τῶν πρεσβυτέρων τῶν καθιερωθέντων ἐν τῷ Κυριακῷ. Τοῦτο γὰρ εἰς ἀταξίαν ἀφορᾷ, καὶ εἰς καταφρόνησιν καὶ ὕβριν τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων, ὡς δῆθεν καταγινωσκομένων. Εἰ μέντοι ἀποδημοῦσιν οἱ πρεσβύτεροι καὶ ὁ ἐπίσκοπος, καὶ κληθῇ ἱερεὺς ἐπιχώριος (1) παρὰ τοῦ λαοῦ, ἀκωλύτως ἱερουργήσει. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· ἐγράφησαν δὲ οὕτω διὰ τοὺς λέγοντας, ἐπεὶ κεκανόνισται ἕνα ἕκαστον χειροτονεῖσθαι εἰς τήνδε τὴν ἐκκλησίαν καὶ μὴ ἀπολελυμένως, οἱ ἐπιχώριοι δὲ ἱερεῖς εἰς τὰς ἔξω τῆς πόλεως ἐκκλησίας ἐχειροτονήθησαν, οὐκ ὀφείλουσι χωρὶς ἐπιτροπῆς τοῦ ἐπισκόπου ἐν ἐκκλησίᾳ πολιτικῇ ἱερουργεῖν, κἂν μετακληθῶσιν, ὥσπερ οὐδὲ οἱ παρ' ἐνορίαν ἀρχιερεῖς. Τὴν τοιαύτην οὖν

(1) Χ. Τρ. Ἑ. — ἀποχώριος Βευερ.

ἀμφιβολίαν λύοντες οἱ Πατέρες φασὶν, ὅτι, παρόντων μὲν τῶν ἐπισκόπων, ἢ τῶν πρεσβυτέρων, οὐ δύναται εἰς πόλιν ἱερουργεῖν ἐπιχώριος ἱερεύς· ἀπόντων δὲ δύναται, καὶ χωρὶς ἐπιτροπῆς ἐπισκοπικῆς. Ταῦτα δὲ περὶ ἱερέων νόει μόνων, ὅτι καὶ οὗτοι ἐκ τῆς παροικίας ἐκείνης εἰσὶ, καὶ ὑπὸ τὸν ἐγχώριον ἐπίσκοπον τελοῦσιν. Ἑτέρας γὰρ παροικίας ἐπίσκοπος εἰς τὴν μὴ ὑποκειμένην αὐτῷ πόλιν οὐ λειτουργεῖ, μὴ ἐπιτρέποντος τοῦ ἐγχωρίου ἐπισκόπου, κἂν μετακαλεῖται ὑπὸ τοῦ ταύτης λαοῦ. Νομίζω δὲ, ὅτι οὐδὲ ἱερεὺς ἵνα λειτουργήσῃ παρ᾽ ἐνορίαν παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου.

## Κανὼν ΙΔ'.

Οἱ δὲ χωρεπίσκοποι, εἰσὶ μὲν εἰς τύπον τῶν ἑβδομήκοντα· ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς προσφέρουσι τιμώμενοι.

---

ΖΩΝΑΡ. Οἱ μὲν ἐπίσκοποι εἰς τύπον τῶν δώδεκα Ἀποστόλων εἰσὶν, οἷς ἐμφυσήσας ὁ Κύριος ἔφησε· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ τὰ ἑξῆς· οἷς ἐδόθη καὶ ἡ τῆς χάριτος τοῦ παναγίου Πνεύματος πρὸς ἄλλους διανομή. Οἱ δὲ χωρεπίσκοποι εἰς τύπον τῶν ό. Ἀποστόλων εἰσὶν, οἷς τισιν οὐκ ἐδόθη ἡ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος διανέμησις· καὶ τοῦτο δῆλον ἐκ τῆς βίβλου τῶν Πράξεων, ἐν ᾗ ἱστόρηται ὁ Φίλιππος, ὁ τῶν ἑπτὰ διακόνων εἷς, καταβὰς εἰς Σαμάρειαν καὶ βαπτίσας πολλοὺς, ἐφ᾽ οὓς ἀπεστάλκασιν οἱ Ἀπόστολοι Πέτρον καὶ Ἰωάννην, οἵτινες ἀπελθόντες ἐπετίθουν τὰς χεῖρας τοῖς βαπτισθεῖσι, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον· οὔπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. Εἰς τύπον οὖν τῶν ό. ὄντες οἱ χωρεπίσκοποι, διὰ τοῦτο οὐδὲ πρεσβυτέρους ἢ διακόνους χειροτονοῦσιν, οἷα μηδὲ τὴν χάριν τοῦ Πνεύματος παρέχειν δυνάμενοι· προσφέρειν δὲ οὐ κωλύονται, διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς τιμώμενοι. Τὰς γὰρ τῶν ἐκκλησιῶν, ὧν προΐσταντο, προσόδους, εἰς πτωχοὺς ἀναλίσκειν ὤφειλον, καὶ προνοεῖσθαι αὐτῶν, καὶ τοῦτο ποιοῦντες ἐτιμῶντο. Εἰ δὲ τοῖς χωρεπισκόποις ὀφείλημα ἦν τὰ Κυριακὰ χρήματα

εἰς πτωχοὺς δαπανᾷν, πόσῳ μᾶλλον τοῦτο τοῖς ἐπισκόποις ὀφείλεται;

ΒΑΛΣ. Εἰς τύπον τῶν μαθητῶν τοῦ Κυρίου, τῶν δώδεκα δηλαδὴ Ἀποστόλων, τῶν καὶ λαβόντων τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ὥστε δεσμεῖν καὶ λύειν, προεβλήθησαν οἱ ἑκάστης χώρας ἐπίσκοποι. Ἐπεὶ δὲ κατὰ τὸν καιρὸν τοῦ σωτηριώδους κηρύγματος, μὴ ἐξαρκούντων τῶν δώδεκα Ἀποστόλων εἴς τε τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου καὶ εἰς τὰς λοιπὰς διακονίας τῶν προσερχομένων τῷ Θεῷ, παρελήφθησαν καὶ ἑβδομήκοντα (1) ἄνδρες, οἵτινες διακονηταὶ μὲν ἐλέγοντο καὶ μαθηταὶ τοῦ Κυρίου, ἐξουσίαν δὲ οὐκ εἶχον ἀφιέναι ἁμαρτίας, ὡς μηδὲ λαβόντες τὴν χάριν τοῦ Πνεύματος, ἔδοξε τοῖς Πατράσιν εἰς τύπον τῶν τοιούτων ἑβδομήκοντα μαθητῶν, χωρεπισκόπους παρὰ τῶν ἐπισκόπων προβάλλεσθαι, ἐφ' ᾧ διὰ τούτων γίνεσθαι τὴν εἰς τοὺς πτωχοὺς διανομὴν καὶ δαπάνην τῶν Κυριακῶν χρημάτων, τῶν καὶ πτωχικῶν λεγομένων. Τῷ τοι οὐδὲ δύνανται πρεσβυτέρους καὶ διακόνους χειροτονεῖν, ἀλλ' οὐδὲ ἀφιέναι ἁμαρτίας, ὥσπερ οὐδὲ οἱ ἑβδομήκοντα μαθηταί. Ὅτι δὲ χρεὼν ἦν τούτους τιμᾶσθαι διὰ τοὺς κόπους αὐτῶν, ὥρισαν οἱ Πατέρες, μηδὲν ἕτερον τούτους ποιεῖν, ἀλλ' ἢ ὡς συλλειτουργοὺς μόνον ἱερουργεῖν. Ἐν δὲ τῷ ι. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κεκανόνισται, τοὺς χωρεπισκόπους ποιεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ ἐξορκιστάς. Σημείωσαι οὖν καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι (2) οἱ ἱερεῖς οὐ δύνανται δέχεσθαι λογισμοὺς καὶ ἀφιέναι ἁμαρτίας, εἰμὴ ἐκχωρηθῶσι ταῦτα παρὰ τοῦ ἐπισκόπου· ἐπεὶ οὐδὲ οἱ χωρεπίσκοποι τοῦτο δύνανται, πλείονα καὶ ταῦτα προνόμια παρὰ τοὺς ἱερεῖς ἔχοντες. Ὅτι δὲ οἱ ἑβδομήκοντα μαθηταὶ τοῦ Κυρίου οὐκ εἶχον ἐξουσίαν ἀφιέναι ἁμαρτίας, δῆλόν ἐστιν ἐκ τῆς βίβλου τῶν ἀποστολικῶν Πράξεων, ἐν ᾗ ἱστόρηται ὁ Φίλιππος, ὁ τῶν ἑπτὰ διακόνων εἷς, καταβὰς εἰς Σαμάρειαν καὶ βαπτίσας πολλούς, ἐφ' οὓς ἀπεστάλκασιν οἱ ἀπόστολοι Πέτρον καὶ Ἰωάννην, οἵτινες ἀπελθόντες ἐπετίθουν τὰς χεῖρας τοῖς βαπτισθεῖσι, καὶ ἐλάμβανον

(1) Ἑ. Χ. Τρ. = καὶ οἱ ἑβδομήκοντα Βευερ. — (2) καὶ οἱ ἱερεῖς Βευερ. Ἑ.

Πνεῦμα ἅγιον· οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός.

ΑΡΙΣΤ. Ἐπιχώριος πρεσβύτερος εἰς ναὸν πόλεως οὐ προσφέρει, εἰ μὴ ἄπεστιν ὁ ἐπίσκοπος, καὶ τὸ πρεσβυτέριον ὅλον. Ἐὰν δὲ ἀπῶσι, καὶ καλοῖτο, προσάγει. Οἱ μέντοι χωρεπίσκοποι, ὡς συλλειτουργοὶ προσφέρουσι, τῶν ἑβδομήκοντα τὸν τόπον ἐπέχοντες.

Οἱ χειροτονούμενοι πρεσβύτεροι ἐν παροικίαις παρὰ τῶν ἐπισκόπων, λειτουργεῖν οὐ συγχωροῦνται εἰς ναὸν πόλεως, παρόντος ἐπισκόπου καὶ τῶν πρεσβυτέρων τῆς πόλεως. Ἐὰν δὲ πάντες ἀπῶσι, καὶ καλοῖτό τις τῶν ἐπιχωρίων πρεσβυτέρων εἰς εὐχὴν, προσφέρειν τότε, καὶ λειτουργεῖν οὐ κεκώλυται. Οἱ μέντοι χωρεπίσκοποι, ὡς συλλειτουργοὶ τῶν ἐπισκόπων, καὶ τιμώμενοι διὰ τὸ ἐπέχειν καὶ τὸν τύπον τῶν ἑβδομήκοντα, κἂν ἐνδημῇ ὁ ἐπίσκοπος τῆς πόλεως καὶ οἱ πρεσβύτεροι, κἂν μὴ, λειτουργήσουσιν ἀκωλύτως ἐν τῷ ναῷ τῆς πόλεως.

## Κανὼν ΙΕ'.

Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ᾖ ἡ πόλις. Πεισθείσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν Πράξεων.

---

ΖΩΝΑΡ. Ὁ ἑκκαιδέκατος κανὼν τῆς ἕκτης συνόδου, περὶ τούτου τοῦ κανόνος διαλαμβάνει· εἴρηται οὖν ἐκεῖ, ὅπως οὐκ εὐστόχως οἱ τῆς συνόδου ταύτης τὸ ἐν ταῖς Πράξεσι τῶν διακόνων ὄνομα ἐξειλήφασι· τὰ αὐτὰ οὖν καὶ πάλιν λέγειν ἢ γράφειν, οὐκ ἀναγκαῖον.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἑρμηνεύθη ἐν τῷ ις'. κανόνι τῆς ἕκτης συνόδου, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν ματαιοπονεῖν.

ΑΡΙΣΤ. Ἑπτὰ διάκονοι, κατὰ τὰς Πράξεις, καὶ εἰς μεγάλην πόλιν ἔστωσαν.

Ὡς ὁ ἑκκαιδέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παρίστησιν, οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ὁ παρὼν προστάττει κανὼν, ἀλλὰ περὶ τῶν τὴν οἰκονομίαν

πεπιστευμένων τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς. Ὅτι καὶ ἡ βίβλος τῶν Πράξεων περὶ τῶν τοιούτων διαλαμβάνει, τῶν ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργούντων. Πλείονες γοῦν τῶν ἑπτὰ τοιούτων ὑπηρετῶν, κἂν μεγάλη ἡ πόλις ᾖ, οὐκ ὀφείλουσιν εἶναι· διάκονοι δὲ, οἱ ἐν τοῖς μυστηρίοις ὑπηρετοῦντες, καὶ ὁ λοιπὸς τῶν κληρικῶν κατάλογος, πρὸς τὴν εἴσοδον τῆς ἐκκλησίας ταχθήσονται.

# ΚΑΝΟΝΕΣ

## ΤΗΣ ΕΝ ΓΑΓΓΡΑ ΣΥΝΟΔΟΥ(1).

ΖΩΝΑΡ. ΒΑΛΣ. Ἡ ἐν Γάγγρᾳ τῇ μητροπόλει τῶν Παφλαγόνων γεγονυῖα σύνοδος, συνέστη μετὰ τὴν ἐν Νικαίᾳ πρώτην σύνοδον, κατὰ Εὐσταθίου τινὸς καὶ τῶν ὁμοδόξων ἐκείνῳ· οἵτινες τὸν ἔννομον γάμον διαβάλλοντες ἔλεγον, μηδενὶ τῶν ἐν γάμῳ τυγχανόντων ἐλπίδα σωτηρίας εἶναι παρὰ Θεῷ· οἷς πειθόμενοι ἄνδρες τε καὶ γυναῖκες, οἱ μὲν τὰς ἑαυτῶν γυναῖκας ἐξώθουν, αἱ δὲ τοὺς οἰκείους (2) ἄνδρας καταλιμπάνουσαι, σωφρόνως ζῆν ἤθελον. Εἶτα τὸν ἄζυγα (3) μὴ φέροντες βίον, εἰς μοιχείαν ἐξώλισθον. Ἐδίδασκον δὲ οἱ περὶ τὸν Εὐστάθιον καὶ ἄλλα παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ συνήθειαν, καὶ τὰς τῶν ἐκκλησιῶν καρποφορίας ᾠκειοῦντο, καὶ γυναῖκες παρ᾽ αὐτοῖς (4) ἀνδρῴας στολὰς ἠμφιέννυντο, καὶ τὴν κόμην ἀπέκειρον· παρεδίδουν δὲ καὶ ἐν ταῖς Κυριακαῖς νηστεύειν, καὶ τὰς τῇ ἐκκλησίᾳ τεταγμένας νηστείας ἠθέτουν, καὶ ἤσθιον (5), καὶ τὰ κρέα ἐβδελύσσοντο, καὶ ἐν οἴκοις γεγαμηκότων οὔτε εὔχεσθαι ἠνείχοντο, οὔτε μεταλαμβάνειν, και ἱερεῖς γεγαμηκότας ἀπεστρέφοντο, καὶ τῶν τόπων, ἐν οἷς μαρτύρων ἀπέκειντο λείψανα, ὡς κοινῶν κατεφρόνουν, καὶ τῶν χρήματα ἐχόντων, καὶ μὴ ἀναχωρούντων αὐτῶν, κατεγίνωσκον, ὡς ἀνελπίστου σφίσιν οὔσης τῆς σωτηρίας, καὶ ἄλλα πολλὰ ἐδογμάτιζον καὶ ἐδίδασκον. Κατὰ τούτων οὖν ἱεροὶ ἀθροισθέντες Πατέρες, ἐξέθεντο τοὺς ὑποτεταγμένους κανόνας· διὸ καὶ ἐφ᾽ ἑκάστῳ κανόνι τὸ ἀνάθεμα προσετίθουν εἰς ἀνατροπὴν τῆς αἱρέσεως, καὶ διδάσκοντες (6), ὡς οὕτω δεῖ τοὺς περὶ τὸν Εὐστάθιον προσερ-

(1) Π. Χ. Τρ. Βευερ. — Κανόνες τῶν ἐν Γάγγρᾳ συνελθόντων ἁγίων Πατέρων, οἵτινες μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον ἐξετέθησαν. Βρ. Κ. —(2) Χ. Τρ. Κ. — ἰδίους Βευερ. — (3) Χ. Τρ. Κ. — ἄζυγον Βευερ. — (4) Χ. Τρ. Κ. — παρ᾽ αὐτοὺς Βευερ. — (5) Χ. Τρ. Κ. — τὸ, καὶ ἤσθιον, οὐ κεῖται παρὰ Βευερ. — (6) Χ. Τρ. Κ. — ἐκδιδάσκοντες Βευερ. Ε.

χομένους τῇ ἐκκλησίᾳ ἑκάστην τῶν οἰκείων δοξῶν ἀναθεματίζειν(1).

ΒΑΛΣ. Καὶ ἡ μὲν παροῦσα σύνοδος, προφάσει τῶν γιγνομένων παρὰ τοῦ Εὐσταθίου κακῶν, ὑπεναντίως τοῖς δογματισθεῖσιν ὀρθῶς παρὰ τῆς καθολικῆς ἐκκλησίας, ἀναθεματίζεσθαι τοὺς ὁμόφρονας ἐκείνῳ διορίζεται. Ἡ δὲ ἐν Χαλκηδόνι ἁγία σύνοδος ἐν β'. καὶ ζ'. κανόνι ἀναθεματίζεσθαι διορίζεται τοὺς μεσιτεύοντας λαϊκοὺς ἐπὶ χρήμασι χειροτονεῖσθαι τινάς· ὡσαύτως καὶ τοὺς μοναχοὺς καὶ τοὺς κληρικοὺς στρατευομένους, καὶ μὴ μεταμελομένους. Ὁ δὲ χρυσοῦς τὴν γλῶτταν τῆς οἰκουμένης διδάσκαλος, παρακελευόμενος μὴ ἀναθεματίζεσθαι ἄνθρωπον πιστὸν, φησὶ ταῦτα ῥητῶς· Τί οὖν ἐστι τοῦτο ὃ λέγεις τὸ ἀνάθεμα, ἀλλ' ὅτι ἀνατιθέσθω οὗτος τῷ διαβόλῳ, καὶ μηκέτι σωτηρίας χώραν ἐχέτω, γινέσθω ἀλλότριος τοῦ Χριστοῦ; καὶ τίς εἶ σύ; Ταῦτα τῆς ἐξουσίας, καὶ τῆς μεγάλης δυνάμεως. Τότε γὰρ καθίσει ὁ βασιλεὺς, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τί οὖν τῆς τοιαύτης ἐπελάβου ἀξίας; Καὶ μετ' ὀλίγα· Τοιγαροῦν ὁ Ἀπόστολος ἐν δυσὶ μόνοις τόποις ἐξ ἀνάγκης τὴν φωνὴν ταύτην φαίνεται εἰπών· οὐχ ὁριστικῷ δὲ τρόπῳ ταύτην προσήγαγεν, ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπὼν, Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα· καὶ, Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω(2). Τί οὖν; ἃ μηδεὶς τῶν εἰληφότων τὴν ἐξουσίαν πεποίηκεν, εἰ μὴ μόνος ὃς ἔλαβε, σὺ τολμᾷς ταῦτα ποιεῖν ἐναντίως τῷ δεσποτικῷ παραγγέλματι, καὶ προλαμβάνεις τὴν κρίσιν τοῦ βασιλέως; τὸ γὰρ ἀνάθεμα παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει· δίδαξον ἐν πρᾳότητι, καὶ τὰ ἑξῆς. Διὰ γὰρ τοῦτο, ὡς ἔοικεν, ἀπρακτεῖ καὶ ὁ γεγονὼς συνοδικὸς τόμος ἐπὶ τῆς βασιλείας τοῦ Πορφυρογεννήτου κυροῦ Κωνσταντίνου, καὶ τῆς ἐφημερίας τοῦ πατριάρχου Κυροῦ Ἀλεξίου, χάριν τοῦ ἀναθεματίζεσθαι τοὺς ἀποστάτας καὶ μουλταρίους (3), καὶ κατὰ τῶν βασιλέων ὅπλα ἐγείροντας, καὶ τυραννίδα μελετῶντας. Εἰ

(1) Ἐνταῦθα ἀναγινώσκεται ἐν Χ. Τρ. Τέλος τῷ Ζωναρᾷ, καὶ πάλιν ἐν τῷ Βαλσαμῶνι· (τὰ ἑξῆς, δηλονότι, ἀναγινώσκεται). — (2) Γαλάτ. Α', 9. — (3) Ἐ. Βευερ. — βουλάτορας Χ. Τρ.

δὲ τὰ παρὰ τοῦ μεγάλου Πατρὸς καὶ διδασκάλου ἡμῶν τοῦ Χρυσοστόμου γραφέντα ὑπερτερεῖν ὀφείλουσι καὶ τῶν διορισθέντων παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου καὶ τῆς ἐν Γάγγρᾳ, ἐροῦσι (1) πάντως οἱ τὰ τοιαῦτα διευθετεῖν ἐξουσίαν ἔχοντες. Ὁ τοιοῦτος δὲ τόμος, μᾶλλον δὲ ἡ δύναμις τούτου κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ τρίτου κανόνος τῆς παρούσης συνόδου.

*ΖΩΝΑΡ. Κυρίοις τιμιωτάτοις ἐν Ἀρμενίᾳ συλλειτουργοῖς, Εὐσέβιος, Αἰλιανὸς, Εὐγένιος, Ὀλύμπιος, Βιθυνικὸς, Γρηγόριος, Φιλητὸς, Πάππος, Εὐλάλιος, Ὑπάτιος, (2) Προαιρέσιος, Βασίλειος, Βάσσος, οἱ συνελθόντες εἰς τὴν κατὰ Γάγγραν ἁγίαν σύνοδον, ἐν Κυρίῳ χαίρειν.*

Ἐπειδὴ συνελθοῦσα ἡ ἁγιωτάτη σύνοδος τῶν ἐπισκόπων ἐν τῇ κατὰ Γάγγραν ἐκκλησίᾳ διά τινας ἐκκλησιαστικὰς χρείας, ζητουμένων καὶ τῶν κατ' Εὐστάθιον, εὕρισκε πολλὰ ἀθέσμως γινόμενα ὑπὸ τούτων αὐτῶν τῶν περὶ Εὐστάθιον, ἀναγκαίως ὥρισε, καὶ πᾶσι φανερὸν ποιῆσαι ἐσπούδασεν, εἰς ἀναίρεσιν τῶν ὑπ' αὐτοῦ κακῶς γινομένων. Καὶ γὰρ ἐκ τοῦ καταμέμφεσθαι αὐτοὺς τὸν γάμον, καὶ ὑποτίθεσθαι, ὅτι οὐδεὶς τῶν ἐν γάμῳ ὄντων ἐλπίδα παρὰ Θεῷ ἔχει, πολλαὶ γυναῖκες ὕπανδροι ἀπατηθεῖσαι, τῶν ἑαυτῶν ἀνδρῶν ἀνεχώρησαν, καὶ ἄνδρες τῶν ἰδίων γυναικῶν· εἶτα ἐν τῷ μεταξὺ μὴ δυνηθεῖσαι ἐγκρατεῖν, ἐμοιχεύθησαν, καὶ διὰ τὴν τοιαύτην ὑπόθεσιν ὠνειδίσθησαν. Εὑρίσκοντο δὲ καὶ ἀναχωρήσεις ἐκ τῶν οἴκων τοῦ Θεοῦ καὶ τῆς ἐκκλησίας ποιούμενοι, καταφρονητικῶς διακείμενοι κατὰ τῆς ἐκκλησίας, καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἰδίᾳ συνάξεις ποιούμενοι, καὶ ἐκκλησιάσεις, καὶ διδασκαλίας ἑτέρας, καὶ τὰ ἄλλα (3) κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ, ξένα ἀμφιάσματα ἐπὶ καταπτώσει τῆς κοινότητος τῶν ἀμφιασμάτων συνάγοντες, καρποφορίας τε τὰς

---

(1) Χ. Τρ. — τί ἐροῦσι Βευερ. Ἑ. (2) Τὰ ἀπὸ τοῦ, Γρηγόριος, ἕως τοῦ, Ὑπάτιος, οὐ κεῖται παρὰ Βευερ. ἀλλὰ παρὰ Κ. καὶ Βρ. ἐν δὲ τῷ Χ. Τρ. οὐ κεῖται ὅλως ἡ παροῦσα ἐπιστολή. — (3) Βρ. —καὶ τὰ ἄλλα καί, Βευερ. Κ.

ἐκκλησιαστικὰς τὰς ἀνέκαθεν διδομένας τῇ ἐκκλησίᾳ, ἑαυτοῖς καὶ τοῖς σὺν αὐτοῖς, ὡς ἁγίοις, τὰς διαδόσεις ποιούμενοι, καὶ δοῦλοι δεσποτῶν ἀναχωροῦντες, καὶ διὰ τοῦ ξένου ἀμφιάσματος καταφρόνησιν κατὰ τῶν δεσποτῶν ποιούμενοι, καὶ γυναῖκες παρὰ τὸ σύνηθες ἀντὶ ἀμφιασμάτων γυναικείων ἀνδρικὰ ἀμφιάσματα ἀναλαμβάνουσαι, καὶ ἐκ τούτων οἰόμεναι δικαιοῦσθαι· πολλαὶ δὲ καὶ ἀποκείρονται προφάσει θεοσεβείας τὴν φύσιν τῆς κόμης τῆς γυναικείας· νηστείας τε ἐν Κυριακῇ ποιούμενοι, καὶ τῆς ἁγιότητος τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες, καὶ τῶν νηστειῶν τῶν ἐν ταῖς ἐκκλησίαις τεταγμένων ὑπερφρονοῦντες, καὶ ἐσθίοντες· καί τινες αὐτῶν μεταλήψεις κρεῶν βδελυττόμενοι, καὶ ἐν οἴκοις γεγαμηκότων εὐχὰς ποιεῖσθαι μὴ βουλόμενοι, καὶ γινομένων εὐχῶν καταφρονοῦντες, καὶ πολλάκις προσφορῶν ἐν αὐταῖς ταῖς οἰκίαις τῶν γεγαμηκότων γινομένων μὴ μεταλαμβάνοντες, καὶ πρεσβυτέρων γεγαμηκότων ὑπερφρονοῦντες, καὶ τῶν λειτουργιῶν τῶν ὑπ' αὐτῶν γινομένων μὴ ἁπτόμενοι, καὶ τὰς συνάξεις τῶν μαρτύρων (1) καὶ τῶν ἐκεῖ συνερχομένων καὶ λειτουργούντων καταγινώσκοντες, καὶ πλουσίων δὲ τῶν μὴ πάντων τῶν ὑπαρχόντων ἀναχωρούντων, ὡς ἐλπίδα παρὰ Θεῷ μὴ ἐχόντων· καὶ πολλὰ ἄλλα ἃ ἀριθμῆσαι οὐδεὶς ἂν δυνηθείη. Ἕκαστος γὰρ αὐτῶν, ἐπειδὴ τοῦ κανόνος τοῦ ἐκκλησιαστικοῦ ἐξῆλθεν, ὥσπερ νόμους ἰδιάζοντας ἔσχεν. Οὔτε γὰρ κοινὴ γνώμη αὐτῶν ἁπάντων ἐγένετο· ἀλλ' ἕκαστος, ὅπερ ἂν ἐνεθυμήθη, τοῦτο προσέθηκεν ἐπὶ διαβολῇ τῆς ἐκκλησίας καὶ ἑαυτοῦ βλάβῃ. Δι' οὖν ταῦτα ἠναγκάσθη ἡ παραγενομένη ἐν Γάγγραις ἁγία σύνοδο ς καταψηφίσασθαι αὐτῶν, καὶ ὅρους ἐκθέσθαι, ἐκτὸς αὐτοὺς εἶναι τῆς ἐκκλησίας· εἰ δὲ μεταγνοῖεν, καὶ ἀναθεματίζοιεν ἕκαστον τούτων τῶν κακῶς λεχθέντων, δεκτοὺς αὐτοὺς

(1) Βρ. Βιυερ. — τὸ, καὶ τὰς συνάξεις τῶν μαρτύρων, οὐ κεῖται παρὰ Κ.

γίνεσθαι. Καὶ διὰ τοῦτο ἐξέθετο ἡ ἁγία σύνοδος ἕκαστον, ὃ ὀφείλουσιν ἀναθεματίσαντες δεχθῆναι· εἰ δέ τις μὴ πεισθείη τοῖς λεχθεῖσιν, ὡς αἱρετικὸν αὐτὸν ἀναθεματισθῆναι, καὶ εἶναι ἀκοινώνητον καὶ κεχωρισμένον τῆς ἐκκλησίας· καὶ δεήσει τοὺς ἐπισκόπους ἐπὶ πάντων τῶν εὑρισκομένων παρ' αὐτοῖς τοιοῦτον παραφυλάξασθαι.

## Κανὼν Α'.

Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐλαβῆ(1), βδελύσσοιτο ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

---

ΖΩΝΑΡ. Φησὶν ὁ μέγας Ἀπόστολος Παῦλος· Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος (2). Καὶ ἀλλαχοῦ πάλιν· Ἐν ὑστέροις ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν, καὶ τὰ ἑξῆς (3)· καὶ αὖθις· Πάντα καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν· ἀλλὰ μεμίανται αὐτῶν καὶ ἡ ψυχὴ καὶ ἡ συνείδησις. Τούτοις ἑπομένη τῶν Πατέρων ἡ σύνοδος, τοὺς ἀκάθαρτον ἡγουμένους τὸν γάμον, καὶ τὴν ἔννομον μίξιν βδελυσσομένους, ἀνεθεμάτισεν.

ΒΑΛΣ. Φησὶν ὁ μέγας Ἀπόστολος· Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. Καὶ ἀλλαχοῦ πάλιν· Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν, καὶ τὰ ἑξῆς. Καὶ αὖθις· Πάντα καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ἡ ψυχὴ καὶ ἡ συνείδησις. Τούτοις ἑπομένη καὶ ἡ παροῦσα σύνοδος, τοὺς ἀκάθαρτον ἡγουμένους τὸν γάμον, καὶ τὴν ἔννομον μίξιν βδελυσσομένους, ἀναθεματίζει. Ἀνάγνωθι καὶ τὸν νά. κανόνα

---

(1) Π. 'Ε. Κ. Βρ. Σ. Ῥ. — εὐσεβῆ, Βευερ. — πιστὴν, καὶ εὐσεβῆ καὶ εὐλαβῆ. Χ. Τρ. — (2) Πέτρ. Ἑβρ. ΙΓ', 4. — (3) Τιμόθ. Δ', 1, 3.

τῶν ἁγίων Ἀποστόλων, καὶ εἰπὲ ἐξ ἀντιδιαστολῆς μὴ κολάζεσθαι τοὺς μυσαττομένους καὶ διώκοντας τὰς μοιχαλίδας καὶ ἀπίστους γυναῖκας αὐτῶν.

ΑΡΙΣΤ. Τῷ ἀθετοῦντι τὸν νόμιμον γάμον, ἀνάθεμα.

## Κανὼν Β'.

**Εἴ τις ἐσθίοντα κρέα, χωρὶς αἵματος, καὶ εἰδωλοθύτου, καὶ πνικτοῦ, μετ' εὐλαβείας καὶ πίστεως, κατακρίνοι ὡς ἂν διὰ τὸ μεταλαμβάνειν ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Γέγραπται ἐν τῇ βίβλῳ τῶν Πράξεων, ὅτι, ἀμφιβολίας γενομένης, εἰ δεῖ τοὺς πιστεύοντας περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον, ὁ μὲν τῶν Ἀποστόλων κορυφαιότατος Πέτρος ἐδημηγόρησεν ὅσα ἐκεῖ ὁ θεῖος Λουκᾶς ἱστόρησεν· ὁ δὲ ἀδελφόθεος Ἰάκωβος ἔφη, μὴ δεῖν παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν, ἀλλ' ἀπέχεσθαι αὐτοὺς τῶν εἰδωλοθύτων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. Ταύτην τὴν ἀποστολικὴν διαταγὴν τηροῦντες καὶ οἱ τῆς παρούσης συνόδου, τὸν ἐσθίοντα κρέα καὶ οὐχ αἷμα ἐξ ἐπιτηδεύσεως ἑψόμενον καὶ πηγνύμενον, οὔτε μὴν εἰδωλόθυτον, οὔτε πνικτὸν, μὴ βδελύττεσθαι, μηδὲ κατακρίνεσθαι ὥρισε· τὸν δὲ κατακρίνοντα αὐτὸν, ὑπὸ ἀνάθεμα ἐποιήσατο.

ΒΑΛΣ. Γέγραπται ἐν τῇ βίβλῳ τῶν Πράξεων, ὅτι, ἀμφιβολίας γενομένης, εἰ δεῖ τοὺς πιστεύοντας περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, ὁ μὲν τῶν Ἀποστόλων κορυφαιότατος Πέτρος ἐδημηγόρησεν ὅσα ἐκεῖ ὁ θεῖος Λουκᾶς ἱστόρησεν· ὁ δὲ ἀδελφόθεος Ἰάκωβος ἔφη, μὴ δεῖν παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν, ἀλλ' ἀπέχεσθαι αὐτοὺς τῶν εἰδωλοθύτων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν ἀναθεματίζει τοὺς κατακρίνοντας τὸν ἐσθίοντα κρέα χωρὶς ἐπιτηδευτοῦ αἵματος, ἢ εἰδωλοθύτου, ἢ πνικτοῦ. Ἀνάγνωθι καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα ξγ'. καὶ τῆς ἕκτης συνόδου κανόνα ξζ'.

ΑΡΙΣΤ. Καὶ τῷ κατακρίνοντι τὸν κρεωφαγοῦντα, δίχα πνικτοῦ, καὶ εἰδωλοθύτου, ἀνάθεμα.

## Κανὼν Γ΄.

Εἴ τις δοῦλον προφάσει θεοσεβείας διδάσκοι καταφρονεῖν δεσπότου, καὶ ἀναχωρεῖν τῆς ὑπηρεσίας, καὶ μὴ μετ' εὐνοίας καὶ πάσης τιμῆς τῷ ἑαυτοῦ δεσπότῃ ἐξυπηρετεῖσθαι, ἀνάθεμα ἔστω.

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησίν· Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν· οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι (1). Καὶ τῷ Τίτῳ δὲ αὖθις ἐντέλλεται, τίνα διδάσκειν χρεών· καί φησι δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι(2), καὶ τὰ ἑξῆς. Ἀλλ' ὁ Εὐστάθιος καὶ οἱ περὶ ἐκεῖνον τοὐναντίον ἅπαν ἐδίδασκον, καὶ τοῖς δούλοις παρῄνουν, καταλιμπάνειν τοὺς δεσπότας, καὶ τῆς τούτων ὑπηρεσίας καταφρονεῖν, τάχα δι' ἄσκησιν· οὓς ἡ σύνοδος διὰ τὴν τοιαύτην* (3) διδαχήν, στοιχοῦσα τῇ ἀποστολικῇ διδασκαλίᾳ, ἀνεθεμάτισεν.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησίν· Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν· οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Καὶ τῷ Τίτῳ δὲ αὖθις ἐντελλόμενος, τίνα διδάσκειν χρεών, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα φησί· Δούλους ἰδίοις δεσπόταις ὑποτάττεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν. Τοὺς γοῦν τἀναντία τούτοις ὑποτιθέντας τοῖς δούλοις, τάχα διὰ ἄσκησιν, ἀναθεματίζει ὁ κανών. Ἡ μέντοι ξς΄. νεαρὰ τοῦ βασιλέως Κυροῦ Λέοντος τοῦ φιλοσόφου, παρακελεύεται τὸν ἀνδραποδιστὴν μὴ κεφαλικὴν τιμωρίαν ὑφίστασθαι κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ σὺν τῇ ἀντιστροφῇ (4) τοῦ δούλου διδόναι, χάριν ποινῆς, εἰς τὸ διπλάσιον τὴν διατίμησιν τῶν

(1) α΄, Τιμόθ. ς΄, 12. — (2) Τίτ. Β΄, 9. — (3) Χ. Τρ. — (4) Χ. Τρ. Κ. — ἀναστροφῇ Βευερ·

κλαπέντων παρὰ τοῦ δούλου ἴσως, καὶ παντὸς διαφέροντος τῷ δεσπότῃ· ἀλλὰ μὴν καὶ τὴν ἀποδιατίμησιν αὐτοῦ. Καὶ ὁ μὲν κανὼν οὕτω κολάζει τοὺς ὑποτιθεμένους (1) τοῖς δούλοις, μὴ ὑπείκειν τοῖς δεσπόταις, κἂν κατ' εὐλαβείας πρόφασιν τοῦτο γίνηται. Ἡ δὲ κατὰ τὸν Ἰούλιον μῆνα τῆς θ'. Ἰνδικτιῶνος τοῦ ,ςφλδ'. ἔτους γενομένη νεαρὰ παρὰ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, συμπράξαντος καὶ τοῦ τότε ἁγιωτάτου πατριάρχου κυροῦ Ἀλεξίου, καὶ τῆς συνόδου, ἡ καὶ τάξιν τόμου ἐπέχουσα, ὡς ὑπογραφεῖσα παρὰ τοῦ βασιλέως καὶ τῆς συνόδου, καὶ διοριζομένη ἀναθεματίζεσθαι τοὺς ἐπιχειροῦντας ἀποστασίαν κατὰ βασιλέων ποιῆσαι, ἢ τυραννίδα, κἀντεῦθεν τοὺς ὑπηκόους κατὰ τῶν αὐθεντῶν αὐτῶν ἀναστατοῦντας, διορίζεται μετὰ τῶν ἄλλων περὶ τὸ τέλος καὶ ταῦτα ῥητῶς· Τοῖς μέλλουσιν ἢ ἐπιβουλῇ ἀπό γε τοῦ νῦν ἐπιχειρεῖν, ἢ μούλτῳ(2), ἀνάθεμα· τοῖς συμπράττουσιν αὐτοῖς καὶ συγκοινωνοῦσιν ἐν τῇ ἀποστασίᾳ, ἀνάθεμα· τοῖς συμβουλεύουσιν ἢ παρορμῶσιν εἰς τὰ τοιαῦτα, ἀνάθεμα· τοῖς συνεκστρατεύουσι τούτοις, ἀνάθεμα· τοῖς δεχομένοις αὐτοὺς ἐν μετανοίᾳ, μὴ μεταμελομένους ἀπὸ τῆς ἀποστασίας, καὶ καταλιμπάνοντας αὐτὴν, ἀνάθεμα.

ΑΡΙΣΤ. Τῷ πείθοντι δοῦλον ἀναχωρεῖν τοῦ δεσπότου, εὐσεβείας προφάσει, ἀνάθεμα.

## Κανὼν Δ'.

**Εἴ τις διακρίνοιτο παρὰ (3) πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῆναι, λειτουργήσαντος αὐτοῦ, προσφορᾶς μεταλαμβάνειν (4), ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Τὸν διακρινόμενον, ἤτοι ὑποστελλόμενον, καὶ μὴ θέλοντα μεταλαβεῖν, πρεσβυτέρου γεγαμηκότος λειτουργήσαντος, καὶ τὴν ἀναίμακτον θυσίαν τελέσαντος, ὁ κανὼν ἀναθέματι ὑπάγει.

(1) Χ. Τρ. — τοὺς ὑποτιθέντας δούλοις. Ἑ. — (2) Ἑ. Βενετ. — ἢ βουλεύονται Χ. Τρ. — (3) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. — περὶ πρεσβυτέρου Βενετ. — (4) Π. Βρ. Χ. Τρ. — μεταλαβεῖν Βενετ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀναθεματίζει τοὺς μὴ ἀδιστάκτως μεταλαμβάνοντας ἀπὸ ἱερέων ἐχόντων γυναῖκας.

ΑΡΙΣΤ. Τῷ διακρινομένῳ μεταλαβεῖν ἀπὸ πρεσβυτέρων ὑπογυναίων, ἀνάθεμα.

## Κανὼν Ε΄.

**Εἴ τις διδάσκοι, τὸν οἶκον τοῦ Θεοῦ εὐκαταφρόνητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, ἀνάθεμα ἔστω.**

—

ΖΩΝΑΡ. Καὶ τοῦτο τῆς διδασκαλίας τοῦ Εὐσταθίου, τὸ τῆς ἐκκλησίας ἀναχωρεῖν, καὶ καταφρονητικῶς διακεῖσθαι πρὸς τὰς ἐν αὐτῇ συνάξεις, ὡς ἐν παντὶ τόπῳ δυνατοῦ ὄντος εὔχεσθαι. Ἐν παντὶ μὲν γὰρ τόπῳ εὔχεσθαι ὁ μέγας Παῦλος διατάττεται, ἀλλ᾽ οὐχ ὥστε καταφρονεῖν τῶν συνάξεων, μηδὲ προσιέναι τοῖς ἱεροῖς. Διὸ καὶ τοῖς τοῦτο διδάσκουσιν, οἱ Πατέρες ἐπιτίμιον τὸ ἀνάθεμα ἔθεντο (1).

ΒΑΛΣ. Ὁ αἱρετικὸς ἐκεῖνος Εὐστάθιος ἐδίδασκεν ἀναχωρεῖν τῆς ἐκκλησίας, καὶ κατ᾽ ἰδίαν εὔχεσθαι. Ἀναθεματίζει οὖν ὁ κανὼν τοὺς διὰ καταφρόνησιν τῶν θείων συνάξεων τὰς κατ᾽ ἰδίαν ἀναχωρήσεις ἐπιτρέποντας.

ΑΡΙΣΤ. Ὁ τὸν θεῖον οἶκον εὐκαταφρόνητον ὀνομάζων, εἴη ἀνάθεμα.

## Κανὼν Ϛ΄.

**Εἴ τις παρὰ τὴν ἐκκλησίαν ἰδίᾳ (2) ἐκκλησιάζοι, καὶ καταφρονῶν τῆς ἐκκλησίας, τὰ τῆς ἐκκλησίας ἐθέλοι πράττειν, μὴ συνόντος τοῦ πρεσβυτέρου κατὰ γνώμην τοῦ ἐπισκόπου, ἀνάθεμα ἔστω.**

—

ΖΩΝΑΡ. Οἱ περὶ τὸν Εὐστάθιον, τῆς ἐκκλησίας καταφρονοῦντες, ἤτοι τοῦ ἀθροισμοῦ τῶν πιστῶν, (οὗτος γάρ ἐστι κυρίως ἡ ἐκκλησία· ὁ γὰρ ναός, κατὰ τὸν ἅγιον Ἰσίδωρον τὸν Πηλουσιώτην, ἐκκλησιαστήριον λέγεται, ὡς θυμίαμα καὶ

(1) Χ. Τρ. — οἱ Πατέρες ἐπιτίμιον τὸ ἀνάθεμα ἐποιήσαντο καὶ ἔθεντο. Βευερ. — (2) Π. Χ. Τρ. Ἑ. Κ. Βρ. — κατ᾽ ἰδίαν Βευερ.

θυμιατήριον, καὶ θυσία, καὶ θυσιαστήριον) ἰδίᾳ ἐκκλησιάζειν, ἀντὶ τοῦ, συνάξεις ποιεῖν, ἢ μᾶλλον παρασυνάξεις, ἤθελον πράττειν τε τὰ τῆς ἐκκλησίας, ἱερουργίας δηλαδὴ, μὴ συνόντος τοῦ πρεσβυτέρου κατὰ γνώμην τοῦ ἐπισκόπου· ἐν εὐκτηρίῳ γὰρ ἐντὸς οἰκίας ὄντι οὐκ ἐκχωρεῖται πρεσβύτερος ἱερουργεῖν, εἰ μὴ τοῦ ἐπισκόπου τῆς πόλεως ἐπιτρέποντος· διὸ καὶ ἀναθέματι κατεδικάσθησαν.

ΒΑΛΣ. Ὁ λά. κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἕτεροι, μεγάλως κολάζουσι τὰς παρασυνάξεις· ὁ δὲ παρὼν ἀναθεματίζει τοὺς τοιούτους, καὶ τοὺς ἐπιχειροῦντας ἱερουργεῖν ἐν εὐκτηρίῳ οἴκῳ, χωρὶς εἰδήσεως ἐπισκόπου.

ΑΡΙΣΤ. Ὁ ἐκκλησιάζων ἰδίᾳ, εἴη ἀνάθεμα.

## Κανὼν Ζ΄.

**Εἴ τις καρποφορίας ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Μετὰ τῶν ἄλλων, ὧν ἐτόλμων οἱ περὶ τὸν Εὐστάθιον, καὶ καρποφορίας τὰς συνήθως ταῖς ἐκκλησίαις προσαγομένας λαμβάνοντες, διένεμον ἀλλήλοις. Τοῦτο οὖν ὁ κανὼν κωλύων, χωρὶς τοῦ ἐπισκόπου ἢ τοῦ ἐμπεπιστευμένου τὴν τῆς ἐκκλησίας οἰκονομίαν, ὁρίζει μὴ ἐξεῖναί τινι λαμβάνειν ἢ διδόναι καρποφορίαν. Τῶν δὲ τὸν κανόνα παραβαινόντων ἀνάθεμα κατεψηφίσατο.

ΒΑΛΣ. Αἱ προσαγόμεναι καρποφορίαι ταῖς ἐκκλησίαις διὰ τῶν ἐπισκόπων μερίζονται. Ἐπεὶ οὖν εἰς καταφρόνησιν τούτων τινὲς ἐμέριζον ταύτας ἑαυτοῖς, διορίζεται ὁ κανὼν ἀναθεματίζεσθαι τοὺς χωρὶς ἐπισκοπικῆς εἰδήσεως τοιοῦτόν τι ποιοῦντας.

ΑΡΙΣΤ. Ὁ παρὰ γνώμην ἐπισκόπου, ἢ πρεσβυτέρου, τὰ τῆς ἐκκλησίας τελῶν, εἴη ἀνάθεμα.

## Κανὼν Η'.

Εἴ τις διδοῖ, ἢ λαμβάνοι καρποφορίαν παρεκτὸς τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν εὐποιίας, καὶ ὁ διδοὺς, καὶ ὁ λαμβάνων, ἀνάθεμα ἔστω.

—

ΖΩΝΑΡ. ΒΑΛΣ. Ἰσοδυναμεῖ καὶ οὗτος ὁ κανὼν τῷ πρὸ αὐτοῦ.

ΑΡΙΣΤ. Διδούς τις ἢ λαμβάνων καρποφορίαν, ἐκτὸς τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονομεῖν ταχθέντος εἰς εὐποιΐαν· καὶ ὁ διδοὺς, καὶ ὁ λάμβάνων ἔστω ἀνάθεμα.

## Κανὼν Θ'.

Εἴ τις παρθενεύοι, ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελυκτῶν τῶν γάμων ἀναχωρήσας (1), καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω.

—

ΖΩΝΑΡ. Κάλλιστον μὲν ἡ παρθενία, καλὸν δὲ καὶ ἡ σωφροσύνη· ἀλλ' εἰ δι' αὐτὸ τὸ καλὸν γίνοιντο, καὶ διὰ τὸν ἐξ αὐτῶν ἁγιασμόν. Εἰ δέ τις παρθενεύοι, τὸν γάμον ὡς ἀκάθαρτον βδελυττόμενος, καὶ σωφρονεῖ, καὶ ἐγκρατεύεται μίξεως ἀπεχόμενος τοῦ γάμου, ὥς τινος τάχα μιάσματος, οὗτος ἀναθέματος τῷ κανόνι κέκριται ἄξιος.

ΒΑΛΣ. Περὶ τῶν ἀποστρεφομένων τὸν νόμιμον γάμον, μὴ δι' ἀρετὴν καὶ εὐλάβειαν, ἐγράψαμεν ἐν τῷ πρώτῳ κανόνι, καὶ ἀνάγνωθι ταῦτα.

ΑΡΙΣΤ. Καὶ ὁ μὴ διὰ τὸ καλὸν παρθενεύων, ἀλλὰ διὰ τὸ τὸν γάμον βδελύττεσθαι, εἴη ἀνάθεμα.

## Κανὼν Ι'.

Εἴ τις τῶν παρθενευόντων διὰ τὸν Κύριον, κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

—

(1) Χ. Τρ. Σ. Ρ.—ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρῶν Βευερ.— ὡς ἂν βδελυττόμενος τὸν γάμον ἀναχωρήσας Π. Ἑ. Κ.—ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρήσας Βρ.

ΒΑΛΣ. Καὶ ὁ ἔννατος κανὼν, καὶ ὁ παρὼν, τὴν δι' ἀρετὴν σωφροσύνην καὶ τὴν παρθενίαν ἀποδέχονται· πλὴν οὐδὲ τὸν νόμιμον γάμον μυσάττονται. ὅθεν καὶ τοὺς κατεπαιρομένους κατὰ τῶν ἐχόντων ὁμοζύγους διὰ ὑπερηφανίαν, ἀναθέματι καθυποβάλλουσιν.

ΑΡΙΣΤ. Ὁ κατεπαιρόμενος τῶν γαμούντων, εἴη ἀνάθεμα.

## Κανὼν ΙΑ'.

Εἴ τις καταφρονοίη τῶν ἐκ πίστεως ἀγάπας ποιούντων, καὶ διὰ τιμὴν τοῦ Κυρίου συγκαλούντων τοὺς ἀδελφοὺς, καὶ μὴ ἐθέλοι κοινωνεῖν ταῖς κλήσεσι, διὰ τὸ ἐξευτελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔστω (1).

---

ΖΩΝΑΡ. Εἴθιστο ἐξ ἔθους ἀρχαίου τοῖς πιστοῖς, μετὰ τὴν τῶν ἁγιασμάτων μετάληψιν συνέρχεσθαι καὶ συνεσθίειν, τῶν πλουσίων χορηγούντων τὰ βρώματα, συγκαλούντων δὲ καὶ τοὺς πένητας, οὗ καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους μέμνηται, αἰτιώμενος ἐκείνους, ὡς τὸ ἔθος παραχαράσσοντας, καὶ οὐχὶ κοινῶς δειπνοῦντας, ἀλλ' ἑκάστου τὸν ἴδιον δεῖπνον ἐσθίοντος, λέγων· Καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει (2)· κατὰ τοῦτο τὸ ἔθος ἐποίουν οἱ πιστοὶ καὶ τότε συσσίτια καὶ συμπόσια, ἃ καὶ ἀγάπας ἐκάλουν, ὡς δι' ἀγάπην ἐκ πίστεως γινόμενα. Ὅτι δὲ τὰ συμπόσια καλεῖ ὁ κανὼν ἀγάπας, δηλοῖ ὁ μϐ'. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, περιέχων οὕτως, περὶ τοῦ μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι, καὶ ὥστε τοὺς ἐπισκόπους καὶ κληρικοὺς ἐν τῇ ἐκκλησίᾳ μὴ συμποσιάζεσθαι. Συμποσίων οὖν ἐκ πίστεως καὶ διὰ τιμὴν τοῦ Κυρίου γινομένων, καὶ ἐν αὐτοῖς συγκαλουμένων τῶν ἀδελφῶν, εἰ μὴ βούλοιντό τινες μετέχειν αὐτῶν καλούμενοι, ὡς ὑπερηφανευόμενοι καὶ ἐξευτελίζοντες τὸ γινόμενον, ἀναθεματίζει αὐτοὺς ὁ κανών.

ΒΑΛΣ. Ἀπὸ ἑτέρων κανόνων κεκώλυται γίνεσθαι ἀγάπας, τουτέστιν ἀδελφοσύνας καὶ συμπόσια. Ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἐμέμφοντο τοὺς μετ' ἀγαθῆς προαιρέσεως καὶ διὰ τιμὴν τοῦ

---

(1) Ὁ κανὼν οὗτος φέρει ἀριθμὸν ιϛ'. ἐν Χ. Τρ. — (2) ά. Κορ. ΙΑ, 20.

Θεοῦ ποιοῦντας ἀγάπας, καὶ ἐλεοῦντας πενομένους ἀδελφοὺς, καὶ οὐκ ἤθελον συγκοινωνεῖν τοῖς οὕτως ἀγαθοεργοῦσιν, ἐξευτελίζοντες τὸ γινόμενον εἰς τιμὴν τοῦ Θεοῦ, ὥρισαν οἱ Πατέρες τούτους ἀναθεματίζεσθαι· ὥστε ἀπὸ τῆς διαθέσεως καταδικάζεταί τις ἀγάπας ποιῶν, εἴτε καὶ μή. Κἀντεῦθεν καὶ οἱ τὰς ἀδελφοσύνας ἐν ταῖς ἐκκλησίαις ποιοῦντες, καὶ ἄρτου μετρίου καὶ ὀπωρῶν διὰ ψυχαγωγίαν ἀπογευόμενοι, οὐκ ἐπιτιμηθήσονται.

ΑΡΙΣΤ. Ὁ τοὺς καλοῦντας εἰς ἀγάπην ἀθετῶν, καὶ τούτοις οὐ κοινωνῶν κεκλημένος, ἀνάθεμα.

## Κανὼν ΙΒ'.

Εἴ τις ἀνδρῶν (1) διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς ἂν ἐκ τούτου τὴν δικαιοσύνην ἔχων καταψηφίσοιτο τῶν μετ' εὐλαβείας τοὺς βήρους φορούντων, καὶ τῇ ἄλλῃ (2) κοινῇ καὶ ἐν συνηθείᾳ οὔσῃ ἐσθῆτι κεχρημένων, **ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Οἱ περὶ τὸν Εὐστάθιον πρὸς τοῖς ἄλλοις καὶ ῥακενδυτεῖν ἐδίδασκον, ὡς ἐκ τούτου ἁγιάζεσθαι μέλλοντας τοὺς μαθητευομένους αὐτοῖς. Περιβόλαιον γὰρ τὸ ἐπάνω τῶν ἄλλων ἐπίβλημα ἐκάλουν, ἵνα φαίνοιτο, καὶ ἐκ τούτου θηρῶνται δόξαν ἀσκήσεως, καὶ κατηγοροῖεν τῶν φορούντων τοὺς βήρους, τὰ σηρικὰ δηλονότι ὑφάσματα, καὶ τὴν ἄλλην ἐσθῆτα τὴν συνήθη. Βῆρος δὲ εἶδος ἦν ἐργασίας ὑφάσματος· ὅθεν καὶ νῦν εἰσι τὰ λεγόμενα ὁλόβηρα. Οἱ οὖν μετ' εὐλαβείας ταῦτα φοροῦντες, καὶ οὐχ ὥστε ἢ τῶν πενεστέρων κατεπαίρεσθαι, ἢ κεχρῆσθαι τῇ λαμπρότητι τῶν περιβλημάτων εἰς βλακείαν, καὶ ἐρωτικῶν ἔχειν ταῦτα ὑποθέσεων ἀφορμὰς, ἀναίτιοι. Τοὺς γοῦν καταψηφιζομένους ἤτοι καταδικάζοντας, ὡς ἁμαρτάνοντας, τοὺς σηρικαῖς ἐσθῆσι χρωμένους εὐλαβῶς, ἀναθέματι καταδικάζει ὁ κανών.

---

(1) Π. καὶ οἱ λαικοί — ἐν δὲ Χ. Τρ. καὶ Σ. Ῥ. ἀδρῶν. — (2) Χ. Τρ. Βρ. Ἑ. Κ. Σ. Ῥ. — ἐν κοινῇ τῇ ἄλλῃ ἐν Π.

ΒΑΛΣ. Οἱ περὶ τὸν Εὐστάθιον πρὸς τοῖς ἄλλοις, καὶ ῥακενδυτεῖν ἐδίδασκον, ὡς ἐκ τούτου ἁγιάζεσθαι μέλλοντας τοὺς μαθητευομένους αὐτοῖς· περιβόλαιον γὰρ, τὸ ἐπάνω τῶν ἄλλων ἐπίβλημα ἐκάλουν. Τοὺς γοῦν διὰ ὑπερηφανίαν καὶ ὑπόκρισιν ῥακενδυτοῦντας, καὶ κατηγοροῦντας τῶν φορούντων τοὺς βήρους, ἤτοι τὰ σηρικὰ ὑφάσματα, διὰ τὸ τίμιον τοῦ ἐπαγγέλματος, καὶ μὴ διὰ βλακείαν ἢ δι' ἀλαζονείαν, ἀναθέματι ὁ κανὼν καθυποβάλλει.

ΑΡΙΣΤ. Ὁ φαυλίζων τοὺς φοροῦντας βήρους, ἀνάθεμα.

## Κανὼν ΙΓ'(1).

Εἴ τις γυνὴ διὰ νομιζομένην ἄσκησιν μεταβάλλοιτο ἀμφίασμα, καὶ ἀντὶ τοῦ εἰωθότος γυναικείου ἀμφιάσματος ἀνδρῷον ἀναλάβοι, ἀνάθεμα ἔστω.

---

ΖΩΝΑΡ. Ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει μενέτω, φησὶν ὁ Ἀπόστολος. Τὰς γοῦν γυναῖκας οὐ βούλεται ὁ κανὼν μεταλλάττειν τὸ σχῆμα, καὶ ἀνδρῴαν στολὴν ἀμφιέννυσθαι δι' ἄσκησιν τάχα, τὴν οἰκείαν καὶ κατάλληλον τῇ φύσει αὐτῶν ἀποῤῥιψάσας. Ταῖς δὲ τοῦτο ποιούσαις ἐπιφέρει τὸ ἀνάθεμα.

ΒΑΛΣ. Τὰς στολὰς ἀνδρῴας ἀμφιεννυμένας γυναῖκας δι' ἄσκησιν τάχα, καὶ ἀποῤῥιπτούσας τὴν κατάλληλον τῇ γυναικείᾳ φύσει ςολὴν, ἀναθεματίζει ὁ κανών. Καλῶς δ' ἐπήγαγον οἱ Πατέρες τὸ, διὰ νομιζομένην ἄσκησιν· ἡ γὰρ μὴ διὰ ὑπόκρισιν καὶ ἀπάτην, ἀλλ' ἐν ἀληθείᾳ καὶ διὰ τρόπον ἀληθοῦς ἀσκήσεως καὶ καθαρᾶς τοιοῦτόν τι ποιήσασα, οὐ μόνον οὐκ ἀναθεματισθήσεται, ἀλλὰ καὶ εὐχαριστηθήσεται. Πολλαὶ γὰρ γυναῖκες διὰ ἀνδρῴου σχήματος τὸν ἀσκητικὸν ἤνυσαν δρόμον, καὶ εἰς τὸ τῆς σωτηρίας ὑπέρτατον ἔφθασαν, ὡς ἡ ἁγία Μελάνη, ἡ ἁγία Εὐγενία, καὶ ἕτεραι.

ΑΡΙΣΤ. Ὅσαι γυναῖκες ἀνδρῷα ὑποκρίνονται ἱμάτια, ἀνάθεμα.

---

(1) ιά, ἐν Χ. Τρ.

## Κανὼν ΙΔ'. (1)

Εἴ τις γυνὴ καταλιμπάνοι τὸν ἄνδρα, καὶ ἀναχωρεῖν ἐθέλοι, βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔστω.

—

ΖΩΝΑΡ. Οὐ καλὸν τὸ καλὸν, ὅταν μὴ καλῶς γίνηται. Καλὸν μὲν γὰρ ἡ σωφροσύνη, καὶ τὸ ἐγκρατεύεσθαι τῆς ἐν γάμῳ μίξεως, ἀλλ' ὅταν κατὰ τὸν μέγαν Παῦλον γίνοιτο, λέγοντα· Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἐκ συμφώνου. Καὶ πάλιν· Ἡ γυνὴ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνὴρ, καὶ ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή (2). Εἰ δὲ ἀφίησιν ἡ γυνὴ τὸν ἄνδρα, μὴ βουλόμενον τὸν ἐξ αὐτῆς χωρισμὸν, ἢ ὁ ἀνὴρ τὴν γυναῖκα, μὴ βουλομένην τὸ διαζύγιον, καὶ λύειν τὸν γάμον ἐθέλει ἓν τῶν συνοικούντων προσώπων, φεῦγον τὴν ἔννομον συνουσίαν ὡς βδελυκτὴν, ἀνάθεμα γίνεται.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος φησὶ πρὸς τοὺς ὁμοζύγους· Μὴ ἀποςερεῖτε ἀλλήλους, εἰ μή τι ἐκ συμφώνου. Καὶ πάλιν· Ἡ γυνὴ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνήρ· καὶ ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή. Ὥστε ἡ καταλιποῦσα τὸν ἄνδρα, ὡς βδελυττομένη τὸν ἔννομον γάμον, ἀναθεματίζεται, ὡς ἐναντιουμένη τῷ τοῦ Θεοῦ παραγγέλματι, τῷ ἑνώσαντι τοὺς συνεύνους εἰς σάρκα μίαν, καὶ ταῖς λοιπαῖς θείαις Γραφαῖς· τὸ αὐτὸ καὶ ἐπὶ ἀνδρῶν. Καὶ ταῦτα μὲν ὅταν τις ἀποστῇ τοῦ συζύγου αὐτοῦ διὰ τὴν τοιαύτην αἰτίαν. Εἰ γὰρ δι' ἔφεσιν τοῦ μονήρους βίου τοῦτο ποιήσει, οὐκ αἰτιαθήσεται.

ΑΡΙΣΤ. Καὶ ὅσαι τῶν ἀνδρῶν διαζεύγνυνται, βδελυσσόμεναι τὸν γάμον, ἀνάθεμα.

## Κανὼν ΙΕ'. (3)

Εἴ τις καταλιμπάνοι τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοτροφοῖ, καὶ τὸ ὅσον ἐπ' αὐτῷ (4) πρὸς θεοσέβειαν τὴν προσήκουσαν ἀνάγοι, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελοίη, ἀνάθεμα ἔστω.

—

(1) ιδ'. ἐν Χ. Τρ.—(2) ά, Κορινθ. Ζ', 4. 5.—(3) ιγ'. ἐν Χ. Τρ. — (4) Χ. Τρ. Βενετ. τὸ ὅσον ἑαυτῷ Π. — τὸ ὅσον ἐν ἑαυτῷ Βρ. Ε. Κ.

ΖΩΝΑΡ. Καὶ οἱ θῆρες τοὺς σκύμνους τοὺς ἑαυτῶν τρέφουσί τε καὶ περιέπουσι, καὶ προκινδυνεύουσιν αὐτῶν. Εἰ δ' οὕτως διάκεινται τὰ θηρία περὶ τὰ ἔκγονα, πόσῳ μᾶλλον χρὴ τοὺς λόγῳ τιμηθέντας τῶν τέκνων ἐπιμελεῖσθαι, καὶ φροντίζειν αὐτῶν; Διὸ καὶ ὁ μέγας Παῦλος, περὶ χηρῶν διατεττόμενος, φησίν· Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν (1)· τοῦτο γάρ ἐστιν ἀποδεκτὸν τῷ Θεῷ. Καὶ μετ' ὀλίγα· Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖται, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων (2). Εἶτα, οἵας χρὴ τὰς χήρας τῇ ἐκκλησίᾳ καταλέγεσθαι διδάσκων, πρὸς τοῖς ἄλλοις, καὶ εἰ ἐτεκνοτρόφησαν φησί. Καὶ ἀλλαχοῦ πάλιν περὶ πρεσβυτίδων διατεττόμενος, καλοδιδασκάλους αὐτὰς εἶναι θέλει, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, καὶ φιλοτέκνους. Καὶ ἐν ἄλλῳ· Οἱ Πατέρες ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου (3). Ἀλλὰ τούτων οὐδενὸς οἱ περὶ Εὐστάθιον ἐπιστρεφόμενοι, ἐνομοθέτουν τοὺς ἔχοντας παῖδας καταλιμπάνειν αὐτούς, καὶ ἀπιέναι πρὸς ἄσκησιν. Διὸ καὶ ἡ σύνοδος τὸν κανόνα τοῦτον ἐξεφώνησεν, ἀναθέματι καταδικάσασα τοὺς καταλιμπάνοντας τὰ οἰκεῖα τέκνα, καὶ μὴ τεκνοτροφοῦντας, καὶ διδάσκοντας αὐτὰ θεοσέβειαν.

ΒΑΛΣ. Ὁ τῆς ἐκκλησίας διδάσκαλος, ὁ μέγας Παῦλος, περὶ χηρῶν διατεττόμενος, φησίν· Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν· τοῦτο γάρ ἐστιν ἀποδεκτὸν τῷ Θεῷ. Καὶ μετ' ὀλίγα· Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖται, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. Εἶτα, οἵας χρὴ τὰς χήρας τῇ ἐκκλησίᾳ καταλέγεσθαι διδάσκων, πρὸς τοῖς ἄλλοις εἰ ἐτεκνοτρόφησαν, φησί. Καὶ ἀλλαχοῦ πάλιν, περὶ πρεσβυτίδων διατεττόμενος, καλοδιδασκάλους αὐτὰς εἶναι θέλει, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι καὶ φιλοτέκνους. Καὶ ἐν ἄλλῳ· Οἱ Πατέρες ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Ἐπεὶ δὲ οἱ περὶ Εὐστάθιον ἐνομοθέτουν, τοὺς ἔχοντας παῖδας καταλιμπάνειν αὐτούς, καὶ ἀπιέναι πρὸς ἄσκησιν, ἀνεθεμάτισεν ὁ κανὼν τοὺς τοῦτο ποιοῦντας. Καὶ τοῦτο μὲν ὡρίσθη διὰ τρόπον θεο-

(1) ά, Τιμόθ. έ, 4. — (2) αὐτόθι, 8, 10. — (3) Ἐφεσ. ς', 4.

σεβῆ, καὶ διὰ τοὺς διδάσκοντας, ὡς εἴρηται, τὴν καθ' ὑπόκρισιν εὐλάβειαν, καὶ τοὺς ἐν κόσμῳ δῆθεν ἀναςρεφομένους (1). Εἰ δέ τις ἀποκαρείς, καὶ ἀναγκαζόμενος ἐν μονῇ διάγειν, λέγει τέκνα ἔχειν, καὶ μὴ δύνασθαι ἀποστῆναι τοῦ διάγειν ἐν τῷ κόσμῳ, καὶ τεκνοτροφεῖν αὐτὰ, καὶ τὸν παρόντα κανόνα προτίθησιν εἰς βοήθειαν, οὐκ εἰσακουσθήσεται, ἀλλ' ἀκούσει μὴ καλῶς ταῦτα λέγειν· μελήσει γὰρ τῷ Θεῷ, τῷ Πατρὶ τῶν ὀρφανῶν, καὶ τῆς τῶν τέκνων τούτου ἀναγωγῆς.

ΑΡΙΣΤ. Καὶ οἱ τὰ τέκνα καταλιμπάνοντες, καὶ οὐχὶ πρὸς θεοσέβειαν ὑπαλείφοντες, ἀνάθεμα.

## Κανὼν Ις' (2).

**Εἴ τινα τέκνα γονέων, μάλιστα πιστῶν, ἀναχωροίη προφάσει θεοσεβείας, καὶ μὴ τὴν καθήκουσαν τιμὴν τοῖς γονεῦσιν ἀπονέμοι, προτιμωμένης δηλονότι παρ' αὐτοῖς τῆς θεοσεβείας, ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Οὐ μόνον οἱ γονεῖς ἀπαιτοῦνται φροντίζειν τῶν τέκνων καὶ ἐπιμελεῖσθαι αὐτῶν, ἀλλὰ καὶ οἱ παῖδες αὖθις χρεωστοῦσι τιμᾷν τοὺς γονεῖς· τιμῆς δὲ εἶδός ἐστι καὶ τὸ γηροβοσκεῖν αὐτοὺς ἀποροῦντας, ἢ διὰ γῆρας ἐνδεεῖς ὄντας, καὶ οὐ μόνον πιστοῖς τοῦτο χρεωστοῦσι γονεῦσιν, ἀλλὰ καὶ τοῖς ἀπίστοις. Ἐκ γὰρ τοῦ εἰπεῖν, μάλιστα πιστῶν, δείκνυται, ὅτι καὶ περὶ ἀπίστων ὁ κανὼν λέγει. Τοὺς γοῦν προφάσει θεοσεβείας τοὺς οἰκείους γονεῖς ἀπρονοήτους ἐῶντας, καὶ μὴ τὴν ἐνδεχομένην τιμὴν αὐτοῖς ἀπονέμοντας, ἧς μέρος καὶ τὸ τρέφειν αὐτοὺς ἀποροῦντας, ἀναθεματίζει οὗτος ὁ κανών. Ἐπάγει δὲ, προτιμωμένης τῆς θεοσεβείας· εἰ γὰρ οἱ γονεῖς ἄπιστοι ὄντες, ἢ κακόδοξοι, τοὺς παῖδας εἰς ἀπιστίαν ἢ εἰς αἱρέσεις συνωθοῦσι, φεύγειν δεῖ αὐτοὺς, καὶ προτιμᾷν τῆς ἐκείνων τιμῆς τὴν θεοσέβειαν.

ΒΑΛΣ. Ὥσπερ τοὺς γονεῖς ἀναγκάζει ὁ κανὼν ἀνάγειν καὶ τρέφειν τοὺς παῖδας, οὕτω καὶ τοὺς παῖδας θέλει γηροβοσκεῖν καὶ τιμᾷν τοὺς γονεῖς. Διὸ καὶ τοὺς παῖδας, τοὺς μὴ οὕτως ποιοῦντας, ἀλλὰ προφάσει θεοσεβείας ἀναχωροῦντας ἐκ τοῦ κό-

---

(1) Βεωρ. = ἀποστρεφομένους Χ. Τρ. Ἐ. — (2) ιδ'. ἐν Χ. Τρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σμου, καὶ καταλιμπάνοντας ἀπρονοήτους τοὺς πεγομένους γονεῖς αὐτῶν, ἀναθέματι καθυποβάλλει· προστίθησι δὲ προτιμᾶσθαι τὴν θεοσέβειαν, ἤγουν τὴν ὀρθοδοξίαν. Ἐὰν γὰρ κακόδοξοι ὦσιν οἱ γονεῖς, φεύγειν δεῖ τούτους, καὶ προτιμᾷν τῆς ἐκείνων τιμῆς τὴν θεοσέβειαν.

ΑΡΙΣΤ. Καὶ τέκνα, ὅσα πιστῶν ἀποσκιρτῶσι γονέων, ἀνάθεμα.

## Κανὼν ΙΖʹ (1).

Εἴ τις γυναικῶν διὰ νομιζομένην ἄσκησιν (2) ἀποκείροιτο τὰς κόμας, ἃς ἔδωκεν ὁ Θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς, ὡς παραλύουσα (3) τὸ πρόσταγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔστω.

—

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος Κορινθίοις ἐπιστέλλων, Κεφαλὴ, φησὶ, γυναικὸς ὁ ἀνήρ· τοῦτο δὲ εἶπεν, ὅτι αἴτιος αὐτῆς ἐστιν, ὡς ἐξ αὐτοῦ γενομένης, καὶ γὰρ ἡ Εὔα ἐκ τοῦ Ἀδάμ. Καὶ μετά τινα· Εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι, ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω(4). Καὶ μεθ' ἕτερα· Γυνὴ, ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ· ταῦτα μὲν ὁ μέγας Παῦλος. Ὁ δὲ Εὐστάθιος κείρεσθαι τὰς γυναῖκας ἐδίδασκεν, ὡς δή τι πρὸς θεοσέβειαν συμβαλλομένου τοῦ κείρεσθαι, καὶ οὐδὲ τῇ φύσει ἀντινομοθετῶν ᾐδεῖτο. Τοσοῦτον γὰρ οἰκεῖον οἶδεν ἡ φύσις ταῖς γυναιξὶ τὴν κόμην, ὅτι οὐδὲ φαλάκρωμα ταύταις ἐγγίνεται φυσικῶς. Εἰ γοῦν κείροιτο γυνὴ, ὡς τάχα τι δοκοῦσα ποιεῖν πρὸς Θεοῦ εὐαρέστησιν, καὶ περιαιρεῖ τὴν ὑπόμνησιν τῆς ὑποταγῆς· (καὶ τοῦτο ἐκ τῆς πρὸς Κορινθίους εἴληπται τοῖς τῆς συνόδου Πατράσι· λέγει γὰρ ὁ Ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, ἤτοι τὸ σύμβολον τῆς ὑποταγῆς, τὸ κατακεκαλυμμένην ἔχειν τὴν κεφαλὴν, ἐξουσίαν τοῦ ἀνδρὸς καλῶν), ἀνάθεμα ἔστω αὐτῇ, ὡς λυούσῃ καὶ παραβαινούσῃ τὸ πρόσταγμα τῆς ὑποταγῆς.

---

(1) ιϛ. ἐν Χ. Τρ. — (2) Π. Βρ. Ἐ. Κ. — θεοσέβειαν Χ. Τρ. Βευερ. — (3) Π. ὡς ἂν παραλύουσα Βευερ. — παραλύσασα Χ. Τρ. — ὡς ἀναλύουσα Ἐ. Κ. Βρ.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος Κορινθίοις ἐπιστέλλων, Κεφαλή, φησί, γυναικός, ὁ ἀνήρ. Τοῦτο δὲ εἶπεν, ὅτι αἴτιος αὐτῆς ἐστιν, ὡς ἐξ αὐτοῦ γενομένης· ἐκ τοῦ Ἀδὰμ γὰρ ἡ Εὔα. Καὶ μετά τινα· Εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειρέσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι καὶ ξυρᾶσθαι, κατακαλυπτέσθω. Καὶ μεθ' ἕτερα· Γυνή, ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. Καὶ ταῦτα μὲν ὁ μέγας Παῦλος. Ὁ δὲ Εὐστάθιος κείρεσθαι τὰς γυναῖκας ἐδίδασκεν, ὡς τάχα πρὸς θεοσέβειαν συμβαλλομένου τοῦ κείρεσθαι, καὶ οὐδὲ τῇ φύσει ἀντινομοθετῶν ᾐδεῖτο. Τοσοῦτον γὰρ οἰκεῖον οἶδεν ἡ φύσις ταῖς γυναιξὶ τὴν κόμην, ὡς οὐδὲ φαλάκρωμα ταύταις ἐγγίνεται φυσικῶς. Εἰ γοῦν κείροιτο γυνή, ὡς τάχα τι δοκοῦσα ποιεῖν πρὸς Θεοῦ εὐαρέστησιν, καὶ περιαιροῖ τὴν ὑπόμνησιν τῆς ὑποταγῆς, (καὶ τοῦτο δὲ ἐκ τῆς πρὸς Κορινθίους εἴληπται τοῖς τῆς συνόδου Πατράσι· λέγει γὰρ ἐκεῖ ὁ Ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ κεφαλῆς, ἤτοι τὸ σύμβολον τῆς ὑποταγῆς, τουτέστι τὸ κατακεκαλυμμένην ἔχειν τὴν κεφαλήν· ) ἀνάθεμα ἔστω αὐτῇ, ὡς λυούσῃ καὶ παραβαινούσῃ τὸ πρόσταγμα τῆς ὑποταγῆς. Τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἐκ τοῦ παρόντος κανόνος κωλύεσθαι τὴν γυναῖκα ἐὰν ἐπιλέγηται μοναδικὴν ἀπόκαρσιν· αὕτη γὰρ καὶ ἄκοντος τοῦ ἀνδρὸς τὸν ἄζυγα βίον αἱρετισαμένη, εἰσακουσθήσεται καὶ ἀποκαρήσεται.

ΑΡΙΣΤ. Ὅσαι γυναῖκες τὰς κόμας τίλλουσι, θεοσέβειαν ὑποκρινόμεναι, ἀνάθεμα.

## Κανὼν ΙΗ΄(1).

**Εἴ τις διὰ νομιζομένην ἄσκησιν ἐν τῇ Κυριακῇ νηστεύοι, ἀνάθεμα ἔστω.**

---

ΖΩΝΑΡ. Καὶ ἐν ταῖς Κυριακαῖς νηστείας ἐκήρυττεν ὁ Εὐστάθιος, ὅτε διὰ τὴν ἔγερσιν τοῦ Κυρίου, καὶ τὴν τῆς βροτείας φύσεως ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνάστασιν,

(1) ξϛ΄, ϛϥ΄ Χ, Τρ.

εὐχαριστεῖν ἡμᾶς δεῖ τῷ Θεῷ καὶ χαίρειν· ἡ δὲ νηστεία συντριβῆς καὶ λύπης ἐστὶ σύμβολον· διὸ καὶ τοῖς νηστεύουσιν ἐν Κυριακαῖς ἐτάχθη ἀνάθεμα.

ΒΑΛΣ. Πολλαχοῦ κεκανόνισται, μὴ νηστεύειν καὶ σκυθρωπάζειν ἡμᾶς κατὰ τὴν χαρμόσυνον ἡμέραν τῆς Κυριακῆς, διὰ τὴν ἔγερσιν τοῦ Κυρίου, ἀλλὰ πανηγυρίζειν καὶ εὐχαριστεῖν τῷ Θεῷ, ὡς ἀναστάντας ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας. Τοὺς γοῦν περὶ τὸν Εὐστάθιον διδάσκοντας νηστεύειν ἐν ταῖς Κυριακαῖς δι' ἄσκησιν δῆθεν, ἀναθεματίζει ὁ κανών. Ὁ δὲ ξς'. ἀποστολικὸς κανὼν ἀφορίζει τοὺς οὕτω νηστεύοντας λαϊκούς, ὥσπερ καὶ τοὺς κληρικοὺς καθαιρεῖ. Ζήτει καὶ τὸν νέ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΓ. Ὁ τὴν Κυριακὴν ἢ τὸ σάββατον ἀσιτῶν, ἀνάθεμα.

## Κανὼν ΙΘ'(1).

Εἴ τις τῶν ἀσκουμένων, χωρὶς σωματικῆς ἀνάγκης, ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινόν, καὶ φυλασσομένας ὑπὸ τῆς ἐκκλησίας παραλύοι, ὑποικουροῦντος (2) ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

---

ΖΩΝΑΡ. Ὁ ἀποστολικὸς ἑξηκοστὸς ἕκτος κανὼν οὕτω ῥητῶς φησίν· Εἴ τις κληρικὸς εὑρεθείη τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω· καὶ ὁ ξθ'. τὴν Τεσσαρακοστὴν τοῦ Πάσχα νηστεύειν παρεγγυᾷ, καὶ τετράδα καὶ παρασκευήν, εἰ μὴ δι' ἀσθένειάν τις ἐμποδίζοιτο. Τῶν δὲ περὶ τὸν Εὐστάθιον τὰς παραδεδομένας νηστείας λυόντων, ὡς τάχα φθασάντων πρὸς τελειότητα, καὶ οὐκέτι δεομένων νηστείας, τὸν κανόνα τοῦτον ἡ σύνοδος ἐξεφώνησεν, ἀνάθεμα καταψηφιζόμενον τῶν λυόντων τὰς παραδεδομένας νηστείας, καὶ ὑπὸ τῆς ἐκκλησίας φυλαττομένας, ἤγουν τοῦ ἀθροισμοῦ τῶν πιστῶν, εἰ μὴ δι' ἀσθένειάν τις σωματικὴν νηστεύειν οὐ δύναται κατὰ τὸν

(1) ιη'. ἐν Χ. Τρ. — (2) Ἰους. ἐν περισελ. Χ. Τρ. Σ. Ρ. — ἀποκυροῦντος Π. Ἑ. Κ. Βευερ.

ἀποστολικὸν κανόνα. Τὰς δὲ παραδεδομένας νηστείας εἰς τὸ κοινὸν ἔφη ὁ κανὼν, ἀντιδιαστέλλων ταύτας ἀπὸ τῶν ἰδίᾳ τισὶν ἐπιτασσομένων νηστειῶν, οἷον τῶν διὰ τὸ ἅγιον βάπτισμα τοῖς μέλλουσι φωτισθῆναι ἐντελλομένων, καὶ τοῖς χάριν ἐπιτιμίου νηστεύειν κελευομένοις, καὶ ἄλλων τοιούτων. Τὰς μὲν γὰρ εἰς τὸ κοινὸν παραδεδομένας, ἀνάγκη πάντας νηστεύειν τοὺς πιστοὺς, τὰς δὲ λοιπὰς, ἐκείνους μόνους, οἷς ἐπετάχθησαν (1).

ΒΑΛΣ. Αἵρεσις Βογομιλική ἐστιν, ἐπί τινα χρόνον κατὰ πᾶσαν ἡμέραν νηστεύειν καὶ μηδέποτε καταλύειν, ὡς μετὰ τὸν τοσοῦτον καιρὸν λέγειν ἐν τελειότητι γενέσθαι τοὺς νηστεύοντας, καὶ καταλύειν, καὶ ἁμαρτάνειν ἀδιαφόρως, καὶ πᾶσαν κακίαν διὰ τῆς τελειότητος ὡς ὑπὸ πυρὸς κατακαίεσθαι. Τοιαῦτα γοῦν ἐδίδασκον, ὡς ἔοικε, καὶ οἱ περὶ τὸν Εὐστάθιον· διὸ καὶ ἀνεθεματίσθησαν. Ὀφείλομεν γὰρ οἱ πιστοὶ νηστεύειν κατὰ τὰς παραδεδομένας νηστείας(2), καὶ αὖθις πανηγυρίζειν κατὰ τὰς ἑορτασίμους ἡμέρας, εἰ μήπω διὰ νόσον καταλῦσαι ἀναγκασθῶμεν· ὅτι, φησὶ, καὶ ὁ ξθ'. ἀποστολικὸς κανὼν, κατὰ πᾶσαν τετράδα καὶ παρασκευὴν καὶ τὴν Τεσσαρακοστὴν τοῦ Πάσχα μὴ καταλύειν ἡμᾶς, εἰ μὴ δι' ἀσθένειαν σωματικήν. Ἀκούσας δέ τινος εἰπόντος, ἐκ τοῦ παρόντος κανόνος ἀναφέρεσθαι μὴ εἶναι μίαν νηστείαν τὴν τεσσαρακονθήμερον, ἀλλὰ διαφόρους, λέγω, ὅτι οὐκ ἔστι τοῦτο ἀληθές· ἀπὸ γὰρ τοῦ τοιούτου ψιλοῦ λόγου τοιαύτη παράδοσις οὐ συνάγεται. Νηστειῶν δὲ μέμνηται ὁ κανὼν ἐνταῦθα παραδεδομένων τῶν τετράδων καὶ παρασκευῶν καὶ τῆς τεσσαρακονθημέρου νηστείας (3).

ΑΡΙΣΤ. Καὶ τὰς ἐκκλησιαστικὰς νηστείας ἐκτρέπων, ἀνάθεμα.

(1) Χ. Τρ. τὰ ἀπὸ τοῦ, τὰς δὲ παραδεδομένας νηστείας, μέχρι τοῦ, ἐπετάχθησαν, οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. — (2) Χ. Τρ. Ἐ. — ὁ δὲ Βευερ. προστίθησιν, ἤτοι τετράδα, καὶ τὴν παρασκευὴν, τὴν μεγάλην Τεσσαρακοστὴν καὶ τὰς λοιπὰς νηστείας. — (3) τὰ ἀπὸ τοῦ, ἀκούσας δέ τινος, ἕως τοῦ, τεσσαρακονθημέρου νηστείας, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἐ. ἀλλ' ἐν Χ. Τρ.

## Κανὼν Κ'. (1)

**Εἴ** τις αἰτιῶτο (2), ὑπερηφάνῳ διαθέσει κεχρημένος καὶ βδελυσσόμενος, τὰς συνάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔστω.

---

ΖΩΝΑΡ. Καὶ τοῦτο τοῦ Εὐσταθίου καὶ τῶν αὐτοῦ φοιτητῶν τὸ διάταγμα· κατεφρόνουν γὰρ τῶν τόπων, ἐν οἷς μαρτύρων ἀπέκειντο λείψανα, καὶ τῶν ἐκεῖ λειτουργούντων, καὶ τὰς μνήμας αὐτῶν τιμώντων κατεγίνωσκον, καὶ τὰς γινομένας ἐκεῖ συνάξεις ἀπεστρέφοντο. Διὸ τὸν κανόνα τοῦτον ἡ σύνοδος ἐξεφώνησε κατὰ τῶν ὑπερηφανευομένων, καὶ βδελυκτὰς ἡγουμένων τὰς συνάξεις τὰς ἐπὶ τοῖς μάρτυσιν, ἀναθέματι τούτους καταδικάσασα.

ΒΑΛΣ. Ἐν μνήμαις ἁγίων μαρτύρων ἐγίνοντο συνάξεις καὶ πανηγύρεις ἔν τισι ναοῖς, καθὼς καὶ σήμερον γίνεται. Οἱ γοῦν περὶ τὸν Εὐστάθιον, προφάσει δῆθεν εὐλαβείας, κατεγίνωσκον τῶν ταύτας εἰς τιμὴν τοῦ Θεοῦ ποιούντων, ἀλαζονευόμενοι διὰ τὴν θεοστυγῆ αὐτῶν διαγωγήν, διὸ καὶ ἀναθέματι καθυπεβλήθησαν. Ὥστε σημείωσαι, ὅτι τὰ εἰς τὰς ἐπισήμους ἑορτὰς τῶν ἁγίων μαρτύρων γινόμενα, ἤγουν τὰ ψαλμῳδήματα, αἱ χοροστασίαι, καὶ ἡ σύῤῥοια τοῦ πολλοῦ λαοῦ, ἐπεὶ εἰς τιμὴν γίνονται τοῦ Θεοῦ, οὐκ ἀποδοκιμάζονται. Ἐπὶ τούτοις ἔγραψαν ταῦτα οἱ τῆς συνόδου.

ΑΡΙΣΤ. Καὶ ὁ τὰς τῶν ἁγίων μαρτύρων συνάξεις περιφρονῶν, ἀνάθεμα.

## Κανὼν ΚΑ'. (3)

Ταῦτα δὲ γράφομεν, οὐκ ἐκκόπτοντες τοὺς ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ κατὰ τὰς Γραφὰς ἀσκεῖσθαι βουλομένους, ἀλλὰ τοὺς λαμβάνοντας τὴν ὑπόθεσιν τῆς ἀσκήσεως εἰς ὑπερηφανίαν, κατὰ τῶν ἀφελέστερον βιούντων ἐπαιρο-

---

(1) ιθ', ἐν Χ. Τρ. — (2) Π. Βρ. — αἰτιᾶται Χ. Τρ. Κ. Ε. Βενερ. — (3) κ', ἐν Χ. Τρ.

μένους τε, καὶ παρὰ τὰς Γραφὰς καὶ τοὺς ἐκκλησιαστικοὺς κανόνας καινισμοὺς (1) εἰσάγοντας. Ἡμεῖς τοιγαροῦν, καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν, καὶ ἐγκράτειαν μετὰ σεμνότητος καὶ θεοσεβείας γινομένην ἀποδεχόμεθα, καὶ ἀναχώρησιν τῶν ἐγκοσμίων πραγμάτων μετὰ ταπεινοφροσύνης ἀγάμεθα (2), καὶ γάμου συνοίκησιν σεμνὴν τιμῶμεν, καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιίας οὐκ ἐξουθενοῦμεν, καὶ λιτότητα καὶ εὐτέλειαν ἀμφιασμάτων δι' ἐπιμέλειαν μόνον τοῦ σώματος ἀπερίεργον ἐπαινοῦμεν· τὰς δὲ ἐκλύτους καὶ τεθρυμμένας ἐν τῇ ἐσθῆτι προόδους (3) ἀποστρεφόμεθα, καὶ τοὺς οἴκους τοῦ Θεοῦ τιμῶμεν, καὶ τὰς συνόδους τὰς ἐπ' αὐτοῖς, ὡς ἁγίας καὶ ἐπωφελεῖς ἀσπαζόμεθα, οὐ συγκλείοντες τὴν εὐσέβειαν ἐν τοῖς οἴκοις, ἀλλὰ πάντα τόπον τὸν ἐπ' ὀνόματι (4) τοῦ Θεοῦ οἰκοδομηθέντα τιμῶντες, καὶ τὴν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ συνέλευσιν (5) εἰς ὠφέλειαν τοῦ κοινοῦ προσιέμεθα, καὶ τὰς καθ' ὑπερβολὴν εὐποιίας τῶν ἀδελφῶν, τὰς κατὰ τὰς παραδόσεις διὰ τῆς ἐκκλησίας εἰς τοὺς πτωχοὺς γινομένας, μακαρίζομεν, καὶ πάντα, συνελόντας εἰπεῖν, τὰ παραδοθέντα, ὑπὸ τῶν θείων Γραφῶν καὶ τῶν ἀποστολικῶν παραδόσεων ἐν τῇ ἐκκλησίᾳ γίνεσθαι εὐχόμεθα.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Τινὰ τῶν νομιζομένων ἐναρέτων ἔργων οἱ τῆς συνόδου ταύτης κωλύσαντες γίνεσθαι παρὰ τῶν πιστῶν, οἷον τὸ παρθενεύειν, ὡς τάχα τοῦ γάμου πρὸς σωτηρίαν ψυχῆς ἐμποδίζοντος, τὸ (6) νηστεύειν ἐν ἡμέραις αἷς ἀπαγορεύεται ἡ νηστεία, τὸ λύειν τὸν γάμον διὰ δοκοῦσαν ἄσκησιν, τὸ μὴ τεκνοτροφεῖν ἢ γηροβοσκεῖν τοὺς γονεῖς, δι' ἀρετῆς τάχα ἐργασίαν, καὶ ὅσα τοιαῦτα, νῦν ὑπὲρ τούτων ἀπολογοῦνται, λέγοντες, ὅτι ταῦτα ὡρίσαμεν, οὐχὶ τοὺς ἄσκησιν αἱρουμένους

(1) καὶ νεωτερισμοὺς Βρ. —(2) Π. Χ. Τρ. —ἀποδεχόμεθα Ἐ. Κ. Βευερ. Βρ. — (3) Βευερ. Κ. Ἐ. Βρ. — περιόδους Π. προσόδους Χ. Τρ. — (4) Π. Βρ. Ἐ. Κ. — ἐν ὀνόματι Χ. Τρ. Βευερ. — (5) Χ. Τρ. Π. Βευερ. — σύνοδον κοινὴν Κ. Ἐ. Βρ. — (6) Χ. Τρ. Κ. — τὸ μὴ Βευερ. Ἐ.

ἀνακόπτοντες, ἀλλὰ τοὺς δι' αὐτὴν ὑπερηφανευομένους καὶ ἐπαιρομένους, καὶ καινά τινα παρὰ τὰς θείας Γραφὰς εἰσάγοντας, διορθούμενοι. Ἡμεῖς γὰρ καὶ τόδε καὶ τόδε ἀποδεχόμεθα, καὶ τόδε θαυμάζομεν, καὶ ἐφεξῆς ὅσα αὐτοῖς ἀπηρίθμηνται (1), καὶ εὐχόμεθα πάντα γίνεσθαι κατὰ τὰς θείας Γραφὰς, καὶ τὰς ἀποστολικὰς παραδόσεις· διὰ μὲν τῶν θείων Γραφῶν πάντα τὰ ἐγγράφως ἐντεταλμένα τοῖς πιστοῖς ὑπεμφήναντες, διὰ δὲ τῶν παραδόσεων, τὰ τῶν ἀγράφων ἐθῶν αἰνιξάμενοι. Καὶ τὰ ἄγραφα γὰρ ἔθη, τὰ χρόνῳ δοκιμασθέντα καὶ κυρωθέντα, καὶ οἱ τῆς πολιτείας νόμοι κρατεῖν τε καὶ ἐνεργεῖν θεσπίζουσι, καὶ οἱ θεῖοι κανόνες. Καὶ ὁ μέγας τὰ πάντα Βασίλειος, περὶ τῆς τούτων φυλακῆς μακρὸν ἀποτείνει λόγον ἐν διαφόροις λόγοις αὐτοῦ.

ΑΡΙΣΤ. Ἡ παροῦσα σύνοδος, καὶ δι' ἄλλας μὲν ἐκκλησιαστικὰς χρείας συνελθοῦσα, ζητήσασα δὲ καὶ τὰ κατὰ τὸν Εὐστάθιον, καὶ εὑροῦσα πολλὰ ἀθέσμως ὑπὸ τῶν περὶ αὐτὸν τὸν Εὐστάθιον γινόμενα, τοὺς κανόνας τούτους ἐξέθετο, ἵνα μὴ εἰς τὴν αἵρεσιν αὐτῶν, ἤτοι τῶν Μασσαλιανῶν τε καὶ Εὐχιτῶν, ἐμπίπτωμεν. Οὗτοι γὰρ καὶ νόμιμον γάμον ἀθετοῦσι, καὶ κρέα βδελύττονται, τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων καταφρονοῦσι, καὶ τῶν ἐπ' αὐτοῖς γινομένων συνάξεων· καὶ ἰδίᾳ ἐκκλησιάζειν, καὶ ἐν τοῖς εὐκτηρίοις αὐτῶν διδάσκουσιν εὔχεσθαι, καὶ διδασκαλίας ἰδίας, καὶ συνάξεις ποιούμενοι, παρὰ γνώμην ἐπισκόπου ἢ πρεσβυτέρου τὰ τῆς ἐκκλησίας τελοῦσι μυστήρια· καὶ ἁπλῶς πάντα κανόνα ἐκκλησιαστικὸν παραβαίνοντες, νόμους ἔχουσιν ἰδιάζοντας, μᾶλλον δὲ ἕκαστος αὐτῶν, ὅπερ ἂν ἐνθυμηθῇ ἐπὶ διαβολῇ τῆς ἐκκλησίας καὶ ἑαυτοῦ βλάβῃ, τοῦτο προστίθησι. Διὰ ταῦτα οὖν ἡ ἁγία αὕτη σύνοδος τῆς αἱρέσεως αὐτῶν καταψηφισαμένη, καὶ τούσδε τοὺς κανόνας ἐκθεμένη, ἐκτὸς αὐτοὺς εἶναι τῆς ἐκκλησίας προσέταξεν. Εἴ τις γοῦν ἢ τὸν νόμιμον γάμον ἀθετεῖ, ἢ τὸν κρεωφαγοῦντα κατακρίνει, δίχα πνικτοῦ ἢ εἰδωλοθύτου· ἢ δούλους διδάσκει τῶν δεσποτῶν ὑπαναχωρεῖν, προφάσει θεοσεβείας, καὶ τῆς ὑπηρεσίας αὐτῶν

(1) Χ. Τρ. Κ. — ἀριθμοῦμεν Βαλσ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καταφρονεῖν· ἢ διακρίνοιτο τῶν θείων ἁγιασμάτων μεταλαβεῖν ἀπὸ πρεσβυτέρων ὑπογυναίων· ἢ τῶν οἴκων τοῦ Θεοῦ καὶ τῆς ἐκκλησίας ἀναχωρῶν, ὡς εὐκαταφρονήτους αὐτοὺς οἰόμενος, καὶ ἰδίᾳ ἐκκλησιάζων, διδασκαλίας ἑτέρας ποιοῖτο· ἢ παρὰ γνώμην ἐπισκόπου, ἢ πρεσβυτέρου, ὡς καταφρονῶν αὐτῶν, τὰ τῆς ἐκκλησίας τελεῖ μυστήρια, διὰ τὸ τὴν προσευχὴν αὐτοῦ μεγάλα ἰσχύειν οἴεσθαι, ἢ διδάσκει τὰς ἀνέκαθεν τῶν χρόνων διδομένας καρποφορίας τῇ ἐκκλησίᾳ, καὶ εἰς εὐποιΐαν κατακενουμένας, παρά τε τοῦ ἐπισκόπου, καὶ τῶν εἰς τὴν οἰκονομίαν τούτων παρ' αὐτοῦ προβεβλημένων, μὴ προσφέρειν τῇ ἐκκλησίᾳ, ἀλλ' αὐτῷ τε, καὶ τοῖς σὺν αὐτῷ, ὡς ἁγίοις, ταῦτα διδόναι· ἢ τὴν παρθενίαν, μὴ δι' αὐτὸ τὸ καλὸν, τοῦ γάμου προτιμᾶται, ἀλλ' ὡς τὸν γάμον βδελυσσόμενος, καὶ τῶν γεγαμηκότων κατεπαιρόμενος· ἢ οὐ συνέρχοιτο τοῖς συγκαλοῦσι δι' ἀγάπην, κατὰ τὴν τῆς ἐκκλησίας ἀπόλυσιν, εἰς μετάληψιν ἄρτου καὶ οἴνου, ἀλλ' ἀθετεῖ τούτους, καὶ συγκοινωνεῖν μετ' αὐτῶν καλούμενος, οὐκ ἀνέχοιτο δι' ὑπεροψίαν· ἢ τὸν πλουτοῦντα μετὰ δικαιοσύνης καὶ εὐποιΐας, ἐξουθενεῖ· ἢ καὶ τὸν σηρικὴν ἐσθῆτα φοροῦντα φαυλίζει, ξένα τινὰ αὐτὸς ἐπινοῶν ἀμφιάσματα, ὡς ἐκ τούτων δικαιοῦσθαι οἰόμενος, ἢ καὶ γυναῖκές τινες, εἰ εὑρίσκοιντο ἀνδρικὰ ἱμάτια περιβαλλόμεναι, ἐπὶ καταπτώσει τῆς κοινῆς τῶν γυναικῶν ἀμφιάσεως, καὶ ὡς ἐκ τούτων οἰόμεναι σεμναὶ δοκεῖν τε καὶ δίκαιαι· ἢ τῶν ἰδίων ἀνδρῶν, ὡς τὸν γάμον βδελυσσόμεναι, διαζεύγνυντο, ἢ τὰ οἰκεῖα τέκνα καταλιμπάνονται, καὶ μὴ τεκνοτροφοῦσαι ταῦτα, καὶ τὸ ὅσον ἐπ' αὐταῖς, πρὸς θεοσέβειαν τὴν προσήκουσαν ὑπαλείφουσαι, ἀλλὰ προφάσει ἀσκήσεως ἀμελοῦσαι τούτων, καὶ τὴν κόμην τὴν γυναικείαν ἀποκειρόμεναι, ὡς ὑποκρινόμεναι θεοσέβειαν· ἢ πάλιν, εἰ τέκνα πιστῶν γονέων ἀποσκιρτῶσι, τὴν πρέπουσαν τιμὴν γονεῦσι μὴ ἀπονέμοντα, ὡς προτιμώμενα δῆθεν τὴν θεοσέβειαν· ἢ εἰ παραβαίνει τις τὰς παραδεδομένας ἡμῖν νηστείας, καὶ κοινῶς ὑπὸ τῆς ἐκκλησίας φυλάττεσθαι νενομοθετημένας, τὴν Κυριακὴν, ἢ τὸ σάββατον αἱρεῖται νηστεύειν· ἢ τὰς τῶν μαρτύρων συνάξεις, καὶ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, ὡς ὑπερήφανος διαβάλλοιτο καὶ βδελύττοιτο· εἴ τις γοῦν ἐκ τῶν ἄνωθεν ἀπηριθμημένων

εὑρίσκοιτό τι ποιῶν, ὡς κατεπαιρόμενος τῶν ἀφελεστέρως βιούντων, καὶ τοὺς ἐκκλησιαστικοὺς παραβαίνων θεσμοὺς, καὶ καινισμοὺς εἰσάγων ἐξ ἰδίας ὑπεροψίας, ἀνάθεμα ἔστω. Ἡ γὰρ ἐκκλησία, καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζει, καὶ ἀναχώρησιν τῶν ἐγκοσμίων πραγμάτων ὡσαύτως γινομένην ἀποδέχεται, καὶ ἐγκράτειαν μετὰ σεμνότητος καὶ θεοσεβείας, καὶ σεμνὴν διοίκησιν γάμου τιμᾷ, καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιΐας οὐκ ἐξουθενεῖ, καὶ λιτότητα καὶ εὐτέλειαν ἀμφιασμάτων, οὐ διὰ τύφον, ἀλλὰ δι' ἐπιμέλειαν μόνον τοῦ σώματος ἀπερίεργον γινομένην, ἐπαινεῖν οἶδεν· ὥσπερ οὐκ ἀποδέχεται καὶ τοὺς ἐκλύτους καὶ τεθρυμμένας ἐνδεδυμένους ἐσθῆτας· καὶ ἁπλῶς πάντα, ὅσα ἂν τῷ ὀνόματι τοῦ Θεοῦ εἰς ὠφέλειαν τοῦ κοινοῦ γένωνται, ἀποδέχεται. Τὰ δὲ δι' ὑπεροψίαν καὶ καταφρόνησιν καὶ μῖσος τῶν παραδεδομένων ὑπὸ τῶν θείων Πατέρων ἀντινομοθετούμενα, σφόδρα καὶ ἀποπέμπεται, καὶ βδελύττεται· καὶ μᾶλλον, εἰ προφασίζονται οἱ ταῦτα ποιοῦντες καὶ θεοσέβειαν.

# ΚΑΝΟΝΕΣ

## ΤΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ ΤΗΣ ΣΥΡΙΑΣ ΣΥΝΟΔΟΥ(1).

ΖΩΝΑΡ. ΒΑΛΣ. Δύο γεγόνασιν ἐν Ἀντιοχείᾳ τῆς Συρίας σύνοδοι, ἡ μὲν ἐπὶ Αὐρηλιανοῦ βασιλέως Ῥωμαίων, κατὰ Παύλου τοῦ Σαμοσατέως, ὃς αἱρεσιάρχης ἐγένετο, λέγων τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν, ψιλὸν ἄνθρωπον, τὸν δὲ Υἱὸν τοῦ Θεοῦ, λόγον προφορικόν. Παρῆσαν δὲ ἐν τῇ συνόδῳ ταύτῃ πολλοί τε ἄλλοι, καὶ ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργός. Ἠθροίσθησαν δὲ ἐν Ἀντιοχείᾳ, ἧς ἐπίσκοπος ἦν ὁ Σαμοσατεύς· ὃν δὴ Παῦλον (2) ταῖς παραινέσεσι καὶ ταῖς ἀπὸ τῶν Γραφῶν ἀποδείξεσι μὴ πείσαντες ἀποστῆναι ἀπὸ τῶν κατὰ τοῦ Κυρίου βλασφημιῶν, ψήφῳ κοινῇ καθεῖλόν τε καὶ ἀνεθεμάτισαν· ὁ δὲ τοῦ θρόνου τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας οὐκ ἀφίστατο. Διὸ οἱ τῆς συνόδου πρὸς τὸν βασιλέα Αὐρηλιανὸν τὰ περὶ τούτου ἀνέφερον. Καὶ ὃς τῷ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπῳ καὶ τοῖς κατ' αὐτὸν ἀρχιερεῦσιν ἐκέλευσε τὰ κατὰ τοῦ Παύλου ἐπισκέψασθαι, καὶ εἰ δικαίως καθῄρηται, ἐκδιῶξαι αὐτὸν τῆς τῶν Χριστιανῶν ἐκκλησίας· ὃ καὶ γέγονεν, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ. Ἑτέρα δὲ αὖθις συνέστη σύνοδος ἐν Ἀντιοχείᾳ ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ τοῦ Μεγάλου (3) Κωνσταντίνου, μετὰ πέντε ἔτη τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ, καὶ κανόνας ἐξέθετο, οἵτινές εἰσιν οὗτοι.

*Ἡ ἁγία καὶ εἰρηνικωτάτη σύνοδος, ἡ ὑπὸ τοῦ Θεοῦ συγκροτηθεῖσα ἐν Ἀντιοχείᾳ, ἐξ ἐπαρχίας Συρίας Κοίλης, Φοινίκης, Παλαιστίνης, Ἀραβίας, Μεσοποταμίας, Κιλικίας, Ἰ-*

(1) Χ. Τρ. Βευερ. — Κανόνες τῶν ἐν Ἀντιοχείᾳ τῆς Συρίας συνελθόντων ἁγίων καὶ μακαρίων Πατέρων. Βρ. Κ. — (2) Ἑ. Βευερ. — ὃν ταῖς παραινέσεσι Χ. Τρ. Κ. —(3) Χ. Τρ. Ἑ. τὸ, Κωνσταντίου υἱοῦ τοῦ Μεγάλου, οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰμὴ μόνον λατινιστὶ παρὰ τῷ τελευταίῳ.

*σαυρίας, τοῖς κατ' ἐπαρχίαν ὁμοψύχοις καὶ ἁγίοις συλλειτουργοῖς ἐν Κυρίῳ χαίρειν.*

Ἡ χάρις καὶ ἡ ἀλήθεια Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν, ἐπισκεψαμένη τὴν Ἀντιοχέων ἁγίαν ἐκκλησίαν, καὶ κατὰ τὸ αὐτὸ συνάπτουσα μετὰ ὁμονοίας καὶ συμφωνίας καὶ πνεύματος εἰρηνικοῦ, πολλὰ μὲν καὶ ἄλλα κατώρθωσεν, ἐν πᾶσι δὲ καὶ τοῦτο κατορθοῖ ἐξ ὑποβολῆς τοῦ ἁγίου καὶ εἰρηνικοῦ Πνεύματος. Ἃ γὰρ καλῶς ἔχειν ἔδοξε, μετὰ πλείονος σκέψεως καὶ ἐπικρίσεως ὁμοῦ πάντων ἡμῶν τῶν ἐπισκόπων κατὰ τὸ αὐτὸ συγκροτηθέντων ἐπὶ τῆς Ἀντιοχείας ἐκ διαφόρων ἐπαρχιῶν, ἐπὶ τὴν ὑμετέραν γνῶσιν ἀνηνέγκαμεν, πιστεύσαντες τῇ τοῦ Χριστοῦ χάριτι, καὶ τῷ τῆς εἰρήνης ἁγίῳ Πνεύματι, ὅτι καὶ αὐτοὶ συμπνεύσητε, ὡς ἂν δυνάμει συνόντες ἡμῖν, καὶ ταῖς εὐχαῖς συνεργοῦντες, μᾶλλον δὲ ἡνωμένοι ἡμῖν, καὶ τῷ ἁγίῳ πνεύματι συμπαρόντες, τὰ αὐτά τε ἡμῖν συμφωνήσαντες καὶ ὁρισάμενοι, καὶ τὰ ὀρθῶς δόξαντα ἐπισφραγιζόμενοι καὶ βεβαιοῦντες τῇ τοῦ ἁγίου Πνεύματος συμφωνίᾳ. Εἰσὶ δὲ οἱ ὁρισθέντες ἐκκλησιαστικοὶ κανόνες οἱ ὑποτεταγμένοι.

## Κανὼν Α'.

Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Νικαίᾳ συγκροτηθείσης ἐπὶ παρουσίᾳ τῆς εὐσεβείας τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους Πάσχα, ἀκοινωνήτους καὶ ἀποβλήτους εἶναι τῆς ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα, καὶ ταῦτα εἰρήσθω περὶ τῶν λαϊκῶν. Εἰ δέ τις τῶν προεστώτων τῆς ἐκκλησίας, ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, μετὰ τὸν ὅρον τοῦτον τολμήσειεν ἐπὶ διαστροφῇ τῶν λαῶν καὶ ταραχῇ τῶν ἐκκλησιῶν ἰδιάζειν, καὶ μετὰ τῶν Ἰουδαίων ἐπι-

τελεῖν τὸ Πάσχα· τοῦτον ἡ ἁγία σύνοδος ἐντεῦθεν ἤδη ἀλλότριον ἔκρινε τῆς ἐκκλησίας, ὡς οὐ μόνον ἑαυτῷ ἁμαρτίας ἐπισωρεύοντα(1), ἀλλὰ πολλοῖς (2) διαφθορᾶς καὶ διαστροφῆς γινόμενον αἴτιον· καὶ οὐ μόνον τοὺς τοιούτους καθαιρεῖ τῆς λειτουργίας, ἀλλὰ καὶ τοὺς τολμῶντας τούτοις κοινωνεῖν μετὰ τὴν καθαίρεσιν. Τοὺς δὲ καθαιρεθέντας ἀποστερεῖσθαι καὶ τῆς ἔξωθεν τιμῆς, ἧς ὁ ἅγιος κανὼν καὶ τὸ τοῦ Θεοῦ ἱερατεῖον μετείληφεν.

—

ΖΩΝΑΡ. Φασὶν οἱ τῆς συνόδου ταύτης, τοὺς τῆς πρώτης συνόδου ἁγίους Πατέρας ὅρον ἐκθέσθαι περὶ τῆς ἑορτῆς τοῦ Πάσχα, ὃς ἐν τοῖς παρ' ἐκείνων συντεθειμένοις κανόσιν οὐχ εὕρηται, καὶ τοῦτον παρὰ πάντων φυλάττεσθαι ἀπαιτοῦσιν, ἢ ἀκοινωνήτους εἶναι καὶ ἀποβλήτους τῆς ἐκκλησίας τοὺς μὴ τὸν ὅρον ἐκεῖνον τηροῦντας λαϊκούς. Εἰ δὲ ἱερωμένοι εἶεν οἱ τῷ ὅρῳ ἐκείνῳ ἐναντιούμενοι, καὶ μετὰ Ἰουδαίων τελεῖν τὸ Πάσχα διδάσκοιεν, καθαιρεῖσθαι αὐτούς, καὶ τοὺς κοινωνεῖν τολμῶντας αὐτοῖς μετὰ τὴν καθαίρεσιν, διατάττονται, καὶ μηδὲ τιμῆς ἱερατικῆς τῆς ἔξωθεν μετέχειν αὐτούς· ὥστε κἂν τῆς ἱερουργίας κωλύωνται, καθέδρας τέως ἢ καὶ κλήσεως ἐπισκόπων ἢ ἱερέων ἀπολαύειν. Καὶ ὁ ἕβδομος δὲ κανὼν τῶν ἁγίων Ἀποστόλων, τοὺς μετὰ Ἰουδαίων τὸ Πάσχα ἑορτάζοντας, καθαιρεῖσθαι κελεύει. Ἐν μὲν οὖν τοῖς κανόσι τῆς πρώτης συνόδου οὐδέν τι περὶ τοῦ Πάσχα εὕρηται ὁρισθέν· εἰ δ' ἐκτὸς τῶν κανόνων τι ᾠκονόμηται, ἀγνοῶ, πρακτικὸν (3) τῆς συνόδου ἐκείνης μὴ ἔχων.

ΒΑΛΣ. Περὶ τῆς ἑορτῆς τοῦ ἁγίου Πάσχα, πότε ὀφείλει γίνεσθαι, ἱκανῶς διελήφθη ἐν τῷ ἑβδόμῳ ἀποστολικῷ κανόνι, καὶ ἀνάγνωθι τοῦτόν τε καὶ τὰ ἐν αὐτῷ γραφέντα. Οἱ δὲ τῆς παρούσης συνόδου ἅγιοι Πατέρες λέγουσι τὰ περὶ τῆς τοιαύτης ἑορτῆς ὁρισθῆναι παρὰ τῆς πρώτης συνόδου. Ἐν γοῦν τοῖς κανόσι τῶν ἐν Νικαίᾳ Πατέρων τοῦτο οὐχ εὕρηται·

(1) Z. P. — οὐ κεῖται τό, ἐπισωρεύοντα παρὰ τοῖς λοιποῖς. (2) Π. Χ. Τρ. Κ. — καὶ [illegible] — (3) [illegible] Κ. — πρακτικὰ Χ. Τρ.

τῖς δὲ τὰ πρακτικὰ τῆς πρώτης συνόδου εὑρίσκεται. Τοὺς τοίνυν τολμῶντας τὰ οὕτω διορισθέντα περὶ τοῦ Πάσχα καταλύειν, καὶ μετὰ Ἰουδαίων ἑορτάζειν, λαϊκοὺς μὲν ὄντας, μὴ ἑτοίμως (1) εὐσυνθετοῦντας πρὸς τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἀλλὰ φιλονεικοῦντας, διορίζονται ἀκοινωνησίας παντελοῦς ἐπιτιμίῳ καθυποβάλλεσθαι· ἱερωμένους δὲ, καθαιρεῖσθαι· καὶ οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς μετὰ τὴν καθαίρεσιν. Καὶ τούτους δὲ κἀκείνους, σὺν τῇ ἀλειτουργησίᾳ καὶ τῆς ἔξωθεν τοῦ βήματος ἀνηκούσης αὐτοῖς κανονικῆς τιμῆς, ὡς ἱερωμένους ἀπαλλοτριοῦσιν. Οὔτε γὰρ καθέδρας, οὔτε κλήσεως ἀξιωθήσονται, οὔτε μὴν ἑτέρου προνομίου ἱερατικοῦ. Σημείωσαι οὖν ἀπὸ τούτου, ὅτι εἰ μὴ ἔστι τοιοῦτον μέγα τὸ ἔγκλημα, δι' ὃ τις καθῃρέθη, ἀλλὰ ἐλαφρὸν, (τυχὸν ἐγάμησε μετὰ τὴν χειροτονίαν,) ἐνεργήσει τὰ ἔξω τοῦ βήματος· ἕξει δὲ καὶ τὴν ἔξω τιμήν. Ἀνάγνωθι καὶ κανόνα θ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τῆς ϛ'. συνόδου κανόνα κά. καὶ κϛ'.

ΑΡΙΣΤ. Ὁ τὴν ἔνθεσμον τοῦ Πάσχα παράδοσιν διαμεῖψαι πειρώμενος, λαϊκὸς μὲν τελῶν, ἀπόβλητος· κληρικὸς δὲ, ἀνεκκλησίαστος.

Εἴρηται καὶ ἐν τῷ ζ'. ἀποστολικῷ κανόνι, ὡς ὁ μετὰ Ἰουδαίων τελῶν τὸ Πάσχα πρεσβύτερος καθαιρεῖται. Τοῦτο γοῦν καὶ ὁ παρὼν κανὼν διαλαμβάνει, ὡς, εἴ τις τῶν λαϊκῶν παραβαίνων τὴν ἔννομον τοῦ Πάσχα παράδοσιν, μετὰ Ἰουδαίων τοῦτο ἢ καὶ καθ' ἑαυτὸν ἰδιαζόντως ἐν ἑτέρῳ καιρῷ τελεῖ, ἀκοινώνητος ἔσται, καὶ τῆς ἐκκλησίας ἀπόβλητος. Εἰ δὲ κληρικός ἐστιν ὁ τοῦτο ποιῶν, καθαιρεθήσεται· ἀποστερηθήσεται δὲ καὶ τῆς ἐν τῇ καθέδρᾳ τιμῆς, καὶ ὅσοι τούτῳ τῶν κληρικῶν μετὰ τὴν καθαίρεσιν συγκοινωνήσουσι.

## Κανὼν Β'.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν (2), καὶ

(1) Χ. Τρ. — ἑτοίμους Βευερ. Ε. — (2) Π. — εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ Βρ. Σ. Ρ. Κ. Ε. — εἰς ἐκκλησίαν Χ. Τρ.

τῶν ἱερῶν Γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ εὐχῆς (1) ἅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὴν ἁγίαν (2) μετάληψιν τῆς εὐχαριςίας κατά τινα ἀταξίαν, τούτους ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας, ἕως ἂν ἐξομολογησάμενοι, καὶ δείξαντες καρποὺς μετανοίας, καὶ παρακαλέσαντες, τυχεῖν δυνηθῶσι συγγνώμης· μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μηδὲ κατ᾽ οἴκους συνελθόντας συνεύχεσθαι τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις (3), μηδὲ ἐν ἑτέρᾳ ἐκκλησίᾳ ὑποδέχεσθαι τοὺς ἐν ἑτέρᾳ ἐκκλησίᾳ μὴ συναγομένους. Εἰ δὲ φανείη τις τῶν ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἤ τις τοῦ κανόνος τοῖς ἀκοινωνήτοις κοινωνῶν (1), καὶ τοῦτον ἀκοινώνητον εἶναι, ὡς ἂν συγχέοντα τὸν κανόνα τῆς ἐκκλησίας.

---

**ΖΩΝΑΡ.** Ἀκολούθως τῷ ἀποστολικῷ ἐννάτῳ κανόνι οἱ τῆς συνόδου Πατέρες διετάξαντο. Λέγει γὰρ ἐκεῖνος, πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τῶν Γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή. Καὶ οὗτοι τοίνυν τοὺς εἰσιόντας εἰς ἐκκλησίαν, καὶ μὴ προσμένοντας τῇ εὐχῇ, μηδὲ μεταλαμβάνοντας κατά τινα ἀταξίαν, ἤγουν οὐ δι᾽ αἰτίαν εὔλογον, ἀλλ᾽ ἀτάκτως καὶ ἀναιτίως, ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας διωρίσαντο, ἤγουν ἀφωρισμένους, καὶ ἔξω τῆς συνάξεως τῶν πιστῶν. Ἀποστροφὴν δ᾽ ἐνταῦθα οἱ Πατέρες, οὐ τὸ μισεῖν τὴν θείαν μετάληψιν ὠνόμασαν, καὶ διὰ τοῦτο μὴ ἀνέχεσθαι τῆς κοινωνίας, ἀλλὰ τὸ ἀποφεύγειν αὐτὴν, δι᾽ εὐλάβειαν τάχα, καὶ οἷον διὰ ταπεινοφροσύνην. Εἰ γὰρ ὡς μισοῦντες καὶ μυσαττόμενοι τὴν ἁγίαν μετάληψιν ἀπεστρέφοντο ταύτην, οὐκ ἂν ἀφορισμῷ, ἀλλ᾽ ἀποκηρύξει τελείᾳ, καὶ ἀναθέματι κατεδικάσθησαν ἄν. Ἐπεὶ δὲ ἀφορισμοῦ ἐμνήσθησαν, προσέθεντο

---

(1) τῆς εὐχῆς Χ. Τρ. — (2) τὸ ἁγίαν, οὐ κεῖται ἐν Π. καὶ παρὰ Βρ. — (3) τὸ μηδὲ κατ᾽ οἴκους συνελθόντας συνεύχεσθαι τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις, οὐ κεῖται ἐν Π. ἀλλ᾽ ἐν πάσαις ταῖς λοιπαῖς ἐκδόσεσι καὶ ἐν Χ. Τρ.

καὶ τὸ μὴ ἐξεῖναί τινι κοινωνεῖν τοῖς ἀκοινωνήτοις καὶ τοῖς ἀποβληθεῖσι τῆς ἐκκλησίας, μήτε ἐν οἴκῳ τινὰς συνεύχεσθαι, μήτε μὴν ἐν ἑτέρᾳ ἐκκλησίᾳ αὐτοὺς ὑποδέχεσθαι. Τοὺς δὲ τοῖς τοιούτοις συνευχομένους, ἢ ὑποδεχομένους αὐτοὺς εἰς ἐκκλησίαν, ἀκοινωνήτους κἀκείνους εἶναι, ὡς συγχέοντας τὸν κανόνα τῆς ἐκκλησίας. Τὰ αὐτὰ δὲ καὶ ὁ ί. καὶ ὁ ιά. κανὼν τῶν ἁγίων Ἀποστόλων ἔφη, καὶ ὁ λγ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου φησὶν, ὅτι οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύχεσθαι.

ΒΑΛΣ. Ἐν τῷ ή. καὶ θ'. ἀποστολικῷ κανόνι ἡρμηνεύθη, τίνες εἰσὶν οἱ μὴ παραμένοντες τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, καὶ πῶς κολάζονται· ὡσαύτως καὶ ἐν τῷ ί. κανόνι περὶ τῶν κοινωνούντων τοῖς ἀκοινωνήτοις. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται ἀφορίζεσθαι τοὺς εἰσερχομένους εἰς ἐκκλησίαν, καὶ μὴ ἐπιμένοντας τῇ εὐχῇ, μηδὲ ἐπιστρεφομένους τῆς ἁγίας μεταλήψεως κατά τινα ἀταξίαν, καὶ εἶναι τούτους ἀποβλήτους, μέχρις ἂν ἀξίαν μετάνοιαν μετὰ ἐξομολογήσεως ἐπιδείξωνται. Ἐπεὶ δὲ εἰκὸς ἦν, τοὺς οὕτως ἀφορισθεῖσι συγκοινωνεῖν τινας, ἤγουν συνεύχεσθαι, οὐχὶ ἐν τῇ ἐκκλησίᾳ ἀφ' ἧς ἐξεβλήθησαν, ἀλλ' ἐν εὐκτηρίῳ οἴκῳ, ἢ ἐν ἑτέρᾳ ἐκκλησίᾳ, καὶ λέγειν ἀνεπιτίμητον εἶναι τοῦτο, ὡς τοῦ ἀφορισθέντος ἀπὸ μιᾶς ἐκκλησίας δῆθεν διωχθέντος, τῆς ὑπὸ τὰ δίκαια οὔσης τοῦ ἀφορίσαντος, φησὶν ὁ κανὼν μίαν ἐκκλησίαν εἶναι τοὺς ὁπουδήποτε ὄντας εὐκτηρίους οἴκους καὶ ναοὺς, καὶ οὐκ ὀφείλουσί τινες κληρικοὶ μετὰ τοῦ ἀφορισθέντος συνεύχεσθαι, κἂν ἀπὸ ἑτέρας ὦσιν ἐνορίας, τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας τῷ αὐτῷ ἐπιτιμίῳ τῆς ἀκοινωνησίας καθυποβάλλεσθαι. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὰ ἐν τοῖς ῥηθεῖσιν ἀποστολικοῖς κανόσι γραφέντα, καὶ κατ' ἐκεῖνα νόει καὶ τὸν παρόντα κανόνα· καὶ εἰπὲ, ὅτι οὐ λογισθήσονται ἀποστρεφόμενοι τὴν ἁγίαν μετάληψιν οἱ μυσαττόμενοι αὐτὴν, ἢ, ὥς τινες εἶπον, οἱ δι' εὐλάβειαν καὶ ταπεινοφροσύνην ἀποφεύγοντες ταύτην· (οἱ μὲν γὰρ, οὐ μόνον ἀφορισθήσονται, ἀλλὰ καὶ ἀποκηρυχθήσονται ὡς αἱρετικοί· οἱ δὲ, συγγνώμης ἀξιωθήσονται διὰ τὴν εὐλάβειαν καὶ τὴν εἰς τὰ ἅγια ἀξίαν φειδώ)· ἀλλ' ἐκεῖνοι, οἵτινες ἀπὸ καταφρονήσεως καὶ ἀλαζονείας ἀπὸ τῆς ἐκκλησίας ἐξέρ-

χονται πρὸ τῆς ἁγίας μεταλήψεως ἀσυντάκτως, καὶ οὐ καρτεροῦσιν ἰδεῖν τὴν τῶν ἁγίων μυστηρίων θείαν μετάληψιν. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ἀκοινωνήτους εἶναι τοὺς ἐπισκόπους καὶ λοιποὺς ἱερωμένους τοὺς συνευχομένους τοῖς ἀκοινωνήτοις, μὴ εἴπῃς ἐξ ἀντιδιαστολῆς ἀνευθύνους εἶναι τοὺς λαϊκούς, παρὰ τὸν κανόνα ποιοῦντας· καὶ οὗτοι γὰρ ἀφορισθήσονται (1) κατὰ τὸν ι΄. ἀποστολικὸν κανόνα, τὸν μὴ διαστέλλοντα κληρικοὺς καὶ λαϊκούς. Ζήτει καὶ τὸν θ΄. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Διὰ τὴν ἀπειλήν, ὡς ἔοικε, τοῦ ή. κανόνος καὶ θ΄. τῶν ἁγίων Ἀποστόλων (2), ἀλλὰ μὴν (3) καὶ τοῦ παρόντος, ἐπενοήθη, ὡς ἔοικεν, ἡ τοῦ ἀντιδώρου διάδοσις· ὥστε πᾶσαν ἀνάγκην ἔχειν καὶ αὐτοὺς τοὺς μὴ δυναμένους μεταλαμβάνειν τῶν ἁγίων καὶ ζωοποιῶν μυστηρίων, προσκαρτερεῖν μέχρι τέλους τῆς θείας ἱεροτελεστίας, καὶ ἐκ χειρὸς ἱερατικῆς λαμβάνειν αὐτὸ εἰς ἁγιασμόν (4).

Ἐπὶ τῆς λειτουργίας δὲ καὶ μόνης νόει διορίζεσθαι ταῦτα τοὺς ῥηθέντας κανόνας, οὐ μὴν ἐπὶ τῶν ἑτέρων ἐκκλησιαστικῶν ἀκολουθιῶν. Ἐπεὶ δὲ λέγουσί τινες, καὶ διὰ τί ὁ οἰκουμενικὸς Πατριάρχης τὴν ἁγίαν Κυριακὴν προκύπτων ἀπὸ τοῦ στασιδίου αὐτοῦ οὐ καρτερεῖ μέχρι τῆς ἀπολύσεως τῆς λειτουργίας, ἀλλὰ μετὰ τὸ Εὐαγγέλιον ὑποχωρεῖ; Λέγομεν πρὸς αὐτούς, ὅτι κυρίως ἡ θεία λειτουργία μετὰ τὴν τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσιν γίνεται. Ἐπεὶ γὰρ ἅπαντα τὰ ἐν ταῖς ἁγίαις ἐκκλησίαις ψαλλόμενα εἰς δόξαν τοῦ Θεοῦ, ἢ ἀπὸ τῶν τῆς Παλαιᾶς Διαθήκης εἰσίν, ἢ ἀπὸ τῆς Νέας· μετὰ τὴν ἔναρξιν γὰρ αὐτίκα ψαλμοὶ στιχολογοῦνται, μέχρι τῆς τοῦ Ἀποστόλου ἀναγνώσεως, οἵτινες τῆς παλαιᾶς εἰσι διαθήκης· μετὰ δὲ τὸ Εὐαγγέλιον ἄρχεται ἡ τελετὴ τῆς λειτουργίας τῆς ὑπεραχράντου θυσίας· καλῶς ὁ πατριάρχης πρὸ ταύτης καὶ μετὰ τὸ ἅγιον Εὐαγγέλιον ὑπο-

---

(1) Βευερ. διαφορισθήσονται Ἑ. — διαφορηθήσονται Χ. Τρ. — (2) Βευερ. — διὰ τὴν ἀπειλὴν τῶν ἀποστολικῶν κανόνων τοῦ ή, καὶ θ΄. Χ. Τρ. Ἑ. — (3) Χ. Τρ. Ἑ. — ἔτι καὶ τοῦ παρόντος Βευερ. — (4) Χ. Τρ. Ἑ. — ὥστε καρτερεῖν ἐξ ἀνάγκης καὶ αὐτούς, τοὺς μὴ δυναμένους μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων μέχρι τῆς εὐχῆς καὶ τῆς ἀπολύσεως, ἵνα λάβωσιν ἐκ τῶν χειρῶν τοῦ ἱερατεύοντος τὴν εὐλογίαν τοῦ ἡγιασμένου κλάσματος. Βευερ.

χωρεῖ, καὶ οὐ προσκρούει τοῖς κανόσιν. Ὥστε οὐδὲ τις προσκρούει, εἰ μετὰ τὸ Εὐαγγέλιον ἢ πρὸ τοῦ Εὐαγγελίου ἀποχωρεῖ, πλὴν διὰ ἀναγκαίαν καὶ εὐσεβῆ αἰτίαν, καὶ μὴ ἐπίψογον (1).

ΑΡΙΣΤ. Ὁ εἰς ἐκκλησίαν εἰσιὼν, καὶ προσέχων τῇ ἱερᾷ Γραφῇ, εἶτα περιφρονῶν, καὶ ἐξιὼν, καὶ ἀποστρεφόμενος τὴν μετάληψιν, ἀπόβλητος, ἕως ἂν ἐπιδειξάμενος καρπὸν μετανοίας, συγγνωμονηθῇ. Καὶ ἀκοινωνήτῳ κοινωνῶν ἔσται ἀκοινώνητος. Καὶ ὁ συνευχόμενος τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις, ὑπεύθυνος. Καὶ τὸν μὴ εἰς ἐκκλησίαν συναγόμενον ὁ ὑποδεχόμενος οὐκ ἀναίτιος.

Ἀπόβλητος καὶ οὗτος τῆς ἐκκλησίας, ὁ μὴ συγκοινωνῶν τῷ λαῷ τῆς εὐχῆς, ἀλλ' ἐξερχόμενος πρὸ τῆς ἀπολύσεως, ὡς περιφρονῶν καὶ ἀποστρεφόμενος τὴν θείαν μετάληψιν· ἕως ἂν μεταμεληθεὶς, καρπὸν μετανοίας ἐνδείξηται· μετανοήσας δὲ θερμῶς, παραδεχθήσεται. Ὁ δὲ τὸν εἰς ἐκκλησίαν μὴ συναγόμενον τοῖς πιστοῖς παραδεξάμενος, καὶ κατ' οἴκους αὐτῷ συνευξάμενος, ἢ καὶ ἐν ἑτέρᾳ ἐκκλησίᾳ, τοῖς κανόσιν ὑπεύθυνος ἔσται· καθάπερ δὴ καὶ ὁ ἀκοινωνήτῳ κοινωνῶν ἔσται ἀκοινώνητος.

## Κανὼν Γ'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου τις, καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν

(1) Τὰ ἀνωτέρω ἀναγινώσκεται ἐν περισελίδῳ τοῦ Χ. Τρ. οὕτω· Σημειώ-
σαι τὰ ἐν τῷ παρόντι κανόνι καὶ τῷ η'. καὶ τῷ θ'. κανόνι τῶν ἁγίων Ἀποστόλων
γραφέντα χάριν τῶν μὴ ἐμμενόντων τῇ ἐκκλησιαστικῇ εὐχῇ, ἤγουν τῇ ἀπολύσει·
καὶ λέγε ταῦτα ὁρισθῆναι χάριν τῆς λειτουργίας, οὐ μὴν καὶ τοῦ ἑσπερινοῦ, καὶ
ὀρθρινῆς δοξολογίας· ἐν ταύταις γὰρ τὰ τοῦ κανόνος χώραν οὐκ ἔχουσιν. Ἐπεὶ δὲ
ἤκουσά τινος λέγοντος, καὶ πῶς ὁ πατριάρχης κατὰ τὴν Κυριώνυμον οὐ καρτερεῖ
μέχρι τῆς ἀπολύσεως εἰς τὰ στασίδια, ἀλλὰ μετὰ τὸ ἅγιον Εὐαγγέλιον ὑποχωρεῖ,
καὶ αἰτιωμένου τὸ γινόμενον, λέγω, ὅτι κυρίως ἡ θεία λειτουργία μετὰ τὸ Εὐαγ-
γέλιον γίνεται. Ἐπεὶ γὰρ πάντα τὰ εἰς λόγον Θεοῦ τελούμενα ἐκκλησιαστικὰ ψαλ-
μῳδήματα εἰς δύο διαιροῦνται, ἤγουν εἰς τὴν τῆς Παλαιᾶς Διαθήκης, καὶ
τῆς Νέας· μετὰ τὴν ἔναρξιν γὰρ, δαβιτικὴν ψάλλομεν δοξολογίαν, ἥτις ἐστὶ τοῦ
παλαιοῦ νόμου, μετὰ δὲ τὸ Εὐαγγέλιον, ἄρχεται ἡ θυσία καὶ ἡ λειτουργία· κα-
λῶς ὁ πατριάρχης μετὰ τὸ Εὐαγγέλιον ὑποχωρεῖ, καὶ οὐ προσκρούει τῷ κανόνι.
Εἰ δὲ μετὰ τὴν τελετὴν καὶ ἀνάγνωσιν τῶν ἁγίων εὐχῶν τῆς θυσίας ὑπεχώρη-
σεν, ὑπέπεσεν ἂν τῷ κανόνι. Ὥστε εἰ πρὸ τοῦ Εὐαγγελίου, ἢ καὶ μετὰ τὸ Εὐαγγέλιον
αὐτίκα ὑποχωρεῖ τις, ἀνεύθυνος ἔσται.

ἀπέλθοι, ἔπειτα παντελῶς μεταστὰς, διατρίβειν ἐν ἄλλῃ παροικίᾳ πειρᾶται ἐπὶ πολλῷ χρόνῳ, μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ ἐπισκόπῳ τῷ ἰδίῳ, καὶ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ παραινοῦντι, μὴ ὑπακούοι. Εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως. Εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς (1).

—

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης πολλοὶ κανόνες ἐξεφωνήθησαν· ὅ,τε γὰρ ιέ. κανὼν τῶν ἁγίων Ἀποστόλων τὰ αὐτὰ προεψηφίσατο, ὁ τῆς ἐν Νικαίᾳ τε πρώτης συνόδου ις'. κανὼν τὰ ὅμοια ἀπεφήνατο· καὶ ὁ έ. κανὼν τῆς δ'. συνόδου τοὺς ἤδη τεθέντας κανόνας ἐπεβεβαίωσε. Τὰ γοῦν ἐν ἐκείνοις γραφέντα ἀρκοῦσιν εἰς ἐξήγησιν καὶ τοῦ παρόντος κανόνος.

ΒΑΛΣ. Περὶ τῶν καταλιμπανόντων τὰς οἰκείας παροικίας, καὶ εἰς ἑτέρας ἀπερχομένων, ζήτει τῶν ἁγίων Ἀποστόλων κανόνα ιέ, τῆς ά. συνόδου κανόνα ις'. καὶ τῆς δ'. κανόνα έ., καὶ μάθῃς ἐκ τῶν ἐν τούτοις γραφέντων καὶ τὰ τῷ παρόντι κανόνι διωρισμένα.

*Ἑτέρα ἑρμηνεία.*

Ἐπειδή τινων πρεσβυτέρων, διακόνων, καὶ ὑποδιακόνων οἰκειοθελῶς, οὐκ ἐξ ἐπιτιμίου, ἐπὶ πολὺν χρόνον μὴ ἱερουργησάντων, πάλιν δὲ βουλομένων ἱερουργεῖν κεκωλυμένων, συνεζητήθη πόσος ἐστὶν ὁ τὴν ἱερουργίαν ἀφαιρούμενος χρόνος (2) ἐκ τοῦ μὴ ἐνεργήσαντος ταύτην(3)· λέγω, ὅτι πολὺς χρόνος ἀπὸ τοῦ νόμου ἡ τριετία ἐστίν. Εἰ γοῦν ἱερωμένος τις δι' ὅλης τριετίας οὐκ ἐνεργήσει, μήτε ὑπὸ νόσου ἐμποδιζόμενος, μήτε ὑπὸ ἄλλης εὐλό-

(1) Χ. Τρ. Βρ. Βευερ. Ἑ. Κ. Σ. Ρ.—τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς Π.—(2) Χ. Τρ. —πόσος νοηθήσεται χρόνος ὁ τὴν ἱερουργίαν ἀφαιρούμενος Βευερ. —παρὰ δὲ Ἑ. οὐ κεῖται ἡ δευτέρα αὕτη ἑρμηνεία. —(3) δι' ὅλου αὐτοῦ, προστίθησιν ὁ Βευερ.

γου αἰτίας, τυχὸν αἰχμαλωσίας κωλυόμενος (1), οὐκέτι λειτουργῆσαι παραχωρηθήσεται. Εἰ γὰρ κατὰ τὸν παρόντα κανόνα καθαιρεῖται ὁ εἰς ἑτέραν παροικίαν διατρίβων ἐπὶ πολὺν χρόνον, ἤγουν τριετίαν, ἴσως καὶ ἐνεργῶν ἐκεῖσε· πολλῷ πλέον οὐ παραχωρηθήσεται ἱερουργῆσαι ὁ τὴν οἰκείαν διακονίαν ἐπὶ τριετίαν ἀποστραφείς, ἢ καὶ ἀναξιότητα ἑαυτῷ ἐπιψηφισάμενος (2). Συνιστῶ δὲ τοῦτο καὶ ἀπὸ τοῦ γεγονότος σημειώματος κατὰ τὸν Μάρτιον μῆνα τῆς γ΄. Ἰνδικτιῶνος ἐπὶ τῆς πατριαρχίας τοῦ κυροῦ Νικολάου, * χάριν τῶν ἀποδημούντων διακόνων ἐκ τῶν ἑβδομάδων, καὶ διοριζομένου* (3), ταῦτα ῥητῶς ἐν μέρει· Πλὴν κοινῶς ὥρισται περὶ πάντων τῶν ἐν πάσαις ταῖς ἑβδομάσιν ὑπηρετούντων ἱερέων τε καὶ διακόνων, περὶ μὲν τῶν ἐν βαθμῷ, ὃ καὶ πάλαι ὥρισται· περὶ δὲ τῶν περισσῶν, τὸν μέλλοντα τῆς μεγαλοπόλεως ἀποδημεῖν κατά τινα χρείαν συνταξάμενον τῷ ἀρχιδιακόνῳ καὶ τοῖς πρωτεύουσιν ἐν τῇ ἑβδομάδι τὴν ἀποδημίαν στέλλεσθαι, ἐφ' ἓξ μὲν μῆνας οὐδὲ σούπερον (4) ἀντ' αὐτοῦ ἐφιστῶντα, μετὰ δὲ τούτους ἕως πέρατος τριετίας ἕτερον ἀντ' αὐτοῦ * τῇ δουλείᾳ ὑποβάλλοντα· ἵνα ἡ περὶ τὴν ἐκκλησίαν διακονία αὐτοῦ διὰ τὴν ἀποδημίαν ὑστεροῦσα*(5) ἀναπληροῦται διὰ τοῦ ἀντισήκου. Εἶτα εἰ μὴ δι' ὅλης τριετίας ἐπανέλθοι, πόῤῥω που καθίστασθαι, καὶ ἔκπτωτον παντάπασι τῆς ἑβδομάδος, μηδ' ὁτιοῦν αὐτῷ συμβαλλομένης τῆς τοῦ ἀντισήκου δόσεως, ἢ ἐλπίδα ἀποκαταστάσεως δυναμένης παρέχειν. Εἰ δὲ καὶ τῇ βασιλευούσῃ ἐπιδημοῦντές τινες ταῖς διακονίαις τῆς ἑβδομάδος* σχολάζειν οὐκ ἀνέχονται, ὑπομιμνήσκεσθαι τούτους παρὰ τῶν προεστώτων τῆς ἑβδομάδος*(6), μὴ πάντῃ τῆς οἰκείας δουλείας ἀφίστασθαι. Καὶ εἰ μὴ ἕως μηνῶν ὅλων ἓξ διανασταῖεν πρὸς ὑπηρεσίαν, ἐξωθεῖσθαι· μηδένα ἄλλον ἀλλ' ἑαυτοὺς αἰτιᾶσθαι ἔχοντας, ὅτι παρόντες μῆνας ὅλους ἓξ ὕπνωσαν καὶ ἐρρᾳθύμησαν, μὴ προσέχοντες τῇ ἐκκλησίᾳ.

**ΑΡΙΣΤ.** Εἴ τις κληρικός, καταλιπὼν τὴν ἰδίαν παροικίαν,

(1) Χ. Τρ. —(2) Χ. Τρ. — ἀναξιότητος ἑαυτὸν καταψηφισάμενος Βευερ. —(3) Χ. Τρ. — παρὰ δὲ Βευερ. οὐ κεῖται τὰ μεταξὺ τῶν * —(4) σούπερβον Χ. Τρ. —(5) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. —(6) τὰ μεταξὺ τῶν* οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ.

εἰς ἑτέραν ἀπέλθοι, εἶτ' ἐκεῖθεν μεταστάς, ἐν ἄλλῃ ἐπὶ μακρὸν διατρίβοι, μηκέτι λειτουργείτω· μάλιστα εἰ καλούμενος παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ ἐπανέλθοι. Εἰ δὲ ἐπιμένοι τῇ ἀταξίᾳ, καθαιρείσθω, μηκέτι ἔχων ἀποκατάστασιν. Καὶ εἴ τις ἐπίσκοπος δέχεται τὸν οὕτω καθῃρημένον, ἐπιτιμάσθω παρὰ κοινῆς συνόδου, ὡς τοὺς ἐκκλησιαστικοὺς παραλύων θεσμούς.

Τὰ αὐτὰ τῷ πεντεκαιδεκάτῳ ἀποστολικῷ κανόνι καὶ οὗτος ὁ κανὼν διαγορεύει· τὸ μή τινα τῶν πρεσβυτέρων, ἢ τῶν διακόνων, ἢ ὅλως τῶν τοῦ ἱερατικοῦ καταλόγου, καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, καὶ εἰς ἑτέραν ἀπελθόντα, καὶ ἐπὶ μακρὸν χρόνον ἐν αὐτῇ διατρίβοντα, λειτουργεῖν· καὶ μάλιστα εἰ παρὰ τοῦ ἰδίου ἐπισκόπου καλοῖτο, καὶ μὴ ὑπακούοιτο ὑποστρέψαι. Τὸν δὲ ἐπιμένοντα τῇ τοιαύτῃ ἀταξίᾳ, καὶ καθαιρεῖσθαι, μηδὲ ἐλπίδα ἀποκαταστάσεως ἔχοντα. Ἀλλὰ καὶ τὸν ἐπίσκοπον τὸν παραδεξάμενον ὡς κληρικὸν τὸν οὕτω καθῃρημένον, ἐπιτιμᾶσθαι προστάττει παρὰ τῆς κοινῆς συνόδου, ὅτε συνέλευσις πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας, διὰ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας, καὶ τὰ κανονικὰ ζητήματα, γίνεται, ὡς παραβάτην τῶν τῆς ἐκκλησίας θεσμῶν.

## Κανὼν Δ'.

**Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθείς, ἢ πρεσβύτερος, ἢ διάκονος, ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, τολμήσειέ τι πρᾶξαι τῆς λειτουργίας, εἴτε ὁ ἐπίσκοπος κατὰ τὴν προάγουσαν συνήθειαν, εἴτε ὁ πρεσβύτερος, εἴτε ὁ διάκονος· μηκέτι ἐξὸν εἶναι αὐτῷ, μηδὲ ἐν ἑτέρᾳ συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χώραν ἔχειν, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς ἐκκλησίας, καὶ μάλιστα, εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν, τολμήσειαν αὐτοῖς κοινωνεῖν.**

ΖΩΝΑΡ. Οἱ μὲν ἐπίσκοποι ἐπὶ ἐγκλήμασι κατηγορούμενοι, συνόδου δέονται δικαζούσης καὶ ἀποφαινομένης· οἱ δὲ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ οἱ καθεξῆς κληρικοὶ, ὑπὸ τοῦ ἰδίου ἐπισκόπου δικάζονται, καὶ αὐτῷ ψηφίζεσθαι δέδοται. Εἰ δέ φασιν ἀδικεῖσθαι οἱ καταψηφισθέντες, ὑπὸ τοῦ μητροπολίτου καὶ τῆς συνόδου τῆς ἐπαρχίας ἡ ψῆφος σκοπεῖται, κατὰ τὸν ἕκτον κανόνα τῆς συνόδου ταύτης, καὶ κατὰ τὸν τρίτον καὶ πέμπτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου. Περὶ τούτου δὲ νομοθετεῖ καὶ βιβλίον τῶν βασιλικῶν τρίτον, τίτλος ά. κεφαλ. κϐ'. οὗ ἡ ἀρχή· Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισϐήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν. Διὰ ταῦτα τοίνυν ὁ παρὼν κανὼν εἶπεν· Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς, καὶ τὰ ἐφεξῆς, τολμήσει πρᾶξαί τι τῆς λειτουργίας, (λειτουργίαν ἐνταῦθα οὐ τὴν ἱερουργίαν καὶ τὴν τελετὴν τῆς ἀναιμάκτου θυσίας φησὶ μόνην, ἀλλ' ἅπαν ἀρχιερατικὸν δίκαιον· κἂν γὰρ οὐχ ἱερουργήσῃ, βαπτίσῃ δὲ, ἢ ἕτερον ποιήσῃ ἀρχιερεῖ προσῆκον, κατὰ τὴν προάγουσαν συνήθειαν, ἤγουν κατὰ τὸ κρατῆσαν παλαιὸν ἔθος), ἢ πρεσϐύτερος, ἢ διάκονος, μὴ ἐξέστω αὐτῷ, κἂν λέγῃ μὴ καλῶς (1) καταδικασθῆναι, ἑτέρᾳ συνόδῳ προσέρχεσθαι, καὶ ζητεῖν δοκιμασθῆναι τὴν κατ' αὐτοῦ ψῆφον, μηδὲ χώραν αὐτῷ ἀπολογίας παρέχεσθαι· ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς, μαθόντας τὴν κατ' αὐτῶν ἀπόφασιν, ἀφορίζεσθαι καὶ ἐξωθεῖσθαι τῆς ἐκκλησίας. Καὶ ὁ κθ'. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν λέγει, καθ' ἑαυτοῦ τὸν τοιοῦτον τὴν δίκην προαγαγεῖν. Φαίνεται οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τῶν ἀνωτέρω μνημονευθέντων, ὅτι ἔξεστι τῷ καταδικαζομένῳ (2) ἐπισκόπῳ, ἀδικεῖσθαι ὑπολαμϐάνοντι, ζητεῖν ὑφ' ἑτέρων διαγνωμονηθῆναι τὴν κατ' αὐτοῦ ἀπόφασιν. Καὶ ὁ ιέ. δὲ ταύτης τῆς συνόδου κανὼν ἐναντιοῦσθαι δοκεῖ τῷ παρόντι κανόνι, λέγων· Εἴ τις ἐπίσκοπος, ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπι-

---

(1) Χ. Τρ. — τὸ, καλῶς, οὐ κεῖται παρὰ Βευερ. Κ. — (2) Χ. Τρ. — τῷ δικαζομένῳ Κ. Βευερ.

σκόπων, πάντες τε σύμφωνον μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον, τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν. Δοκοῦσι μὲν οὖν, ὡς εἴρηται, ἐναντίοι ἀλλήλοις οἱ κανόνες οὗτοι, οὐκ εἰσὶ δέ· ἀλλ' ὁ μὲν τέταρτος κανὼν περὶ καταψηφισθέντος ὑπὸ συνόδου φησὶν, ἤγουν τινῶν ἐπισκόπων τῆς ἐπαρχίας συνελθόντων καὶ ἀποφηναμένων· διὸ καὶ δίδωσι τῷ νομίζοντι ἀδικεῖσθαι, ζητεῖν καὶ δευτέραν ἐξέτασιν· ὁ δὲ ιε. περὶ ψήφου φησὶ, παρὰ πάντων ὁμοῦ τῶν τῆς ἐπαρχίας ἐπισκόπων συμφώνως ἐξενεχθείσης. Ὥστε ὅτε μέν τινες τῶν ἐπαρχιωτῶν ἐπισκόπων κατά τινος ἀποφήνωνται, δυνήσεται ὁ καταδικασθεὶς καὶ εἰς δευτέραν ζήτησιν τὴν δίκην καταγαγεῖν· ὅτε δὲ οἱ τῆς ἐπαρχίας πάντες ἐπίσκοποι κατά τινος ὁμογνωμονήσαντες ἀπόφασιν ποιήσουσι σύμφωνον, οὐκέτι τῷ καταδικασθέντι δοθήσεται ἄδεια τὴν ψῆφον ἐκείνην ἀναπαλαίειν· ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι, κἂν πάντες συνέλθοιεν, οὐχ ὁμοφωνήσωσι δὲ ἀλλήλοις περὶ τὴν ψῆφον, ἐξέσται καὶ τότε τῷ καταδικαζομένῳ ζητεῖν τὴν κατ' αὐτοῦ τηρηθῆναι ἀπόφασιν· καὶ περὶ τούτου ἀνάγνωθι καὶ τὸν ιδ'. κανόνα ταύτης τῆς συνόδου.

ΒΑΛΣ. Ὁ μὲν κη΄. ἀποστολικὸς κανὼν ἀποκηρύσσει τοὺς καθαιρεθέντας δικαίως, καὶ αὖθις τῆς προτέρας ἐνεργείας ἁπτομένους. Ὁ δὲ παρὼν κανών φησι, μὴ ἔχειν αὐτοὺς ἐλπίδα ἀποκαταστάσεως δι' ἐπικρίσεως ἑτέρας συνόδου· καὶ τοὺς κοινωνοῦντας τούτοις ἐν εἰδήσει, ἀποβλήτους εἶναι τῆς ἐκκλησίας. Δοκοῦσιν οὖν οἱ κανόνες μὴ ἐξισοῦσθαι· οἶμαι δὲ συμφωνεῖν ἐν πᾶσιν αὐτούς. Διορίζονται γὰρ κατὰ δύο τρόπους κολάζεσθαι τοὺς μετὰ ἐντελῆ καταδίκην ἱερατικόν τι ἐνεργοῦντας. Ὁ μὲν οὖν ἀποστολικὸς κανών φησι, τοὺς δικαίως καθαιρεθέντας, ἤγουν μὴ ἔχοντας βοήθειαν ἐκκλήτου, καὶ ἐνεργήσαντας ἱερατικόν τι, ἀποκηρύσσεσθαι. Ὁ δὲ παρὼν κανὼν παρομοίως ἐκείνῳ, πρῶτον μὲν διορίζεται μὴ προσδέχεσθαι παρ' ἑτέρας συνόδου τοὺς ὑπὸ συνόδου τελείας καθαιρεθέντας, τῆς ἐν Κωνσταντινουπόλει τυχὸν, καθ' ἧς οὐδὲ ἔκκλητός ἐστι· καὶ τοὺς δὶς ἐκκαλεσαμένους καὶ ἡττηθέντας, καὶ μετὰ τὸ ἀπα-

γορευθῆναι αὐτοῖς τὴν βοήθειαν τῆς ἐκκλήτου, ἐνεργήσαντας ἱερατικόν τι· εἶτα δι᾽ ὧν φησιν ἐκβάλλεσθαι ἀπὸ τῆς ἐκκλησίας καὶ τοὺς κοινωνοῦντας αὐτοῖς, δοκεῖ λέγειν καὶ ἀποκηρύκτους ὀφείλειν γενέσθαι αὐτούς. Οὕτως ἑρμήνευσον τοὺς κανόνας, καὶ μὴ εἴπῃς τὸν καθαιρεθέντα ὑπὸ συνόδου, καὶ ἔχοντα βοήθειαν ἐκκλήτου, ἐνεργοῦντα ἱερατικόν τι μετὰ τὴν καθαίρεσιν, ἀποκήρυκτόν τε εἶναι, καὶ τὴν βοήθειαν τῆς ἐκκλήτου ἀπόλλειν, καθὼς τινες εἶπον. Ἐναντιωθήσῃ γὰρ κανόσι καὶ νόμοις διαφόροις, διοριζομένοις ἀκεραίαν ἔχειν τὸν κατακριθέντα τὴν οἰκείαν κατάστασιν, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου γυμνασθῶσιν. Ἐξαιρέτως δὲ τῷ δ'. κανόνι τῆς ἐν Σαρδικῇ συνόδου, ὃν καὶ ἀνάγνωθι. Ζήτει τὸν ιγ'. καὶ ιε. κανόνα τῆς παρούσης συνόδου, καὶ τῆς ἐν Σαρδικῇ κανόνα δ'. ἀναιροῦντα τούτους· καὶ βιβλίου γ'. τῶν βασιλικῶν τίτλον ά. κεφάλαιον μέ. οὗ ἡ ἀρχή· Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι· καὶ μάθης πῶς καὶ παρὰ τίσι δικάζονται περὶ ἐγκληματικῶν ὑποθέσεων ἐπίσκοποι καὶ κληρικοί, καὶ πότε, καὶ παρὰ τίσιν ἐκκαλοῦνται καταδικαζόμενοι.

ΑΡΙΣΤ. Ὁ ὑπὸ συνόδου καθῃρημένος ἐπίσκοπος, εἰ αὐθαδιαζόμενος λειτουργήσει, μὴ ἐχέτω ἀποκατάςασιν.

Ὁ μὲν κανὼν οὗτος ἐμφαίνει, ὡσαύτως καὶ ὁ δωδέκατος κανών, δύνασθαι τὸν ὑπὸ συνόδου καθαιρεθέντα ἐπίσκοπον ἐκκαλεῖσθαι, καὶ τὴν κατ᾽ αὐτοῦ ψῆφον, εἰ κακῶς γέγονεν, ὑφ᾽ ἑτέρας μείζονος διορθοῦσθαι συνόδου· εἰ μήπου ὁ καθαιρεθεὶς ἐπίσκοπος κατ᾽ οἰκείαν αὐθάδειαν, πρὸ διορθώσεως τῆς κατ᾽ αὐτοῦ ἀποφάσεως τολμήσειε λειτουργεῖν. Τηνικαῦτα γάρ, οὐδὲ εἰ κακῶς λέγει καθαιρεθῆναι, ἀποκατάστασιν ἕξει, ἢ χώραν ἀπολογίας δευτέρας. Ὁ δὲ πεντεκαιδέκατος κανὼν τῆς συνόδου ταύτης φάσκει τὸν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθαιρεθέντα, μηκέτι δύνασθαι ἐκκαλεῖσθαι, ἀλλὰ τὴν κατ᾽ αὐτοῦ ἀπόφασιν μένειν βεβαίαν. Ὁ δὲ τῆς ἐν Σαρδικῇ συνόδου τέταρτος καὶ πέμπτος κανὼν ἄδειαν δίδωσι τῷ ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων καθαιρεθέντι ἐπισκόπῳ ἐκκαλεῖσθαι, καὶ ἐπὶ τὸν μακαριώτατον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον καταφεύγειν, καὶ μηδὲ εἰς τὴν ἐπισκοπὴν

αὐτοῦ ψηφίζεσθαι ἕτερον, μέχρις ἂν ὁ τῆς Ῥωμαίων ἐπίσκοπος τὰ τῆς ἀποφάσεως ἐξετάσῃ, καὶ τελείαν ποιήσηται τὴν διάγνωσιν. Καὶ ἔστιν ἡ γνώμη αὕτη δικαιοτέρα καὶ φιλανθρωποτέρα, καὶ κρατοῦσα καὶ νῦν.

## Κανὼν Ε΄.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου (1), ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔστησε (2), καὶ, τοῦ ἐπισκόπου προσκαλεσαμένου, ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ ὑπακούειν (3) καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μηδὲ (4) δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν. Εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι.

—

**ΖΩΝΑΡ.** Τὰ αὐτὰ τῷ λά. κανόνι τῶν ἁγίων Ἀποστόλων καὶ ὁ κανὼν οὗτος ψηφίζεται, καὶ τὰ εἰρημένα ἐκεῖ καὶ πρὸς τοῦτον ἀρκέσουσι. Πλέον δέ τι τοῦ ἀποστολικοῦ κανόνος, οὗτος διέξεισι, λέγων· Εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι· ὁ διὰ τὸ παρασυνάγειν, φησὶ, καθαιρεθεὶς, ἐὰν οὐχ ἡσυχάζῃ, ἀλλ' ἐπιθορυβῇ καὶ ταράσσῃ τὴν ἐκκλησίαν, ἀναστατῶν αὐτὴν, τουτέστι, διεγείρων εἰς στάσεις (5), διὰ τῆς ἔξωθεν ἐξουσίας, τῆς πολιτικῆς δηλαδὴ, ὡς στασιώδης παιδευθήσεται, ὡς ἂν ἐπιστρέψῃ πρὸς μετάνοιαν. Καὶ ὁ ἔννατος δὲ κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης συνόδου ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, περὶ τῶν μὴ πειθομένων τοῖς

(1) Χ. Τρ. Π. Βρ. — τοῦ ἐπισκόπου τοῦ ἰδίου Βευερ. Κ. Ἑ.— (2) Χ. Τρ. Π. Βρ. Ἑ. Κ. Σ. Ῥ. — ἔπηξε Βευερ.—(3) Π. Βρ. Χ. Τρ. Ἑ. Κ. Σ. Ῥ. — ὑπακούσαι Βευερ.—(4) μήτε Βευερ.—(5) τὰ ἀπὸ τοῦ, ὡς στασιώδη αὐτὸν, ἕως τοῦ, διὰ τῆς ἔξωθεν ἐξουσίας, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. καὶ λατινιστὶ μόνον παρὰ Κ.

ἐπισκόποις, μηδὲ δι' ἐπιτιμίων σωφρονιζομένων φησὶ, διὰ τῶν κατὰ χώραν ἀρχόντων αὐτοὺς σωφρονίζεσθαι. Ὥςε σημειωτέον καὶ ἐκ τοῦ έ. τούτου κανόνος, ὅτι ἀπηγόρευται τοῖς ἐπισκόποις κολάζειν ὅλως τινάς· ἐπιτιμίοις δὲ μόνοις σωφρονίζειν αὐτοὺς, καὶ, εἰ μὴ πείθοιντο, παραδιδόναι αὐτοὺς τῇ ἐξουσίᾳ.

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ ἀποστολικῷ λά. κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται· καὶ ἀρκοῦσι τὰ ἐκεῖσε γραφέντα. Προστίθησι δὲ, τοὺς θορυβοῦντας καὶ μὴ ἐμμένοντας τῇ κατ' αὐτῶν ἀποφάσει, ἐντελεῖ πάντως οὔσῃ, διὰ τῆς ἀρχοντικῆς ἐξουσίας παιδεύεσθαι. Ὥστε σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὥσπερ καὶ ἀπὸ τοῦ θ'. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, ὅτι ἐπιτιμᾷν, οὐ μὴν βασανίζειν οἱ ἐπίσκοποι τοὺς πταίοντας ὀφείλουσι· μὴ πειθομένους γὰρ παραδώσουσι τοῖς ἄρχουσι. Ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ι'. συνόδου ς'. κανόνα λά. καὶ συνόδου ά. καὶ β'. κανόνα ιβ'. ιγ'. ιδ'. καὶ ιέ. Σκόπησον οὖν, μήπως ἀπὸ τοῦ παρόντος κανόνος καὶ οἱ διὰ πλαστογραφίαν, ἢ καθοσίωσιν, ἢ ἱεροσυλίαν, ἢ δογματικὴν ὑπόθεσιν, ἢ ἄλλην τοιαύτην αἰτίαν τινὰ καθαιρούμενοι, καὶ μὴ πειθόμενοι ἐξαγόρευσιν καθαρὰν ποιῆσαι (1), καὶ περὶ τῶν συνιστόρων ὁμολογῆσαι, βασανίζονται ὑπὸ τῶν πολιτικῶν ἀρχόντων· εἴδομεν γὰρ διαφόρως (2) τοῦτο γενόμενον.

ΑΡΙΣΤ. Πᾶς ὁ ἐπισκόπου καταφρονῶν, καὶ ἀφιστάμενος πρεσβύτερος, ἢ διάκονος, καὶ οἰκοδομῶν ἄλλο θυσιαστήριον· εἰ προσκαλούμενος τρὶς ὑπὸ τοῦ ἐπισκόπου ἐπιμένοι τῇ ἀπονοίᾳ, καθαιρούμενος ἔστω, καὶ ἀθεράπευτος.

Ὁ τοιοῦτος, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου εὐσεβείᾳ καὶ δικαιοσύνῃ, ὡς ὁ τριακοστὸς πρῶτος κανὼν τῶν ἁγίων Ἀποστόλων διαλαμβάνει, ἀλλ' ὑπερηφανίᾳ καὶ τύφῳ ἐπαρθεὶς κατὰ τὸν ί. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, εἰ ἀφώρισε τῆς ἐκκλησίας ἑαυτὸν, καὶ θυσιαστήριον ἕτερον ἔπηξε, καὶ λαὸν ὑφ' ἑαυτὸν εἵλκυσεν, ἰδίας συνάξεις ποιούμενος, εἶτα τρισσάκις παρὰ τοῦ ἐπισκόπου καλούμενος ἀπειθοίη, καὶ ἐπιμένοι τῇ

(1) Ἐ. — ἐξαγορείαν ... ποιῆσαι Χ. Τρ. — ἐξαγορίαν Βευερ. — (2) Χ. Τρ. Ἐ. — ἀδιαφόρως Βευερ.

ἀταξίᾳ, ἄξιός ἐστι παντελῶς καθαιρεῖσθαι, καὶ μηκέτι ἐλπίζειν θεραπείας τυχεῖν, καὶ τὴν ἑαυτοῦ τιμὴν ἐπαναλαβεῖν.

## Κανὼν ς'.

Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γέγονε, μὴ πρότερον αὐτὸν παρ' ἑτέρων δεχθῆναι, εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη (1) τοῦ ἰδίου ἐπισκόπου, ἢ, συνόδου γενομένης, ἀπαντήσας ἀπολογήσεται, πείσας τε τὴν σύνοδον, καταδέξοιτο ἑτέραν ἀπόφασιν. Ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν, καὶ πρεσβυτέρων, καὶ διακόνων, καὶ πάντων τῶν ἐν τῷ κανόνι (2).

—

ΖΩΝΑΡ. Καὶ περὶ ταύτης τῆς ὑποθέσεως πολλοὶ διετάξαντο κανόνες, καὶ ἃ εἴρηται ἐν ἐκείνοις, καὶ εἰς τὴν τοῦ παρόντος ἀρκοῦσι σαφήνειαν.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων ἱκανῶς ἐγράψαμεν ἔν τε ἄλλοις κανόσι διαφόροις, καὶ ἐν τῷ ιβ'. καὶ ιγ'. ἀποστολικῷ κανόνι.

ΑΡΙΣΤ. Τὸν ἀφορισθέντα παρ' ἐπισκόπου κληρικὸν, ἐὰν μείζων σύνοδος προσδέξοιτο, ἢ κατακρίνειε, στεργέτω τὴν ἀπόφασιν.

Ὁ δήσας καὶ λύειν δύναται. Διὰ τοῦτο γοῦν τὸν ἐπιτιμηθέντα παρ' ἐπισκόπου κληρικὸν, καὶ ἀφορισθέντα, οὐ δεῖ παρ' ἑτέρου δεχθῆναι ὡς ἀνεπιτίμητον, εἰ μὴ παρ' αὐτοῦ λυθῇ τοῦ δεσμήσαντος. Εἰ δὲ σύνοδος τὸν ἀφορισθέντα ἐξετάσοι, καὶ παραλόγως εὕροι τὸν ἀφορισμὸν ἐπενεχθέντα, δύναται τὸ κακῶς γενόμενον διορθοῦσθαι, καὶ λύειν αὐτὸν, καὶ ἡ περὶ τούτου ἀπόφασις μένει βεβαία.

## Κανὼν Ζ'.

Μηδένα ἄνευ εἰρηνικῶν δέχεσθαι τῶν ξένων (3).

—

(1) Π. Χ. Τρ. Βρ. — δεχθείη Βευερ. — (2) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. — τῶν ἐν τῷ κλήρῳ καταλεγομένων κρατείτω. Σ. Ῥ. Βευερ. — (3) Μηδένα τῶν ξένων ἄνευ κτλ. Χ. Τρ. — μηδένα ἄνευ εἰρηνικῶν γραμμάτων Σ. Ῥ.

ΖΩΝΑΡ. Εἴρηται ἐν κανόνι ιά. τῆς τετάρτης συνόδου, τίνες εἰσὶν εἰρηνικαὶ ἐπιστολαὶ, καὶ τίνες συστατικαί. Ξένους οὖν ἐνταῦθα οὐχὶ τοὺς τυχόντας λέγει, τοὺς ἐξ ἄλλης χώρας ἴσως εἰς ἄλλην ἐπιδημοῦντας, ἀλλὰ τοὺς κληρικοὺς τοὺς ἀπὸ ἄλλης ἐκκλησίας εἰς ἄλλην ἀπιόντας, οὓς καὶ μὴ δέχεσθαι παρὰ τῶν προεστώτων τῶν ἐκκλησιῶν ἐν αἷς ἀπίασιν, ὁ κανὼν ἐγκελεύεται, εἰ μὴ εἰρηνικὰς ἐπιστολὰς ἐπιφέρονται τῶν προεστώτων τῶν ἐκκλησιῶν, ἐξ ὧν ὑπεχώρησαν. Ὁ δὲ λγ'. τῶν Ἀποστόλων κανὼν σαφέστερον τὸ τῶν ξένων φησὶ, λέγων· Μηδένα τῶν ξένων πρεσβυτέρων, καὶ διακόνων, ἢ καὶ ἐπισκόπων, ἄνευ συστατικῶν ἐπιστολῶν προσδέχεσθαι· ξενίζεσθαι μὲν γὰρ αὐτοὺς ὁ κανὼν, καὶ χορηγεῖσθαι αὐτοῖς τὰ πρὸς τὴν χρείαν παρὰ τῶν πρὸς οὓς ἀπῆλθον, ἐπιτρέπει· δέχεσθαι δὲ εἰς κοινωνίαν ἀπαγορεύει.

ΒΑΛΣ. Ἐν τῷ λγ'. ἀποστολικῷ κανόνι, καὶ τῷ ις'. τῆς ἐν Χαλκηδόνι συνόδου, διελήφθησαν τὰ περὶ τῶν εἰρηνικῶν καὶ τῶν συστατικῶν ἐπιστολῶν, καὶ ὅτι ξένοι εἰσὶν οἱ ἀπὸ ἑτέρων ἐνοριῶν ὁρμώμενοι. Ἀνάγνωθι οὖν τὰ ἐν ἐκείνοις γραφέντα.

ΑΡΙΣΤ. Ὁ ξένος, εἰρηνικὰς ἐπιστολὰς οὐ προσάγων, ἀπρόσδεκτος.

Ἐν πολλοῖς εἴρηται κανόσι καὶ τοῦτο, τὸ μὴ τοὺς ξενοχειροτονήτους προσδέχεσθαι ἄνευ γραμμάτων τοῦ ἐπισκόπου παρ' οὗ τὴν χειροτονίαν ἀνεδέξαντο.

## Κανὼν Η'.

Μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονικὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν· τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους διδόναι εἰρηνικάς.

---

ΖΩΝΑΡ. Κανονικὰς ἐπιστολὰς τὰς συστατικὰς καὶ εἰρηνικὰς ὀνομάζει. Τίνες δὲ εἰσιν εἰρηνικαὶ, καὶ τίνες συστατικαὶ, ἤδη εἴρηται. Ταύτας δὲ οἱ προεστῶτες τῶν ἐκκλησιῶν διδόασιν, οὐ μέντοι πρεσβύτεροι, οὐδὲ οἱ ἐν ταῖς χώραις, ἔνθα μὴ συχνάζει ὁ ἐπίσκοπος. Οἱ δὲ χωρεπίσκοποι, εἰ ἀνεπίλη-

πτοί εἰσι, τουτέστιν ἀναίτιοι, μή τινος αἰτίας κατ' αὐτῶν οὔσης, σπιλούσης ἴσως τὴν τούτων ὑπόληψιν, δύνανται διδόναι εἰρηνικάς· ἐπεὶ τοῖς χωρεπισκόποις καὶ ἄλλα προνόμια δέδοται. Πρὸς μόνους δὲ τοὺς γείτονας ἐπισκόπους πέμπειν εἰρηνικὰς ἐπιστολὰς δέδοται καὶ τοῖς ἐν ταῖς χώραις πρεσβυτέροις, οὐ μὴν πρὸς τοὺς περαιτέρω.

ΒΑΛΣ. Ἔμαθες τίνες εἰσὶν εἰρηνικαὶ, ἤτοι ἀπολυτικαὶ ἐπιστολαὶ, καὶ τίνες αἱ συστατικαὶ, αἱ λεγόμεναι καὶ κανονικαί. Ἐπεὶ δέ τινες διετείνοντο δύνασθαι τοὺς ἐν ταῖς χώραις πρεσβυτέρους, ἤτοι τοὺς πρωτοπαπάδας, διδόναι εἰρηνικὰς ἐπιστολὰς, κἂν πρὸς τοὺς γείτονας ἐπισκόπους, διὰ τὸ μὴ μετέχειν αὐτὰς δικαίου τινὸς χειροτονίας, ἀλλ' εὐσεβείας καὶ χριστιανικῆς κοινωνίας· ὥρισαν οἱ Πατέρες, καὶ ταύτας παρὰ μόνῃ τῇ ἐπισκοπικῇ ἐξουσίᾳ ἀνακεῖσθαι. Τοῖς δὲ ἀνεπιλήπτοις χωρεπισκόποις, ἤτοι τοῖς μὴ ὑπὸ αἰτίασιν σπιλωτικὴν τῆς ὑπολήψεως αὐτῶν γενομένοις, ἐνεδόθη εἰρηνικὰς διδόναι ἐπιστολὰς, ὅτι καὶ ἄλλα προνόμια τούτοις ἐφιλοτιμήθησαν.

ΑΡΙΣΤ. Ὁ ἐπὶ χώρας πρεσβύτερος, μὴ διδότω κανονικὰς ἐπιστολὰς, ἢ πρὸς μόνον ἐπίσκοπον γείτονα.

Μόνοις τοῖς ἐπισκόποις, καὶ τοῖς ἀνεπιλήπτοις χωρεπισκόποις ἐφεῖται, κανονικὰς διδόναι ἐπιστολὰς τοῖς μακρὰν ἀποδημῆσαι θέλουσι τῆς ἑαυτῶν παροικίας κληρικοῖς· πρεσβυτέροις δὲ, τοῖς ἐπὶ χώρας ἴσως πρωτεύουσι, τὸ προνόμιον τοῦτο οὐκ ἀνήκει. Πρὸς δὲ ἐπίσκοπον γείτονα γράφειν περὶ τῶν τοιούτων κληρικῶν, καὶ συνιστᾷν τὴν χειροτονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπόληψιν αὐτῶν, συγκεχώρηται καὶ αὐτοῖς.

## Κανὼν Θ'.

Τοὺς καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶτα ἐπίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας, διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάντας τοὺς τὰ πράγματα ἔχοντας. Ὅθεν ἔδοξε καὶ τῇ τιμῇ προηγεῖσθαι αὐτὸν, μηδέν τε πράττειν περιττὸν τοὺς λοιποὺς ἐπισκόπους

ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαῖον (1) κρατήσαντα ἐκ τῶν Πατέρων ἡμῶν κανόνα· ἢ ταῦτα μόνα, ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ, καὶ ταῖς ὑπ᾽ αὐτὴν χώραις. Ἕκαστον γὰρ ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε κατὰ τὴν ἑκάστῳ ἐπιβάλλουσαν εὐλάβειαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν· ὡς καὶ χειροτονεῖν πρεσβυτέρους καὶ διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διαλαμβάνειν· περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν, δίχα τοῦ τῆς μητροπόλεως ἐπισκόπου, μηδὲ αὐτὸν ἄνευ τῆς τῶν λοιπῶν γνώμης.

---

ΖΩΝΑΡ. Εἰ καὶ μὴ τοῖς ῥήμασι διόλου ὁ κανὼν οὗτος ἀπαραλλάκτως ἔχει πρὸς τὸν λδ'. κανόνα τῶν ἁγίων Ἀποστόλων, ἀλλὰ κατὰ τὴν ἔννοιαν ἐκείνῳ ἐν ἅπασι συμφωνεῖ· ὥστε ἃ ἐν ἐκείνῳ εἴρηται, καὶ τὸν τούτου νοῦν παριστῶσι τῷ βουλομένῳ.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος ἡρμηνεύθησαν ἐν τῷ λδ'. ἀποστολικῷ κανόνι, καὶ ἀνάγνωθι τοῦτον.

ΑΡΙΣΤ. Τοῦ μητροπολίτου τῆς γνώμης ἀναρτᾶσθαι τοὺς ἐπισκόπους, καὶ μή τι τῆς αὐτῶν προνοίας οἰκονομεῖν δίχα, ἢ μόνον τὰ τῇ ἰδίᾳ ἐνορίᾳ προσπίπτοντα, καὶ χειροθεσίας ἀνεπιλήπτοις ἀνδράσιν ἐπιτελεῖν.

Τὰ αὐτὰ τῷ τριακοστῷ τετάρτῳ κανόνι τῶν ἁγίων Ἀποστόλων καὶ ὁ κανὼν οὗτος διδάσκει, τὸ ἐπιγινώσκειν τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας τὸν ἑαυτῶν πρῶτον, καὶ ἄνευ γνώμης αὐτοῦ μήτε ἐπισκόπους ψηφίζεσθαι, μήτε τι ἕτερον περιττὸν πράττειν τῶν ἐκεῖσε παρ᾽ ἡμῶν εἰρημένων, εἰ [μὴ] μόνα τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ· καὶ χειροτονεῖν πρεσβύτερον, καὶ διάκονον, καὶ ὅσα τούτοις ἀκόλουθα.

## Κανὼν Ι'.

Τοὺς ἐν ταῖς κώμαις, ἢ ταῖς χώραις, ἢ τοὺς καλουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶεν ἐπισκόπου

---

(1) Π. Χ. Τρ. Βρ. Ἐ. Κ. = κατὰ τὸν ἀρχαιότερον, Βευερ.

ειληφότες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιστᾷν δὲ ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς(1), καὶ τῇ τούτων ἀρκεῖσθαι προαγωγῇ· μήτε δὲ (2) πρεσβύτερον, μήτε διάκονον χειροτονεῖν τολμᾷν δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾗ ὑπόκεινται αὐτός τε καὶ ἡ χώρα. Εἰ δὲ τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς. Χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως, ᾗ ὑπόκειται, ἐπισκόπου.

---

ΖΩΝΑΡ. Κεκώλυται, κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου, τὸ καθιστᾷν ἐπίσκοπον ἐν κώμῃ τινὶ, ἢ βραχείᾳ πόλει· διὸ πρεσβυτέρους, ἢ χωρεπισκόπους ἐν ταύταις καθίζων. Τούτους οὖν τοὺς χωρεπισκόπους ἀπαιτεῖ ὁ κανὼν, μὴ παρεξιέναι τὴν οἰκείαν τάξιν, οἰκονομεῖν δὲ τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ ποιεῖν ἀναγνώστας καὶ ὑποδιακόνους, καὶ ἐφορκιστάς· μήτε δὲ διάκονον χειροτονεῖν, μήτε πρεσβύτερον, ἄνευ τοῦ τῆς πόλεως ἐπισκόπου, κἂν ἐπισκόπου χειροτονίας ἔτυχον οἱ χωρεπίσκοποι· ὁ δὲ τὸν κανόνα παραβαίνων καθαιρεθήσεται. Τοὺς χωρεπισκόπους δὲ, οἱ τῶν πόλεων ποιοῦσιν ἐπίσκοποι, αἷς ὑπόκεινται, οὓς ὁ ιδ'. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου εἰς τύπον τῶν ο. Ἀποστόλων εἶναι φησίν.

ΒΑΛΣ. Κεκωλυμένον ὑπὸ τῶν κανόνων ἐστὶν, ἐπισκόπους γίνεσθαι εἰς βραχείας πόλεις καὶ κώμας, καὶ διὰ τοῦτο ἐχειροτόνουν εἰς ταύτας πρεσβυτέρους, ἤγουν πρωτοπαπάδας καὶ χωρεπισκόπους. Ἐπεὶ δέ τινες τῶν χωρεπισκόπων ἐπεχείρουν ἱερεῖς χειροτονεῖν, καὶ ἕτερά τινα ἐπισκοπικὰ δίκαια ἐνεργεῖν, καὶ αἰτιώμενοι ἔλεγον καλῶς τοῦτο ποιεῖν, διὰ τὸ δέξασθαι χειροθεσίαν ἐπισκόπου· ὥρισαν οἱ Πατέρες, ἀπὸ τούτου μὴ ὠφελεῖσθαι αὐτοὺς εἰς τὸ παρεξιέναι τὰ ἀπὸ τῶν κανόνων ἐπιφιλοτιμηθέντα τούτοις προνόμια, μηδὲ χειροτονεῖν διάκονον, ἢ

(1) ἐξορκιστὰς Σ. Ρ. — (2) Π. Χ. Τρ. Βευερ. Ἑ. Κ. — ἄνευ τοῦ, δὲ, Βρ.

πρεσβύτερον δίχα τοῦ ἐπισκόπου, ἀλλὰ μόνους ἀναγνώστας, ὑποδιακόνους, καὶ ἐφορκιστὰς, ἤτοι κατηχητάς· διοικεῖν τε καὶ τὰ ἀνατεθέντα τούτοις ἐκκλησιαστικὰ πράγματα, ἢ μὴν ἐκ παραβασίας τῶν διορισθέντων ὑποκεῖσθαι καθαιρέσει καὶ ἧς μετέσχον τιμῆς. Ἐπεὶ δέ τινες ἐσπούδαζον ἐξ ἀλαζονείας χειροθεσίαν χωρεπισκόπου λαβεῖν ἀπὸ μητροπολίτου ἢ πατριάρχου, μὴ ἐπιστρεφόμενοι τῶν ἐγχωρίων ἐπισκόπων, ἐκωλύθη καὶ τοῦτο, καὶ ὡρίσθη παρὰ τοῦ ἐπισκόπου τῆς πόλεως γίνεσθαι τὸν χωρεπίσκοπον, ἵνα ὑπόκειται αὐτῷ, καὶ μὴ καταφρονῇ τούτου, ὡς μὴ δεδωκότος αὐτῷ τὴν χειροθεσίαν τοῦ ἀξιώματος. Καλῶς δὲ περὶ χωρεπισκόπων μόνων πεποιήκασι τὸν ἅπαντα λόγον οἱ Πατέρες, οὐ μὴν καὶ περὶ πρεσβυτέρων· οὐδὲ γὰρ ἦν ἀμφιβολία περὶ αὐτῶν, οἷα μηδὲ λαβόντων ὅλως πάροδον εἰς τὸ ποιεῖν χειροτονίαν οἱανδήτινα. Ἐρωτήσει δέ τις, διὰ τί προσετέθη τῷ ῥήματι τῆς καθαιρέσεως καὶ ἡ ἔκπτωσις τῆς τιμῆς; Λύσις. Τινὲς διενίσταντο ὀφείλειν μὲν καθαιρεῖσθαι τὸν παραβάντα χωρεπίσκοπον, ἔχειν δὲ τὴν χωρεπισκοπικὴν τιμὴν, ἤγουν τὴν καθέδραν καὶ τὰ λοιπὰ, κατὰ τὸν θ'. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τὸν κά. καὶ τὸν κς'. τῆς ς'. συνόδου. Διὰ τοῦτο οὖν φησιν ὁ κανὼν, ἀπόλλειν τοῦτον καὶ ἀμφότερα, κατὰ τὸ τέλος τοῦ ά. κανόνος τῆς παρούσης συνόδου. Τὸ δὲ, δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, οὐκ ἐκλαμβάνεται, εἰς τὸ, ἄνευ ἐντολῆς τούτου, ἀλλ' εἰς τὸ, δίχα τελεσιουργίας ἐκείνου· κἂν γὰρ ἐνταλθῇ χωρεπίσκοπος χειροτονῆσαι πρεσβύτερον, καὶ ποιήσῃ τοῦτο, ἄκυρος ἔσται ἡ χειροθεσία, διὰ τὸ μὴ δοθῆναι αὐτῷ ἐξουσίαν ἀπὸ τῶν κανόνων πρεσβυτέρους χειροτονεῖν. Ἀνάγνωθι καὶ τὸν ιδ'. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ σημείωσαι, ὅτι αἱ παρὰ μητροπολιτῶν γινόμεναι χειροθεσίαι ἢ εἰς ἡγουμένους, ἢ εἰς ἄλλους τινὰς ὑποκειμένους ἑτέραις ἐνορίαις, ἀκυροῦνται. Ἀλλὰ καὶ τὰ παρά τινων γινόμενα τυπικὰ χάριν τοῦ μὴ σφραγίζεσθαι παρὰ τοῦ πατριάρχου τοὺς καθηγουμένους τῶν μοναστηρίων αὐτῶν, ἀλλὰ παρ' ἑτέρων ἐπισκόπων, ἢ μηδὲ ὅλως σφραγίζεσθαι, ἄκυρά εἰσιν.

ΑΡΙΣΤ. Ἐξορκιστὰς, καὶ ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ψάλτας καθίστησι χωρεπίσκοπος, οὐ μέντοι πρεσβύτερον, καὶ

διάκονον, ἄνευ τοῦ κατὰ πόλιν ἐπισκόπου· ὁ δὲ τοῦτο τολμῶν ὑπερβαίνειν, εἴη καθῃρημένος. Ὁ τῆς πόλεως δὲ ἐπίσκοπος ποιεῖ χωρεπίσκοπον.

Ἕκαστος ὀφείλει τὸ ἑαυτοῦ μέτρον εἰδέναι, καὶ τοῖς ἰδίοις ὅροις ἐμμένειν. Διὰ τοῦτο γοῦν καὶ ὁ χωρεπίσκοπος, εἰ τολμήσει πρεσβύτερον ἢ διάκονον χειροτονῆσαι, ἄνευ τῶν ἐπιτετραμμένων αὐτῷ, ἤγουν ἀναγνωστῶν, ψαλτῶν, ἐφορκιστῶν τε, καὶ ὑποδιακόνων, καθαιρεθήσεται· κἂν ἄλλως καὶ περὶ αὐτῶν τῶν βαθμῶν τῷ μεγάλῳ Βασιλείῳ δοκῇ, καθὼς ἐγράφη ἐν τῷ τρισκαιδεκάτῳ κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου.

## Κανὼν ΙΑ΄.

**Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειε πρὸς βασιλέα ἀπελθεῖν, τοῦτον ἀποκηρύττεσθαι, καὶ ἀπόβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας, ἧς μετέχων τυγχάνει· ὡς παρενοχλεῖν τολμῶντα τὰς τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν ἀκοάς, παρὰ τὸν θεσμὸν τῆς ἐκκλησίας. Εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασιλέα ὁρμᾷν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου καὶ (1) τῶν ἐν αὐτῇ, τοῖς τε τούτων γράμμασιν ἐφοδιάζεσθαι.**

---

ΖΩΝΑΡ. Εἰ μὴ ὅτι πᾶσα ἀνάγκη, οὐ βούλονται οἱ κανόνες τοὺς ἐπισκόπους προσέρχεσθαι βασιλεῖ, καὶ ἐνοχλεῖν αὐτῷ ὑπὲρ οἰκείων δεήσεων. Ἀλλὰ καὶ ὅτε μέλλοι τις ἀναγκαῖόν τι ἀνενεγκεῖν βασιλεῖ, μὴ ἀπέρχεσθαι ἄνευ γνώμης τῶν τῆς ἐπαρχίας ἐπισκόπων, ἀφ' ἧς καὶ ὁ ἀπελθεῖν μέλλων ἐστί, μάλιστα δὲ τοῦ μητροπολίτου τῆς ἐπαρχίας ἐκείνης· τὸν δὲ ὁρμήσαντα χωρὶς γνώμης καὶ γραμμάτων τοῦ μητροπολίτου ἀπελθεῖν πρὸς βασιλέα, καθαιρεῖσθαι. Ὁ δὲ τῆς ἐν Σαρδικῇ συνόδου ζ΄. κανών,

---

(1) Χ. Τρ. Βενετ. Ξ. Ρ. — ἢ τῶν ἐν αὐτῇ Π. Βρ. Ἑ. Κ.

καὶ ή. εἰ διὰ βοήθειαν χηρῶν, καὶ ὀρφανῶν, καὶ πενήτων, καὶ λαϊκῶν προσφευγόντων τῇ ἐκκλησίᾳ ὡς ἀδικουμένων, ἢ καταδυναστευομένων, ἢ ἀποστερουμένων τῶν ἀνηκόντων αὐτοῖς, ἢ καὶ περιορισθῆναι διὰ πταίσματα καταδικασθέντων, προσελθεῖν ἐθέλοι τῷ βασιλεῖ, ἐκχωροῦσι τῷ τοιούτῳ ἀπιέναι· μᾶλλον δὲ διάκονον στέλλειν οἰκεῖον πρὸς τὸν βασιλέα μετὰ γραμμάτων εἰς ἐπικουρίαν τῶν προσφευγόντων τῇ ἐκκλησίᾳ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται, μὴ μόνον ἀφορίζεσθαι, ἀλλὰ καὶ καθαιρεῖσθαι τοὺς εἰς βασιλέα ἀπερχομένους ἐπισκόπους ἢ κληρικοὺς, ἄνευ γραμμάτων τοῦ κατὰ χώραν ἐπισκόπου, καὶ μάλιστα τοῦ μητροπολίτου, ὡς παρενοχλοῦντας (1) τὰς βασιλικὰς ἀκοὰς παρὰ τὰ δεδογμένα τῇ ἐκκλησίᾳ. Ἀναγκαίας δὲ προκειμένης αἰτίας, παραχωρεῖ πρὸς βασιλέα ὁρμᾷν μετὰ ἐγγράφου ἐκχωρήσεως συνοδικῆς. Ἀνάγνωθι τῆς ἐν Σαρδικῇ συνόδου κανόνας ζ΄. ή. θ΄. κά. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα ρς΄. Ἐπεὶ δέ τινες τῶν ῥημάτων τοῦ παρόντος κανόνος ἐξεχόμενοι, (τῆς γὰρ ἐννοίας ἀποδιΐστανται), θέλουσι τοὺς ἐνδημοῦντας ἀρχιερεῖς εἰς τὴν τῶν πόλεων βασιλεύουσαν μετὰ εἰδήσεως καὶ προτροπῆς πατριαρχικῆς, καὶ μὴ ἄλλως, εἰς βασιλέως προσκύνησιν ἀπέρχεσθαι, φαμὲν, ὅτι τὰ τοῦ παρόντος κανόνος, καὶ τῶν λοιπῶν τῶν ἐνταῦθα μνημονευομένων, χώραν ἔχουσιν, εἰ (2) ὁ ἀρχιερεὺς ἀπὸ τῆς λαχούσης αὐτοῦ (3) αὐθόρμητος εἰς βασιλέα ἀπέλθῃ· ὅταν γὰρ ἐνδημῇ ἐν τῇ βασιλευούσῃ, ἢ κατὰ βασιλικὸν ὁρισμὸν, ἢ κατὰ πατριαρχικὴν ἐπιτροπὴν, ἀκωλύτως προσκυνήσει τὸν βασιλέα, καὶ ὑπομνήσει περὶ ὧν βούλεται. Τὸ δὲ κατὰ βασιλικὸν ὁρισμὸν ἀπέρχεσθαι τοὺς ἀρχιερεῖς ἔνθα ἂν προσταχθεῖεν καὶ δίχα συνοδικῆς εἰδήσεως, ἐν διαφόροις κανόνων ἑρμηνείαις ἐδηλώθη, καὶ οὐ χρὴ ἡμᾶς ταυτολογεῖν.

ΑΡΙΣΤ. Ὁ προσιὼν αὐτομάτως τῷ βασιλεῖ ἐπίσκοπος, ἢ πρεσβύτερος, καὶ οὐχὶ κελευσθεὶς παρὰ τοῦ τῆς χώρας μητροπολίτου, μετὰ τῆς κοινωνίας ἐκπιπτέτω καὶ τῆς ἀξίας.

(1) Βευερ.— ὀχλοῦντας Χ. Τρ. (2) ὅταν ὁ ἀρχιερεὺς Χ. Τρ. — (3) ἀπὼν τῆς οἰκείας ἐνορίας Χ. Τρ.

Τὸ ἀνυπόταχτον ἐν πᾶσιν οἱ Πατέρες περιαιροῦντες, καὶ τὸ εὔταχτον συντηροῦντες, κωλύουσι καὶ τοὺς ἐπισκόπους, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς ἄλλους τοῦ ἱερατικοῦ καταλόγου, ἄνευ γραμμάτων τοῦ πρώτου αὐτῶν πρὸς βασιλέα ἀπέρχεσθαι, καὶ τὰς ἀκοὰς αὐτοῦ παρενοχλεῖν, καὶ ἀναφέρειν περί τινων. Καὶ διὰ τοῦτο τὸν ἄνευ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου τῷ βασιλεῖ προσιόντα, καὶ τῆς ἀξίας καθαιρεῖσθαι προστάττουσι, καὶ τῆς κοινωνίας ἀπείργεσθαι.

## Κανὼν ΙΒ'.

Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου καθαιρεθεὶς πρεσβύτερος, ἢ διάκονος, ἢ καὶ ἐπίσκοπος ὑπὸ συνόδου, ἐνοχλῆσαι τολμήσειε τὰς βασιλέως (1) ἀκοάς, δέον ἐπὶ μείζονα ἐπισκόπων σύνοδον τρέπεσθαι, καί, ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν ἐπισκόποις, καὶ τὴν παρ' αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι, ὁ δὲ (2), τούτων ὀλιγωρήσας ἐνοχλήσειε τῷ βασιλεῖ· καὶ τοῦτον μηδεμιᾶς συγγνώμης ἀξιοῦσθαι, μηδὲ χώραν ἀπολογίας ἔχειν, μηδ' ἐλπίδα μελλούσης ἀποκαταστάσεως(3) προσδοκᾷν.

—

ΖΩΝΑΡ. Εἴρηται ἀνωτέρω, πῶς ἢ ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθείς, ἢ κληρικὸς ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, δύναται ζητεῖν δοκιμασθῆναι τὴν κατ' αὐτοῦ ψῆφον (4), εἰ δοκεῖ ἀδικεῖσθαι. Ἐνταῦθα δὲ ἀπαγορεύει τοῖς καθαιρουμένοις ὁ κανὼν προσιέναι βασιλεῖ, καὶ ἐνοχλεῖν αὐτῷ, καὶ ζητεῖν τὴν κατ' αὐτοὺς ἐξετασθῆναι ἀπόφασιν, καὶ τῷ τοῦτο ποιήσαντι μήτε χώραν ἀπολογίας δίδοσθαι κελεύει, μήτε ἐλπίζειν, ὡς ἀποκαταστήσεται.

ΒΑΛΣ. Παντὶ καταδικαζομένῳ καὶ ἀδικεῖσθαι οἰομένῳ, ἡ τῆς ἐκκλήτου ἐδόθη βοήθεια. Φησὶ γοῦν ὁ κανών, ὡς, εἰ καὶ ἐνεδόθη τοῦτο τοῖς ἐπισκόποις, ὡσαύτως καὶ τοῖς κληρικοῖς, ἀλλ'

(1) Χ. Τρ. Π. Ἑ. Κ. Σ. Ῥ.—τὰς βασιλικὰς Βευερ. (2) Χ. Τρ. — εἰ δὲ, οἱ λοιποί.— (3) Χ. Τρ. Βευερ. Σ. Ῥ. — ἄνευ τοῦ, μελλούσης Π. Βρ. Ἑ. Κ. — (4) Χ. Τρ. — τὴν ψῆφον τὴν κατ' αὐτοὺς Βευερ. Κ.

θὲν ἐξεχωρήθη καὶ τὰς βασιλικὰς ἀκοὰς χάριν τούτου ἐνοχλεῖν. Εἴ τις οὖν καταλιπὼν τὸ προσελθεῖν μείζονι συνόδῳ, καὶ γυμνάσαι τὰς οἰκείας (1) δικαιολογίας κατὰ λόγον ἐκκλήτου, ὀχλήσει βασιλέα περὶ τούτου, οὐ μόνον οὐκ ὠφεληθήσεται, ἀλλ' ὡς μηδεμιᾶς συγγνώμης ἀξιούμενος, πᾶσαν θύραν (2) δικαιολογίας ἑαυτῷ ἐπιζυγώσει, καὶ οὐδὲ ἐλπίδα ἕξει ἀποκαταστάσεως. Εἴποι δέ τις, ὡς, τοῦ κανόνος λέγοντος μὴ προσέρχεσθαι τὸν καθαιρεθέντα βασιλεῖ, ἀλλὰ μείζονι συνόδῳ, ὁ μὲν καθαιρεθεὶς ὑπὸ τοῦ Ἐφέσου τυχόν, ἢ τοῦ Θεσσαλονίκης, τῷ οἰκουμενικῷ πατριάρχῃ εὐλόγως προσελθεῖν ἀναγκασθήσεται· ὁ δὲ ὑπὸ πατριάρχου καταδικασθείς, μὴ ἔχων ὅπου προσφύγῃ, τῷ βασιλεῖ προσερχόμενος κολασθήσεται ἢ οὔ; Λύσις. Τινὲς μὲν εἶπον, καὶ εἰς τὰς ἀποφάσεις τούτων χώραν ἔχειν τὰ τοῦ κανόνος ἄνευ τοῦ οἰκουμενικοῦ, διὰ τὸ τὴν τοῦ Ἱεροσολύμων ἀπόφασιν ἀνακρίνεσθαι παρὰ τοῦ Ἀντιοχείας, καὶ τὴν τοῦ Ἀντιοχείας παρὰ τοῦ Ἀλεξανδρείας, καὶ ἐφεξῆς κατὰ τὴν μείζονα τάξιν ἑκάστου αὐτῶν. Ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὰς ἀποφάσεις τῶν ἄλλων ἐπισκόπων, καὶ τῶν μητροπολιτῶν, οὐ μὴν καὶ τῶν πατριαρχῶν· αἱ ψῆφοι γὰρ τούτων ἐκκλήτῳ οὐχ ὑπόκεινται· διὸ καὶ ὁ προσελθὼν βασιλεῖ χάριν τοῦ ἀνακριθῆναι κατ' ἔκκλητον ἀπόφασιν τούτων, τιμωρηθήσεται κατὰ τὸν παρόντα κανόνα. Φησὶ γὰρ ἡ ρλζ'. Ἰουστινιάνειος νεαρά, ἡ κειμένη ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν, τίτλῳ ά. κεφ. μέ. οὕτω ῥητῶς· Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῶν τῆς αὐτῆς συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω· καὶ εἰ μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης ἐκείνης τῆς διοικήσεως μεταξὺ αὐτῶν ἀκροασάσθω, κἀκεῖνα ὁριζέτω ἅ τινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ τοῖς νόμοις συνᾴδουσιν, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἄν-

---

(1) Χ. Τρ.—δικαίας Βευερ. 'Ε.—(2) Χ. Τρ. 'Ε. — οἰκείας δικαιολογίας Βευερ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τιλέγειν δυναμένου. Ὅτι δὲ πολλάκις ἐτρακταίσθη, εἰ χρὴ ἐκκλήτῳ ὑποκεῖσθαι τέως τοῦ Κωνσταντινουπόλεως τὴν ψῆφον, ἔδοξέ μοι ἀναγκαῖον εἰπεῖν τὸ δοκοῦν μοι χάριν τούτου, καὶ τὰ παρά τινων δικαιολογούμενα. Λέγουσί τινες, ὡς, ἐπεὶ τὴν μὲν ἀπόφασιν τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ τὴν ἀπόφασιν τοῦ δὶς γεγονότος ἐπάρχου τῆς πόλεως, οἱ νόμοι ῥητῶς διορίζονται μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, τὴν δὲ πατριαρχικὴν ἀπόφασιν τοῦ τοιούτου προνομίου ῥητῶς οὐκ ἠξίωσαν, κατὰ τὰς πολλὰς καὶ τυχόντων δικαστῶν ψήφους καὶ αὕτη ἐκκλητευθήσεται. Πρὸς ἐπισύστασιν δὲ τοῦ λόγου αὐτῶν χρῶνται καὶ τῇ τρίτῃ Ἰουστινιανείῳ νεαρᾷ, τῇ κειμένῃ ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν, τίτλῳ ϐ'. καὶ διοριζομένῃ εὐθύνεσθαι παρὰ τοῦ βασιλέως τὸν πατριάρχην, εἴπερ χειροτονήσει ὑπὲρ ἀριθμὸν (1) κληρικόν. Ἄλλοι τῆς πατριαρχικῆς μεγαλειότητος τὴν ὑπεροχὴν ὥσπερεὶ σεϐαζόμενοι φασὶ, μήτε πάντως ἀποκλειστέον κατὰ τῆς πατριαρχικῆς ἀποφάσεως τὴν ἔκκλητον, μήτε πάντῃ ἐνδοτέον· ἀλλ' εἰ μὲν τὰ μέρη τὰ δικαζόμενα τῆς τῶν ἱερωμένων ἢ καὶ μοναχῶν εἰσι τύχης, ἡ κατά τινος τούτων ἐξενεχθεῖσα ἀπόφασις οὐκ ἀνακριθήσεται· εἰ δὲ θάτερον τῶν μερῶν, ἢ καὶ ἄμφω, ἐν μοίρᾳ τάττοιντο λαϊκοῦ, ἀμάχως ἐκκλητευθήσεται. Ἕτεροι τῆς ὑποθέσεως τὴν ποιότητα λέγουσι γεννήτριαν εἶναι τῆς ἐκκλήτου (2)· ἡ μὲν γὰρ ἐκκλησιαστικὴ ζήτησις οὐκ ὠδίνει, φασὶ, παιδίον ἐκκλητοπόθητον· ἡ δὲ χρηματικὴ κυΐσκει τὴν ἔκκλητον, ὡς ἐχιδναῖον ἄμϐλωμα τῆς τεκούσης σπαράττον τὰ ἔγκατα. Ἄλλοι τοὺς ταῦτα λέγοντας ἐπιστομίζοντες, ἀξιοῦσι τότε καὶ μόνον ὑποκεῖσθαι ἐκκλήτῳ τὴν πατριαρχικὴν ἀπόφασιν, ὅτε κατὰ βασιλικὸν ὁρισμὸν προκάθηται δικάζων ὁ πατριάρχης μετὰ συνδικαστῶν, ἢ καὶ μετὰ τῆς οἰκείας συνόδου. Ἐμοὶ δὲ δοκεῖ, ὡς, ἐπεὶ οἱ νόμοι πρὸ τοῦ καταστῆναι τὴν ἐκκλησιαστικὴν τάξιν συνεγράφησαν, καὶ οἱ πλείους τούτων παρὰ Ἑλλήνων, καλῶς οὐκ ἐμνήσθησαν πατριαρχῶν· εἰ δέ τις ἐρεῖ καὶ παρὰ βασιλέων ὀρθοδόξων γενέσθαι νεαρὰς μετὰ τὸ τιμηθῆναι τοὺς πατριαρχικοὺς θρόνους, ἀκούσει μὲν πρῶτον, ὅτι οὐδὲ εἰς ἐνθύμησιν ἦλθεν ὀρθοδόξῳ

(1) Χ. Τρ. — ὑπέρθετον Βευερ. — (2) Χ. Τρ. — τῆς ἐκκλησίας Βευερ.

βασιλεῖ τοιοῦτόν τι τολμηθῆναι ποτὲ παρά τινος, καὶ εἰπεῖν τὴν κρίσιν τοῦ τοσαύτῃ τετιμημένου μεγαλειότητι ἀνακρίνεσθαι· εἶτα δὲ, καὶ τὴν καταστρωθεῖσαν νεαρὰν τοῦ Ἰουστινιανοῦ εἰς τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν, καὶ διοριζομένην μηδένα ἀντιλέγειν κατὰ τῆς πατριαρχικῆς ψήφου, ἀρκεῖν εἰς παντελῆ τούτων ἐπιστομισμόν. Τὸ δὲ λογοπραγεῖσθαι τοῦτον χάριν τῶν παρ' αὐτοῦ γινομένων ὑπεραριθμίων χειροτονιῶν, οὐκ εἰσάγει καὶ τῶν κρίσεων τούτου ἀνάκρισιν· τὸ μὲν γὰρ φάκτον οἰκεῖον ἐστί· τὸ δὲ, τοῦ θρόνου προνόμιον. Ὅτι οὖν νενόμισται, μηδένα δι' ἑτέρου ἀδικεῖσθαι, αὐτὸς μὲν παρὰ τῷ ἐπιστημονάρχῃ τῆς ἐκκλησίας τῷ βασιλεῖ κριθήσεται, ὡς ἱερόσυλος τυχὸν ἢ ἑτερόδοξος, ἢ ὡς ἕτερόν τι ἡμαρτηκώς· εἴδομεν γὰρ τοῦτο καὶ πραγματικῶς γεγονὸς κατὰ διαφόρους καιρούς· τὸ δὲ δικαστήριον αὐτοῦ ἀλογοπράγητον(1) ἔσται διὰ τὴν τοῦ θρόνου ὑπεροχήν. Ἐπεὶ δέ τινες καὶ κατὰ τῆς τοιαύτης νεαρᾶς ὁπλίζουσι γλῶτταν σκολιὰν καὶ ἀτίθασσον, καὶ λέγουσι, τότε μὴ δύνασθαι τὸν παρὰ πατριάρχῃ δικασάμενον ἀντιλέγειν, ὅτε κατ' ἔκκλητον ὁ πατριάρχης ἀκροᾶται ἀρχιερατικῆς (2) ἀποφάσεως, διὰ τὸ μὴ ἐθέλειν τὴν νεαρὰν τὴν εἰς δύο δικαστήρια ζητηθεῖσαν ὑπόθεσιν, καὶ εἰς τρίτον κατάγεσθαι, οὐ μὴν καὶ ὅταν πρωτοτύπως δικάζῃ, καὶ μάλιστα λαϊκούς· λέγω, ὅτι εἶχον μὲν πρὸς τοῦτο πολλὰ εἰπεῖν, καὶ παραστῆσαι αὐτοὺς μὴ καλῶς λέγειν. Ὅτι δὲ ὁ δ'. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται ἔχειν ἐπ' ἀδείας τὸν καταδικασθέντα δὶς ἐκκαλεῖσθαι, καὶ τὴν τελευταίαν κρίσιν γίνεσθαι παρὰ τοῦ πάπα Ῥώμης, οὐ παραχωρεῖ τούτοις τοιαῦτα προτιθέναι, τὰ μὲν ἄλλα παρίημι· λέγω δὲ, ὅτι, ἐπεὶ τὸ μὲν τοῦ ἁγίου Κωνσταντίνου θέσπισμα, τὸ πρὸς τὸν ἅγιον Σίλβεστρον γεγονὸς, τὸ καταστρωθὲν παρ' ἡμῶν εἰς τὴν ἑρμηνείαν τοῦ ά. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, διορίζεται ἔχειν τὸν πάπαν πάντα τὰ βασιλικὰ δίκαια· ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος καὶ ἡ δ'. δεδώκασι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως τὰ προνόμια τοῦ πάπα, καὶ ὥρισαν κατ' ἐκεῖνον ἐπὶ πᾶσι τιμᾶσθαι·

(1) Χ. Τρ. — ἀλογόπρακτον 'Ε. Βευερ. — (2) Χ. Τρ. — τῆς ἱερατικῆς Βευερ. 'Ε. ἀλλ' ἡ λατινικὴ μετάφρασις συμφωνεῖ τῇ γραφῇ τοῦ Χ. Τρ.

ἐξ ἀνάγκης ἐκκλήτῳ οὐχ ὑποπέσει ἡ τούτου ἀπόφασις, ὥσπερ οὐδὲ ἡ βασιλικὴ ἀπόφασις ἀνακρίνεται· διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ τὰ συνοδικὰ σημειώματα κατὰ τὰ προνόμια τῶν βασιλικῶν σημειωμάτων ἀπολύονται. Τούτου δὲ οὕτως ἔχοντος, πάντως ἀπρακτοῦσι καὶ τὰ λοιπὰ δικαιολογήματα. Κἂν γὰρ ἱερατικούς τινας δικάσῃ ὁ πατριάρχης, κἂν λαϊκούς, κἂν λαϊκὸν μετὰ ἱερωμένου, κἂν διὰ βασιλικῆς προστάξεως, κἂν οἰκείῳ δικαίῳ, κἂν μετὰ συνδικαστοῦ, κἂν μόνος, πάσης ἀνακρίσεως ἔσται ἐπέκεινα· καὶ ὁ τολμήσας ἐκκαλέσασθαι εἰς βασιλέα χάριν τοῦ ἀνακαινισθῆναι (1) τὴν πατριαρχικὴν ἀπόφασιν, ὑπόδικος ἔσται τῷ παρόντι κανόνι. Εἰ γὰρ οὐκ ἐφεῖται βασιλέα ὀχλεῖν χάριν τοῦ ἀνακριθῆναι τὴν τοῦ δεῖνος μητροπολίτου ἀπόφασιν· πολλῷ πλέον οὐκ ἐκχωρηθήσεται πατριαρχικὴν διάγνωσιν παρὰ βασιλεῖ γίνεσθαι εἰσαγώγιμον.

ΑΡΙΣΤ. Ὁ καθῃρημένος, εἰ ἐνοχλοίη τῷ βασιλεῖ, αἰτείτω σύνοδον μείζονα, καὶ τὸ ἐκεῖθεν δόξαν στεργέτω· εἰ δὲ καὶ αὖθις ἀποδυσπετοίη, μὴ ἐχέτω ἀποκατάστασιν.

Τὸν καθαιρεθέντα ὑπὸ συνόδου, καὶ οἰόμενον ἀδικεῖσθαι, ὁ κανὼν οὐ κωλύει μείζονα σύνοδον ἐπικαλεῖσθαι, καὶ παρ' αὐτῇ γυμνάζειν ἃ νομίζει δίκαια ἔχειν, εἰς ἀνατροπὴν τῆς κατ' αὐτοῦ ἐξενεχθείσης ψήφου· ἀλλὰ μᾶλλον καὶ ἐπιτρέπει αὐτῷ ποιεῖν αὐτό. Τὸν δὲ μὴ θέλοντα προσελθεῖν συνόδῳ, καὶ παρ' αὐτῇ τὰ οἰκεῖα προθεῖναι δίκαια, ἀλλὰ τὰς βασιλικὰς ἀκοὰς παρενοχλεῖν πειρώμενον εἰς ἐκδίκησιν, συγγνώμης τινὸς οὐκ ἀξιοῖ, οὐδὲ χώραν ἀπολογίας αὐτῷ δίδωσι, καὶ ἐλπίδα προσδοκᾷν μελλούσης ἀποκαταστάσεως.

## Κανὼν ΙΓ'.

**Μηδένα ἐπίσκοπον τολμᾷν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν, καὶ χειροτονεῖν ἐν ἐκκλησίᾳ τινὰς (2) εἰς προαγωγὴν λειτουργίας, μηδὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους, εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων**

(1) Βευερ. Ἐ. — τοῦ ἀνακριθῆναι. Χ. Τρ. — (2) Π. Ἐ Κ. Σ. Ρ. — ἐν ἐκκλησίαις τινὰς Χ. Τρ. Βευερ. — τὸ, ἐν ἐκκλησίᾳ, οὐ κεῖται παρὰ Βρ.

τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων, ὧν εἰς τὴν χώραν παρέρχοιτο (1). Εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταστάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων, μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα τυγχάνειν, καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ, καὶ τῆς παραλόγου ἐπιχειρήσεως τὴν προσήκουσαν δίκην, καθῃρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας συνόδου.

---

ΖΩΝΑΡ. Σκανδάλων καὶ ταραχῶν αἴτιον τὸ ἀπιέναι ἐπίσκοπον εἰς ἐπαρχίαν ἑτέραν, καὶ χειροτονίας ποιεῖν ἄνευ γνώμης τοῦ ἐπισκόπου τῆς ἐπαρχίας ἐκείνης. Διὸ καὶ κωλύει τοῦτο ὁ κανὼν, καὶ τὸν τοῦτο ποιήσαντα καθαιρέσει καταδικάζει. Ταῦτα δὲ κεκανόνισται καὶ τοῖς ἁγίοις Ἀποστόλοις ἐν λέ. κανόνι· τὰ αὐτὰ δὲ ὁρίζει καὶ ὁ κϐ'. κανὼν τῆς συνόδου ταύτης.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων ἱκανῶς διελάϐομεν ἐν τῷ λέ. ἀποστολικῷ κανόνι, καὶ ἐν ἑτέροις· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα. Ζήτει καὶ τῆς παρούσης συνόδου κανόνα κϐ'(2).

ΑΡΙΣΤ. Εἰ μηδενὸς ἀξιοῦντος, ἐπίσκοπος εἰς ἄλλην ἐπαρχίαν ἀπίοι, καὶ χειροτονοίη, καὶ διοικοίη πράγματα, αὐτά τε ἄκυρα μενέτω, κἀκεῖνος καθαιρείσθω.

Πολλοὺς κανόνας εὑρήσεις τοῦτο κωλύοντας, τὸ μεταϐαίνειν ἐπίσκοπον ἀπὸ τῆς ἰδίας ἐπαρχίας εἰς ἀλλοτρίαν, καὶ χειροτονεῖν ἐν αὐτῇ, ἢ ἕτερόν τι ἐπισκοπικὸν ἐνεργεῖν· εἰ μήπου προσκληθῇ τις, καὶ ἀξιωθῇ παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου τοιοῦτόν τι ποιῆσαι. Τὸν δὲ οἴκοθεν εἰς ἐπαρχίαν ἑτέραν παραγενόμενον, καὶ ἢ χειροθεσίας ποιούμενον, ἢ καταστάσεις ἐκκλησιαστικῶν πραγμάτων, μὴ προσηκόντων αὐτῷ, σὺν τῷ ἄκυρα μένειν τὰ ὑπ' αὐτοῦ πραττόμενα, καὶ καθαιρεῖσθαι προστάττουσιν.

---

(1) παρέρχεται Βευερ. — (2) τὰ ἀπὸ τοῦ, Ζήτει, οὐ κεῖται ἐν Χ. Τρ. οὐδὲ 'Ε.

## Κανὼν ΙΔ'.

Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κρίνοιτο, ἔπειτα συμβαίη περὶ αὐτοῦ διαφωνεῖν τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους, τῶν μὲν ἀθῶον τὸν κρινόμενον ἀποφαινόντων, τῶν δὲ, ἔνοχον· ὑπὲρ ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, τὸν τῆς μητροπόλεως ἐπίσκοπον ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας μετακαλεῖσθαι ἑτέρους τινὰς, τοὺς ἐπικρινοῦντας, καὶ τὴν ἀμφισβήτησιν διαλύσοντας (1), τοῦ βεβαιῶσαι σὺν τοῖς τῆς ἐπαρχίας τὸ παριστάμενον.

—

ΖΩΝΑΡ. Ὅτε μὲν ὑπὸ πάντων τῶν τῆς ἐπαρχίας ἐπισκόπων συμφώνως καταδικάζοιτο ὁ κρινόμενος, οὐκ ἔξεστιν αὐτῷ τὴν ψῆφον αἰτιᾶσθαι, κατὰ τὸν δ'. κανόνα τῆς παρούσης συνόδου. Ὅτε δὲ διαφωνοῦσιν οἱ ἐπίσκοποι, καὶ οἱ μὲν καταδικάζουσιν αὐτὸν, οἱ δὲ ἀντιλέγουσι, τότε χρὴ τὸν μητροπολίτην τῆς ἐπαρχίας ἐκείνης ἀπὸ τῆς πλησιαζούσης ἐπαρχίας μετακαλεῖσθαι ἐπισκόπους ἑτέρους, ὥστε παρ' ἐκείνων λυθῆναι τὴν διαφωνίαν τῶν ἐπισκόπων, προστεθέντων ἑνὶ μέρει τῶν ἐναντιουμένων ἀλλήλοις. Ἀναγνωστέον δὲ καὶ τῆς ἐν Σαρδικῇ συνόδου τὸν γ'. καὶ ε'. κανόνα.

ΒΑΛΣ. Τὸν ὑπὸ ἐπαρχεωτῶν ἐπισκόπων κρινόμενον ἐπίσκοπον, καὶ παρά τινων μὲν ἀθωούμενον, παρά τινων δὲ καταδικαζόμενον, μὴ ἄλλως κατακρίνεσθαι ἢ καὶ δικαιοῦσθαι (2) ὥρισεν ἡ σύνοδος, εἰ μὴ μετακαλέσηται ὁ τῆς συνόδου μητροπολίτης πλησιοχώρους ἐπισκόπους, ἐπικρῖναι ὀφείλοντας τὸ ζητούμενον, καὶ βεβαιῶσαι τὴν ψῆφον. Μὴ εἴπῃς γοῦν ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ τὸν ιβ'. κανόνα τὸν λέγοντα, τὴν ἀμφίβολον ψῆφον ἀνακρίνεσθαι παρὰ μείζονος συνόδου καὶ μὴ δοκιμάζεσθαι παρὰ τοῦ πρώτως κρίνοντος μετὰ πλησιοχώρων ἐπισκόπων· ἐκεῖ μὲν γὰρ ἔφθασε γενέσθαι ἡ ἀπόφασις, καὶ οὐκέτι δύναται δικάζειν ὁ ἅπαξ ἀποφηνάμενος, καὶ διὰ τοῦτο

(1) διαλύσαντας Κ. 'Ε. — (2) Χ. Τρ. — ὃ, καὶ, οὐ κεῖται παρὰ Βευηρ. καὶ 'Ε,

ἡ ψῆφος ἐκείνου, ὡς ἀμφίβολος, ἐκκλήτῳ ὑπόκειται. Ἐνταῦθα δὲ οὐ γέγονεν ἀπόφασις, καὶ ὑποτίθησιν ὁ κανὼν τῷ μητροπολίτῃ μετακαλεῖσθαι καὶ πλησιοχώρους ἐπισκόπους, ἐφ᾽ ᾧ τὴν διαφωνίαν λυθῆναι, καὶ οὕτω πᾶσαν περιαιρεθῆναι τοῦ καταδικαζομένου ὑποψίαν καὶ πρόφασιν· πλὴν καὶ τούτου γινομένου, ἐὰν ὁ καταδικασθεὶς νομίζῃ ἀδικεῖσθαι, καλῶς ἵνα ἐκκαλέσηται, κατὰ τὴν περίληψιν τοῦ ιϐ'. κανόνος, καὶ τοῦ δ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. Ἀνάγνωθι καὶ τῆς αὐτῆς γ'. καὶ ε'. κανόνα (1). Εἰ δὲ παρὰ τῷ πατριάρχῃ ἐδικάσατο, τὰ τοῦ παρόντος κανόνος καὶ τοῦ ἐφεξῆς ἕξουσι χώραν.

ΑΡΙΣΤ. Εἰ ἐπισκόπου κρινομένου, οἱ τῆς ἐπαρχίας ἐπίσκοποι διαφέροιντο, μετακλητέον ἀπὸ τῆς πέλας ἑτέρους, εἰς ἀναμφίβολον λύσιν τοῦ ἀμφισϐητήματος.

Ἕκαστος τῶν ἐπισκόπων κατηγορούμενος ἐπ᾽ ἐγκλήμασι, παρὰ τῇ ἰδίᾳ συνόδῳ ὀφείλει κρίνεσθαι. Εἰ δὲ οἱ τῆς ἐπαρχίας ἐπίσκοποι διαφωνοῦσιν, οἱ μὲν ἀθῶον τὸν κρινόμενον λέγοντες, οἱ δὲ ὑπεύθυνον, ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας δύναται ὁ μητροπολίτης ἑτέρους ἐπισκόπους μετακαλεῖσθαι, ἵνα τὴν ὑπαοῦσαν μέσον τῶν ἐπισκόπων ἀμφιϐολίαν λύσωσι.

## Κανὼν ΙΕ'.

**Εἴ τις ἐπίσκοπος, ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, πάντες τε σύμφωνοι (2) μίαν κατ᾽ αὐτοῦ ἐξενέγκοιεν ψῆφον, τοῦτον μηκέτι παρ᾽ ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεϐαίαν τὴν σύμφωνον τῶν ἐπὶ (3) τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν.**

---

ΖΩΝΑΡ. Τὰ ἐν τῷ δ'. κανόνι εἰρημένα, καὶ εἰς τὴν τοῦ παρόντος κανόνος ἐξήγησιν ἱκανὰ εἰσίν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀνῃρέθη ὑπὸ τοῦ δ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου· εἰ δὲ μὴ θέλεις τοῦτο εἰπεῖν, ἑρμήνευσον

---

(1) τά, ἀπὸ τοῦ, ἀνάγνωθι κεῖται μόνον παρὰ Βευερ. — (2) Π. Ε. Κ. Βρ. — σύμφωνον Βευερ. Χ. Τρ. — (3) Χ. Τρ. Βρ. Σ. Ῥ — τῶν τῆς ἐπαρχίας Π. Βευερ.

τὸν κανόνα καθὼς ἀνωτέρω εἴρηται· καὶ εἰπὲ τὴν καταδίκην γενέσθαι ἐνταῦθα παρὰ συνόδου μὴ ὑποπιπτούσης (1) ἐκκλήτῳ, ὡς τοῦ πάπα, ἢ τοῦ Κωνσταντινουπόλεως.

ΑΡΙΣΤ. Ἐπισκόπου δικαζομένου, εἰ πᾶς ἐπαρχιώτης ἐπίσκοπος συμφωνοίη, παλινδικία οὐ γίνεται.

Ὁ κανὼν οὗτος οὐ συγχωρεῖ τῷ ὑπὸ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας καθαιρεθέντι, παρ' ἑτέροις ἔκκλητον κρίνεσθαι· ἀλλὰ μένειν βεβαίαν τὴν κατ' αὐτοῦ ἀπόφασιν πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων συμφώνως ἐξενεχθεῖσαν βούλεται. Πλὴν, ὡς εἰρήκαμεν ἐν τῷ δ'. κανόνι τῆς παρούσης συνόδου, μᾶλλον ἡ γνώμη κρατεῖ τῶν ὁρισάντων ἐκκαλεῖσθαι τὸν οἰόμενον ἀδικεῖσθαι, καὶ τῆς βοηθείας τῆς ἐκκλήτου ἐπιτυγχάνειν, ὡς δικαιοτέρα καὶ φιλανθρωποτέρα.

## Κανὼν Ις'.

**Εἴ τις ἐπίσκοπος σχολάζων, ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, κἂν (2) εἰ πᾶς ὁ λαὸς, ὃν ὑφήρπασεν, ἕλοιτο αὐτόν. Τελείαν δὲ ἐκείνην εἶναι σύνοδον, ᾗ συμπάρεστι καὶ ὁ τῆς μητροπόλεως (3).**

---

ΖΩΝΑΡ. Σχολάζων ἐστὶν ἐπίσκοπος, ὁ μὴ ἔχων ἐκκλησίαν, ἢ ὑπὸ ἐθνῶν κρατουμένην, ἢ ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐν ᾗ ἐχειροτονήθη μὴ δεχθεὶς, οὐκ αὐτοῦ δόντος αἰτίαν, ἀλλ' ἀτακτήσαντος τοῦ λαοῦ· σχολάζουσα δ' ἐστὶν ἐκκλησία, ἡ μὴ ἔχουσα ἐπίσκοπον. Εἰ γοῦν σχολάζων ἐπίσκοπος, ἐπελθὼν ἐκκλησίᾳ σχολαζούσῃ, ἁρπάσει τὸν θρόνον αὐτῆς, κἂν ὁ τῆς πόλεως ἐκείνης λαὸς θελήσῃ αὐτὸν, ἀπόβλητος ἔσεται, εἰ μὴ σύνοδος τελεία τὴν σχολάζουσαν αὐτῷ ἐκκλησίαν ψηφίσηται· ἐκείνη δὲ τελεία λογίζεται σύνοδος, ᾗ καὶ ὁ μητροπολίτης τῆς ἐπαρχίας συμπάρεστιν· ὥστε τελείας συνόδου συμψηφισαμένης (4), δίδοσθαι τῷ σχολάζοντι τὴν σχολάζουσαν, δυνατόν.

(1) Χ. Τρ. — παραπιπτούσης Βευερ. Ἑ. — (2) Χ. Τρ. Σ. Ῥ. — καὶ, Π. Βευερ. Ἑ. Κ. Βρ. — (3) Χ. Τρ. Π. Βρ. Ἑ. Κ. — καὶ ὁ μητροπολίτης. Βευερ. — ὁ τῆς μητροπόλεως ἐπίσκοπος Σ. Ῥ. — (4) Χ. Τρ. — ψηφισαμένης Κ. Βευερ.

ΒΑΛΣ. Ἐπίσκοπός τις σχολάζων, ἤγουν μὴ ἔχων ἐκκλησίαν, ὡς ὑπὸ ἐθνῶν κρατουμένην, κατέσχεν αὐθεντικῶς σχολάζουσαν ἐκκλησίαν, μὴ ἔχουσαν δηλονότι ἐπίσκοπον, καὶ ἐπέβη τοῦ θρόνου αὐτῆς, καὶ ἐνήργει ἀρχιερατικὰ δίκαια. Αἰτιώμενος οὖν ὅπως τοῦτο τετόλμηκεν, ἐδικαιολογεῖτο, μὴ δι' ἄλλο τι κωλυθῆναι τὴν παρ' ἐνορίαν ἐνέργειαν, ἀλλ' ἢ διὰ τὸ μὴ ὑβρίζεσθαι ἢ καταφρονεῖσθαι τὸν τῆς ἐνορίας ταύτης πρόεδρον. Ἀρχιερέως δὲ μὴ ὄντος ἐν τῇ σχολαζούσῃ ἐκκλησίᾳ, ἐπεὶ καὶ αὐτὸς τὴν λαχοῦσαν τοῦτον οὐκ ἔχει, ὡς ὑπὸ τῶν ἐθνῶν κατεχομένην, οὔτε τὰ τῆς ῥηθείσης ὕβρεως χώραν ἔχει, οὐδὲ αὐτὸς προκριματισθήσεται ὡς (1) ἐπέκεινα ὧν ἔχει ἰδιούμενος τὰ ἀλλότρια. Φησὶ τοίνυν ὁ κανὼν, τὸν οὕτω ῥιψοκινδύνως ἁρπάζοντα τὸν μὴ δοθέντα αὐτῷ θρόνον ὑπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος, κἂν σχολάζων ἐστὶ, καὶ ἡ τοιαύτη ἐκκλησία σχολάζουσα, ἀπόβλητον γίνεσθαι. Ὡς δέ τινος εἰπόντος, ταῦτα χώραν ἔχειν, ἔνθα λῃστρικῶς ὁ σχολάζων ἐσφετερίσατο τὴν σχολάζουσαν, οὐ μὴν ὅτε ὁ ταύτης λαὸς καὶ ἄκοντα τὸν σχολάζοντα μετήγαγεν εἰς αὐτὴν, προστίθησιν ὁ κανὼν, μηδὲ ἀπὸ τούτου συγγινώσκεσθαι τὸν εἰς σχολάζουσαν ἐκκλησίαν (2) ἀρχιερατικόν τι πράξαντα δίχα συνοδικῆς ἐπιτροπῆς. Ἐπεὶ δὲ, ὡς ἔοικεν, ἀπὸ οἰκονομίας ἐπαρχεωτῶν ἐπισκόπων παρεχωρήθη τις σχολάζων ἱερουργεῖν εἰς σχολάζουσαν, καὶ τοῦ γεγονότος καταχρινομένου, διὰ τὸ μὴ συμψηφίσασθαι καὶ τὸν μητροπολίτην, ἔλεγόν τινες, σύνοδον εἶναι καὶ ὀνομάζεσθαι τὴν συνέλευσιν τῶν ἐπαρχιωτῶν, κἀντεῦθεν εἶναι βέβαιον τὸ παρὰ τούτων γινόμενον δίχα τοῦ μητροπολίτου, ὅτι καὶ αἱ ψῆφοι τῶν ἐπισκόπων ἀναντίῤῥητοί εἰσι γινόμεναι καὶ ταῦτα δίχα τοῦ μητροπολίτου· εἶπον οἱ Πατέρες, ἐπὶ ταύτῃ τῇ ὑποθέσει ἐκείνην εἶναι τελείαν σύνοδον, τὴν ἔχουσαν παρουσιάζοντα καὶ τὸν μητροπολίτην. Τὸ δὲ τῆς ψήφου ἰδικόν ἐστι, καὶ τὰ ἰδικὰ οὐχ ἕλκονται εἰς ὑπόδειγμα. Ὥστε σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐφεῖται μετὰ συνοδικῆς διαγνώσεως παραχωρεῖν τῷ σχολάζοντι ἐπισκόπῳ

(1) τὸ, ὡς, οὐ κεῖται παρὰ Ἑ. καὶ Βευερ. — (2) Χ. Τρ. — ἐνορίαν Ἑ. Βευερ.

ἱερουργεῖν εἰς σχολάζουσαν ἐκκλησίαν, καθῆσθαι δὲ καὶ εἰς αὐτὸν τὸν θρόνον αὐτῆς. Ἤκουσα γὰρ πολλάκις, ὅτι χρεία ἐστὶ πρὸς τοῦτο καὶ βασιλικῆς προστάξεως. Ἐρωτήσει δέ τις, πῶς ὀφείλει νοηθῆναι τὸ, εἶναι ἀπόβλητον τὸν οὕτως ἁρπάσαντα ἐκκλησίαν; Καί τινες μὲν εἶπον, ἐκλαμβάνεσθαι τοῦτο εἰς ἀφορισμόν· ἐμοὶ δὲ δοκεῖ, εἰς καθαίρεσιν, κατὰ τοὺς κανόνας τοὺς λέγοντας καθαιρεῖσθαι τοὺς παρ᾽ ἐνορίαν χειροτονοῦντας. Εἰ γὰρ ὁ ἐφ᾽ ὕβρει τοῦ ἐγχωρίου ἑνὸς ἀρχιερέως ἐνεργήσας καὶ ἀρχιερατικόν τι καθαιρεῖται· πολλῷ πλέον κολασθήσεται ὁ ἐπὶ ὕβρει τελείας συνόδου τοιοῦτόν τι ποιήσας.

*Ἑτέρα ἑρμηνεία.*

Πολλάκις συνεζητήθη συνοδικῶς* (1), τίς ἐστιν ὁ σχολάζων καὶ ποία ἐστὶν ἡ σχολάζουσα· καὶ περὶ μὲν τῆς σχολαζούσης οὐδεμία γέγονεν ἀμφιβολία· πάντες γὰρ διέγνων σχολάζουσαν εἶναι ἐκκλησίαν* (2) τὴν χηρεύουσαν ἀρχιερέως. Περὶ δὲ τοῦ σχολάζοντος * ἀρχιερέως γέγονεν ἀμφιβολία πολλή· καὶ * (3) ἤρεσε πᾶσι, σχολάζοντα εἶναι τὸν μὴ δυνάμενον ἀπελθεῖν εἰς ἣν ἐπεκηρύχθη ἐκκλησίαν, διὰ τὸ ὑπὸ ἐθνῶν ἀθέων * (4) ἢ αἱρετικῶν ταύτην κατέχεσθαι, ἴσως δὲ καὶ κοινωθῆναι (5), καὶ μὴ παραχωρεῖσθαι τὸν ἀρχιερέα πόδα βαλεῖν ἐν αὐτῇ, οἷα ἐστὶ σήμερον ἡ τῶν Ἱεροσολύμων ἐκκλησία * (6), ἡ τῆς Ἀντιοχείας, ἡ Ταρσὸς, καὶ ἕτεραι. Τὰ μὲν γὰρ Ἱεροσόλυμα ἐμιάνθησαν παρὰ ἀθέων Ἀγαρηνῶν· * ὁ θρόνος τῆς * (7) Ἀντιοχείας κατέχεται παρὰ πατριάρχου Λατίνου, καὶ ἡ Ταρσὸς παρὰ Ἀρμενίων. Αἱ δὲ λοιπαὶ τῶν Ἱεροσολύμων, τῆς Ἀντιοχείας, καί* τινες ἀνατολικαὶ ἐκκλησίαι* (8) τῆς Κωνσταντινουπόλεως οὐ λογίζονται σχολάζουσαι, ἐπεὶ ὁ Σουλτάνος καὶ οἱ Λατῖνοι, καὶ λοιποὶ Ἀγαρηνοὶ παραχωροῦσι(9) τοῖς ἀρχιερεῦσιν ἀρχιερατικῶς οἰκονομεῖν τὰς οἰκείας ἐκκλησίας, καὶ τῶν ἐκεῖσε ὄντων Χριστιανῶν προ-

(1) Χ. Τρ. — τὸ συνοδικῶς οὐ κεῖται παρὰ Βευερ. παρὰ δὲ Ἑ. κεῖται λατινιστὶ μόνον ἐν παραρτ. 1125 — (2) Χ. Τρ. — τὸ, ἐκκλησίαν οὐ κεῖται παρὰ Βευερ. — (3) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. ἀλλ᾽ ἐν Χ. Τρ. μόνον. — (4) Χ. Τρ. — τὸ, ἀθέων, οὐ κεῖται παρὰ Βευερ. —(5) Χ. Τρ. — ἄνευ τοῦ, καὶ, Βευερ. — (6) Χ. Τρ. — τὸ, ἐκκλησία, οὐ κεῖται παρὰ Βευερ. — (7) Χ. Τρ. — ἡ Ἀντιόχεια Βευερ. — (8) Χ. Τρ. — τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. — (9) ἡ φράσις, ἐλλιπὴς οὖσα παρὰ Βευερ., ἐτέθη κατὰ τὴν γραφὴν τοῦ Χ. Τρ.

νοεῖσθαι· ὅθεν καὶ μετακαλούμενοι οἱ τῶν τοιούτων ἐκκλησιῶν ἀρχιερεῖς ὀφείλουσιν ἀπέρχεσθαι. Τὸ δὲ δίδοσθαί τισιν ἀρχιερεῦσι μὴ σχολάζουσιν, ἀλλὰ πενομένοις, ἐκκλησίας χηρευούσας, οἰκονομίας λόγος ἐστι· καὶ ὁ κανὼν ὁ λέγων, τὴν σχολάζουσαν τῷ σχολάζοντι δίδοσθαι, χώραν οὐκ ἔχει. Διὸ καὶ οἱ συνοδικῶς ἐκχωροῦντες καθῆσθαι εἰς τὸ σύνθρονον (1) τῆς κατὰ λόγον οἰκονομίας διδομένης τινὶ ἐκκλησίας, ἀκανόνιστόν τι πραγματοποιοῦσι καὶ ἀσύγγνωστον· τοῖς γὰρ σχολάζουσιν ὀφείλει δίδοσθαι θρόνος, οὐ μὴν τοῖς ἔχουσι θρόνον ἀρχιερατικόν. Διὰ γὰρ τοῦτο καὶ ὁ μὲν λαμβάνων σχολάζουσαν ἐκκλησίαν ἀρχιερεὺς (2) οὐκέτι καλεῖται ἐπίσκοπος τῆς εἰς ἣν ἐπεκηρύχθη ἐκκλησίας πρῶτον, ἀλλὰ τῆς δοθείσης αὐτῷ ὡς σχολαζούσης. Ὡς ὁ μέγας Θεολόγος Γρηγόριος οὐκέτι ἐκλήθη Ναζιανζοῦ, ἀλλὰ Κωνσταντινουπόλεως· οὐδὲ ὁ χειροτονηθεὶς προσεχῶς εἰς Ἀμάσειαν, καὶ μετατεθεὶς εἰς Κερασοῦντα, διὰ τὸ ἀποκαταστῆναι τὸν προκαθαιρεθέντα Ἀμασείας, οὐκέτι ἐκλήθη Ἀμασείας, ἀλλὰ Κερασοῦντος. Ὁ δὲ Κλαυδιουπόλεως λαβὼν τὴν ἰδίαν ἐπισκοπὴν, τὴν Ποντικὴν Ἡράκλειαν, ὡς σχολάζουσαν, καὶ ἐκχωρηθεὶς καθῆσθαι καὶ εἰς τὸ σύνθρονον αὐτῆς, ὅπως καλεῖται Κλαυδιουπόλεως, ἀπορῶ.

ΑΡΙΣΤ. Ὁ δίχα συνόδου τελείας, καὶ αὐτοῦ τοῦ μητροπολίτου, ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἐπιπηδῶν, κἂν ᾖ σχολάζων, ἀπόβλητος.

Τὸν μὲν σχολάζοντα ἐπίσκοπον εἰς σχολάζουσαν ἐκκλησίαν καθίστασθαι παρὰ συνόδου τελείας, παρόντος καὶ τοῦ τῆς μητροπόλεως ἐπισκόπου, ὁ παρὼν κανὼν παραδέχεται. Μὴ μέντοι γε ἀφ' ἑαυτοῦ, κἂν ὑπὸ παντὸς τοῦ λαοῦ βιάζηται τὸν θρόνον ὑφαρπάζειν, εἰ μὴ βούλεται γενέσθαι ἀπόβλητος. Τὸν δὲ μὴ σχολάζοντα, οὐδ' ὅλως ὁ εἰκοστὸς πρῶτος κανὼν τῆς παρούσης συνόδου, καὶ ἕτεροι διάφοροι, καθὼς ἐν τῷ ιδ'. ἀποστολικῷ κανόνι ἐγράφη, μεταπεσεῖν εἰς ἑτέραν ἐκκλησίαν ἀνέχονται· ἀλλὰ μένειν εἰς ἣν ἐτάχθη ἀπ' ἀρχῆς ὑπὸ Θεοῦ ἐκκλησίαν.

(1) Βευερ. = θρόνον Χ. Τρ. — (2) Βευερ. — τὸ, ἀρχιερεὺς οὐ κεῖται ἐν Χ. Τρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΙΖ'.

Εἴ τις ἐπίσκοπος χειροθεσίαν ἐπισκόπου λαβὼν, καὶ ὁρισθεὶς προεστάναι λαοῦ, μὴ καταδέξοιτο τὴν λειτουργίαν, μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον, ἕς τ' ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ ὁρίσοι τι περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν ἐπισκόπων.

---

ΖΩΝΑΡ. Ὁ εἰς προστασίαν λαοῦ καλούμενος, καὶ μὴ πειθόμενος καταδέξασθαι τὴν λειτουργίαν, τουτέστι τὴν διακονίαν, ἀκοινώνητος ἔσται, ἤγουν ἀφωρισμένος, ἕως ἂν καταδέξηται. Εἰ δὲ διόλου ἀπειθεῖ, διόλου ἔσται ἀκοινώνητος, εἰ μήπου τι ὁρίσει περὶ αὐτοῦ τελεία σύνοδος. Ἴσως γὰρ εἴποι ἄν τινας εὐλόγους αἰτίας δι' ἃς παραιτεῖται τὴν προστασίαν, καὶ δεχθήσεται παρὰ τῆς συνόδου, καὶ τοῦ ἐπιτιμίου λυθήσεται.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν λϛ'. ἀποστολικὸν κανόνα, καὶ μάθῃς τὰ δεδογμένα περὶ τῶν ἀρχιερέων τῶν μὴ ἀπερχομένων εἰς ἃς ἐχειροτονήθησαν ἐκκλησίας. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται τὰ αὐτὰ, προστιθέμενος εἶναι ἀφωρισμένον τὸν μὴ ἀπερχόμενον εἰς τὴν λαχοῦσαν αὐτὸν, μέχρις ἂν ὁρίσῃ τι περὶ αὐτοῦ ἡ ψηφισαμένη τοῦτον σύνοδος· τυχὸν γὰρ παραδέξεται αὐτὸν προβαλλόμενον εὔλογον αἰτίαν. Ἐπεὶ δὲ ἐκεῖσε εἴπομεν μὴ ἐκλαμβάνεσθαι, καθὼς τινες λέγουσι, τὴν χειροθεσίαν εἰς ψῆφον, διὰ τὸ μεμνῆσθαι τάχα τὸν κανόνα καταδοχῆς, ὀφείλεις καὶ τὸν παρόντα κανόνα οὕτω νοεῖν.

ΑΡΙΣΤ. Ἀκοινώνητος, ὁ δεξάμενος χειροτονίαν, καὶ ταύτης ἀποσκιρτῶν, ἕως ἂν μεταγνοὺς καταδέξοιτο.

Ὁ μὴ πειθόμενος ἀπελθεῖν εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, καὶ τοῦ λαοῦ προεστάναι, ἀφωρισμένος ἔσται, ἕως ἂν μεταγνοὺς, τὴν προστασίαν τῶν ἐμπιστευθεισῶν τούτῳ ψυχῶν καταδέξηται.

## Κανὼν ΙΗ΄.

Εἴ τις ἐπίσκοπος (1) χειροτονηθεὶς εἰς παροικίαν, μὴ ἀπέλθῃ εἰς ἣν ἐχειροτονήθη, οὐ παρὰ (2) τὴν ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ γενομένην, τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μόνον μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο· ἐκδέχεσθαι δὲ τοῦτον, ὃ ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος κρίνασα τὸ παριστάμενον ὁρίσῃ.

---

ΖΩΝΑΡ. Ὁ χειροτονηθεὶς εἰς ἐκκλησίαν πόλεως, καὶ μὴ δυνηθεὶς εἰς αὐτὴν ἀπελθεῖν, ἴσως ὑπὸ ἔθνους κυριευομένην, ἢ χώρας δι' ἧς ὁδεῦσαι αὐτὸν ἀνάγκη ὑπὸ βαρβάρων κατεχομένης, ἢ τοῦ λαοῦ τῆς πόλεως δι' ἀταξίαν οἰκείαν μὴ δεχομένου αὐτὸν, τὴν μὲν τιμὴν τὴν προσήκουσαν ἐπισκόπῳ ἕξει καὶ τὴν λειτουργίαν· οὐ γὰρ αἴτιος αὐτός ἐστι τοῦ μὴ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν· παρενοχλεῖν δὲ τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο, οὐ παραχωρεῖται. Εἰς γάρ τινα πόλιν ἴσως ἔσται αὐτῷ ἡ κατοικία, καὶ παρὰ τῇ τῆς πόλεως ἐκείνης ἐκκλησίᾳ συνάγοιτο ἄν. Ἐνοχλεῖν οὖν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης οὐκ ἐξέσται αὐτῷ· οὔτε γὰρ διδάσκειν δύναται ἐκεῖ, οὔτε χειροτονεῖν, οὔτε ἱερουργεῖν, εἰ μὴ ἐπιτραπείη, οὔτε τι τῶν προσόδων σφετερίζεσθαι τῆς ἐκκλησίας ἐκείνης. Ἀναρτῆσαι δὲ τὸ πᾶν ὀφείλει εἰς τὴν κρίσιν καὶ οἰκονομίαν τῆς τελείας συνόδου, ὥστε παρ' ἐκείνης αὐτῷ γενέσθαι πρόνοιαν.

ΒΑΛΣ. Ἐν μὲν τῷ ιζ΄. κανόνι κολάζουσιν οἱ Πατέρες τὸν χειροτονηθέντα καὶ μὴ πειθόμενον ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτόν· ἐν δὲ τῷ παρόντι, συγγνώμης ἀξιοῦσι τὸν χειροτονηθέντα, καὶ θέλοντα μὲν ἀπελθεῖν εἰς ἣν ἐχειροτονήθη παροικίαν, μὴ παραχωρούμενον δὲ, ἢ διὰ τὴν τοῦ ἐν ἐκείνῃ λαοῦ

---

(1) Π. Βρ.—παρὰ δὲ Βευερ. Χ. Τρ. Ἑ. Κ. τὸ, ἐπίσκοπος, ἀναγινώσκεται μετὰ τὸ, ἐχειροτονήθη. — (2) οὐ διὰ, Βευερ.

ἀναισχυντίαν, ἢ δι' ἐπιδρομὴν ἐθνῶν· διὸ καὶ ἐπιτρέπουσι, παρ' ᾗ ἂν εὑρίσκηται ἐνορίᾳ, τιμῆς ἀξιοῦσθαι, ἤγουν καθέδρας, καὶ κλήσεως, καὶ ἐνεργείας ἀρχιερατικῆς, μετ' εἰδήσεως καὶ ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου· πλὴν μέντοι μὴ ἔχειν ὅλως μετουσίαν ἐν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης ἔνθα κατοικεῖ, ἤγουν μὴ διδάσκειν, μὴ χειροτονεῖν, μὴ ἕτερόν τι ἐνεργεῖν ἀρχιερατικὸν χωρὶς ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου, ἀλλ' ἡσυχάζειν μέχρις ἂν τὸ ποιητέον μάθῃ ἀπὸ οἰκονομίας καὶ κρίσεως τελείας συνόδου.

ΑΡΙΣΤ. Μετεχέτω τῆς τιμῆς ἐπίσκοπος ὁ χειροτονηθεὶς, καὶ μηδαμῶς δεχόμενος παρὰ τῆς πόλεως· καὶ λειτουργείτω μόνον, ἀναμένων ὅ,τι ἂν ἡ τῆς ἐπαρχίας ἀποφαίνοιτο σύνοδος.

Ὁ μὴ παρ' αἰτίαν ἰδίαν παρὰ τῆς πόλεως προσδεχθεὶς ἐν ᾗ ἐχειροτονήθη, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, καὶ τῆς τιμῆς μετέχει, καὶ λειτουργεῖν οὐ κεκώλυται. Ὀφείλει δὲ προσκαρτερεῖν, καὶ μή τινι στρατιωτικῇ βοηθείᾳ χρήσασθαι, ἢ δυναστείᾳ ἑτέρᾳ, μέχρις ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος τὸ δοκοῦν αὐτῇ περὶ τούτου ὁρίσῃ.

## Κανὼν ΙΘ΄.

Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας· τούτου δὲ παρόντος ἐξάπαντος, βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργοὺς, οὓς (1) καὶ προσήκει δι' ἐπιστολῆς τὸν ἐν τῇ μητροπόλει συγκαλεῖν. Καὶ εἰ μὲν ἀπαντοῖεν οἱ πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς τοῦτο εἴη, τούς γε πλείους ἐξάπαντος παρεῖναι δεῖ, ἢ διὰ γραμμάτων ὁμοψήφους (2) γενέσθαι, καὶ οὕτω μετὰ τῆς τῶν πλειόνων ἤτοι (3) παρουσίας, ἢ ψήφου, γίνεσθαι τὴν κατάστασιν· εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα γίγνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν. Εἰ δὲ κατὰ τὸν ὡρισμένον

(1) Σ. Ῥ. — τὸ, οὓς, εἰ καὶ λίαν ἀναγκαῖον, οὐ κεῖται παρὰ τοῖς λοιποῖς. — (2) Σ. Τρ. Βρ. Ἑ. Κ. Βευερ. ὁμοψύχους — (3) τὸ, ἤτοι, οὐ κεῖται παρὰ Βευερ.

κανόνα γίγνοιτο ἡ κατάστασις, ἀντιλέγοιεν δέ τινες δι' οἰκείαν φιλονειχίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον.

---

ΖΩΝΑΡ. Πρῶτον μὲν σημειωτέον, ὅτι χειροτονίαν ὁ κανὼν ἐνταῦθα τὴν ψῆφον λέγει, οὐχὶ τὴν τελεσιουργίαν τοῦ ἐπισκόπου, καὶ τὴν χειροθεσίαν· ὁ γὰρ πρῶτος τῶν ἁγίων Ἀποστόλων κανὼν, ὑπὸ δύο ἢ τριῶν ἐπισκόπων χειροτονεῖσθαι κελεύει ἐπίσκοπον, ἱερέα δὲ, καὶ διάκονον, ὑφ' ἑνός· οὗτος δὲ πάντας θέλει παρεῖναι τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, ἢ τέως τοὺς πλείονας, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι· ὡς ἐντεῦθεν σαφέστατα δείκνυσθαι, ὅτι καὶ τὴν ψῆφον χειροτονίαν ὠνόμασεν· εἴρηται δὲ περὶ τούτου πλατύτερον ἐν τῇ ἐξηγήσει τοῦ ά. ἀποστολικοῦ κανόνος, καὶ τοῦ δ'. τῆς ά. συνόδου. Ὅτε οὖν χειροτονία, ἤτοι ψήφισμα μέλλει γενέσθαι ἐπισκόπου, παρεῖναι δεῖν φησιν ὁ κανὼν ἐξάπαντος τὸν μητροπολίτην τῆς ἐπαρχίας, εἶτα καὶ τοὺς πλείονας τῶν ἐπισκόπων δι' ἐπιστολῆς τοῦ μητροπολίτου συγκαλουμένους ἐν τῇ μητροπόλει, τοὺς δὲ μὴ συνιόντας διά τινα αἰτίαν ἀναγκαίαν, διὰ γραμμάτων ὁμοψήφους γίνεσθαι, καὶ οὕτω γίνεσθαι τὴν κατάστασιν, ἤτοι τὴν ψῆφον τὴν καθιστῶσαν τόνδε εἰς τήνδε τὴν πόλιν ἐπίσκοπον· εἰ δὲ μὴ οὕτω γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. Τῆς δὲ ψήφου κατὰ τὴν παρατήρησιν ταύτην γενομένης κανονικῶς, εἴ τινες ἴσως ἐπίσκοποι ἀντιλέγοιεν φιλονείκως, μὴ ἐμποδίζειν τῇ ψήφῳ, ἀλλὰ κρατεῖν τὴν τῶν πλειόνων γνώμην. Τοῦτο δὲ καὶ ὁ ἕκτος κανὼν τῆς ἐν Νικαίᾳ συνόδου οὕτω διατάττεται.

ΒΑΛΣ. Πῶς δεῖ ψηφίζεσθαι τοὺς ἀρχιερεῖς, ἐμάθομεν ἀπὸ τοῦ δ'. κανόνος της πρώτης συνόδου. Καὶ ὁ παρὼν δὲ κανὼν τὰ αὐτὰ παρακελεύεται· προστίθησι δὲ, τὴν γενομένην ψῆφον παρὰ τὰ ἐνταῦθα διωρισμένα ἀνίσχυρον εἶναι· καὶ ὅτι, τῶν ψηφιζομένων μεριζομένων εἰς διαφόρους γνώμας, ἡ τῶν πλειόνων ψῆφος νικᾷ. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ γίνεσθαι ψῆφον χωρὶς παρουσίας τοῦ μητροπολίτου, μὴ εἴπῃς ὀφείλειν καὶ αὐτὸν παρουσιάζειν εἰς τὴν ψῆφον· τοῦτο γὰρ κεκώλυται, καθὼς ἐν ἑτέροις κανόσι διελήφθη· ἀλλὰ παρου-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σίαν εἰπὲ ἐνταῦθα τὴν τούτου προτροπὴν, ἧς χωρὶς ψῆφον γενέσθαι ἀδύνατον.

ΑΡΙΣΤ. Εἰ μὴ σύνοδος εἴη, καὶ ὁ μητροπολίτης, μὴ γινέσθω ἐπίσκοπος. Εἰ δὲ διά τι δυσχερὲς μὴ συνάγοιντο ἅπαντες, τέως οἱ πλείους, ἢ γράμμασιν ἔσοιντο σύμψηφοι. Εἰ δ' οὕτω τοῦ πράγματος τελουμένου, φιλονεικοῖέν τινες, ἡ τῶν πλειόνων ψῆφος ἰσχυέτω.

Εἴρηται πολλάκις τὸ μήτε τὸν μητροπολίτην, μήτε τοὺς ἐπισκόπους, ἄνευ τῆς τῶν ἄλλων γνώμης ψηφίζεσθαι ἐπίσκοπον. Εἰ δὲ πάντες οἱ τῆς ἐπαρχίας ἐπίσκοποι συνελθεῖν τῇ ψήφῳ οὐ δύνανται διά τινα δυσχέρειαν, τέως οἱ πλείους συνερχέσθωσαν, ἢ διὰ γραμμάτων γινέσθωσαν τοῖς παροῦσιν ὁμόψηφοι· καὶ οὕτω τῆς ψήφου τελουμένης, ἐάν τινες, ὡς ἐριστικοὶ, ἀντιλέγοιεν, ἡ τῶν πλειόνων κρατείτω ψῆφος.

## Κανὼν Κ΄.

Διὰ τὰς ἐκκλησιαστικὰς χρείας, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, καλῶς ἔχειν ἔδοξε συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῶν ἐπισκόπων γίνεσθαι δεύτερον τοῦ ἔτους· ἅπαξ μὲν μετὰ τὴν τρίτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ Πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν σύνοδον, ὑπομιμνήσκοντος τοὺς ἐπαρχιώτας τοῦ ἐν τῇ μητροπόλει· τὴν δὲ δευτέραν σύνοδον γίνεσθαι εἰδοῖς (1) ὀκτωβρίαις, ἥτις ἐστὶ δεκάτη (2) Ὑπερβερεταίου· ὥστε ἐν αὐταῖς ταύταις ταῖς συνόδοις προσιέναι πρεσβυτέρους, καὶ διακόνους, καὶ πάντας τοὺς ἠδικεῖσθαι νομίζοντας, καὶ παρὰ τῆς συνόδου ἐπικρίσεως τυγχάνειν. Μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοὺς συνόδους ποιεῖσθαι, ἄνευ τῶν πεπιστευμένων τὰς μητροπόλεις.

---

ΖΩΝΑΡ. Καὶ τοῖς ἁγίοις Ἀποστόλοις δὶς τοῦ ἔτους συνόδους ἐφ' ἑκάστῃ τῶν ἐπαρχιῶν γίνεσθαι ἔδοξε, καὶ τῇ ἐν Νι-

---

(1) Ἴδοις Βρ. — (2) πεντεκαιδεκάτη, Ἰουστ.

καίᾳ πρώτῃ συνόδῳ ἐν πέμπτῳ κανόνι τὰ αὐτὰ κεκανόνισται, καὶ τῇ παρούσῃ ὁμοίως ὥρισται περὶ τῶν συνόδων. Ὁ δὲ ὄγδοος κανὼν τῆς ς'. συνόδου διετάξατο, μίαν ἐτησίαν (1) γίνεσθαι σύνοδον. Λέγει δὲ ὁ παρὼν κανὼν τὰς συνόδους ὀφείλειν γίνεσθαι διὰ τὰς ἐκκλησιαστικὰς χρείας, ἤγουν τὰς περί τινων καταστάσεων ἐκκλησιαστικῶν ζητήσεις, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, ἤτοι τὰς αἰτιάσεις τὰς παρά τινων ἴσως κατ' ἐπισκόπων φερομένας, ὡς ἀδίκως αὐτοὺς ἀφορισάντων, ἢ καθελόντων, καὶ ἄλλας τινὰς τοιαύτας ἀμφιβολίας. Τέτακται δὲ καὶ ὁ καιρὸς ἑκάστης συνόδου, τῆς μὲν πρώτης, ἡ τετάρτη ἑβδομὰς τῆς Πεντηκοστῆς· τῆς δὲ δευτέρας, αἱ τοῦ Ὀκτωβρίου εἰδοί. Τὰς γὰρ ἑκάστου μηνὸς ἡμέρας οἱ παλαιοὶ εἰς τρεῖς κατεμέριζον τάξεις· καὶ τὰς μὲν πρώτας ἐκάλουν καλάνδας, ταῖς δὲ μετ' ἐκείνας, εἰδοῖς ἦν ἡ κλῆσις, αἱ δὲ τελευταῖαι ὠνομάζοντο (2) νόνναι. Οὐ παραχωρεῖ δὲ ὁ κανὼν μόνους τοὺς ἐπισκόπους συνιστᾶν σύνοδον, μὴ παρόντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας· * προείρηται γὰρ τελείαν σύνοδον ἐκείνην εἶναι, ἐν ᾗ καὶ ὁ τῆς μητροπόλεως ἐπίσκοπος σύνεστι τοῖς λοιποῖς * (3).

ΒΑΛΣ. Περὶ τῶν ὀφειλουσῶν ἐτησίως γίνεσθαι συνόδων ἱκανῶς διελήφθη ἐν τῷ λζ'. ἀποστολικῷ κανόνι, καὶ ἐν τῷ ὀγδόῳ κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἀνάγνωθι τὰ ἐν αὐτοῖς γραφέντα. Ὁ δὲ παρὼν κανὼν προστίθησι, μὴ γίνεσθαι τὰς συνόδους χωρὶς παρουσίας τοῦ μητροπολίτου.

ΑΡΙΣΤ. Διὰ τὰς ἐκκλησιαστικὰς χρείας δὶς τοῦ ἔτους γινέσθω σύνοδος καθ' ἑκάστην ἐπαρχίαν, τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς, καὶ τῇ δεκάτῃ ἡμέρᾳ Ὑπερβερεταίου.

Ἐγράφη καὶ ἐν τῷ λζ'. ἀποστολικῷ κανόνι, ὡς συνεστάλη τὸ δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν σύνοδον γίνεσθαι· καὶ ὡρίσθη παρά τε τοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τοῦ ἕκτου κανόνος τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας

(1) ἅπαξ τοῦ ἐνιαυτοῦ Χ. Τρ. — (2) Χ. Τρ. — τὸ, ὠνομάζοντο, οὐ κεῖται παρὰ Κ. Ἑ. Βευερ. — (3) τὰ μεταξὺ* ἀναγινώσκεται μόνον ἐν Χ. Τρ.

γίνεσθαι τὴν συνάθροισιν, μεταξὺ τοῦ Πάσχα καὶ τοῦ Ὀκτωβρίου μηνὸς, καὶ τὰς κανονικὰς ζητήσεις λύεσθαι παρ' αὐτῶν.

## Κανὼν ΚΑ'.

Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίστασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον, μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον· μένειν δὲ εἰς ἣν ἐκληρώθη ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς (1) ἐκκλησίαν, καὶ μὴ μεθίστασθαι αὐτῆς, κατὰ τὸν ἤδη πρότερον περὶ τούτου (2) ἐξενεχθέντα ὅρον.

---

ΖΩΝΑΡ. Καὶ περὶ τούτου τοῦ κεφαλαίου διάφοροι κανόνες ἐξεφωνήθησαν· ὅ τε γὰρ ἀποστολικὸς ιδ'. κανὼν περὶ τούτου θεσμοθετεῖ, καὶ ὁ ιέ. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. Οὗτος δὲ ὁ κανὼν καὶ πλέον τι προστίθησι· τοῦτο δ' ἐστὶ, τὸ, κἂν ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐκείνης ἐκβιάζηται, ἀντὶ τοῦ, σφοδρότατα βιάζηται· αἱ γὰρ προθέσεις ἐπίτασιν δηλοῦσι· κἂν ὑπὸ ἐπισκόπου ἀναγκάζηται μὴ πείθεσθαι καταλιπεῖν τὴν, ἐν ᾗ ἐκληρώθη, πόλιν, καὶ ἀπελθεῖν εἰς ἑτέραν.

ΒΑΛΣ. Ζήτει ἀποστολικὸν κανόνα ιδ'. καὶ ά. συνόδου ιέ.

ΑΡΙΣΤ. Ἐπίσκοπος καὶ ὑπὸ λαῶν βιαζόμενος, καὶ ὑπὸ ἐπισκόπων ἀναγκαζόμενος, μὴ μεθιστάσθω εἰς παροικίαν ἑτέραν.

Ἀπηγόρευται καθόλου τῶν ἐπισκόπων ἡ μετάθεσις, κἂν ὑπὸ τοῦ λαοῦ, κἂν ὑπὸ ἐπισκόπου μεταπεσεῖν εἰς ἑτέραν παροικίαν βιάζωνται.

## Κανὼν ΚΒ'.

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ αὐτῷ μὴ διαφερούσῃ, ἐπὶ χειροτονίᾳ τινὸς, μηδὲ καθιστᾷν πρεσβυτέρους ἢ διακόνους (3) εἰς τόπους ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους, εἰ μὴ

---

(1) ἐκλήθη ἐξ ἀρχῆς Βευερ. — (2) τὸ, περὶ τούτου, οὐ κεῖται παρὰ Βρ. Κ. — (3) Π, Βρ. Ἑ, Κ, Σ, Ῥ. — πρεσβύτερον ἢ διάκονον, Βευερ, Χ, Τρ.

ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου. Εἰ δὲ τολμήσειέ τις τοιοῦτον, ἄκυρον εἶναι τὴν χειροθεσίαν (1), καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς συνόδου τυγχάνειν.

---

ΖΩΝΑΡ. Καὶ τοῦτο διαφόροις κανόσι κεκώλυται, τὸ μήτε εἰς πόλιν, μήτε εἰς χώραν ἄλλῳ ὑποκειμένην ἐπισκόπῳ, ἕτερον ἀπιέναι ἐπίσκοπον καὶ χειροτονεῖν, εἰ μὴ παραχωρηθείη παρὰ τοῦ ἐπισκόπου τῆς χώρας ἐκείνης. Εἰ δὲ ἄλλως ἀπέλθῃ καὶ χειροτονήσῃ, τὴν μὲν χειροθεσίαν ἄκυρον εἶναι, τὸν δὲ χειροτονήσαντα ἐπιτιμᾶσθαι. Ἀναγνωστέον καὶ τὸν δεύτερον κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου.

ΒΑΛΣ. Ἀνάγνωθι καὶ τὸν ιδ'. ἀποστολικὸν κανόνα, καὶ τὸν ιέ. τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ μάθῃς ἐξ ἐκείνων τε, καὶ ἀπὸ τῶν παρόντων δύο κανόνων, ἀλλὰ μὴν καὶ ἐξ ἑτέρων πολλῶν, ὅπως κολάζονται οἱ παρ' ἐνορίαν χειροτονοῦντές τε καὶ χειροτονούμενοι χωρὶς προτροπῆς τοῦ κατὰ χώραν ἐπισκόπου. Ἀνάγνωθι καὶ τὸν λέ. ἀποστολικὸν κανόνα, καὶ τῆς δευτέρας συνόδου τὸν β'.

ΑΡΙΣΤ. Ἐπὶ τὸ χειροτονεῖν τινας, ἐπίσκοπος ἐκ πόλεως εἰς πόλιν μὴ ἀπιέτω, ἀλλ' ἢ γνώμῃ τοῦ ἐπισκόπου τῆς πόλεως· εἰ δ' οὔ, ἀβέβαιος ἡ χειροτονία, κἀκεῖνος ὑπόδικος.

Τὰ αὐτὰ τῷ τρισκαιδεκάτῳ κανόνι καὶ ὁ κανὼν οὗτος λέγει, τὸ, ἕκαστον τῶν ἐπισκόπων τὰ τῆς ἰδίας ἐνεργεῖν παροικίας, καὶ εἰς ἑτέραν μὴ ἀπιέναι, καὶ χειροτονίας ποιεῖσθαι, ἢ ἕτερόν τι ἐπισκοπικὸν πράττειν, ἄνευ γνώμης τοῦ ἐγχωρίου ἐπισκόπου· εἰ μὴ βούλεται καὶ καθαιρέσει γενέσθαι ὑπόδικος, καὶ τὰ παρ' αὐτοῦ πραχθέντα μεῖναι ἀβέβαια.

## Κανὼν ΚΓ'.

Ἐπίσκοπον (2) μὴ ἐξεῖναι ἀντ' αὐτοῦ καθιστᾷν ἕτερον ἑαυτοῦ διάδοχον, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχά-

---

(1) Π. Βρ. Σ. Ρ. — χειροτονίαν Χ. Τρ. Βευερ. — (2) Χ. Τρ. Π. Ε. Κ. Βρ. Σ. Ρ. — ἐπισκόπῳ Βευερ.

νῃ· εἰ δέ τι τοιοῦτον γίγνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν. Φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν περιέχοντα, μὴ δεῖν ἄλλως γίνεσθαί ἐπίσκοπον, ἢ μετὰ συνόδου καὶ ἐπικρίσεως ἐπισκόπων, τῶν μετὰ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου τὴν ἐξουσίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

---

ΖΩΝΑΡ. Καὶ ὁ ος'. κανὼν τῶν ἁγίων Ἀποστόλων μὴ ἐξεῖναι λέγει, τῷ ἐπισκόπῳ χειροτονεῖν, ὃν βούλεται· εἰ δὲ χειροτονήσει, ἄκυρόν τε τὴν χειροτονίαν εἶναι, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι. Ταῦτα οὖν καὶ ὁ παρὼν θεσπίζει κανών, καὶ μὴ δεῖν ἄλλως γίνεσθαι ἐπίσκοπον, εἰ μὴ, θανόντος τοῦ ἐπισκόπου, ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσηται, καὶ καταστήσῃ.

ΒΑΛΣ. Ὁ ος'. κανὼν τῶν ἁγίων Ἀποστόλων, λέγει, μὴ ἐξεῖναι τῷ ἐπισκόπῳ χειροτονεῖν ὃν βούλεται ἀντ' αὐτοῦ. Τὰ αὐτὰ οὖν καὶ ὁ παρὼν κανὼν θεσπίζει, προστιθέμενος, μὴ ἄλλως γίνεσθαι ἐπίσκοπον, εἰ μὴ θανόντος τοῦ ἐπισκόπου ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσεται.

ΑΡΙΣΤ. Μὴ καθιστάτω ἕτερον ἐπὶ τῇ ἐξόδῳ ἐπίσκοπον ὁ ἐπίσκοπος· ἐκείνου δὲ κοιμηθέντος, μετὰ συνόδου τῶν ἐχόντων ἐξουσίαν ἄξιος προβεβλήσθω.

Οὐκ ἔξεστι τῷ τελευτῶντι ἐπισκόπῳ ἐν τῷ τελευτᾷν, ἐπίσκοπον ἕτερον ἀντ' αὐτοῦ καθιστᾷν· ἀλλ' ἡ σύνοδος τῆς ἐπαρχίας μετὰ θάνατον αὐτοῦ, κατὰ γνώμην καὶ τοῦ ταύτης μητροπολίτου, τὸν ἄξιον προχειρίζεται.

## Κανὼν ΚΔ'.

Τὰ τῆς ἐκκλησίας τῇ ἐκκλησίᾳ καλῶς ἔχειν φυλάττεσθαι δεῖ μετὰ πάσης ἐπιμελείας, καὶ ἀγαθῆς συνειδήσεως, καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κριτὴν Θεόν. Ἃ καὶ διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ ἐπισκόπου, τοῦ πεπιστευμένου (1) πάντα τὸν λαὸν,

(1) ἐπισταμένου Ιουστ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ τὰς ψυχὰς τῶν συναγομένων. Φανερὰ δὲ εἶναι τὰ διαφέροντα τῇ ἐκκλησίᾳ, μετὰ γνώσεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, ὥστε τούτους εἰδέναι καὶ μὴ ἀγνοεῖν, τίνα ποτὲ τὰ ἴδιά ἐστι τῆς ἐκκλησίας (1), ὥστε μηδὲν αὐτοὺς λανθάνειν· ἵν' εἰ συμβαίη τὸν ἐπίσκοπον μεταλλάττειν (2) τὸν βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ ἐπισκόπου ἐνοχλεῖσθαι, προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων. Δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε Θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ ἐπισκόπου, οἷς ἂν αὐτὸς βούληται, καταλιμπάνεσθαι· τὰ μέντοι τῆς ἐκκλησίας αὐτῇ φυλάττεσθαι· καὶ μήτε τὴν ἐκκλησίαν ὑπομένειν τινὰ (3) ζημίαν, μήτε τὸν ἐπίσκοπον προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

---

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος συμφωνεῖ τῷ μά. κανόνι τῶν ἁγίων Ἀποστόλων· κἀκεῖνος γὰρ τῷ ἐπισκόπῳ τὴν ἐξουσίαν τῶν τῆς ἐκκλησίας δίδωσι πραγμάτων, καὶ τὴν τούτων διοίκησιν αὐτῷ ἀνατίθησι. Καὶ ὁ μ'. δὲ κανὼν τῶν αὐτῶν φανερὰ εἶναι βούλεται τὰ τοῦ ἐπισκόπου πράγματα, εἰ ἔχει ἴδια, καὶ φανερὰ αὖθις τὰ τῆς ἐκκλησίας. Ἃ τοίνυν ἄμφω οἱ λεχθέντες κανόνες ὥρισαν, ταῦτα οἱ τῆς συνόδου ταύτης ἐν τῷ παρόντι κανόνι συμπεριέλαβον. Τὰ γοῦν εἰρημένα εἰς ἐξήγησιν τῶν ἀποστολικῶν κανόνων ἀμφοῖν, καὶ τοῦτον σαφηνίζουσι τὸν κανόνα.

ΑΡΙΣΤ. Παντὶ τῷ κλήρῳ τὰ τῆς ἐκκλησίας θέμις διαγινώσκεσθαι, ἵνα, τοῦ ἐπισκόπου τελευτῶντος, τὰ οἰκεῖα τῆς ἐκκλησίας διαφυλάττηται· τὰ δὲ τοῦ ἐπισκόπου κατὰ τὴν ἐκείνου διοικῆται διάταξιν.

---

(1) Χ. Τρ. Βευερ. — τίνα ποτὲ ἐστι τῆς ἐκκλησίας Π. Ė. Κ. Βρ. — (2) Π. Βρ. Ė. Κ. —μεταλλάττεσθαι Βευερ. Χ. Τρ. — (3) Χ. Τρ. Ἰους. Σ. Ῥ.— ἄνευ τοῦ τινὰ, οἱ λοιποί.

Δεῖ τὸν ἐπίσκοπον ἀπογραφὴν ποιεῖσθαι τῶν ἑαυτοῦ πραγμάτων, καὶ φανερὰ αὐτὰ καθιστᾷν· ὡσαύτως καὶ τῶν τῆς ἐκκλησίας· καὶ γινώσκεσθαι ταῦτα τοῖς πρεσβυτέροις καὶ διακόνοις, ἵν' ὅτε τελευτᾷ ἐν τοῖς οἰκείοις κατὰ τὸ βουλητὸν αὐτῷ διατάξηται. Εἰ δὲ μὴ οὕτω ποιήσῃ, πάντα προσκυροῦσθαι τῇ ἐκκλησίᾳ.

## Κανὼν ΚΕ΄.

Ἐπίσκοπον ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐξουσίαν, ὥστε αὐτὰ διοικεῖν εἰς πάντας τοὺς δεομένους, μετὰ πάσης εὐλαβείας καὶ φόβου Θεοῦ· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴγε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς στερεῖσθαι, κατὰ τὸν θεῖον Ἀπόστολον, λέγοντα· Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα(1)· εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκείας(2) αὐτοῦ χρείας, καὶ τοὺς πόρους τῆς ἐκκλησίας, ἢ τοὺς τῶν ἀγρῶν καρποὺς, μὴ μετὰ γνώμης τῶν πρεσβυτέρων ἢ τῶν διακόνων χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ καὶ συγγενέσιν, ἢ ἀδελφοῖς, ἢ υἱοῖς παράσχοιτο τὴν ἐξουσίαν, ὥστε (3) διὰ τῶν τοιούτων λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας. Εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ ἐπίσκοπος, ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν, ἢ καὶ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς, εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσι, καὶ τούτους διορθώσεως τυγχάνειν, τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας συνόδου.

—

(1) α΄, Τιμόθ. ς΄, 8.—(2) Σ. Ρ. —οἰκιακὰς, οἱ λοιποί.—(3) Χ. Τρ.—εἰς τὸ, Βενερ.

ΖΩΝΑΡ. Καὶ ὅσα ἐν τῷ κανόνι τούτῳ οἱ τῆς συνόδου ταύτης εἶπον, τοῖς εἰρημένοις ἀποστολικοῖς κανόσιν ἑπόμενοι εἶπον. Καὶ τὸ ἔχειν γὰρ τὸν ἐπίσκοπον ἐξουσίαν τῶν τῆς ἐκκλησίας πραγμάτων, ἐξουσίαν δὲ, οὐχ ὥστε χρῆσθαι τούτοις ὡς βούλονται, ἀλλ᾽ εἰς διοίκησιν τῶν δεομένων, καὶ τὸ μεταλαμβάνειν αὐτὸν τῶν δεόντων, τουτέστι τῶν ἀναγκαίων, καὶ τούτων, εἰ δέοιτο, ἀντὶ τοῦ, ἐνδεῶς ἔχοι, (περισσὸν γὰρ οὐδὲν αὐτῷ συγχωρεῖ δαπανᾷν), τῷ Ἀποστόλῳ δὲ πείθεσθαι, λέγοντι, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, τῶν ἀποστολικῶν εἰσι διατάξεων. Εἰ δὲ μὴ τοῖς ἀναγκαίοις ἀρκοῖτο, δαπανᾷ δὲ τὰ ἐκκλησιαστικὰ εἰς ἑαυτοῦ χρείας, καὶ μὴ μετὰ γνώμης τῶν τοῦ κλήρου ἀξιολογωτέρων τὰς προσόδους τῆς ἐκκλησίας εἰσοδιάζει τε καὶ ἐξοδιάζει, ἀλλὰ συγγενέσι παράσχοι τὴν ἐξουσίαν, ὥστε λεληθότως ἐκείνων μετιόντων τὰ πράγματα, βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, λόγους δὲ τὰς λογοπραγίας καλεῖ· εἰ γὰρ μὴ εἴδησιν ἔχοιεν οἱ τῆς ἐκκλησίας τῶν ἀληθῶν εἰσόδων καὶ ἐξόδων, πῶς τοὺς διοικητὰς τῶν τοιούτων λόγους ποιεῖν ἀπαιτήσουσιν; Ὅταν οὖν οὕτως ἐπίσκοπος διοικῇ τὰ τῆς ἐκκλησίας, εὐθύνεσθαι αὐτὸν παρὰ τῆς συνόδου τῆς ἐπαρχίας διορίζεται ὁ κανών· εἰ δὲ καὶ ἄλλον τινὰ τρόπον σφετερίζεσθαι καὶ οἰκειοῦσθαι τὰ ἐκκλησιαστικὰ, κἂν ἐξ ἀγρῶν εἶεν, κἂν ἄλλοθεν, ὁ ἐπίσκοπος καὶ οἱ σὺν αὐτῷ διαβάλλοιντο, ὥστε θλίβεσθαι μὲν τοὺς πένητας, μὴ χορηγουμένων σφίσι τῶν χρειωδῶν, δυσφημεῖσθαι δὲ καὶ κακῶς ἀκούειν τοὺς οὕτω διοικοῦντας, καὶ τὸν λόγον, τουτέστιν, ἃς ποιοῦσι λογοπραγίας, ὡς μὴ καλῶς προβαινούσας, καὶ τούτους διορθοῦσθαι παρὰ τῆς συνόδου, τὸ ἐνδεχόμενον δοκιμαζούσης, ἐξεταζούσης, ἢ κυρούσης.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες τὰ αὐτὰ θεσπίζουσι τῷ μ'. καὶ μά. ἀποστολικοῖς κανόσι, καὶ ζήτει τὰ ἐν αὐτοῖς γραφέντα. Σημείωσαι δὲ, καὶ ἀπὸ τοῦ παρόντος κέ. κανόνος, ὅτι διὰ τῶν ἐκκλησιαστικῶν ὀφείλουσι πάντα τὰ τῶν ἐκκλησιῶν διοικεῖσθαι, καὶ ὅτι οἱ παρὰ τοὺς κανόνας τούτους διαπραττόμενοι κατὰ τὸ δόξαν τῇ συνόδῳ κολάζονται.

ΑΡΙΣΤ. Κύριος ὁ ἐπίσκοπος τῶν τῆς ἐκκλησίας ἔστω πραγ-

μάτων. Εἰ δὲ μὴ ἱκανοῖτο τοῖς ἱκανοῦσιν αὐτῷ, ἀλλὰ τὰ πράγματα καὶ τοὺς πόρους μεταβάλλοι τῆς ἐκκλησίας μὴ μετὰ γνώμης τοῦ κλήρου, εἰσπραττέσθω δίκας πρὸ τῆς συνόδου· εἰ δὲ καὶ τὰ πένησιν ὀφειλόμενα εἰς ἑαυτὸν σφετερίζοιτο, καὶ οὕτω τῇ συνόδῳ λόγους διδότω.

Ὁ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς ἐμπεπιστευμένος, πολλῷ μᾶλλον ἂν σχοίη τῶν τῆς ἐκκλησίας πραγμάτων τὴν ἐξουσίαν, ὥστε διανέμειν ταῦτα τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων· ἐπιχωρεῖν δὲ καὶ ἑαυτῷ, εἴγε προσδεὴς ἐστι, τὰ δέοντας εἴς τε τὰς ἀναγκαίας αὐτῷ χρείας καὶ τὰς τῶν παρ' αὐτοῦ ἐπιξενουμένων ἀδελφῶν, ὥστε μὴ ὑστερεῖσθαι αὐτούς. Εἰ δὲ οὐκ ἀρκοῖτο τοῖς ἀναγκαίοις, ἀλλὰ τὰς εἰσόδους τῆς ἐκκλησίας κερδαίνειν αἱροῖτο, καὶ οἰκειοῦσθαι αὐτὰς, καὶ διὰ τοῦτο τὴν οἰκονομίαν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκείοις αὐτοῦ καὶ συγγενέσι παράσχοιτο, ὥστε λανθάνειν ἔνθα καταχενοῦνται αἱ εἴσοδοι, παρὰ τῆς συνόδου εὐθυνθήσεται, καθὼς ἂν αὐτη συνίδοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΚΑΝΟΝΕΣ

## ΤΗΣ ΕΝ ΛΑΟΔΙΚΕΙΑ ΤΗΣ ΚΑΠΑΤΙΑΝΗΣ ΦΡΥΓΙΑΣ ΣΥΓΚΡΟΤΗΘΕΙΣΗΣ ΣΥΝΟΔΟΥ ΕΚ ΔΙΑΦΟΡΩΝ ΕΠΑΡΧΙΩΝ ΤΗΣ ΑΣΙΑΝΗΣ (1).

### Κανὼν Α΄.

ΠΕΡΙ τοῦ δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, τοὺς ἐλευθέρως (2) καὶ νομίμως συναφθέντας δευτέροις γάμοις, μὴ λαθρογαμίαν ποιήσαντας (3), ὀλίγου χρόνου παρελθόντος, καὶ σχολάσαντας (4) ταῖς προσευχαῖς (5) καὶ νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ὡρίσαμεν (6).

---

ΖΩΝΑΡ. Εἰ καὶ οὐ κεκώλυται ἡ δευτερογαμία, ἀλλ' οὐδ' ἀνεπιτίμητος πάντη ἐᾶται. Εἰ γὰρ καὶ ὁ μέγας Παῦλος τὸν δεύτερον ἐπιτρέπει γάμον, ἀλλὰ νεωτέρας χήρας γαμεῖν διατάττεται. Καὶ εἰσί τινες λέγοντες, μόναις γυναιξὶ τοῦτο συγκεχωρῆσθαι, διὰ τὸ τῆς φύσεως αὐτῶν ἀσθενὲς καὶ εὐόλισθον· οἱ δὲ Πατέρες καὶ τοὺς ἄνδρας διγαμοῦντας ἐδέξαντο. Καὶ εἰ νομίμως, φασὶ, τὸν δεύτερον ἐποιήσαντο γάμον, μὴ πρότερον λαθρογαμίαν ἐπ' ἀλλήλοις ἡμαρτηκότες, ὀλίγου παρελθόντος χρόνου, σχολάσαντες νηστείᾳ καὶ προσευχῇ, δεχθήσονται εἰς κοινωνίαν κατὰ συγγνώμην, τουτέστι συγγνωμονούμενοι

---

(1) Μετὰ τὴν ἐπιγραφὴν ἀναγινώσκεται τὰ ἑξῆς παρὰ Βρ. Ἑ. Κ. — Ἡ ἁγία Σύνοδος, ἡ κατὰ Λαοδικείαν τῆς Φρυγίας Καπατιανῆς συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ἀσιανῆς, ὅρους ἐξέθετο ἐκκλησιαστικοὺς ὡς ὑποτέτακται. — (2) ἐλευθερίως Χ. Τρ. Σ. Ῥ. —(3) Π. Ἑ. Κ. — λαθρογαμίας Βρ. — μὴ λαθρογαμήσαντας Χ. Τρ. Βευερ. — (4) Π. Χ. Τρ. Βευερ. — καὶ σχολασάντων Ἑ. Κ. Βρ. — (5) Π. Ε. Κ. Βρ. — ταῖς εὐχαῖς Χ. Τρ. Βευερ. — (6) Βρ. Ἑ. Κ. Σ. Ῥ. — τὸ, ὡρίσαμεν, οὐ κεῖται παρὰ τοῖς λοιποῖς.

διὰ τὴν ἀνάγκην τὴν φυσικήν. Ὁ μὲν οὖν κανὼν οὗτος ἀόριστον ἀφῆκε τὸν χρόνον. Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ δ'. αὐτοῦ κανόνι, ἐνιαυτὸν λέγει εἶναι τὸν τοῦ ἐπιτιμίου καιρόν· ἄλλους δέ φησι, διετίαν ὁρίζειν ἐπὶ τῶν διγάμων. Ἀλλ' ὁ μὲν ἐνιαυτὸς ἔσται, ὅτε οὐ προηγήσατο ἐπὶ τῶν δευτέροις ὁμιλησάντων γάμοις λαθρογαμία. Εἰ δὲ λαθραίᾳ μίξει συνήλθοσαν πρότερον, εἶτα εἰς νόμιμον γάμον ἀπεῖδον, καὶ ὡς πεπορνευκότες ἐπιτιμηθήσονται. Καὶ ἡ κϐ'. Ἰουστινιάνειος νεαρὰ, κειμένη εἰς βιϐλίον τῶν βασιλικῶν κή. τίτλ. ιδ'. πολλὰ περὶ δευτερογαμούντων καὶ ἀνδρῶν, καὶ γυναικῶν, διατάττεται.

ΒΑΛΣ. Οἱ δευτερογαμοῦντες, ἀπὸ μὲν τοῦ παρόντος κανόνος, μετανοοῦντες, καὶ προσευχόμενοι, μετ' ὀλίγον χρόνον ἀξιοῦνται τῆς κοινωνίας τῶν θείων ἁγιασμάτων· ἀπὸ δὲ τοῦ δ'. κανόνος τοῦ ἁγίου Βασιλείου, μετὰ ἐνιαυτόν. Ἐκεῖνοι μέντοι οὕτως ἐπιτιμῶνται, οἱ μετὰ νομίμου συνοικεσίου δευτερογαμήσαντες. Οἱ γὰρ πρότερον λαθρογαμήσαντες, ἤτοι πορνεύσαντες, μετὰ τῶν ὕστερον συζευχθεισῶν αὐτοῖς νομίμως, κατὰ πόρνους κολασθήσονται, κατὰ μηδὲν ὠφελούμενοι ἐκ τῆς νομίμου συναφείας. Καὶ ταῦτα μὲν οὕτως. Οἱ δὲ νόμοι τοὺς ἐκ πορνείας γεννηθέντας, ὡς ἐκ νομίμου συναφείας τεχθέντας λογίζονται, ἐὰν ὕστερον τὴν μητέρα αὐτῶν νομίμως ἀγάγηται ὁ πατήρ. Καὶ ζήτει βιϐλίον τῶν βασιλικῶν λϐ'. τίτλον ϐ'. ὅλον, καὶ τὸν ιδ'. τίτλον τοῦ κή. βιϐλίου τῶν βασιλικῶν, ἤτοι τὴν κϐ'. Ἰουστινιάνειον νεαρὰν, ἥτις ἄλλως τὰ περὶ τῶν δευτερογαμούντων ἀνδρῶν καὶ γυναικῶν διατάττεται.

ΑΡΙΣΤ. Ὁ μὴ λαθραιογαμήσας δίγαμος, ὀλίγον τοῖς ἐπιτιμίοις σχολάσας, λοιπὸν ἀνεύθυνος.

Ἐπὶ ἐνιαυτὸν ὁ δίγαμος ἀφορίζεται, τῇ προσευχῇ καὶ τῇ νηστείᾳ σχολάζων, καὶ οὕτω τῆς κοινωνίας καταξιοῦται. Εἰ δὲ μὴ ἐλευθερίως καὶ νομίμως τῷ δευτέρῳ συνήφθη γάμῳ, ἀλλὰ πρότερον λαθραιογαμήσας, μετὰ ταῦτα καὶ εἰς κοινωνίαν ἦλθε γάμου, τῷ τῆς πορνείας ἐπιτιμίῳ ὑπόκειται.

## Κανὼν Β'.

Περὶ τοῦ τοὺς ἐξαμαρτάνοντας (1) ἐν διαφόροις πταίσμασι, καὶ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιουμένους, κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος, καιροῦ μετανοίας δοθέντος τοῖς τοιούτοις (2), διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ προσάγεσθαι τῇ κοινωνίᾳ.

---

ΖΩΝΑΡ. Κἂν ἐν διαφόροις πταίσμασιν ἥμαρτέ τις, ἐξομολογῆται δὲ ταῦτα, καὶ ἀποστρέφηται τελείως ἃ ἔφθη ποιῆσαι κακὰ, δίδοσθαι αὐτῷ καιρὸν μετανοίας, διορίζεται ὁ κανὼν, ἀναλόγως τοῖς πταίσμασιν, οἷς ἐποίησε· καὶ οὕτως, αὐτοῦ ἐνδεικνυμένου μετάνοιαν, δέχεσθαι αὐτὸν καὶ προσάγεσθαι τῇ κοινωνίᾳ, οὐχ ὡς αὐτοῦ διὰ τῆς οἰκείας σπουδῆς ἀξιουμένου τῆς τῶν θείων μυστηρίων μεταλήψεως, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα.

ΒΑΛΣ. Ἐμάθομεν μηδεμίαν ἁμαρτίαν νικᾷν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Καὶ ὁ παρὼν δὲ κανὼν διορίζεται, τοὺς ἀφισταμένους τελείως τοῦ κακοῦ, μετὰ ἐξομολογήσεως καθαρᾶς καὶ μετανοίας ἀξίας τῶν πταισμάτων (3), ἀξιοῦσθαι τῆς θείας μεταλήψεως, οὐ διὰ τὴν σπουδὴν τούτων, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα. Ταῦτα δὲ πάντως διευκρινήσει ἡ ἐπισκοπικὴ δοκιμασία.

ΑΡΙΣΤ. Οἱ διαφόροις ἀγνοήμασιν ἑαλωκότες, εἰ ἐπιγνόντες ἐξομολογοῖντο, καὶ ἀναλόγως μετανοοῖεν, εὐπρόσδεκτοι.

Πάντες οἱ ἁμαρτήσαντες, ὁποῖα ἄν τις εἴποι τὰ ἁμαρτήματα, εἰ μετανοήσουσι καὶ ἐξομολογήσονται ταῦτα, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιήσονται, καὶ κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος τὸν δοθέντα αὐτοῖς καιρὸν εἰς με-

---

(1) Π. Βρ. Ἑ. Κ. Χ. Τρ. — ἁμαρτάνοντας Βευερ. — (2) Π. Βρ. Ἑ. Κ. — δοθέντος, τοὺς τοιούτους διὰ τὴν ἀγαθότητα κτλ. Χ. Τρ. — δοθέντος αὐτοῖς, τοὺς τοιούτους, Βευερ. — (3) Χ. Τρ. — τῷ πταίσματι Βευερ. Ἑ.

τάνοιαν ἐν προσευχαῖς καὶ δάκρυσιν ἐκτελέσουσι, παραδεχθήσονται εἰς κοινωνίαν, διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ.

## Κανὼν Γ'.

### Περὶ τοῦ μὴ δεῖν προσφάτως φωτισθέντα (1) προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

---

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου διετάξατο, καὶ ἃ ἐν ἐκείνῳ εἴρηται, κἀν τούτῳ ἀρκέσουσι.

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα π'. συνόδου Νικαίας κανόνα β'. τὰ αὐτὰ τῷ παρόντι κανόνι θεσπίζοντα χάριν τῶν προσφάτως βαπτισθέντων, καὶ ζητούντων ἱερωθῆναι. Ὁ μέντοι μέγας ἐκεῖνος φωστὴρ ὁ Νεκτάριος, ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς ἀρχιερωσύνης ἀξίωμα περιβάλλεται, καὶ ἅμα τῆς βασιλευούσης ἐπίσκοπος γίνεται, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς β'. συνόδου ἔξαρχος.

ΑΡΙΣΤ. Ὁ νεοφώτιστος ἀνιεράτευτος.

Ὁ νεοφώτιστος οὐκ εὐθὺς ἐν ἱερατικῷ προσάγεται τάγματι.

## Κανὼν Δ'.

### Περὶ τοῦ μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους, καὶ τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

---

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ ἑπτακαιδέκατος τῆς πρώτης οἰκουμενικῆς συνόδου οὕτως ὥρισε, καὶ πλείω τῶν εἰρημένων ἐκεῖ οὐ χρὴ ἐρεῖν (2).

ΒΑΛΣ. Ὁ ἀποστολικὸς μδ'. κανὼν, καὶ ὁ ιζ'. τῆς πρώτης συνόδου, πλατύτερον διαλαμβάνουσι περὶ τῶν ἱερωμένων λαμβανόντων τόκους· καὶ ἀνάγνωθι τούτους.

---

(1) Χ. Τρ. Βευερ. Σ. Ῥ. — φωτισθέντας — Π. Ε. Κ. — πρόσφατον Βρ. —
(2) οὐ χρεία ἐστί. Χ. Τρ. — οὐ χρεία ἐρεῖν Κ.

ΑΡΙΣΤ. Τόκους, ἢ ἡμιολίας ἱερατικὸς οὐ λαμβάνει.

Οὐ δεῖ τοὺς ἐν κλήρῳ αἰσχρὰ κέρδη ἐπινοεῖν, καὶ ἐπὶ βαρυτάτοις τόκοις, ἢ καὶ ἐλαφροῖς ἐκδανείζειν· εἰ μὴ βούλοιντο τοῦτο ποιοῦντες, καὶ μὴ παυόμενοι, καθαιρεῖσθαι.

## Κανὼν Ε΄.

### Περὶ τοῦ μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι.

---

ΖΩΝΑΡ. Χειροτονίας ἐνταῦθα τὰς ψήφους ὠνόμασεν ὁ κανών. Ἐπεὶ γὰρ ἐν τῷ τὰ ψηφίσματα γίνεσθαι παρὰ τῶν ἀρχιερέων, λέγονται κατά τινων αἰτιάματα, δι' ἃ κωλύονται ἴσως ἱερωσύνης, οὐκ ἔδοξε τοῖς Πατράσι προσῆκον παρεῖναί τινας ἀκροωμένους τῶν λεγομένων, ὡς αἰσχύνην τοῖς καθ' ὧν λέγονται ἐπαγόντων, καὶ τοῖς ἀκροωμένοις εἰς προτροπὴν γινομένων κακίας, καὶ τοῖς ἀστηρίκτοις πρὸς πίστιν εἰς βλασφημίαν κατὰ Θεοῦ. Ὥσπερ γὰρ διὰ τῶν ἐναρέτων δοξάζεται ὁ Θεὸς, τῶν ὁρώντων τὰ καλὰ ἔργα δοξαζόντων αὐτὸν, οὕτω διὰ τῶν ἐναντίων βλασφημεῖται τὸ θεῖον παρὰ ἀπίστων καὶ ἀστηρίκτων ἀνθρώπων. Διὰ τί δὲ καὶ ἡ ψῆφος χειροτονία λέγεται, εἴρηται ἐν τῷ πρώτῳ κανόνι τῶν ἱερῶν Ἀποστόλων.

ΒΑΛΣ. Χειροτονίας ἐνταῦθα τὰς ψήφους ὀνομάζει ὁ κανὼν, καί φησιν, ὡς, ἐπεὶ ἐν ταῖς ψήφοις λέγονταί τινα πολλάκις καὶ ἀνάξια χάριν τῶν ψηφιζομένων, οὐ χρὴ ἐπὶ κοινῇ ἀκροάσει τοῦ βουλομένου τὰς ψήφους (1) γίνεσθαι· διὰ τοῦτο οὖν καὶ σήμερον κατ' ἰδίαν οἱ ἀρχιερεῖς καὶ μόνοι συνερχόμενοι ψηφίζονται. Ἐν μέντοι τῷ πρώτῳ ἀποστολικῷ κανόνι ἡ χειροτονία εἰς χειροθεσίαν ἐκλαμβάνεται.

ΑΡΙΣΤ. Αἱ χειροτονίαι ἐπ' ἀκροωμένοις οὐ γίνονται.

Αἱ εὐχαὶ τῶν χειροτονουμένων οὐκ ἐκφωνοῦνται μεγάλως, ὥστε τὸν λαὸν ἐπακροᾶσθαι αὐτῶν.

---

(1) ταύτας γίνεσθαι X. Τρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ς΄.

**Περὶ τοῦ μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.**

—

ΖΩΝΑΡ. Οἱ αἱρέσεσι περιπεσόντες, καὶ μένοντες ἐν αὐταῖς, τῆς ἐκκλησίας ἐξοστρακίζονται, ὡς ταύτης ἀλλότριοι. Πῶς οὖν εἰς τὸν οἶκον τοῦ Θεοῦ συγχωρηθήσονται εἰσιέναι; Ὁ δὲ ἀρχιεπίσκοπος Ἀλεξανδρείας Τιμόθεος περὶ τούτου ἐρωτηθεὶς, ἀπεκρίνατο ἐν κανόνι θ΄. ὅτι οὐκ ὀφείλουσιν ἐν εὐχῇ παρεῖναι αἱρετικοὶ, εἰ μὴ ἐπαγγέλλονται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΒΑΛΣ. Σαφὴς ὁ κανών· οὐ γὰρ συγχωρεῖ τοῖς αἱρετικοῖς ἐπιμένουσι τῇ αἱρέσει, συνεκκλησιάζειν μετὰ ὀρθοδόξων. Ἀνάγνωθι καὶ τὸν θ΄. κανόνα τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Τιμοθέου.

ΑΡΙΣΤ. Αἱρετικοῖς τὸ ἱερὸν ἀνεπίβατον.

Οὐ συγχωροῦνται αἱρετικοὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ εἰσιέναι· κἂν ὁ μέγας Βασίλειος, οὔπω τοῦ κανόνος τούτου ἐκτεθέντος, τῷ πληρώματι τῶν πιστῶν Οὐάλεντα παρεδέξατο.

## Κανὼν Ζ΄.

**Περὶ τοῦ τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστι Ναυατιανῶν, ἤτοι Φωτεινιανῶν, ἢ Τεσσαρεσκαιδεκατιτῶν, ἐπιστρεφομένους, εἴτε (1) κατηχουμένους, εἴτε πιστοὺς τοὺς παρ' ἐκείνοις, μὴ προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῶν μυστηρίων τῶν ἁγίων (2).**

—

(1) Π. — εἴτουν, Χ. Τρ. Σ. Ῥ. Βεσερ.—ἄνευ τοῦ, εἴτε κατηχουμένους, Βρ. —
(2) Χ. Τρ. Σ. Ῥ. Ἐ. Κ. — τῷ μυστηρίῳ τῷ ἁγίῳ Βρ. — τῶν ἁγίων μυστηρίων Π.

ΖΩΝΑΡ. Περὶ τῶν αἱρέσεων τούτων καὶ ἄλλων πλειόνων ὁ τῆς δευτέρας οἰκουμενικῆς συνόδου ζ'. περιέχει κανών. Ἐν γοῦν τῇ ἐξηγήσει τοῦ τοιούτου κανόνος εἴρηται, τίνες τε εἰσὶν αἱ αἱρέσεις αὗται, καὶ πῶς δέχονται οἱ ταύταις κατεχόμενοι, προσερχόμενοι τῇ ἐκκλησίᾳ, ἅπερ ἀναγινωσκόμενα ἑρμηνεύουσι καὶ τὸν παρόντα κανόνα.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς β'. συνόδου, τὸν ιθ'. τῆς πρώτης, τὸν ϟέ. τῆς ἕκτης, καὶ μάθῃς περὶ ὧν καὶ ὁ παρὼν κανὼν διέξεισιν.

ΑΡΙΣΤ. Ναυατιανοὶ, καὶ Φωτεινιανοὶ, καὶ Τεσσαρεσκαιδεκατῖται, εἰ μὴ τάς τε ἄλλας αἱρέσεις ἀναθεματίζοιεν, καὶ τὴν οἰκείαν, ἀπρόσδεκτοι· μετὰ μέντοι τὸ ἀνάθεμα, χριόμενοι κοινωνείτωσαν.

Οὗτοι τάς τε ἄλλας αἱρέσεις, καὶ τὴν οἰκείαν ἀναθεματίζοντες, προσδέχονται παρὰ τῆς ἐκκλησίας, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρίονται. Ἀλλ' οἱ μὲν Ναυατιανοὶ, καὶ οἱ Τεσσαρεσκαιδεκατῖται, καὶ οἱ Φωτεινιανοὶ, τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος χρῄζουσιν· ὅτι περ ὁ ἀρχηγὸς ὁ αὐτῶν Φωτεινὸς πολλὰς αἱρέσεις ἀνενεώσατο, τήν τε τοῦ Σαμοσατέως Παύλου, καὶ Σαβελλίου τοῦ Λίβυος, καὶ τοῦ Μοντανοῦ, οὐκ ἄναρχον δογματίσας τὸν Θεοῦ λόγον, οὐδὲ ποιητὴν τῶν αἰώνων πάντων, οὐδὲ πάσης τῆς κτίσεως προϋπάρχοντα, ἀλλὰ νέον καὶ πρόσφατον, καὶ ἀρχὴν λαβόντα ἀπὸ τῆς κατὰ σάρκα γεννήσεως ἐκ τῆς παρθένου. Τῶν δὲ Τεσσαρεσκαιδεκατιτῶν ἡ αἵρεσίς ἐστι, τὸ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης ἡμέρᾳ, κἂν ἐν δευτέρᾳ, ἢ τρίτῃ, ἢ τετράδι ἐμπέσῃ, τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζειν ἀνάστασιν. Οὐ παραδέχονται δὲ, κατὰ τοὺς Ναυατιανοὺς, καὶ τὴν τῶν ἐπιστρεφόντων μετάνοιαν. Κέχρηνται δὲ καὶ νόθοις βιβλίοις, καὶ ἄλλα τινὰ τοιαῦτα φρονοῦσι.

## Κανὼν Η'.

Περὶ τοῦ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς

τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβυτέρων.

---

ΖΩΝΑΡ. Ὁ τῆς β'. συνόδου κανών, οὗ ἐν τῷ ἀνωτέρῳ προσεχεῖ κανόνι ἐμνήσθημεν, διαλαμβάνει καὶ περὶ τῶν Φρυγῶν, οὓς καὶ Μοντανιστὰς (1) λέγει. Τούτους τοίνυν προσιόντας τῇ ἐκκλησίᾳ, κἀκεῖνος ὁ κανὼν καὶ οὗτος βαπτίζεσθαι κελεύει, κατηχουμένους ἐπιμελῶς, κἂν κληρικοὶ ἐν κλήρῳ παρ' αὐτοῖς δοκοῦντι, μὴ ὄντι δὲ πρὸς ἀλήθειαν, ὠνομάζοντο, κἂν μέγιστοι ἐλέγοντο. Ἦσαν γὰρ παρ' ἐκείνοις τινὲς τῶν ἄλλων προέχοντες, ὡσανεὶ διδασκάλων πληροῦντες(2) τάξιν, οἳ καὶ μέγιστοι ἐκαλοῦντο. Τοὺς γοῦν τοιούτους ἐπιστρέφοντας, καὶ τῇ ἐκκλησίᾳ προσερχομένους, ἐξ αὐτῶν οἵτινες ἂν εἶεν, ὁ κανὼν κατηχεῖσθαι καὶ βαπτίζεσθαι βούλεται.

ΒΑΛΣ. Τὰ ἐν τῇ ἑρμηνείᾳ τοῦ ζ'. κανόνος (3) τῆς β'. συνόδου γραφέντα, ἀρκοῦσιν εἰς ἑρμηνείαν καὶ τοῦ παρόντος κανόνος. Ἐπεὶ δὲ ἔλεγον οἱ ἐκ Φρυγῶν αἱρετικοί τινας διδασκάλους αὐτῶν κληρικοὺς μεγίστους, διὰ τὸ ὑπερέχειν τῶν ἄλλων αἱρετικῶν κληρικῶν, καὶ ἦσάν τινες διατεινόμενοι μὴ ὀφείλειν τούτους βαπτίζεσθαι ὡς δῆθεν κεκληρωμένους, προστίθησιν ὁ κανών, καὶ τούτους κατηχεῖσθαι καὶ βαπτίζεσθαι.

ΑΡΙΣΤ. Φρύγες μεταμελόμενοι, ἀναβαπτιζέσθωσαν· εἰ κα παρ' ἐκείνοις κεκλήρωνται.

Καὶ οὗτοι μεταμεληθέντες, καὶ ἀπὸ τῆς αἱρέσεως αὐτῶν ἐπιστρέφοντες, καὶ τῇ ἀμωμήτῳ πίστει προσερχόμενοι, καὶ τὰς αἱρέσεις πάσας, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες, προσδέχονται, καὶ μετὰ πάσης ἐπιμελείας κατηχοῦνταί τε καὶ βαπτίζονται, κἂν ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τοῖς Φρυξὶν ἐτύγχανον. Οὗτοι δὲ οἱ Φρύγες ἀπὸ Μοντανοῦ καὶ Πρισκίλλης ἔσχον τὴν αἵρεσιν· ὁ δὲ Μοντανὸς οὗτος παράκλητον ἑαυτὸν προσηγόρευσε· δύο γυναῖκας πορνικῶς ἔσχε, Πρίσκιλλαν καὶ

---

(1) Χ. Τρ. — οὓς Μοντανιστὰς Κ. Βευερ. — (2) Χ. Τρ. — κληροῦντες Βευερ. Κ. — (3) Χ. Τρ. — τὰ ἐν τῷ ζ'. κανόνι, Βευερ. Ἑ.

Μαξίμιλλαν, ἃς καὶ προφήτιδας ἐκάλεσε· πολίχνιόν τι τῆς Φρυγίας, τὴν Πέζουσαν, Ἱερουσαλὴμ ὠνόμασε· γάμους ἐπέτρεψε λύεσθαι, καὶ βρωμάτων ἀπέχεσθαι· τὸ Πάσχα διέστρεψε, καὶ τὰς τρεῖς ὑποστάσεις τῆς ὁμοουσίου θεότητος εἰς ἓν συνῆψε πρόσωπον συγχεόμενον· αἷμα ἀναμιγνύειν ἀλεύρῳ, καὶ εἰς μετάληψιν τοῦτο διδόναι ἐδίδασκε, τὴν δὲ μέθεξιν τούτου τοὺς μεταλαμβάνοντας δι᾽ αἰσχύνην ἀρνεῖσθαι.

## Κανὼν Θ΄.

**Περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα μαρτύρια (1) πάντων τῶν αἱρετικῶν ἀπιέναι τοὺς τῆς ἐκκλησίας, εὐχῆς ἢ θεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι μέχρι τινός. Μετανοοῦντας δὲ, καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.**

---

ΖΩΝΑΡ. Οὐ μόνον αἱρετικοὺς εἰσιέναι εἰς ἐκκλησίαν πιςῶν κωλύουσιν οἱ κανόνες, ἀλλ᾽ οὐδὲ πιστοὺς ἀπιέναι παραχωροῦσιν εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἔνθα τυχὸν οἱ παρ᾽ αὐτοῖς ὀνομαστοὶ θανόντες κατέκειντο, ἢ εἰς τὰ λεγόμενα μαρτύρια. Εἰκὸς γὰρ καί τινας τῶν ὑποκειμένων αἱρέσεσιν ἐν τοῖς διωγμοῖς ἐνστῆναι μέχρι θανάτου, οὓς καὶ μάρτυρας οἱ ὁμοδοξοῦντες αὐτοῖς ἐκάλουν, καὶ τοὺς οἴκους, ἐν οἷς τὰ ἐκείνων ἐτέθαπτο σώματα, μαρτύρια ἔλεγον. Ἐν τούτοις ἀπιέναι πιστοὺς εὐχῆς χάριν, ἢ θεραπείας ἕνεκα, ἀπηγόρευται· θεραπείαν δὲ ἢ τὴν τιμὴν ὀνομάζει, ἢ τὴν ἐκ νόσων ἴασιν. Τοῦτο δ᾽ ἐστὶν ὃ βούλεται ὁ κανὼν, τὸ μὴ ἀπιέναι τινὰς εἰς τὰ εἰρημένα, μήτε ὡς εὐξομένους, μήτε ὡς τιμήσοντας τοὺς παρὰ τῶν αἱρετικῶν τιμωμένους, μήτε ὡς θεραπείαν νόσων ἢ πειρασμῶν ἀλλοίων ἐξ ἐκείνων αἰτήσοντας· ἀλλὰ τοὺς τῆς ἐκκλησίας ἀπερχομένους ἐκεῖ ἀφορίζεσθαι, ἤγουν ἐπί τινα καιρὸν τῆς κοινωνίας εἴργεσθαι· τοὺς τῆς ἐκκλησίας δὲ, οὐ τοὺς ἱερωμένους λέγει, ἢ κεκληρωμένους, ἀλλὰ τοὺς πιστοὺς, κἂν λαϊ-

---

(1) μαρτυρεῖα Σ. Ῥ.

καὶ ὦσι· μετανοοῦντας δὲ καὶ ἐπιγινώσκοντας τὸ σφάλμα αὐτῶν δέχεσθαι.

ΒΑΛΣ. Ὥσπερ ἐν τῷ ς'. κανόνι ἐκωλύθησαν οἱ αἱρετικοὶ εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ· οὕτω καὶ ἐνταῦθα κωλύονται οἱ πιστοὶ ἀπιέναι εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα παρὰ τούτων μαρτύρια. Ὡς δέ τινος εἰπόντος, εἰ δὲ ἀπέλθοι πιστὸς εἰς σύναξιν αἱρετικῶν, χάριν τοῦ καταπτῦσαι αὐτῆς, ἵνα τί κολασθήσεται; Φασὶν οἱ Πατέρες, ἐκείνους ἀκοινωνήτους εἶναι πρὸς καιρὸν, ἤγουν ἀφωρισμένους, τοὺς χάριν εὐχῆς ἢ θεραπείας ἀπιόντας εἰς τὰ τῶν αἱρετικῶν μαρτύρια, οὓς καὶ μετανοοῦντας, καὶ ἐπιγινώσκοντας τὸ παρ' αὐτῶν ἐσφαλμένον, προσδέχεσθαι διορίζονται. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ξδ'. καὶ ό, τῆς παρούσης συνόδου κανόνα κθ'. λϐ'. λδ'. λζ'. λή. καὶ λθ', τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'. καὶ τῆς ς'. κανόνα ιά. Μαρτύρια δὲ παρὰ αἱρετικῶν λέγονται τὰ κοιμητήρια· ἐν γὰρ τῷ καιρῷ τοῦ διωγμοῦ τινες αἱρετικοὶ Χριστιανοὺς ἑαυτοὺς ὀνομάζοντες, μέχρι θανάτου ἐτιμωρήθησαν· διὸ καὶ μάρτυρας τούτους ἐκάλουν οἱ ὁμοδοξοῦντες αὐτοῖς.

ΑΡΙΣΤ. Ὁ κοιμητηρίοις καὶ μαρτυρίοις αἱρετικῶν ἐπευχόμενος, ἀκοινώνητος.

## Κανὼν Ι'.

Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

---

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης διάφοροι κανόνες εἰσὶν, ὧν ἐν τῇ ἐξηγήσει τοῦ ιδ'. κανόνος τῆς οἰκουμενικῆς τετάρτης συνόδου ἐμνήσθημεν, καὶ ἱκανὰ τὰ ῥηθέντα ἐκεῖ καὶ πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιδ'. κανόνα τῆς δ'. συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα ἀρκέσουσι πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΑΡΙΣΤ. Αἱρετικοῖς γαμικῶς μὴ συνάλλασσε.

## Κανὼν ΙΑ'.

Περὶ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας, ἤτοι προκαθημένας,(1) ἐν τῇ ἐκκλησίᾳ καθίστασθαι. (2).

---

ΖΩΝΑΡ. Ἦσάν τινα παρὰ τοῖς παλαιοῖς ἔθη, ἐν ταῖς ἐκκλησίαις γινόμενα, ὧν τὰ μὲν ὁ χρόνος ἠλλοίωσε, τὰ δὲ καὶ τέλεον ἔπαυσε, τὰ δὲ καὶ κανόνες ἀπηγόρευσαν, ὧν ἓν ἦν καὶ τὸ πρεσβύτιδάς τινας γηραιὰς γυναῖκας ἐν ταῖς ἐκκλησίαις τάττεσθαι, καὶ προκαθημένας λέγεσθαι, ἐξαρχούσας τῶν εἰσερχομένων εἰς τὴν ἐκκλησίαν γυναικῶν, ὥσπερ διδασκάλους, καὶ καθιστώσας αὐτὰς πρὸς εὐταξίαν, καὶ ὅπως, καὶ ὅπου χρὴ ταύτας ἑστάναι παιδευούσας αὐτάς. Ταύτας οὖν μὴ δεῖν γίνεσθαι ὁ κανὼν διορίζεται, ἢ οὕτω καλεῖσθαι.

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες πρεσβύτιδες καθήμεναι εἰς τὰς καθολικὰς ἐκκλησίας, καθίστων τὰς λοιπὰς γυναῖκας τάχα εἰς εὐταξίαν. Ἐπεὶ οὖν ἐκ τῆς ὁμιλίας τῆς ἀπὸ τούτων ἐβλάπτοντό τινες, μὴ χρωμένων καλῶς τῷ καλῷ διὰ ὑπεροψίαν, ἢ αἰσχροκέρδειαν, ἐκώλυσαν οἱ Πατέρες τὸ ὅλως εἶναι τοιαύτας γυναῖκας εἰς ἐκκλησίας, καλουμένας πρεσβύτιδας, ἤτοι προκαθημένας. Μὴ εἴπῃς δὲ, καὶ πῶς τοῦτο γίνεται εἰς τὰ γυναικεῖα μοναστήρια, καὶ μία γυνὴ, ἡ ἡγουμένη δηλαδὴ, πασῶν προΐσταται; Ἀκούσεις γὰρ, ὅτι ἡ κατὰ Θεὸν ἀποταγὴ, καὶ ἀπόκαρσις, τὰς πολλὰς ἓν σῶμα ποιεῖ λογίζεσθαι, καὶ πάντα τὰ αὐτῶν πρὸς μόνην ψυχικὴν σωτηρίαν ἀφορῶσι. Τὸ δὲ διδάσκειν γυναῖκα εἰς ἐκκλησίαν καθολικὴν, ἔνθα πλῆθος ἀνδρῶν συναθροίζεται, καὶ διαφόρων γνωμῶν γύναια, ἀπρεπέστατόν ἐστι καὶ ὀλέθριον.

ΑΡΙΣΤ. Αἱ λεγόμεναι προκαθήμεναι, ἐν ἐκκλησίαις μὴ καθιστάσθωσαν.

Εἰ γὰρ πολιτικὰ ὀφφίκια κωλύονται ἐνεργεῖν, πῶς ποτε ἐν

---

(1) παρακαθημένας Π. — (2) ἐν ἐκκλησίαις καθιστάναι. Χ. Τρ.

ἐκκλησίᾳ τοῦ κλήρου πρωτεύουσι, καὶ ὡς κεφαλάς τινας ταύτας ἕξουσι;

## Κανὼν ΙΒ'.

Περὶ τοῦ τοὺς ἐπισκόπους κρίσει τῶν μητροπολιτῶν καὶ τῶν πέριξ ἐπισκόπων καθίστασθαι εἰς τὴν ἐκκλησιαστικὴν ἀρχὴν, ὄντας ἐκ πολλοῦ δεδοκιμασμένους ἔν τε τῷ λόγῳ τῆς πίστεως, καὶ τῇ τοῦ εὐθέος βίου (1) πολιτείᾳ.

—

ΖΩΝΑΡ. Τὸ παλαιὸν οἱ δῆμοι τῶν πόλεων ᾑροῦντο τοὺς ἐπισκόπους. Ὅτι δὲ στάσεις ἐντεῦθεν ἠγείροντο, διὰ τοῦτο τοῖς ἐπισκόποις ἑκάστης ἐπαρχίας τὰ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως ἀνετέθη ψηφίσματα. Ἐπάγει δὲ ὁ κανὼν, καὶ οἵους δεῖ εἶναι τοὺς εἰς ἐπισκοπὴν προχειριζομένους, ἤγουν πρὸ πολλοῦ δεδοκιμασμένους ἔν τε τῷ λόγῳ τῆς πίστεως, τουτέστιν ὀρθῶς καὶ ὑγιῶς ἔχοντας περὶ τὴν πίστιν, ἢ καὶ ἄλλως, ἤτοι περὶ τὸν λόγον τῆς πίστεως γεγυμνασμένους καὶ δοκίμους. Τῷ μὲν γὰρ Τιμοθέῳ γράφων ὁ μέγας Παῦλος, διδακτικὸν εἶναι δεῖν λέγει, τὸν ἐπισκοπῆς ὀρεγόμενον (2). Τῷ Τίτῳ δ' ἐπιστέλλων, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν (3). Οὕτω μὲν οὖν ἔχειν τὸν ἐπισκοπῆς προστησόμενον ἐν τῷ λόγῳ τῆς πίστεως ὁ κανὼν διατάττεται· ἐν δὲ τῇ πολιτείᾳ, ἤγουν τῇ τοῦ βίου διαγωγῇ, εὐθύτατον εἶναι, μὴ σκολιὸν, μὴ πονηρίας μεστὸν, ἀλλὰ κἀκεῖ δεδοκιμασμένον, καὶ γνώριμον· ὅτι εὐθὺς ὁ βίος αὐτῷ, καὶ ὁ τρόπος, καὶ ἡ πολιτεία ἀνεπίληπτος.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν κωλύει ὑπὸ τοῦ ὄχλου τοὺς ἐπισκόπους ψηφίζεσθαι· καὶ διορίζεται παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων τούτους καθίστασθαι. Παρακελεύεται δὲ δοκίμους εἶναι αὐτοὺς κατά τε τὸ δόγμα καὶ τὸν βίον.

(1) Χ. Τρ. — εὐθέος λόγου. Π. Βευερ. Σ. Ρ. Ἑ. Κ. Βρ. — (2) α'. Τιμόθ. Γ', 3. — (3) Τίτ. Α', 9.

ΑΡΙΣΤ. Ὁ πίστει καὶ πολιτείᾳ δοκιμώτατος, καὶ λογιώτατος, ἐπιτήδειος εἰς ἐπισκοπήν.

Δεῖ γὰρ τὸν ἐπίσκοπον δόκιμον εἶναι τῇ πίστει, καὶ τῷ ὀρθῷ βίῳ.

## Κανὼν ΙΓ΄.

**Περὶ τοῦ μὴ τοῖς ὄχλοις (1) ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατεῖον.**

---

ΖΩΝΑΡ. Οὐ μόνον ἐπισκόπων ἐκλογὴν οἱ ὄχλοι ποιεῖν ἐκωλύθησαν, ἀλλ᾽ οὐδὲ ἱερεῖς ἐκλέγεσθαι παρεχωρήθησαν.

ΒΑΛΣ. Καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, ὅτι οὐ μόνον ἐπίσκοποι τὸ παλαιὸν ἐψηφίζοντο ὑπὸ τῶν ὄχλων, ἀλλὰ καὶ ἱερεῖς, ὅπερ καὶ ἐκωλύθη.

ΑΡΙΣΤ. Ἀνεπίλεκτος ὁ κοσμικοῖς ἐκλεγόμενος.

Ψήφῳ τῶν μητροπολιτῶν καὶ τῶν ἐπισκόπων καθίστανται οἱ ἐπίσκοποι. Εἴ τις δὲ μὴ τοιούτῳ προβιβασθῇ εἰς ἐπισκοπήν, ἀλλὰ παρὰ τῶν ὄχλων ἐκλεγῇ, ἄδεκτός ἐστι καὶ ἀνεπίλεκτος.

## Κανὼν ΙΔ΄.

**Περὶ τοῦ μὴ τὰ ἅγια, εἰς λόγον εὐλογιῶν, κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα, εἰς ἑτέρας παροικίας διαπέμπεσθαι (2).**

---

ΖΩΝΑΡ. Καὶ τοῦτο τοῦ παλαιοῦ ἔθους ἦν. Κατὰ γὰρ τὸ Πάσχα ἐπέμποντο ἐκ παροικίας εἰς παροικίαν τὰ ἅγια, ἤγουν μερίδες τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, χάριν εὐλογίας, οἷς ἐστέλλοντο, ὅπερ ὁ κανὼν οὗτος ἐκώλυσε γίνεσθαι. Τὸ γὰρ περιάγεσθαι ἐν μακραῖς ὁδοιπορίαις τὰ θεῖα μυστήρια, καὶ ὡς ἔτυχε τὰ πάντιμα φέρεσθαι, ἀπρεπὲς καὶ οὐκ εὔσχημον ἐλογίσθη δικαίως καὶ εὐσεβῶς.

ΒΑΛΣ. Ὅπερ σήμερον γίνεται παρὰ τῶν Λατίνων κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα, (ἐπιμερίζουσι γὰρ τὰ ἄζυμα τοῖς κοινολαΐταις μετὰ τὸ ἁγιασθῆναι ὡς κοινὰ), τοῦτο καὶ παρὰ

---

(1) τοῖς ἄλλοις Π.—(2) μεταπέμπεσθαι Χ. Τρ. Βευερ.

τῶν ἡμετέρων, ὡς ἔοικεν, ἐγίνετο τὸ παλαιὸν εἰς τὰ ἅγια μυστήρια. Κωλύει γοῦν τοῦτο ὁ κανών, καὶ διορίζεται μὴ τῆδε κἀκεῖσε μετακομίζεσθαι, ὡς κοινὰ καὶ τυχόντα, τὰ ὑπεράγια.

ΑΡΙΣΤ. Διαπέμπεσθαι τὰ ἅγια εἰς παροικίαν, ἀνάξιον.

Ὁ μέλλων μετασχεῖν τῶν θείων ἁγιασμάτων, τῇ ἐκκλησίᾳ προσερχέτω, καὶ δι' ἱερέως, ἢ λειτουργοῦ, λαμβανέτω τὴν κοινωνίαν, κατὰ τὸν μέγαν Βασίλειον. Τὸ δὲ στέλλεσθαι τὰ ἅγια εἰς παροικίας ἑτέρας, λόγῳ εὐλογιῶν, ἀνάξιον.

## Κανὼν ΙΕ'.

### Περὶ τοῦ μὴ δεῖν πλὴν (1) τῶν κανονικῶν ψαλτῶν, τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

---

ΖΩΝΑΡ. Εὐταξίαν βούλονται οἱ τῆς συνόδου ἐν ταῖς ἐκκλησίαις φυλάττεσθαι· διὸ καὶ μὴ δεῖν εἶπον ψάλλειν ἐν ταῖς ἐκκλησίαις τὸν βουλόμενον, ἀλλὰ τοὺς ψάλτας τοὺς κανονικούς, τοὺς ἐν κλήρῳ δηλαδὴ τεταγμένους, τοὺς ἐν ἑκάστῃ ἐκκλησίᾳ κεχειροτονημένους, τοὺς ἀπὸ διφθέρας ψάλλοντας. Διφθέρας δὲ ὠνόμασαν ἃς ὁ κλεινὸς Παῦλος μεμβράνας ἐκάλεσεν ἐπιστέλλων τῷ Τιμοθέῳ, Φέρε, γράψας, τὰ βιβλία, μάλιστα δὲ τὰς μεμβράνας(2), διφθέραι γὰρ τὰ δέρματα λέγονται, ἐξ ὧν αἱ μεμβράναι ἐργάζονται. Τὰ βιβλία τοίνυν τὰ ἐκκλησιαστικὰ λέγονται καλέσαι οἱ τῆς συνόδου Πατέρες διφθέρας.

ΒΑΛΣ. Φαίνεται, ὅτι τὸ παλαιὸν κοινολαῖται τινὲς ἰδιοῦντο τὰ τῶν κληρικῶν προνόμια, καὶ ἐπ' ἐκκλησίας τῶν θείων ψαλτῳδημάτων κατήρχοντο, εἰς καταφρόνησιν τῶν κληρικῶν. Ἔψαλλον δὲ καί τινα παρηλλαγμένα καὶ ἀσυνήθη, οἷά εἰσι τὰ σήμερον ψαλλόμενα παρὰ τῶν γυναικῶν τῶν ἑπομένων τοῖς σίγνοις. Ταῦτα οὖν ἀποτρέποντες οἱ Πατέρες φασί, μηδένα ἕτερον, πλὴν τῶν κληρικῶν τῶν ἐπ' ἄμβωνος ἀναγινωσκόντων ἐπ' ἐκκλησίας, κατάρχεσθαι τῶν θείων ψαλτῳ-

---

(1) Σ. Ρ. — πλέον, οἱ λοιποί. — (2) β', Τιμόθ. Δ', 13.

δημάτων· τὸ γὰρ συμψάλλειν καὶ λαϊκοὺς ἐπ' ἐκκλησίας οὐ κεκώλυται, ἀλλὰ μηδὲ ἑτεροῖα ψάλλειν παρὰ τὰ γεγραμμένα ἐν ταῖς ἀπὸ διφθερῶν, ἤτοι μεμβρανῶν, συντεθειμέναις ἐκκλησιαστικαῖς βίβλοις· ὅτι δὲ διφθέρα πᾶν δέρμα (1) λέγεται, τῶν ὁμολογουμένων ἐστί. Σημείωσαι ταῦτα διὰ τοὺς μοναχούς, τοὺς μὴ δεξαμένους ἐπισκοπικὴν ἐπικουρίδα, καὶ ἀτάκτως ἐπ' ἄμβωνος ἀναγινώσκοντας· καὶ διὰ τοὺς λαϊκούς, τοὺς χοροστάτας τῶν κονδακίων (2), τοὺς ἐπ' ἐκκλησίας, καὶ ἐν ταῖς ἀγοραῖς δομεστικεύοντας. Ὡσαύτως σημείωσαι, ὅτι καὶ τὰ τῶν ψαλτῶν μινυρίσματα, καὶ τὰ θυμελικὰ μελῳδήματα, πάντη κεκώλυνται.

ΑΡΙΣΤ. Εἰ μὴ μετὰ διφθέρας, οὐδεὶς ἀμβωνίζεται.

Οὐ δεῖ ἐπ' ἄμβωνος ἀνέρχεσθαί τινας, μὴ ἱερατικὴν κουρὰν ἔχοντας, καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς δεξαμένους, καὶ τοὺς θείους τῷ λαῷ λόγους ὑποφωνεῖν. Πλὴν καὶ τούτους, μὴ ἄλλως ψάλλειν ἐπ' ἄμβωνος, εἰ μὴ μετὰ διφθέρας, ἤτοι φελωνίου.

## Κανὼν Ις'.

### Περὶ τοῦ ἐν σαββάτῳ εὐαγγέλια μετὰ ἑτέρων (3) Γραφῶν ἀναγινώσκεσθαι.

---

ΖΩΝΑΡ. Ἔοικε, μήπω τότε τὴν κατάστασιν τῶν ἐκκλησιῶν εἶναι, οἷα μετὰ ταῦτα ἐγένετο, ἀλλ' ὅταν ἠθροίζοντο οἱ πιστοί, εὐχαὶ μόνον ἐγίνοντο, καὶ προσέφερον τὴν ἀναίμακτον θυσίαν οἱ ἱερεῖς· καὶ διὰ τοῦτο ὥρισεν ἡ σύνοδος εἰς καταρτισμὸν τῶν πιστῶν ἀναγινώσκεσθαι ἐν σαββάτῳ Εὐαγγέλιον μετὰ ἑτέρων Γραφῶν.

ΒΑΛΣ. Πρὸ τοῦ συντελεσθῆναι τὴν κατάστασιν τῶν ἐκκλησιαστικῶν ψαλτῳδημάτων, οὐκ ἀνεγινώσκετο Εὐαγγέλιον, ἢ ἄλλη τις Γραφὴ ἐπ' ἐκκλησίας κατὰ τὴν ἡμέραν τοῦ σαββάτου· ἀλλὰ διὰ τοὺς κανόνας, τοὺς λέγοντας μὴ νηστεύειν

(1) Χ. Τρ. 'Ε. — διφθέραι τὰ δέρματα Βευερ. — (2) Βευερ. — τῶν κουδῶν Χ. Τρ. 'Ε. — (3) μετὰ καὶ ἑτέρων Γραφῶν Π.

ἢ γόνυ κάμπτειν κατὰ τὸ σάββατον, ἐπανηγύριζον τηνικαῦτα οἱ ἄνθρωποι τὰ πολλὰ, μηδὲ ἐκκλησιαστικῶν συνάξεων γινομένων. Τοῦτο οὖν οἱ Πατέρες ἀποτρέποντες, ὥρισαν καὶ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου πᾶσαν ἐκκλησιαστικὴν ἀκολουθίαν τελεῖσθαι.

ΑΡΙΣΤ. Εὐαγγέλιον, καὶ Ἀπόστολος, καὶ ἕτεραι Γραφαὶ ἀναγινωσκέσθωσαν τοῖς σάββασιν.

## Κανὼν ΙΖʹ.

**Περὶ τοῦ μὴ δεῖν ἐπισυνάπτειν ἐν ταῖς συνάξεσι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.**

---

ΖΩΝΑΡ. Ἔθους ἦν καὶ τοῦτο παλαιοῦ, ὅπερ ἐσχόλασεν, εἰς ἄλλην κατάστασιν καὶ τάξιν ἐλθούσης τῆς ἐκκλησίας.

ΒΑΛΣ. Τῶν ψαλμῶν ἀναγινωσκομένων διὰ μιᾶς ὑφῆς κατὰ παλαιὰν παράδοσιν, καὶ τοῦ συναγομένου λαοῦ ἀποκναίοντος, κἀντεῦθεν ἀκηδιῶντος ὑπὸ τοῦ κόπου, καὶ ἐξερχομένου ἀπὸ τῆς ἐκκλησίας, ὥρισαν οἱ Πατέρες μὴ συναπτῶς ἐν ταῖς συνάξεσιν ἐκφωνεῖσθαι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου γίνεσθαι καὶ ἀναγνώσεις, ἐφ' ᾧ ἀναπαύεσθαι τὸν λαὸν πρὸς μικρὸν, καὶ πάλιν ψάλλειν. Διὰ γὰρ τοῦτο καὶ εἰς καθίσματα διάφορα τὸ ἱερὸν κατεμερίσθη Ψαλτήριον. Χάρις οὖν τοῖς ἁγίοις Πατράσι καὶ ὑπὲρ ταύτης τῆς κηδεμονίας.

ΑΡΙΣΤ. Ἐν ταῖς συνάξεσιν ἀναγνώσεις τοὺς ψαλμοὺς περικοπτέτωσαν.

Τοῦ λαοῦ πρὸς ὄρθρον ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένου, δεῖ μεταξὺ τῶν ψαλμῶν ἀναγνώσεις γίνεσθαι, καὶ μὴ ἐπισυνάπτειν αὐτοὺς, καὶ ψάλλειν κατὰ συνέχειαν, ἵνα μὴ κατάκοποι γενόμενοι οἱ συναθροιζόμενοι, πρὸς ῥᾳθυμίαν ἐκκλίνωσι.

## Κανὼν ΙΗʹ.

**Περὶ τοῦ τὴν αὐτὴν λειτουργίαν τῶν εὐχῶν πάν-**

τοτε καὶ ἐν ταῖς ἐννάταις, καὶ ἐν ταῖς ἑσπέραις ὀφείλειν γίνεσθαι.

---

ΖΩΝΑΡ. Ὁ ἑκατοστὸς τρίτος τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν διατάττεται, ἐν ταῖς ἱκεσίαις τὰς κεκυρωμένας παρὰ τῆς συνόδου εὐχὰς παρὰ πάντων λέγεσθαι, καὶ μὴ νέας ἄλλας. Τοῦτο οὖν ἔοικε καὶ ὁ παρὼν κανὼν διατάττεσθαι, τὸ μὴ τὸν βουλόμενον δηλαδὴ εὐχὰς ἰδίας συντιθέναι, καὶ ταύτας λέγειν ἐν ταῖς συνάξεσιν, ἀλλὰ τὰς αὐτὰς εὐχὰς, ἤγουν τὰς ἤδη παραδεδομένας, γίνεσθαι ἐν πάσῃ συνάξει.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν διορθωτικός ἐστι παλαιοῦ τινος ἔθους ἀτάκτου. Φαίνεται γὰρ, ὥς τινες ἐξ ὑπεροψίας εὐχὰς συντιθέμενοι εἰς τὰς ἑσπερινὰς ὑμνῳδίας, ἀνεγίνωσκον αὐτάς· καὶ αἰτιώμενοι, ἔλεγον μηδέν τι ἀπεικὸς ποιεῖν, μηδὲ παραλύειν τὰς παρὰ τῶν Πατέρων δεδομένας εὐχάς. Ἐκεῖναι μὲν γὰρ εἰς τὰς ἐννάτας ἐτυπώθησαν γίνεσθαι, αἱ δὲ παρ' αὐτῶν γεγονυῖαι εἰς τὰς ἑσπερινὰς ὑμνῳδίας (1) ἐκφωνοῦνται. Φασὶν οὖν οἱ Πατέρες, ἀρκεῖν τὰς παραδεδομένας εὐχὰς καὶ ἐν ταῖς ἐννάταις, καὶ ἐν ταῖς ἑσπέραις, καὶ ἐν πάσαις ἁπλῶς ταῖς συνάξεσι· καὶ μὴ ἔχειν ἄδειαν τὸν βουλόμενον εὐχὰς συντιθέναι.

ΑΡΙΣΤ. Ἐννάταις καὶ ἑσπέραις αἱ αὐταὶ εὐχαὶ ἐπιτελείσθωσαν.

Παρὰ τὰς κεκυρωμένας εὐχὰς, καὶ τὰ κεκανονισμένα βιβλία, οὐ δεῖ εὐχὰς ἄλλας, ἢ ψαλμοὺς ἰδιωτικοὺς ἢ λέγεσθαι, ἢ ψάλλεσθαι· ἀλλὰ τὰς αὐτὰς εὐχὰς ἀεὶ ἐπιτελεῖσθαι, καὶ ἐν ἐννάταις, καὶ ἐν ἑσπέραις.

## Κανὼν ΙΘ'.

**Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων, καὶ τῶν κατηχουμένων εὐχὴν ἐπιτελεῖσθαι· καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τὴν εὐχὴν γίνεσθαι· καὶ τούτων προσελθόντων ὑπὸ**

---

(1) Χ. Τρ. — ὑμνῳδοὺς Ἑ. Βευερ.

χεῖρα καὶ ὑποχωρησάντων, οὕτω τῶν πιστῶν τὰς εὐχὰς γίνεσθαι τρεῖς, μίαν μὲν τὴν πρώτην διὰ σιωπῆς. τὴν δὲ δευτέραν καὶ τρίτην διὰ προσφωνήσεως πληροῦσθαι· εἶθ' οὕτω τὴν εἰρήνην δίδοσθαι· καὶ μετὰ τὸ τοὺς (1) πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τὴν εἰρήνην, τότε τοὺς λαϊκοὺς τὴν εἰρήνην διδόναι, καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι· καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ κοινωνεῖν.

—

ΖΩΝΑΡ. Τοῖς κατηχουμένοις ὡμίλουν πρότερον οἱ ἐπίσκοποι κατηχοῦντες καὶ διδάσκοντες αὐτούς. Εἶτα ἐλέγετο ἡ ἐπὶ τοῖς κατηχουμένοις εὐχὴ, καὶ ἐξελθόντων ἐκείνων, τοῖς ἐν μετανοίᾳ οὖσι,* τοῖς ἐν ὑποπτώσει δηλαδὴ* (2), ἑτέρα ἐτελεῖτο εὐχὴ, καὶ τὰ λοιπὰ, ἃ ὁ κανὼν λέγει· ἀλλὰ νῦν τὰ τῶν ἐν μετανοίᾳ οὐ γίνεται, οὐκ οἶδ' ὅπως σχολάσαντα. Εἶτα τὴν εἰρήνην τοῖς ἐπισκόποις ἐδίδουν οἱ ἱερεῖς, τὸν ἀσπασμὸν δηλαδή· ἀγάπης γὰρ σύμβολόν ἐστιν ὁ ἀσπασμὸς, τῇ δὲ ἀγάπῃ τὸ εἰρηνεύειν ἑπόμενον. Καὶ τοῖς ἱερεῦσιν αὖθις οἱ λαϊκοὶ ἐδίδουν τὴν εἰρήνην, ὃ νῦν οὐ γίνεται ἀπρακτῆσαν, ὡς καὶ ἄλλα τῶν πάλαι τελουμένων πολλά. Καὶ ἐπὶ τούτοις ἡ τῆς προσφορᾶς ἐγίνετο τελετὴ, ἤτοι προσεφέρετο ἡ ἀναίμακτος θυσία, καὶ ἡγιάζετο· τελεσθείσης δὲ τῆς θυσίας ταύτης ἡ μετάδοσις αὐτῆς ἐνηργεῖτο. Κοινωνεῖν δὲ ταύτης ἐντὸς τοῦ θυσιαστηρίου μόνοις τοῖς ἱερατικοῖς ἔξεστι, λέγει ὁ κανών.

ΒΑΛΣ. Κατηχούμενοι μὲν λέγονται, οἱ πρὸς τὸ βάπτισμα ἑτοιμαζόμενοι· ἐν μετανοίᾳ δέ εἰσιν, οἱ διά τινα ἁμαρτήματα ἐπιτιμηθέντες· πιστοὶ, οἱ ἀξιούμενοι καὶ τῆς ἁγίας μεταλήψεως. Καταλαμβάνεται οὖν, ὡς ἄλλη τις ἀκολουθία (3) ἐκράτει κατὰ τὸν τότε καιρὸν ἐν τῇ θείᾳ ἱεροτελεστίᾳ· καὶ διὰ τοῦτο οἱ Πατέρες ὥρισαν τὰ ἐνταυθοῖ κανονισθέντα. Ἐπεὶ δὲ σήμερον εἰς ἄλλην ἀκολουθίαν μετέπεσον ταῦτα, οὐ χρὴ περὶ ἐκείνων ἑρμηνεύειν. Εἰρήνη δὲ μέσον τῶν ἐπισκό-

(1) Π. — ἄνευ τοῦ, τούς, οἱ λοιποί. — (2) Χ. Τρ. καὶ παρὰ Κ. λατινιστὶ μόνον. — (3) ὡς ἄλλη τις οἰκονομία Ἐ.

πων γίνεται διὰ τοῦ ἀσπασμοῦ· ἀγάπης γὰρ σύμβολόν ἐστιν ὁ ἀσπασμός· τῇ δὲ ἀγάπῃ τὸ εἰρηνεύειν ἑπόμενον. Σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος μόνοις τοῖς ἱερωμένοις ἐφεῖται ἐντὸς τοῦ θυσιαστηρίου κοινωνεῖν. Περὶ δὲ τοῦ μὴ εἰσιέναι λαϊκοὺς εἰς τὸ θυσιαστήριον, ἀνάγνωθι τῆς ς'. συνόδου κανόνα ξθ'. καὶ ο. καὶ τῆς παρούσης συνόδου κανόνα μδ'.

ΑΡΙΣΤ. Μετὰ τὴν τῶν κατηχουμένων εὐχὴν, τὴν τῶν ἐν μετανοίᾳ προσάγεσθαι δεῖ, καὶ μετὰ τοῦτο, τὴν τῶν πιστῶν· καὶ μετὰ τὴν εἰρήνην, ἤτοι τὸν ἀσπασμὸν, τὴν ἀναφορὰν γίνεσθαι, μόνων εἰσιόντων εἰς τὸ βῆμα, καὶ μεταλαμβανόντων τῶν ἱερέων.

Ὁ παρὼν κανὼν τὴν τάξιν διδάσκει τῶν εὐχῶν, ὅπως ὀφείλει γίνεσθαι· καὶ φάσκει, πρῶτον μὲν τὴν τῶν κατηχουμένων ἐπιτελεῖσθαι εὐχὴν, εἶτα τὴν τῶν ἐν μετανοίᾳ προσάγεσθαι, καὶ μετὰ τοῦτο τὴν τῶν πιστῶν· εἶτα τὴν εἰρήνην, καὶ τὸν ἀσπασμὸν γίνεσθαι, καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι, καὶ μεταλαμβάνειν ἐντὸς τοῦ βήματος μόνους τοὺς ἱερατικούς.

## Κανὼν Κ'.

**Ὅτι οὐ δεῖ διάκονον ἔμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι. Ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν καὶ πάντων τῶν κληρικῶν.**

---

ΖΩΝΑΡ. Ὁ ἕβδομος κανὼν τῆς ς'. συνόδου, περὶ τάξεως ὁρίζει πρεσβυτέρων, καὶ διακόνων, καὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων· καὶ ὅσα ἐν ἐκείνῳ εἴρηται, ἁρμόσουσι καὶ τῷ παρόντι κανόνι.

ΒΑΛΣ. Τὰ γραφέντα εἰς τὸν ζ'. κανόνα τῆς ς'. συνόδου, καὶ τὸν ιή. τῆς ἐν Νικαίᾳ περὶ τάξεως πρεσβυτέρων, καὶ διακόνων, ἀρκοῦσι καὶ εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΡΙΣΤ. Ἀκέλευστος μὴ καθεζέσθω διάκονος.

Ἔμπροσθεν πρεσβυτέρου μὴ καθεζέσθω διάκονος, εἰ μὴ κελευθῇ ὑπ' αὐτοῦ· ἀλλὰ μηδὲ οἱ λοιποὶ ὑπηρέται τῆς ἐκκλησίας καὶ κληρικοὶ ἔμπροσθεν διακόνου, εἰ μὴ καὶ αὐτοὶ ὑπ' αὐτοῦ κελευθῶσιν.

## Κανὼν ΚΑ'.

Ὅτι οὐ δεῖ ὑπηρέτας ἔχειν χώραν ἐν τῷ διακονικῷ, καὶ ἅπτεσθαι τῶν ἱερῶν (1) σκευῶν.

—

ΖΩΝΑΡ. Ὑπηρέτας τοὺς ὑποδιακόνους λέγει, οὓς οὐ χρή, φησὶν ὁ κανὼν, χώραν ἔχειν ἐν τῷ διακονικῷ, ἀντὶ τοῦ, οὐκ ἐκκεχώρηται αὐτοῖς ἐνεργεῖν τὰ τῶν διακόνων, καὶ ἅπτεσθαι (2) τοῦ ἄρτου καὶ τοῦ οἴνου, τῶν εἰς θυσίαν προσφερομένων, ἢ τῶν δεχομένων αὐτὰ ἱερῶν σκευῶν, τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ποτηρίου(3), οὐ γὰρ ἐφεῖται αὐτοῖς προσκομίζειν.

ΒΑΛΣ. Ὑπηρέται λέγονται οἱ ὑποδιάκονοι· τούτους οὖν κωλύει ὁ κανὼν, τὰ τῶν διακόνων μεταχειρίζεσθαι, ἤγουν ἅπτεσθαι τῶν ἱερῶν σκευῶν, τουτέστι τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ. Μηδὲ γὰρ εἴπῃς, μὴ ὀφείλειν τούτους ἅπτεσθαι τῶν ἱερῶν σκευῶν, ἤτοι τοῦ ἁγίου ποτηρίου καὶ τοῦ ἁγίου δίσκου, κενῶν ὄντων· αὐτοῖς γὰρ μᾶλλον οἰκεία ἐστὶν ἡ τούτων ὑπηρεσία (4) ἢ καὶ μετάθεσις.

ΑΡΙΣΤ. Σκευῶν ὑπηρέτης μὴ ἅπτοιτο.

Οὐ χειραπτοῦσιν οἱ ὑπηρέται τῆς ἐκκλησίας τῶν σκευῶν τῶν δεσποτικῶν· ἀλλὰ παρὰ ἱερέων, ἢ διακόνων, τῇ ἱερᾷ τραπέζῃ ταῦτα προσάγονται.

## Κανὼν ΚΒ'.

Ὅτι οὐ δεῖ ὑπηρέτην ὠράριον φορεῖν, οὐδὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

—

(1) Χ. Τρ. Βευερ. — ἄνευ τοῦ, τῶν, Π. — δεσποτικῶν σκευῶν Ἑ. Κ. Βρ. Σ. Ρ. — (2) καὶ ἅπτεσθαι τῶν ἱερῶν ἢ τοῦ, Βευερ. — (3) τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ποτηρίου, οὐ κεῖται ἐν Χ. Τρ. — (4) Χ. Τρ. — διακονία Ἑ.

ΖΩΝΑΡ. Ἑκάστῳ ἱερατικῷ (1) τάγματι ἀπονενέμηται καὶ στολὴ οἰκεία αὐτῷ, καὶ ὑπηρεσία. Τοῖς γοῦν ὑπηρέταις, ἤτοι τοῖς ὑποδιακόνοις, οὐκ ἐφεῖται φορεῖν ὠράριον· τοῦτο γὰρ τῶν διακόνων ἐστί. Τὸ δὲ μὴ ἐγκαταλιμπάνειν τὰς θύρας τοιοῦτον ἐστί· τὸ παλαιὸν περὶ τὰς θύρας ὑπηρέτουν τῶν ἐκκλησιῶν, ἐκβάλλοντες τοὺς κατηχουμένους, καὶ τοὺς ἐν μετανοίᾳ, ὅτε ἔδει· διὸ καὶ νῦν αὐτοὶ ἐκφωνοῦσι, τὸ, Οἱ κατηχούμενοι προσέλθετε. Εἰ δὲ νῦν οὐ περὶ τὰς θύρας ἀσχολοῦνται, οὐ θαυμαστόν· πολλὰ γὰρ τῶν ἐν ταῖς ἐκκλησίαις πάλαι γινομένων, νῦν ἄλλως ἐκράτησε γίνεσθαι. Καὶ τοῖς ἀναγνώσταις γὰρ τὸ ἀναγινώσκειν τὰς θείας Γραφὰς εἰς ἐπήκοον τοῦ λαοῦ ἔργον ἦν, ὡς καὶ ἐκ τοῦ ὀνόματος αὐτῶν δείκνυται, καὶ ἐκ τοῦ ἑξῆς κανόνος, καὶ τοῦ ἐννενηκοστοῦ τῆς ἐν Καρθαγένῃ συνόδου· ἀλλὰ νῦν ἔργον αὐτοῖς τὸ ψάλλειν· τὸ δὲ ἀναγινώσκειν αὐτοὺς, ὡς ἐπ᾽ ἐλάχιστον γίνεται.

ΒΑΛΣ. Τὸ ὠράριον φορεῖν μόνων ἐστὶ τῶν διακόνων. Οὗτοι γὰρ τοῖς ἱερουργοῦσι παριστάμενοι, καὶ ἐπιτηροῦντες τὰς τῶν ἁγίων εὐχῶν τελετὰς, καὶ τὰς τῶν πρεσβυτέρων ἐκφωνήσεις, διδόασιν εἴδησιν διὰ τοῦ ὠραρίου τοῖς ἐν τῷ ἄμβωνι διακόνοις, τῆς ὀφειλούσης γίνεσθαι ἐκφωνήσεως, ἤγουν τοῦ καιροῦ τῆς ἐκτενῆς τῶν αἰτήσεων τῶν κατηχουμένων, καὶ τῶν λοιπῶν· καὶ ἐκλήθη ὠράριον, ἀπὸ τοῦ ὡρῶ, τοῦ φυλάσσω καὶ ἐπιτηρῶ. Ὥσπερ δὲ τοῖς διακόνοις τοῦτο ἀπενεμήθη, δέδοκται καὶ τοὺς ὑποδιακόνους τὰς θύρας τῶν ἐκκλησιῶν κατέχειν, καὶ εἰσάγειν, καὶ ἐξάγειν τοὺς κατηχουμένους, καὶ τοὺς ἐν μετανοίᾳ. Διὰ γὰρ τοῦτο καὶ σήμερον παρὰ τῶν ὑποδιακόνων λέγεται, τὸ, Ὅσοι πιστοὶ, δηλονότι οἱ μὴ πιστοὶ, ἀλλὰ κατηχούμενοι ὄντες, ἐξέλθετε· οἱ δὲ πιστοὶ, ἵστασθε, ὀψόμενοι τὴν τῶν ἁγίων μυστηρίων θυσίαν. Καὶ οὐ μόνον ταῦτα τὰ προνόμια τούτοις ἐδόθησαν· ἀλλὰ καὶ τοῖς λοιποῖς τάγμασι. Τοῖς γὰρ ἀναγνώσταις διακονία ἐδόθη, οὐχὶ τὸ ψάλλειν, ἀλλὰ τὸ ἀναγινώσκειν τὰς θείας Γραφὰς, ἐπὶ κοινῇ ἀκροάσει, καὶ τοῖς ψάλταις τὸ ψάλλειν. Ἐπειδὴ οὖν ἐπεχείρουν τινὲς ὑπο-

(1) ἱερῷ Κ. Βευερ.

διάκονοι ὠράρια φορεῖν, παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἐκώλυσαν τοῦτο οἱ Πατέρες, καὶ διωρίσαντο μὴ ἐγκαταλιμπάνειν αὐτοὺς τὴν φυλακὴν τῶν ἀπονεμηθεισῶν αὐτοῖς θυρῶν τῶν ἐκκλησιῶν, ἵνα μὴ ἀταξία γένηται τῶν ἱερατικῶν (1) ταγμάτων.

ΑΡΙΣΤ. Ὑπηρέτην ὠράριον οὐ δεῖ φορεῖν, οὐδὲ τὰς θύρας καταλιμπάνειν.

Ἕκαστος ὀφείλει τὴν ἑαυτοῦ συντηρεῖν τάξιν, καὶ ἐπιμελῶς τὴν ἰδίαν ὑπηρεσίαν ἐκπληροῦν. Διὰ τοῦτο γοῦν οὐδὲ οἱ ὑπηρέται τῆς ἐκκλησίας τὰς θύρας ἐγκαταλιμπάνειν ὀφείλουσιν, ἀλλὰ μέχρι τέλους τῆς θείας μυσταγωγίας ἐκεῖσε ἵστασθαι, καὶ τὸ ἀνῆκον αὐτοῖς λειτούργημα ἐκπληροῦν. Ὠράριον δὲ, μήτε αὐτοὺς, μήτε ἀναγνώστας, ἢ ψάλτας φορεῖν· τοῦτο γὰρ τῶν διακόνων ἐστίν.

## Κανὼν ΚΓ'.

Ὅτι οὐ δεῖ ἀναγνώστας, ἢ ψάλτας ὠράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν, ἢ ψάλλειν.

---

ΖΩΝΑΡ. Διὰ τὰς εἰρημένας αἰτίας, οὐδὲ τούτοις ἔξεστιν ὠράριον φορεῖν· τὸ γὰρ ἀναγινώσκειν ἀποδοτέον τοῖς ἀναγνώσταις, τὸ δὲ ψάλλειν τοῖς ψάλταις.

ΒΑΛΣ. Τὰ εἰς τὸν κβ'. κανόνα γραφέντα, ἀρκοῦσι καὶ εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΑΡΙΣΤ. Ψάλται καὶ ἀναγνῶσται οὐ φοροῦσιν ὠράριον.

## Κανὼν ΚΔ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων (2), καὶ ἑξῆς τῆς ἐκκλησιαστικῆς τάξεως ἕως ὑπηρετῶν, ἢ ἀναγνωστῶν, ἢ ψαλτῶν, ἢ ἐφορκιστῶν, ἢ θυρωρῶν, ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

---

(1) Χ. Τρ. — ἱερῶν Ἑ. Βενετ. — (2) Η. Βρ. Ζ. Ρ. — ἀπὸ πρεσβυτέρου, ἕως διακόνου Χ. Τρ. Ἑ. Κ. Βενετ.

ΖΩΝΑΡ. Καὶ ὁ νδ'. ἀποστολικὸς κανὼν ἀπαγορεύει τοῖς κληρικοῖς εἰσιέναι εἰς καπηλεῖον, εἰ μή που ὁδεύοιεν, καὶ ἐν πανδοχείῳ δι' ἀνάγκην καταλύσωσι. Τοῦτο οὖν καὶ ὁ παρὼν κανὼν διατάττεται, προσθέμενος καὶ τοὺς ἀσκητάς.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν νδ'. ἀποστολικὸν κανόνα, τῆς ἐν Καρθαγένῃ κανόνα μ'. καὶ τῆς ϛ'. κανόνα θ'. καὶ ἀρκέσουσι τὰ ἐν ἐκείνοις γραφέντα, καὶ εἰς τὸν παρόντα κανόνα.

ΑΡΙΣΤ. Ἅπας κληρικὸς ἀκαπήλευτος.

Ἀπὸ πρεσβυτέρων μέχρι καὶ τῶν ἐσχάτου τάγματος τῶν ἱερατικῶν, πάντες κωλύονται εἰς καπηλεῖον εἰσέρχεσθαι.

## Κανὼν ΚΕ'.

Ὅτι οὐ δεῖ ὑπηρέτην (1) ἄρτον διδόναι, οὐδὲ ποτήριον εὐλογεῖν.

---

ΖΩΝΑΡ. Ἐπεὶ ἅπτεσθαι τῶν ἱερῶν σκευῶν αὐτοῖς οὐκ ἐφεῖται, οὐδὲ ἐν τῷ διακονικῷ ἐμφιλοχωρεῖν, καί τι ἐνεργεῖν ἐκεῖ, πολλῷ πλέον αὐτοῖς οὐ παραχωρηθήσεται τὸ ἄρτον (2) διδόναι, τουτέστι μεταδιδόναι τοῖς πιστοῖς τοῦ σώματος τοῦ Κυρίου, καὶ εὐλογεῖν τὸ ποτήριον τοῦ αἵματος τοῦ Κυρίου.

ΒΑΛΣ. Ἀρκοῦσι καὶ εἰς τοῦτον τὸν κανόνα τὰ εἰς τὸν κά. γραφέντα.

ΑΡΙΣΤ. Ἄρτον καὶ ποτήριον ὑπηρέτης οὐ δίδωσι.

Τὸ τῶν πρεσβυτέρων καὶ διακόνων ἔργον οἱ ὑπηρέται τῆς ἐκκλησίας οὐ συγκεχώρηνται ἐκτελεῖν· διὰ τοῦτο οὐδὲ ἄρτον, ἢ ποτήριον διδόασι τῷ λαῷ.

## Κανὼν Κϛ'.

Ὅτι οὐ δεῖ ἐφορκίζειν (3) τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

---

ΖΩΝΑΡ. Καὶ μὴν μετὰ τῶν ἄλλων καὶ ἐφορκιστὰς ποιεῖν

(1) ὑπηρέτας Π. Βρ. Σ. Ρ.—(2) Ἑ. Χ. Τρ. — τὸν ἄρτον Βευερ. —(3) ἐπορκίζειν Βρ.

δέδοται τοῖς χωρεπισκόποις, κατὰ τὸν ί. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Πῶς οὖν ἐνταῦθα λέγει, μὴ ἐφορκίζειν τοὺς μὴ ὑπὸ ἐπισκόπων προαχθέντας; Φασὶν οὖν, ὅτι καὶ οἱ χωρεπίσκοποι τάξιν ἐπισκόπων ἔχουσι· διὸ καὶ ὁ ιδ'. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τῶν ἑβδομήκοντα Ἀποστόλων τύπον λέγει πληροῦν, καὶ ὁ ή. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν καὶ εἰρηνικὰς ἐπιστολὰς διδόναι ἐφίησιν αὐτοῖς, ὅπερ τῶν ἐπισκόπων ἐστίν.

ΒΑΛΣ. Τινὲς ἐπεχείρουν ἐφορκίζειν, τουτέστι, κατηχεῖν ἀπίστους, μὴ λαβόντες τοῦτο δι' ἐπισκοπικῆς χειροθεσίας· καὶ αἰτιώμενοι, διετείνοντο μὴ ποιῆσαι τοῦτο εἰς ἐκκλησίαν, ἀλλ' εἰς οἰκίαν τινά· κἀντεῦθεν ἤθελον διατηρεῖσθαι ἀνεύθυνοι. Φασὶν οὖν οἱ Πατέρες, ὅτι καὶ τὸ ἐφορκίζειν, ἐκκλησιαστικὴ διακονία ἐστί, καὶ οὐ χρή τινα τούτων μεταχειρίζεσθαι ὁπουδήποτε, εἰ μὴ παρὰ ἐπισκόπου προβληθῇ. Ὑπέξελέ μοι τὸν παρὰ χωρεπισκόπου προχειρισθέντα ἐφορκιστήν· καὶ οὗτος γὰρ καλῶς κατηχήσει, κἂν μὴ προχειρισθῇ παρὰ ἐπισκόπου· ἔμαθες γὰρ ἀπὸ τοῦ ί. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου, δύνασθαι τὸν χωρεπίσκοπον ποιεῖν καὶ ἐφορκιστήν.

ΑΡΙΣΤ. Οὐκ ἐφορκίζει ὁ μὴ παρ' ἐπισκόπου προαγόμενος.

Καὶ οἱ ἐφορκισταί, καθὼς καὶ οἱ λοιποὶ τοῦ τάγματος, παρὰ τοῦ ἐπισκόπου δέχονται τὴν προχείρισιν. Ὁ γοῦν μὴ προαχθεὶς εἰς τὸν τοιοῦτον βαθμὸν παρὰ ἐπισκόπου, ἐφορκίζειν οὐ δύναται, οὔτε κατ' οἴκους, οὔτε ἐν τῇ ἐκκλησίᾳ.

## Κανὼν ΚΖ'.

Ὅτι οὐ δεῖ ἱερατικούς, ἢ κληρικούς, ἢ λαϊκούς, καλουμένους εἰς ἀγάπην, μέρη αἴρειν, διὰ τὸ τὴν ὕβριν τῇ τάξει προστρίβεσθαι τῇ ἐκκλησιαστικῇ (1).

---

ΖΩΝΑΡ. Ἐν ταῖς γινομέναις ἀγάπαις, τοῖς συμποσίοις δηλονότι, ἐκαλοῦντο μὲν οἱ πένητες, ἐκαλοῦντο δὲ καὶ ἱερωμένοι, καὶ λαϊκοί. Τοὺς οὖν ἱερωμένους καὶ κληρικούς, ἀλλὰ μέντοι καὶ λαϊκούς, λέγει ὁ κανών, μὴ δεῖν μέρη αἴρειν, ἤγουν

(1) Π. Βρ. Ἑ. Κ. Σ. Ῥ. — ἱερατικῇ Βεβερ. Χ. Τρ.

μερίδας τῶν παρατεθειμένων βρωμάτων, καὶ οἴκαδε ἀπάγειν, εἰς ὕβριν ὂν τοῦτο τῆς ἐκκλησιαστικῆς καταστάσεως, λιχνείαν κατηγοροῦν καὶ μοχθηρίαν τῶν ποιούντων αὐτό. Πιστοὺς δὲ τοιούτους εἶναι οὐ χρή· πολλῷ πλέον τοὺς ἱερατικούς.

ΒΑΛΣ. Ἀγάπαι καλοῦνται τὰ παρὰ φιλοχρίστων γινόμενα συμπόσια, ἤγουν τὰ ἁγιομνήσια. Ἐπεὶ οὖν τινες ἐκ τῶν ἀνακειμένων αὐτοῖς συμποσίων (1) μερίδας ἐλάμβανον ἐκ τῶν παρατιθεμένων βρωμάτων, καὶ κατὰ ληξουρίαν οἴκοι ἀπήγαγον, κἀντεῦθεν κατάγνωσις τῶν συνελθόντων ἐγίνετο, πολλάκις δὲ καὶ φιλονεικία ἐκ τούτου μέσον αὐτῶν ἀνεγείρετο, ὥρισαν οἱ Πατέρες, μηκέτι τοῦτο γίνεσθαι ἐφ᾽ ὕβρει τῆς ἱερατικῆς τάξεως.

ΑΡΙΣΤ. Ὁ κληθεὶς εἰς ἀγάπην κληρικὸς, μερίδας οὐκ ἄγεται· ὑβρίζει γὰρ τὴν τάξιν.

Οὔτε κληρικοὶ, οὔτε λαϊκοὶ, κληθέντες εἰς ἀγάπην, μερίδας αἴρειν ὀφείλουσι· τοῦτο γὰρ τὴν ἐκκλησιαστικὴν τάξιν ὑβρίζει, ἀλλὰ μόνον ἐσθίειν, καὶ ὑπαναχωρεῖν.

## Κανὼν ΚΗ΄.

**Ὅτι οὐ δεῖ ἐν τοῖς Κυριακοῖς, ἢ ἐν ταῖς ἐκκλησίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ (2) ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν.**

---

ΖΩΝΑΡ. Τοῦτον τὸν κανόνα αὐτοῖς ῥήμασιν ἡ ἕκτη σύνοδος ἐν τοῖς παρ᾽ αὐτῆς ἐκτεθεῖσι κανόσιν ἔθετο οδ΄. ἔνθα καὶ ἐξηγήθη. Τὰ γοῦν ἐκεῖ εἰρημένα ἀναγνωστέον.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν οδ΄. κανόνα τῆς ϛ΄. συνόδου, αὐτοῖς τοῖς ῥήμασιν ἔχοντα, ὡς καὶ ὁ παρὼν κανών· καὶ ἀρκέσουσί σοι τὰ ἐν ἐκείνῳ γραφέντα. Ζήτει καὶ τὸν οϛ΄. κανόνα τῆς αὐτῆς συνόδου, καὶ τῆς ἐν Καρθαγένῃ μϐ΄.

ΑΡΙΣΤ. Ἐπ᾽ ἐκκλησίας ἀκούβιτα οὐ στρώννυνται, καὶ ἀγάπαι οὐ γίνονται.

Οὐ δεῖ τὸν οἶκον τοῦ Θεοῦ οἶκον ἡγεῖσθαι κοινὸν, καὶ ἐν

(1) Ἐ. Χ. Τρ.—αὐτοῖς συμποσίοις Βευερ.—(2) καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν Σ. Ρ.

αὐτῷ στρωννύειν ἀκούβιτα, ἢ τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον τοῦ ἱεροῦ οἴκου ἐσθίειν.

## Κανὼν ΚΘ'.

Ὅτι οὐ δεῖ Χριστιανοὺς ἰουδαΐζειν καὶ ἐν τῷ σαββάτῳ σχολάζειν, ἀλλ' ἐργάζεσθαι αὐτοὺς ἐν τῇ αὐτῇ ἡμέρᾳ· τὴν δὲ Κυριακὴν προτιμῶντας, εἴγε δύναιντο, σχολάζειν ὡς Χριστιανοί (1). Εἰ δὲ εὑρεθεῖεν Ἰουδαϊσταί, ἔστωσαν ἀνάθεμα παρὰ Χριστῷ.

---

ΖΩΝΑΡ. Τοῖς ἰουδαίοις τιμᾶται τὸ σάββατον, ἀπραξίαν ἄγουσιν ἐκ τῶν ἔργων αὐτῶν, τοῦ παλαιοῦ νόμου τοῦτο αὐτοῖς ἐπιτάσσοντος. Τοῖς δὲ τὸν εὐαγγελικὸν νόμον δεξαμένοις τὸν τελεώτερον, τηρεῖν τὰ τοῦ ἀτελοῦς ἀποτέτραπται. Διὸ καὶ τὸ ἐν σαββάτῳ ἀργεῖν, τοῖς πιστοῖς ὡς ἰουδαϊκὸν ἀπηγόρευται, καὶ τοῖς ἰουδαΐζουσιν ἀνάθεμα ὁ κανὼν ἐπιψηφίζεται ἐν Χριστῷ, τουτέστι κεχωρισμένους εἶναι, καὶ ἀποδιῃρημένους τοῦ Χριστοῦ, ἀργεῖν δ' ἐπιτρέπει κατὰ τὴν Κυριακὴν, διὰ τὴν τοῦ Κυρίου ἀνάστασιν, τὴν ἡμέραν τιμῶντας. Ἀλλ' ὁ μὲν κανὼν, εἰ δύναιντο προσέθετο· ὁ δὲ τῆς πολιτείας νόμος, ἀπαραίτητον τὴν ἀργίαν ἐν τῇ Κυριακῇ ἀπαιτεῖ, ἄνευ τῶν γεωργῶν. Ἐκείνοις γὰρ καὶ ἐν Κυριακῇ ἐργάζεσθαι ἐφίησιν, ὅτι ἴσως τῶν ἔργων κατεπειγόντων, οὐχ εὑρήσουσιν ἄλλην ἡμέραν οὕτως αὐτοῖς εἰς τὰ ἔργα αὐτῶν συμβαλλομένην. Καὶ ὁ ο. κανὼν τῶν ἁγίων Ἀποστόλων, οὔτε νηστεύειν μετὰ ἰουδαίων, οὔτε ἑορτάζειν παραχωρεῖ τοῖς πιστοῖς, ἀλλὰ τῶν μὲν ἱερωμένων, καθαίρεσιν καταψηφίζεται, τοὺς δὲ λαϊκοὺς ἀφορίζει.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ο. κανόνα τῶν ἁγίων Ἀποστόλων, μὴ παραχωροῦντα τοῖς πιστοῖς νηστεύειν ἢ ἑορτάζειν μετὰ ἰουδαίων. Ἐπεὶ δὲ, καθὼς εἴπομεν ἐν τῷ ις'. κανόνι τῆς παρούσης συνόδου, τινὲς ἐν τῷ σαββάτῳ παντελῆ ἀπραξίαν ἐργοχείρου παντὸς εἶχον, καὶ αὐτῶν τῶν θείων ψαλτῳδημά-

---

(1) ὡς οἱ Χριστιανοί. Βευερ.

των, ὅπερ τῆς Ἰουδαϊκῆς θρησκείας ἔργον ἐστίν· ἐν δὲ τῷ κανόνι ἐκείνῳ, περὶ μόνου τοῦ ἀναγινώσκεσθαι τὸ ἅγιον Εὐαγγέλιον καὶ τὰς θείας Γραφὰς οἱ Πατέρες διωρίσαντο· ἄρτι παρακελεύονται, μὴ σχολάζειν τοὺς πιστοὺς κατὰ Ἰουδαίους ἀπὸ τῶν ἐργοχείρων αὐτῶν, ἀλλ' ἐν μὲν τῷ σαββάτῳ ἐργάζεσθαι, τιμᾷν δὲ τὴν Κυριακὴν, διὰ τὴν τοῦ Κυρίου ἀνάστασιν· καὶ τῶν ἐργοχείρων μὲν ἀπέχεσθαι, προσεδρεύειν δὲ ταῖς ἐκκλησίαις. Πλὴν καὶ τοῦτο, δηλαδὴ τὸ μὴ ἐργάζεσθαι κατὰ τὴν Κυριώνυμον, οὐκ ἀναγκαστικῶς ἐπέτρεψαν, ἀλλὰ προσέθεντο, εἴγε δύναιντο οἱ πιστοί. Εἰ γὰρ ἐξ ἀπορίας (1), ἢ ἄλλης τινὸς ἀνάγκης, καὶ κατὰ τὴν Κυριώνυμον ἐργάσεταί τις, οὐ προκριματισθήσεται. Καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα. Ἡ δὲ νδ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, καὶ αὐτοὺς τοὺς γεωργοὺς διορίζεται σχολάζειν κατὰ τὴν Κυριώνυμον. Ἀνάγνωθι καὶ τῆς ϛ'. συνόδου κανόνα ξϛ'.

ΑΡΙΣΤ. Οὐ σάββατον ἀργήσει Χριστιανὸς, ἀλλὰ Κυριακήν. Ἰουδαΐζει γὰρ, ἐν τῷ σαββάτῳ σχολάζων Χριστιανός. Διὰ τοῦτο δεῖ ἐργάζεσθαι ἐν αὐτῇ τῇ ἡμέρᾳ, σχολάζειν δὲ ἐν τῇ Κυριακῇ.

## Κανὼν Λ'.

**Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς (2), ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα Χριστιανὸν, ἢ λαϊκόν· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν.**

—

ΖΩΝΑΡ. Τὸ συλλούεσθαι γυναιξὶν ἄνδρας, καὶ βλαβερόν ἐστιν εἰς ψυχὴν, καὶ ἄλλως ἀσχημοσύνης ἁπάσης ἐπέκεινα. Τὸ γὰρ γυμνὰς ὁρᾶσθαι γυναῖκας παρὰ ἀνδρῶν, καὶ ἄνδρας ὁμοίως αὖθις παρὰ γυναικῶν, ἀναφλέγει τοὺς ἔρωτας, καὶ τῆς σαρκὸς ἀνάπτει τὴν πύρωσιν. Ἀρκετὸν δὲ τῇ σαρκὶ ἡ ἐκ τῆς φύσεως κίνησις· τί δὲ δεῖ πλειόνων ὑλῶν τῇ φλογί; Καὶ πᾶσαν δ' ὑπερβαίνει ἀσχημοσύνην, ὡς καὶ παρὰ τῶν ἐθνῶν

(1) ἐκ πενίας Ἑ. — (2) Π. Βρ. — ἱερατικὸν, ἢ κληρικὸν, ἢ ἀσκητὴν Χ. Τρ. Βευερ. Ἑ. Κ.

τοὺς οὕτω ποιοῦντας ὡς ἀκολάστους καταγινώσκεσθαι. Πᾶσιν οὖν τοῖς Χριστιανοῖς ἀπαγορεύει τοῦτο ὁ κανών.

ΒΑΛΣ. Ἐν τῷ οζ'. κανόνι τῆς ς'. συνόδου, τὰ αὐτὰ τῷ παρόντι κανόνι διοριζομένῳ ἀπαραλλάκτως, ἐγράψαμεν τὰ δόξαντα.

ΑΡΙΣΤ. Γυναιξὶ, τῶν ἀθεμίτων, συλλούεσθαι.

Μεγίστην καθ' ἡμῶν κατάγνωσιν τοῖς ἔθνεσι δίδωσι, τὸ μετὰ γυναικῶν πάντα Χριστιανὸν συλλούεσθαι· διὰ τοῦτο γοῦν, ὡς ἀθέμιτον, ἀπηγόρευται.

## Κανὼν ΛΑ'.

Ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς (1) ἐπιγαμίας ποιεῖν, ἢ διδόναι υἱοὺς, ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γίνεσθαι (2).

—

## Κανὼν ΛΒ'.

Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵτινές εἰσιν ἀλογίαι μᾶλλον, ἢ εὐλογίαι.

—

## Κανὼν ΛΓ'.

Ὅτι οὐ δεῖ αἱρετικοῖς, ἢ σχισματικοῖς (3) συνεύχεσθαι.

—

ΖΩΝΑΡ. Εἰ συνεσθίειν, ἢ συνεύχεσθαι αἱρετικοῖς, ἢ εὐλογίας ἐξ αὐτῶν λαμβάνειν τοὺς πιστοὺς οὐ δεῖ, πολλῷ μᾶλλον γάμον συναλλάσσειν, καὶ διδόναι αὐτοῖς υἱοὺς, ἢ θυγατέρας εἰς ἐπιγαμίαν· διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν κακοδοξίαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως εἰς τὰς διεστραμμένας δόξας αὐτῶν. Εἰ δὲ αἱρετικοὶ βούλονται παῖδας αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι πιστοῖς, ἐπαγγελλομένους ἐξ ἀπίστων Χριστιανοὺς γενέσθαι, ἢ ἐκ διεστραμμένων δογμάτων εἰς ὀρθοδοξίαν μετατεθῆναι, τοῦτο ἐφίησιν ὁ κανών. Τὸ δὲ, οὐ δεῖ πρὸς πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐχ

(1) πρὸς πάντα αἱρετικὸν Βευερ. Π. Χ. Τρ. Ε. Κ. — (2) γενέσθαι Σ. Ρ. Χ. Τρ. — (3) αἱρετικῷ, Βευερ. Χ. Τρ.

οὕτω νοητέον, ὅτι πρὸς πάντα μὲν οὐ δεῖ, πρός τινας δὲ δεῖ· ἀλλ' ἅπαξ ἁπλῶς ἀπαγορεύουσι τοῦτο, μονονουχὶ τοῦ κανόνος λέγοντος, ὅτι πρὸς οὐδένα αἱρετικὸν δεῖ ἐπιγαμίαν ποιεῖν· τοῦτο δὲ, ἰδίωμα γραφικόν ἐστι· λέγει γὰρ ὁ Δαβίδ· Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα (1)· τί οὖν; τινὰ τέως λήψεται; ἀλλ' οὐδὲν πάντως. Καὶ ἀλλαχοῦ· Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων(2); τινὰς δὲ ματαίως ἔκτισεν; οὐδεὶς τοῦτο ἐρεῖ. Οὕτως ἦν ἐκληπτέον κἀνταῦθα τὸ πρὸς πάντας. Τοιοῦτόν ἐστι καὶ τὸ, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου. Αἱρετικοὶ δὲ λέγονται, οἱ περὶ τὴν πίστιν σφαλλόμενοι· σχισματικοὶ δὲ, οἱ περὶ μὲν τὴν πίστιν καὶ τὰ δόγματα ὑγιῶς ἔχοντες, διά τινας δὲ αἰτίας ἀποσχίζοντες καὶ ἀντισυνάγοντες.

ΒΑΛΣ. Οἱ παρόντες τρεῖς κανόνες ἰσοδυναμοῦσι· παρακελεύονται γὰρ τοῖς πιστοῖς, μήτε συνεσθίειν μετὰ αἱρετικῶν, μήτε συνεύχεσθαι, μήτε εὐλογίας ἐξ αὐτῶν λαμβάνειν, μήτε γάμον συναλλάττειν οἰκείῳ ὀνόματι, ἀλλὰ μηδὲ διδόναι πρὸς αἱρετικοὺς, παῖδας οἰκείους· διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν θρησκείαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως. Εἰ δὲ αἱρετικοὶ βούλονται παῖδας αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι πιστοῖς, ἐπαγγελλομένους γενέσθαι πιστοὺς, ἐφίησιν ὁ κανὼν τοῦτο. Τὸ δὲ, οὐ δεῖ πρὸς πάντα αἱρετικὸν, μὴ εἴπῃς ἐκλαμβάνεσθαι, ὡς πρὸς πάντας μὲν οὐ δεῖ, πρός τινας δὲ δεῖ, ἀλλὰ καθόλου εἰπὲ ὑπὸ τῶν κανόνων τοῦτο ἀπαγορεύεσθαι· τοιοῦτον γάρ ἐστι καὶ τὸ γεγραμμένον· Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα· ἐπεὶ καὶ οὗτος ἐκ τοῦ λέγειν τὸν Δαβὶδ, τὰ πάντα οὐ λήψεται, ἐξ ἀντιδιαστολῆς οὐ λάβῃ τινὰ ἐκ τοῦ πλούτου αὐτοῦ. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ί. μέ. καὶ μς', τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα β', τῆς ἐν Χαλκηδόνι κανόνα ιδ', τῆς ἐν Καρθαγένῃ κανόνα κά, τῆς ς'. συνόδου κανόνα οβ', καὶ τοῦ παρόντος συντάγματος τίτλον ιβ'. κεφ. ιγ'. καὶ τὰ ἐν αὐτῷ.

(1) Ψαλμ. ΜΗ, 17. — (2) Ψαλμ. ΠΗ, 48.

ΑΡΙΣΤ. Οὐ διδόναι τοῖς αἱρετικοῖς εἰς συνάφειαν τέκνα, ἀλλὰ λαμβάνειν δεῖ, χριστιανίζειν ἐπαγγελλόμενα.

Τὸ μὲν λαμβάνειν τῶν αἱρετικῶν τέκνα, χριστιανίζειν ἐπαγγελλόμενα, καὶ ἐπισυνάπτειν αὐτὰ εἰς γάμου κοινωνίαν τοῖς παισὶ τῶν Χριστιανῶν, ἐπιτέτραπται. Τὸ δὲ διδόναι τὰ τῶν Χριστιανῶν τέκνα εἰς συνάφειαν τοῖς αἱρετικοῖς, ἐν πολλοῖς τῶν κανόνων ἀπηγόρευται.

ΑΡΙΣΤ. Ἀλογίαι αἱ τῶν αἱρετικῶν εὐλογίαι.

Οὐ δεῖ προσδέχεσθαι τὰ παρὰ τῶν αἱρετικῶν προσαγόμενα· ἀλογίαι γὰρ μᾶλλον ταῦτά εἰσιν ἢ εὐλογίαι.

ΑΡΙΣΤ. Αἱρετικοῖς, ἢ σχισματικοῖς μὴ συνεύξῃ.

Ἀκοινώνητος ὁ τούτοις συνευχόμενος. Σχισματικοὶ δέ εἰσιν οἱ Αὐδιανοί, οἵτινες τὴν μὲν πίστιν, ὡς ἡ καθολικὴ ἐκκλησία, ἔχουσιν· ἐν μοναστηρίοις δὲ οἱ πλείους αὐτῶν οἰκοῦσι, καὶ οὐ πᾶσι συνεύχονται. Ψέγουσι δὲ καὶ τοὺς παρ' ἡμῖν ἐπισκόπους πλουσίους, καὶ ἄλλους εἰς ἄλλα· καὶ μετὰ Ἰουδαίων τὸ Πάσχα ἰδιαζόντως ποιοῦσιν, ἔχουσι δέ τι καὶ ἰδίωμα φιλόνεικον, ξηρότατά τινα τῶν τῆς θείας Γραφῆς ἑρμηνεύοντες.

## Κανὼν ΛΔ'.

**Ὅτι οὐ δεῖ πάντα Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας, τουτέστιν αἱρετικῶν, ἢ αὐτοὺς πρὸς τοὺς (1) προειρημένους αἱρετικοὺς γενομένους· οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν. Ἔστωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς.**

---

ΖΩΝΑΡ. Εἴρηται καὶ ἄνω που, ὅτι τινὲς τῶν αἱρετικῶν ἐν τοῖς καιροῖς τῶν διωγμῶν ἔπαθον, καὶ μέχρι θανάτου ταῖς βασάνοις ἐνεκαρτέρησαν, οὓς οἱ συναιρεσιῶται ἐτίμων ὡς μάρτυρας· οὓς ὁ κανὼν ψευδομάρτυρας ὀνομάζει, καὶ ἀλλοτρίους καλεῖ τοῦ Θεοῦ· τινὲς οὖν τῶν πιστῶν ἀπήρχοντο πρὸς τοὺς τάφους αὐτῶν. Τοὺς οὖν ἀπερχομένους ἀναθέματι καταδικάζει.

(1) Π. Σ. Ῥ. Χ. Τρ. Ἐ. Κ. Βρ. — αἱρετικούς, ἢ αὐτοὺς τοὺς. Βευερ.

ΒΑΛΣ. Ὁ μὲν θʹ. κανὼν τῆς παρούσης συνόδου, ἀκοινωνήτους γίνεσθαί φησι μέχρι τινὸς, τοὺς ἀπερχομένους εἰς τὰ κοιμητήρια τῶν αἱρετικῶν, τὰ καὶ μαρτύρια παρὰ τούτων λεγόμενα. Ὁ δὲ παρὼν κανὼν ἀναθεματίζει τούτους· καὶ ἔστι διαφορὰ τῶν κανόνων. Ἐκεῖ μὲν γὰρ οἱ ἀπερχόμενοι, κατὰ πλάνην καὶ ἀπάτην τινῶν ἀπῆλθον, χάριν τοῦ ἰατρευθῆναι τάχα, καὶ διὰ τοῦτο μετρίως κολάζονται. Ἐνταῦθα δὲ ὁλοψύχῳ διαθέσει ἐτόλμησαν τὸ κακὸν, καὶ ἀπέστησαν τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἀναθεματίζονται. Διὰ τί δὲ λέγονται ψευδομάρτυρες οἱ αἱρετικοὶ, εἴρηται ἐν τῷ θʹ. κανόνι.

ΑΡΙΣΤ. Ὁ ψευδομάρτυρα αἱρετικὸν τιμῶν, ἤτω ἀνάθεμα.

Ὁ τοὺς ἀλλοτρίους Θεοῦ τιμῶν ὡς μάρτυρας, ἀλλότριος ἔσται Θεοῦ καὶ αὐτός.

## Κανὼν ΛΕʹ.

**Ὅτι οὐ δεῖ Χριστιανοὺς ἐγκαταλείπειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους ὀνομάζειν, καὶ συνάξεις (1) ποιεῖν, ἅπερ ἀπηγόρευται. Εἴ τις οὖν εὑρεθῇ ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα, ὅτι ἐγκατέλιπε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν.**

---

ΖΩΝΑΡ. Αἵρεσις ἦν παλαιὰ λεγόντων τινῶν, ὅτι οὐ δεῖ τὸν Χριστὸν ἐπικαλεῖσθαι εἰς βοήθειαν, ἢ εἰς προσαγωγὴν τὴν πρὸς Θεὸν, ἀλλὰ τοὺς ἀγγέλους, ὡς τάχα τοῦ τὸν Χριστὸν ἐπικαλεῖσθαι πρὸς τὰ εἰρημένα μείζονος ὄντος τῆς ἡμετέρας ἀξίας. Τοῦτο δὲ τάχα ταπεινούμενοι ἔλεγον, ὡς ἐπὶ τὸ πολὺ τοῦ πονηροῦ εἰωθότος κλέπτειν ἡμᾶς ἐκ τῶν δεξιῶν. Ταύτης τῆς αἱρέσεως καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐπιστολῇ μέμνηται, λέγων· Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων(2)· τοῦτο δ' ἐςὶ τὸ παρὰ τοῦ Ἀποσό-

(1) ἢ συνάξεις Χ. Τρ. Βενετ. — (2) Κολοσσ. Βʹ, 18.

λου λεγόμενον, ὅτι μηδεὶς ὑμᾶς τοῦ βραβείου τῆς πίστεως καὶ τοῦ ὀρθοῦ βίου ἀποστερείτω· (καταβραβεύειν γάρ ἐστι τὸ μὴ τὸν νικήσαντα ἀξιοῦν τοῦ βραβείου, ἀλλ᾽ ἑτέρῳ διδόναι αὐτὸ, ἀδικουμένου τοῦ νικητοῦ·) θέλων μετάγειν ὑμᾶς ἀπὸ τῆς ὀρθῆς πίστεως εἰς θρησκείαν τῶν ἀγγέλων, ἤγουν εἰς τὸ λατρεύειν τοῖς ἀγγέλοις· ἐν ταπεινοφροσύνῃ, διὰ ταπεινοφροσύνην τάχα, ὡς ὑπὲρ ἡμᾶς ὄντος τοῦ ἐπικαλεῖσθαι τὸν Κύριον, καὶ αὐτῷ χρῆσθαι προσαγωγεῖ πρὸς τὸν αὐτοῦ Πατέρα. Παλαιὰ οὖν, ὡς εἴρηται, ἡ αἵρεσις ἦν, καὶ ὠνόμαζόν τινες ἀγγέλους, ἤγουν ἐπεκαλοῦντο, καὶ συνάξεις ἐποίουν, ἅπερ ὁ κανὼν ἀναιρῶν, εἴ τις εὑρεθῇ, φησὶ, ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα. Ἣν ὁ Ἀπόστολος ἔφη θρησκείαν τῶν ἀγγέλων, ὁ κανὼν εἰδωλολατρείαν ἐκάλεσεν, οὐχ ὡς τῆς πρὸς ἀγγέλους τιμῆς εἰδωλολατρείας οὔσης, ἀλλ᾽ ὡς τοῦ πονηροῦ ἀπάγοντος ἡμᾶς τοῦ ἐπικαλεῖσθαι τὸν Χριστὸν, ἵνα κατὰ μικρὸν καὶ λεληθότως εἰς εἰδωλολατρείαν ἐκκυλίσῃ (1) ἡμᾶς. Ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ Ἀγγελικοὶ(2), λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος, περὶ αἱρέσεων γράφων, φησίν· Ἀγγελικοὺς δ᾽ ἐκάλουν ἑαυτοὺς, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρ᾽ ἀγγέλων προσκληθέντες πρὸς τὴν πίστιν καὶ τὴν θείαν ἐπίγνωσιν.

ΒΑΛΣ. Ὡς ἐπὶ τὸ πολὺ ὁ πονηρὸς ἐκ τῶν δεξιῶν ἡμᾶς ὑποκλέπτει. Διά τοι τοῦτο καὶ ὑπέβαλέ ποτέ τινας μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν εἰς βοήθειαν, ἀλλὰ τοὺς ἀγγέλους, κατὰ τρόπον δῆθεν εὐλαβείας καὶ τῆς πρὸς τὸν Θεὸν τιμῆς· διὸ καὶ τὰς ἐντεύξεις οὐ πρὸς τὸν Θεὸν ἐποίουν, κατά τινα αἵρεσιν, ἀλλὰ πρὸς τοὺς ἀγγέλους. Ὅπερ οἱ Πατέρες ὡς μέγιστον κακὸν κολάζοντες, διορίζονται ἀναθέματι καθυποβάλλεσθαι τοὺς καταλιμπάνοντας τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ ποιοῦντας παρασυνάξεις, καὶ λέγοντας τῆς μεσιτείας τῶν ἀγγέλων ἠρτῆσθαι τὴν σωτηρίαν ἡμῶν. Εἰδωλολατρείαν δὲ τοῦτο ὠνόμασαν, οὐχ ὡς τῆς πρὸς τοὺς ἀγγέλους τιμῆς ἀποτροπαίου οὔσης, ἀλλ᾽ ὡς τοῦ πονηροῦ ἐκκυλίοντος ἡμᾶς πρὸς

---

(1) ἑλκύσῃ Χ. Τρ. — (2) Χ. Τρ. — Ἄγγελος Κ. Βιεν.

εἰδωλολατρείαν, διὰ τὸ μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν. Ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ Ἀγγελικοὶ λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος περὶ αἱρέσεων γράφων φησὶν, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρὰ ἀγγέλων τὰ θεῖα μυεῖσθαι νομίζοντες.

ΑΡΙΣΤ. Ὁ παρασυνάγων καὶ ὀνομάζων ἀγγέλους, εἰδωλολατρείας πλησίον, καὶ ἤτω ἀνάθεμα.

Ἔστι τις αἵρεσις τῶν Ἀγγελικῶν λεγομένη, ἢ διὰ τὸ ἑαυτοὺς σεμνύνειν, ὡς τάξιν ἀγγέλων καὶ πολιτείαν ἔχοντας· ἢ διὰ τὸ ληρεῖν ὑπ' ἀγγέλων ἐκτίσθαι τὸν κόσμον. Ἦσαν δὲ καί τινες διδάσκοντες, καθὼς ἐν τῇ πρὸς Κολασσαεῖς ἐπιστολῇ ὁ μέγας Παῦλος ἐδήλωσε, μὴ δεῖν λέγειν ἡμᾶς διὰ Χριστοῦ προσάγεσθαι τῷ Θεῷ καὶ Πατρί· μείζων γὰρ ἢ καθ' ἡμᾶς, φησιν, ὁ Χριστὸς, ἀλλὰ δι' ἀγγέλων. Τοῦτο δὲ ἄρνησις ἦν τῆς θείας οἰκονομίας, ἐν προσχήματι τῆς ταπεινοφροσύνης. Ὁ γοῦν παρασυνάγων, καὶ ὑπ' ἀγγέλων ἐκτίσθαι τὸν κόσμον λέγων, ἢ δι' ἀγγέλων ἡμᾶς προσάγεσθαι τῷ Θεῷ καὶ Πατρὶ, ἤτω ἀνάθεμα, ὡς ἐγκαταλιπὼν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἐγγὺς φρονῶν τῶν εἰδωλολατρῶν.

## Κανὼν Λϛ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἅτινά ἐστι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν. Τοὺς δὲ φοροῦντας, ῥίπτεσθαι ἐκ τῆς ἐκκλησίας ἐκελεύσαμεν.

---

ΖΩΝΑΡ. Μαγείας μετέρχεσθαι, ἢ ἐπαοιδίας τοὺς κεκληρωμένους, ὁ κανὼν κωλύει· ἐπαοιδίαι δὲ, αἱ γοητεῖαι εἰσίν· ἀοιδὴ γὰρ, ἡ τραγῳδία ἐστίν. Οἱ γοῦν γόητες, ἀοιδάς τινας, ἤγουν ἐπῳδὰς λέγοντες, ἐφέλκονται δαίμονας, ἢ καὶ θηρία καταδεσμοῦσι, καὶ ἑρπετά. Εἰσὶ γάρ τινες οἳ κτήνους ἔξω που τῆς ἐπαύλεως αὐτῶν καταλειφθέντος, δι' ἐπαοιδίας δεσμοῦσι τοὺς λύκους, ὥστε μὴ δύνασθαι αὐτοὺς βλάψαι τὸ ζῶον μετ' αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῦ ἀναστρεφομένους, ὡς τάχα πληροῦσθαι τὸ τῆς Γραφῆς, τὸ, Συμβοσκηθήσεται λύκος μετὰ ἀρνός· καὶ ἄλλοι ὄφεις καταγοητεύουσι, καὶ τούτους μεταχειρίζονται, καὶ ἄδηκτοι ἐξ αὐτῶν μένουσιν. Ἀλλ' οὐδὲ μαθηματικοὺς, ἢ ἀστρολόγους εἶναι τοὺς ἱερωμένους βούλεται. Τέσσαρα δέ εἰσι τὰ βιβλία τὰ λεγόμενα μαθηματικὰ, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία, καὶ ἀστρονομία. Οὐ ταῦτα τοίνυν ἀναγινώσκειν ὁ κανὼν οἶμαι ἀπείργει, ἀλλὰ τὸ περιέργως αὐτοῖς κεχρῆσθαι. Εἰ γάρ τις εἰδείη ὅτι ἡ μονὰς ἀριθμὸς οὐκ ἔστι, καίτοι γεννητικὴ οὖσα παντὸς ἀριθμοῦ· (ἀριθμὸς γὰρ, τὸ ἐκ μονάδων πλῆθος ὁρίζεται, δι' ὃν λόγον οὐδὲ ἡ δυὰς λέγεται ἀριθμὸς, ὅτι οὐκ ἔχει πλῆθος μονάδων·) καὶ ὅτι ἡ δυὰς καὶ συντιθεμένη καὶ πολλαπλασιαζομένη τὸν τέσσαρα συνίστησιν ἀριθμὸν, καὶ οὐ πλέον τι· (δὶς γὰρ εἰπὼν τὰ δύο, τέσσαρα συνάξεις, καὶ δύο καὶ δύο ἐπειπὼν, οὐκ ἄλλον ἀποτελέσεις ἀριθμὸν ἀλλ' ἢ τὸν αὐτόν)· καὶ τίνες τῶν ἀριθμῶν περιττοὶ, καὶ τίνες ἄρτιοι, καὶ τίνες ἀπερισσάκις περισσοὶ, καὶ τίνες ἀρτιάκις ἄρτιοι, καὶ τίνες ἀρτιάκις περιττοὶ, καὶ ποῖοι περισσάκις ἄρτιοι, καὶ τίνες τῶν ἀριθμῶν τέλειοι, τίνες δὲ ἀτελεῖς, ποῖοι δ' ἐπίπεδοι, καὶ ποῖοι λέγονται στερεοί· τίνες δ' εἰσὶ τετράγωνοι, καὶ τίνες καλοῦνται κύβοι, καὶ τί ἐστιν ἀναλογία, καὶ ὡς δέκα αὗται τὸν ἀριθμόν· καὶ ἡ μὲν, ἀριθμητικὴ, ἡ δὲ, γεωμετρικὴ, ἡ δέ τις ἁρμονικὴ, ἡ δ' ἐναντία ταύτῃ, καὶ αἱ λοιπαὶ, καὶ τἄλλα ὅσα τῷ μαθήματι τούτῳ ἐμπεριείληπται. Εἰ δ' ἐπὶ τῆς μουσικῆς γνοίη τις, τίς μέν ἐστι φθόγγος, τί δε φθόγγων διάστημα, τί δὲ σύστημα, καὶ τί ἁρμονία, καὶ τὰς τῶν φθόγγων προσηγορίας, καὶ τί μὲν νήτη, τί δ' ὑπάτη, καὶ παρυπάτη, οὐδὲν πρὸς πίστιν, οὐδὲ πρὸς βίον αὐτῶν λυμανοῦνται. Εἰ δὲ μεταῦτα εἰδὼς, καὶ ὀργάνῳ κέχρηται μουσικῷ, καὶ τοῦτο μεταχειριζόμενος ᾄσματα ᾄδει, καὶ χαίρει τούτοις ἡδόμενος, τοῦτο ἱερωμένων ἀνάξιον. Καὶ ἐπὶ τῆς γεωμετρίας, εἴ τις αὖθις γινώσκει, τί μὲν σημεῖόν ἐστι, τί δὲ γραμμὴ, καὶ τί ἐπιφάνεια, καὶ σχῆμα δὲ τί, καὶ τίς τῶν γραμμῶν εὐθεῖα, ποία δὲ καμπύλη, καὶ τίς ἑλικοειδὴς, τίς δὲ σκολιὰ, καὶ ποία περιφερὴς, καὶ τίνες τῶν γωνιῶν εὐθύγραμμοι, τίνες δὲ οὐ

τοιαῦται, καὶ ὅτι ἀρχὴ τῶν ἐπιπέδων σχημάτων τὸ τρίπλευρον, καὶ εἰς πόσα τοῦτο διήρηται, καὶ ὑποδιήρηται, καὶ ὅτι ὁ κύκλος σχῆμα ἐπίπεδον, καὶ ἡ τοῦτον ἀποτελοῦσα γραμμὴ περιφέρεια, καὶ τί μὲν κέντρον, τί δὲ διάμετρος, καὶ τίς ὁ τοῦ κύκλου τομεύς· ὁ γνώμων δὲ τίς, καὶ ὅπως ὁ κύκλος σχημάτων ἐστὶν ἁπάντων ἀρχὴ, καὶ πανταίτιος, καὶ τἆλλα, ἵνα μὴ ἕκαστον καταλέγωμεν· καὶ ἐπὶ τῆς ἀστρονομίας, εἴ τις εἰδείη, τί μέν ἐστι σφαῖρα, τί δὲ κέντρον αὐτῆς, καὶ ὅτι κέντρον, ὥσπερ ἡ γῆ πρὸς τὸν οὐρανόν· καὶ τίς ἡ διάμετρος, καὶ πότε ἄξων λέγεται αὕτη, καὶ ὅπως πρὸς τὴν σφαῖραν ὁ ζωδιακὸς κύκλος κεῖται, ὁμόκεντρος ταύτης ὤν· καὶ ὅθεν ἡ δοκοῦσα τῶν πλανητῶν ἀνώμαλος γίνεται καὶ παλινόρμητος κίνησις, καὶ τἆλλα, ὅσα τούτοις παρέπεται, οὐδὲν ἂν εἰς τὸ τῆς πίστεως λυμανεῖται μυστήριον. Εἰ δέ τις ταῦτα εἰδὼς περιεργότερον κέχρηται τῷ μαθήματι, καὶ ταῖς τῶν οὐρανίων κινήσεσι συμπεριφέρεσθαι πιστεύων τὰ ἡμέτερα, ἵστησί τε τὰ κέντρα, καὶ τὰς ἀναφοράς τε καὶ ἀνακλίσεις τοῦ ζωοφόρου κύκλου καταμανθάνοι, οἰκοδεσπότας τε καὶ τόπους σχημάτων, καὶ ὅρια ὅσα τούτων ἀμείνω, καὶ ὅσα χείρονα, καί τινα τῶν ἐσομένων οἴεται προγινώσκειν ἐκ τούτων καὶ προμαντεύεσθαι, ὡς ἐξ ἀνάγκης συμβησομένων διὰ τὴν τοιάνδε κίνησιν τῶν ἀστέρων, τοῦτό ἐστιν ἀποτρόπαιον, καὶ τοῦτο τῇ συνόδῳ καλῶς ἀπηγόρευται.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀποτρέπει τοὺς ἱερωμένους μάγους εἶναι, ἢ ἐπαοιδοὺς, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, καὶ ἀκοινωνησίᾳ κατακρίνει τοὺς φοροῦντας τὰ φυλακτήρια. Μάγοι μὲν οὖν εἰσιν οἱ προσερχόμενοι τῷ σατανᾷ διά τινα αἰτίαν· ἐπαοιδοὶ δὲ, οἱ γοητευταὶ, οἱ τὰς ἐπῳδὰς λέγοντες, καὶ διὰ τούτων ἐφέλκοντες τοὺς δαίμονας εἰς τὰ οἰκεῖα θελήματα· μαθηματικοὶ, οἱ τὰ οὐράνια σώματα δοξάζοντες ἔχειν τὴν τοῦ παντὸς κυριότητα, καὶ κατὰ τὴν κίνησιν τούτων διοικεῖσθαι τὰ καθ' ἡμᾶς· ἀστρολόγοι, οἱ διὰ τῶν ἀστέρων μαντευόμενοι κατὰ δαιμονικὴν συνέργειαν, καὶ τούτοις πιστεύοντες. Ἐπεὶ δὲ τέσσαρά εἰσι τὰ μαθήματα, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία, καὶ ἀστρονομία, μὴ εἴπῃς παρὰ τοῦ κανό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

νος κωλύεσθαι καὶ τὰ τέσσαρα, ἀλλὰ μόνην τὴν ἀστρονομίαν·] καὶ ἀνάγνωθι τὸ κϐ'. κεφάλ. τοῦ λθ'. τίτ. τοῦ ξ'. βιϐλίου τῶν βασιλικῶν, λέγον· Ἡ μὲν γεωμετρικὴ δημοσίᾳ διδάσκεται· ἡ δὲ μαθηματικὴ κατακρίνεται, ὡς ἀπηγορευμένη· καὶ τὸν ἔξωθεν Παλαιόν· Μαθηματικὴν εἰπὲ τὴν ἀστρονομίαν. Περὶ δὲ τοῦ πῶς κολάζονται ὑπὸ τῶν νόμων οἱ μάγοι, καὶ οἱ ἐπαοιδοὶ, καὶ οἱ τοιοῦτοι, ἀνάγνωθι τοῦ αὐτοῦ λθ'. τίτλου τοῦ ξ'. βιϐλίου τοῦ κγ'. κεφ. καὶ ἐφεξῆς μέχρι τέλους, ζήτει καὶ τὸ κε'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Οὐκ ἔσται μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθηματικὸς, ἢ ἀστρολόγος, ἢ περιάπτης, ὁ ἱερατείαν ἐπαγγειλάμενος.

Εἰ γὰρ εὑρεθῇ τις τῶν ἱερωμένων τοιαύτην τινὰ κακοτεχνίαν μετερχόμενος, τῆς ἐκκλησίας ἐκϐάλλεται.

## Κανὼν ΛΖ'.

Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων, ἢ αἱρετικῶν, τὰ πεμπόμενα ἑορταστικὰ λαμϐάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς.

—

## Κανὼν ΛΗ'.

Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἄζυμα λαμϐάνειν, ἢ κοινωνεῖν ταῖς ἀσεϐείαις αὐτῶν.

—

## Κανὼν ΛΘ'.

Ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν.

—

ΖΩΝΑΡ. Ὁ ἑϐδομηκοστὸς κανὼν καὶ ὁ οα'. τῶν ἁγίων Ἀποστόλων κωλύει πάντας συνεορτάζειν τοῖς Ἰουδαίοις, ἢ ξένια ἑορτῆς, ἄζυμα τυχὸν, ἢ τοιοῦτόν τι δέχεσθαι παρ' αὐτῶν, ἢ ἔλαιον ἀπάγειν εἰς ἐθνῶν ἱερὸν, ἢ εἰς συναγωγὴν Ἰουδαίων, καὶ λύχνον ἅπτειν· τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας κληρικοὺς,

καθαιρεῖσθαι κελεύει, λαϊκοὺς δὲ ἀφορίζεσθαι. Ἐκ τούτων οὖν τῶν κανόνων καὶ οἱ τῆς συνόδου ταύτης ὁρμώμενοι, τοὺς παρόντας κανόνας ἐξεφώνησαν. Ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'.

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ό. καὶ οά. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα ξ'.

ΑΡΙΣΤ. Οὐ συνεορτάσεις Ἑβραίοις, ἢ αἱρετικοῖς· οὐδὲ δέξῃ τὰ καλούμενα παρ' αὐτῶν ἑορταστικά.

Οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος. Διὰ τοῦτο γοῦν οὐδὲ τοῖς αἱρετικοῖς, ἢ τοῖς Ἰουδαίοις Χριστιανὸς συνεορτάσει, οὐδὲ τὰ ἐν ἑορταῖς αὐτῶν τελούμενα, οἷον ἄζυμα, ἤ τι τοιοῦτον, ὑποδέξηται.

## Κανὼν Μ'.

Ὅτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον καταφρονεῖν, ἀλλ' ἀπιέναι, καὶ διδάσκειν, ἢ διδάσκεσθαι, εἰς κατόρθωσιν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν. Εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰτιάσεται, παρεκτὸς εἰ μὴ δι' ἀνωμαλίαν ἀπολιμπάνοιτο.

—

ΖΩΝΑΡ. Εἰ καὶ νῦν τὸ τῶν ἐτησίων συνόδων πάντη καταπεφρόνηται, ὡς μηδέποτε γίνεσθαι, ἀλλά γε τοῖς τοὺς κανόνας ἐκθεμένοις ἁγίοις τὸ γίνεσθαι συνόδους καθ' ἑκάστην ἐπαρχίαν ἐτησίως πολλῆς φροντίδος ἠξίωτο. Διὸ καὶ τοὺς ἐπισκόπους καλουμένους εἰς τὰς συνόδους ἀπιέναι διακελεύονται, καὶ μὴ καταφρονεῖν, ἵνα, φασί, διδάσκωσιν, ἢ διδάσκωνται. Αἱ γὰρ σύνοδοι, δι' ἀμφιβολίας ἀναφυομένας περὶ δογμάτων, ἐπιτιμίων ἁμαρτήμασι προσηκόντων, ἢ κανονικῶν ἑτέρων ζητήσεων, ὡρίσθησαν γίνεσθαι. Τῶν γοῦν συνερχομένων οἱ μὲν λόγιοι ἐδίδασκον, * ὅπως τε χρὴ πιστεύειν, καὶ ὅπως ἐπιτιμᾷν, καὶ ὅπως τἄλλα κανονικῶς χρεὼν διαπράττεσθαι * (1)· οἱ δὲ ἁπλούστεροι καὶ ἀφελέστεροι πρὸς τὸν λόγον ἐδιδάσκοντο·

(1) Χ. Γρ. — τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευηρ. καὶ Κ. εἰμὴ μόνον λατινιστὶ παρὰ τῷ τελευταίῳ.

ἃ δ' ἐδίδασκόν τε καὶ ἐδιδάσκοντο, εἰς κατόρθωσιν ἦσαν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν. Κατόρθωσιν δὲ, τὴν ὀρθὴν πίστιν καὶ διαγωγὴν ὀνομάζει· ἐκκλησίαν δὲ τὸ τῶν πιστῶν φησιν ἄθροισμα· λοιποὺς δὲ, τοὺς αἱρετικοὺς *νοητέον, ἢ καὶ ἀπίστους* (1), ὥστε κἀκείνους εἰς πίστιν ὀρθὴν ὁδηγηθῆναι διὰ τῆς διδαχῆς, καὶ εἰς εὐαγγελικὴν πολιτείαν. Εἶτά φησιν ὁ κανὼν, ὅτι ἑαυτοὺς αἰτιάσθωσαν, εἰ ἐπιτιμηθῶσιν οἱ μὴ ἀπερχόμενοι εἰς τὰς συνόδους (2), εἰ μὴ δι' ἀνωμαλίαν ἀπολειφθῶσιν. Ἀνωμαλίαν δὲ νοητέον οὐ μόνον σωματικὴν, οἷον νόσον, ἀλλὰ καὶ πραγματικήν· Εἰ γὰρ καὶ μὴ νοσήσειεν ὁ ἐπίσκοπος, ἔχοι δέ τι ἕτερον περὶ ἐκκλησιαστικὰ πράγματα ἀσχολεῖσθαι αὐτὸν ἀναγκάζον, συγγνωσθήσεται.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίων συνόδων, ὅπως ὀφείλουσι γίνεσθαι, ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα λζ'. συνόδου Νικαίας κανόνα ε'. τῆς ἐν Ἀντιοχείᾳ κ'. τῆς Χαλκηδόνι ιθ'. τῆς ἐν Καρθαγένῃ ιζ'. ογ'. ος'. ϟε'. τῆς ἐν τῷ Τρούλλῳ η'. τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ς'. Καὶ ὁ παρὼν δὲ κανὼν, μετακαλουμένους εἰς τὴν σύνοδον τοὺς ἐπισκόπους, διορίζεται μὴ καταφρονεῖν, ἀλλ' ἀπιέναι ἐξάπαντος, ἐφ' ᾧ τοὺς μὲν σοφωτέρους διδάσκειν, τοὺς δὲ ἁπλουστέρους μανθάνειν τὰ στηρίζοντα ἐκκλησίαν, ἤγουν τὸν λαὸν τοῦ Θεοῦ, καὶ μετάγοντα πρὸς ὀρθοδοξίαν τοὺς λοιποὺς, ἤγουν τοὺς ἀπίστους. Τοὺς μέν τοι καταφρονητικῶς πρὸς τοῦτο διακειμένους, φησὶ μὴ γογγύζειν, ἐὰν κατὰ τὴν περίληψιν τῶν ἑτέρων κανόνων ἐπιτιμηθῶσιν, ἀλλ' αἰτιάσθωσαν ἑαυτοὺς, ὅτι κατεφρόνησαν. Ἀνωμαλίαν δὲ νοητέον, οὐ μόνον τὴν σωματικὴν νόσον, ἀλλὰ καὶ τὴν πραγματικὴν ἀσχολίαν· εἰ γὰρ διά τι ἀναγκαῖον καὶ εὔλογον ὁ ἐπίσκοπος ἐμποδισθῇ, συγγνωσθήσεται. Τοῦ δὲ κανόνος διοριζομένου μὴ καταφρονεῖν τοὺς μετακαλουμένους ἐπισκόπους εἰς σύνοδον, εἰπὲ καὶ σὺ ὀφείλειν ἐξ ἀνάγκης μετακαλεῖσθαι τούτους· χωρὶς γὰρ *μετακλήσεως * τοῦ πρώτου,

(1) Χ. Τρ. — τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰ μὴ μόνον λατινιστὶ παρὰ τῷ τελευταίῳ. — (2) ἑξῆς δὲ ἀπειλεῖ ὁ κανὼν τοῖς μὴ ἀπερχομένοις εἰς τὰς συνόδους, καί φησιν, ὅτι ἑαυτοὺς αἰτιάσθωσαν εἰ ἐπιτιμηθῶσιν, ἢ καί τι πλέον πάθωσι, κτλ. οὕτως ἐν Χ. Τρ.

ἤγουν*(1) τοῦ μητροπολίτου, οὐκ ὀφείλουσι συνέρχεσθαι κατὰ τὸν κ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τὸν παρόντα. Τὸ δὲ διδάσκειν ἢ διδάσκεσθαι πρόσκειται, διὰ τοὺς λέγοντας ἀρκεῖν αὐτοὺς ἑαυτοῖς εἰς παντὸς ἐκκλησιαστικοῦ ζητήματος διευλύτωσιν, καὶ μὴ ὀφείλειν παρουσιάζειν εις τὴν σύνοδον. Κἂν γὰρ ἀμφιβολίαν τινὰ ὁ ἐπίσκοπος οὐκ ἔχῃ εἰς τὴν κατ' αὐτὸν ἐκκλησίαν, καὶ οὐδὲ διδασκαλίας δέηται, ἀλλ' ὅμως διὰ τὸ ἑτέρων ζητήματα λῦσαι, καὶ ἐπὶ πλέον στηρίξαι τὸ δόγμα, ὀφείλει ἐξ ἀνάγκης παρουσιάζειν.

ΑΡΙΣΤ. Ὁ καλούμενος ἐπὶ σύνοδον, καὶ ἀθετῶν, εἰ μὴ δι' ἀνωμαλίαν, οὐκ ἀναίτιος.

Διὰ τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας, καὶ τὰ κανονικὰ ζητήματα, ὡρίσθη σύνοδον πάντων τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας κατ' ἐνιαυτὸν γίνεσθαι, ἔνθα ἂν ὁ τῆς μητροπόλεως ὁρίσῃ ἐπίσκοπος. Εἰ οὖν ἐν τῇ συνελεύσει ταύτῃ καλούμενός τις τῶν ἐπισκόπων συνελθεῖν οὐ θελήσῃ, ἑαυτὸν ὑπὸ αἰτίασιν τίθησι, καὶ ἐπιτιμηθήσεται παρὰ τῆς συνόδου, εἰ μή που οὐ διὰ καταφρόνησιν, ἀλλὰ διὰ νόσον ἢ ἄλλην τινὰ βιωτικὴν περίστασιν παρουσιάσαι οὐκ ἴσχυσεν.

## Κανὼν ΜΑ'(2).

**Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως(3) ἐπισκόπου ὁδεύειν.**

---

ΒΑΛΣ. Περὶ κληρικῶν καὶ μοναχῶν, ἀποδημούντων παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων, ἀνάγνωθι κεφ. β'. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, οὕτω λέγον· Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον τριάκοντα χρυσίου λίτρας προστιμάσθω τῷ δημοσίῳ· βεβαιούσθωσαν δὲ τὰ ἐκκλησιαστικὰ ἅπαντα προνόμια, καὶ μὴ νομιζέσθω ὅλως κληρικὸς ἢ μοναχὸς ὁ συλλαβῶν ἄνευ τοῦ οἰκείου ἐπισκόπου, τὸ κομιτάτον κατειληφώς. Ὡσαύτως ἀνάγνωθι καὶ θέμα τελευταῖον τοῦ ε. κεφ. τοῦ κϐ'. τίτλου τοῦ ς'. βιϐλίου τῶν βασιλικῶν, ὅπερ

---

(1) Χ. Τρ. — (2) ΜΒ'. ἐν Π. Βρ. Σ. Ρ. Κ. Ε. — (3) τοῦ ἐπισκόπου Χ. Τρ.

ἐστὶ μέρος τῆς πς'. Ἰουστιανείου νεαρᾶς, καὶ οὕτω φησίν· Οὔτε δὲ μοναχὸν, οὔτε κληρικὸν, οὔτε ἐπίσκοπον κελεύομεν ἔρχεσθαι ἐνταῦθα ἄνευ γραμμάτων τοῦ ὁσιωτάτου αὐτῶν πατριάρχου, ἢ εἰδέτωσαν, ὡς ἀναξίους ἑαυτοὺς τοῦ σχήματος ποιήσουσι.

## Κανὼν ΜΒ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν (1).

---

ΖΩΝΑΡ. Ἱερατικοὺς μὲν, τοὺς περὶ τὸ βῆμά φησι, κληρικοὺς δὲ τοὺς λοιπούς. Τούτους οὖν ἀπιέναι ποι μέλλοντας, καὶ ἀποδημῆσαι τῆς ἐν ᾗ κατετάχθησαν ἐκκλησίας, οὐ συγχωρεῖ ὁ κανὼν ἄνευ γνώμης τοῦ ἐπισκόπου ὁδεύειν. Εἴρηται δὲ ἤδη περὶ γραμμάτων εἰρηνικῶν καὶ συστατικῶν ἐν τῷ ιά. κανόνι τῆς δ'. συνόδου. Ταύτας οὖν τὰς ἐπιστολὰς, τὰς εἰρηνικάς τέ φημι, καὶ συστατικὰς, κανονικὰ γράμματα ἐνταῦθα ὠνόμασαν.

ΒΑΛΣ. Καὶ ἕτεροι κανόνες διορίζονται, μὴ ἀποδημεῖν κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων, τουτέστι συστατικῶν καὶ ἀπολυτικῶν ἐπιστολῶν· καὶ οἱ παρόντες δὲ κανόνες τὰ αὐτὰ διορίζονται· ἱερατικοὶ μέντοι εἰσὶν οἱ περὶ τὸ βῆμα, κληρικοὶ δὲ, οἱ λοιποί. Ἀνάγνωθι τὸν ιγ'. κανόνα τῆς δ'. συνόδου, τῶν ἁγίων Ἀποστόλων κανόνα ιβ'. καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα ζ'. ή. καὶ ιά.

ΑΡΙΣΤ. Κληρικὸς, χωρὶς κανονικῶν ἐπιστολῶν, ἢ ἀνεπίτακτος, οὐ πρόεισιν.

Οὐ συγχωροῦνται παρὰ τῶν ἱερῶν κανόνων οἱ ξενοχειροτόνητοι παραδέχεσθαι, συστατικὰ μὴ ἐπιφερόμενοι γράμματα· καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ὁδεύειν αὐτοὺς μετὰ γραμμάτων κανονικῶν, ὥσπερ δεῖ καὶ τοὺς κεκληρωμένους ἐν ἑκάστῃ ἐκκλησίᾳ μετὰ γνώμης καὶ κελεύσεως τοῦ ἰδίου ἐπισκόπου εἰς ἑτέραν πόλιν καὶ ἐπαρχίαν ὁδεύειν.

(1) Βευερ. Χ. Τρ. — Ὁ Κανὼν οὗτός ἐστι ΜΑ'. ἐν Π. παρὰ Βρ. Σ. Ῥ. Κ. Ἐ., ὁ δὲ ἐνταῦθα ΜΑ'. ἐστι ΜΒ'. παρ' αὐτοῖς.

## Κανὼν ΜΓ'.

Ὅτι οὐ δεῖ ὑπηρέτας, κἂν βραχὺ (1), τὰς θύρας ἐγκαταλείπειν, καὶ τῇ εὐχῇ σχολάζειν.

—

ΖΩΝΑΡ. Ὑπηρέτας τοὺς ὑποδιακόνους εἶναί φασί· τοὺς δὲ ὑποδιακόνους ταῖς θύραις τῶν ἁγίων ἐκκλησιῶν ἐφίστασθαι ὥριστο. Τούτους οὖν ἐν τῷ τῆς λειτουργίας καιρῷ οὐ χρὴ, φησὶν ὁ κανὼν, τὰς θύρας ἀφιέναι, καὶ εὐχῇ σχολάζειν· τὸ γὰρ εὔχεσθαι τότε, καὶ ἁγιάζειν τὰ θεῖα δῶρα, τῶν ἱερέων ἐστίν. Ὥσπερ οὖν ἐκωλύθησαν ὠράρια φορεῖν οἱ ὑπηρέται, ἢ ἅπτεσθαι δεσποτικῶν σκευῶν, κατὰ τὸν κά. καὶ κϐ'. κανόνα, οὕτως ἐκωλύθησαν καὶ εὐχῇ σχολάζειν· καὶ ἀναγνωστέον τὰ γεγραμμένα ἐν τῷ κϐ'. κανόνι.

ΒΑΛΣ. Εἰρήκαμεν ἐν τῷ κϐ'. κανόνι, ὑπηρέτας εἶναι τοὺς ὑποδιακόνους, καὶ ἔχειν αὐτοὺς πᾶσαν ἀνάγκην ταῖς τῶν ἁγίων ἐκκλησιῶν θύραις ἐφίστασθαι κατὰ τὸν τῆς λειτουργίας καιρὸν, χάριν τοῦ εἰσάγειν τε καὶ ἐξάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιπούς. Ἐπεὶ οὖν τινες ἐκ τούτων, τὴν ἀνατεθειμένην αὐτοῖς διακονίαν καταλιπόντες, ἥπτοντο τῶν θείων ἁγιασμάτων, ὥρισαν οἱ Πατέρες, παρὰ ταῖς θύραις τῶν ἐκκλησιῶν τούτους προσεδρεύειν, καὶ μὴ μεταχειρίζεσθαι τὰ θεῖα μυστήρια, καὶ εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ κατὰ ἱερεῖς. Ἀνάγνωθι τὸν κά. καὶ τὸν κϐ'. κανόνα, καὶ τὰ ἐν αὐτοῖς.

ΑΡΙΣΤ. Ὑπηρέτην οὐ δεῖ τὰς θύρας, κἂν βραχὺ, ἀφέντα προσεύχεσθαι.

Ἐν ταῖς ἱεραῖς λειτουργίαις οὐ δεῖ τὸν ὑπηρέτην καταλιπεῖν τὰς θύρας τοῦ θυσιαστηρίου, κἂν βραχὺ, καὶ τῇ εὐχῇ σχολάζειν· ἵνα μὴ εὑρίσκηται τῆς ἐπικειμένης αὐτῷ ὑπηρεσίας καταφρονῶν, καὶ προτιμώμενος τὴν ἰδίαν εὐχὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως.

(1) Π. Βρ. Ἑ. Κ. Σ. Ῥ. — κἂν πρὸς βραχὺ Χ. Τρ. Βευερ.

## Κανὼν ΜΔ'.

Ὅτι οὐ δεῖ γυναῖκας (1) ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι.

---

ΖΩΝΑΡ. Εἰ λαϊκοῖς ἀνδράσιν ἀπηγόρευται ἔνδον εἰσιέναι θυσιαστηρίου, κατὰ τὸν ξθ'. κανόνα τῆς ς'. συνόδου, πολλῷ μᾶλλον ἂν εἴη γυναιξὶν ἀπηγορευμένον, αἷς καὶ ἡ τῶν ἐμμήνων αἱμάτων ῥύσις ἀπροαιρέτως συμβαίνει.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν κωλύει τὰς γυναῖκας ἐν τῷ θυσιαστηρίῳ (2) εἰσέρχεσθαι· ὁ δὲ ξθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀπαγορεύει τοῖς λαϊκοῖς τὴν ἔνδον τοῦ θυσιαστηρίου εἰσέλευσιν. Εἰς μέντοι τὰ μέρη τῶν Λατίνων ἀνερυθριάστως αἱ γυναῖκες ἐν τοῖς θυσιαστηρίοις ὅτε βούλονται εἰσέρχονται.

ΑΡΙΣΤ. Γυναιξὶ τὸ ἱλαστήριον ἄβατον.

Οὐκ ἔξεστι γυναιξὶν, ἀλλ' οὐδὲ λαϊκοῖς ἀνδράσιν, εἰς τὸ θυσιαστήριον εἰσέρχεσθαι, ὡς ὁ ἑξηκοστὸς ἔννατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου προστάττει.

## Κανὼν ΜΕ'.

Ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα.

---

ΖΩΝΑΡ. Ἐν τῷ μεγάλῳ σαββάτῳ ἐξ ἔθους ἡ ἐκκλησία ποιεῖν βαπτίσματα παρέλαβεν, ὅτι τὸ βάπτισμα, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου τύπος ἐστί· τὸ δὲ σάββατον ἐκεῖνο μέσον ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως. Τοὺς οὖν ἑτοιμαζομένους φωτισθῆναι ἐν τῷ μεγάλῳ σαββάτῳ, δεῖ τὴν πᾶσαν Τεσσαρακοστὴν νηστεύειν τε καὶ προκαθαίρεσθαι δι' ἀσκήσεως, καὶ οὕτω προσιέναι τῷ φωτίσματι. Εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ βαπτισθησόμενος, οὐ δεῖ αὐτὸν προσδέχεσθαι εἰς τὸ βάπτισμα κατὰ τὸ Πάσχα, ὡς μὴ ὅλην τὴν Τεσσαρακοστὴν νηστεύσαντα, μετὰ ταῦτα δὲ βα-

---

(1) Π. Βρ. Ἐ. Κ. Σ. Φ. — γυναῖκα Χ. Τρ. Βιεννρ. — (2) βήματι Χ. Τρ.

πτισθήσεται· τὸ γὰρ, οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως, ἀλλὰ κατὰ τὸ μέγα σάββατον νοητέον.

ΒΑΛΣ. Τὸ ἅγιον βάπτισμα, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου τύπος ἐστί· διὸ καὶ νενομοθέτηται ἐν τῷ μεγάλῳ σαββάτῳ τελεῖσθαι τὰ βαπτίσματα, ὡς μεσιτεύοντι τὴν Κυριακὴν ταφὴν καὶ ἀνάστασιν. Τοὺς οὖν μέλλοντας φωτισθῆναι κατὰ τὸ μέγα σάββατον, δεῖ τὴν πᾶσαν Τεσσαρακοστὴν προκαθαίρεσθαι διὰ νηστείας καὶ ἀσκήσεως. Εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ κατηχηθησόμενος, καὶ βαπτισθησόμενος κατὰ τὸ Πάσχα, οὐ προσδεχθήσεται, ὡς μὴ ὅλην τὴν Τεσσαρακοστὴν νηστεύσας· καὶ τότε μὲν διὰ τὴν τοιαύτην αἰτίαν οὐ προσδεχθήσεται· μετὰ ταῦτα δὲ κατὰ κανόνας ἑτοιμασθεὶς, βαπτισθήσεται. Τὸ γὰρ, οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως νοητέον, ἀλλὰ κατὰ τὸ μέγα σάββατον.

ΑΡΙΣΤ. Οὐ δεῖ μετὰ δύο τῆς Τεσσαρακοστῆς ἑβδομάδας εἰς τὸ φώτισμα δέχεσθαι· ὀφείλουσι καὶ γὰρ ἀπ᾽ ἀρχῆς αὐτῆς νηστεύειν.

Ὁ κανὼν οὗτος διττῶς δύναται νοηθῆναι· ἢ ὅτι οἱ μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς Τεσσαρακοστῆς προσερχόμενοι τῇ πίστει, καὶ ἀρξάμενοι νηστεύειν, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ἐν τῷ μεγάλῳ σαββάτῳ, ὡς καὶ οἱ ἐξ ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς τὴν ἄσκησιν ἐνδειξάμενοι, καὶ ἀρκούντως νηστεύσαντες· ἢ ὅτι, ἐὰν πρὸ τῆς Τεσσαρακοστῆς προσῆλθόν τινες τῇ πίστει, καὶ ἤρξαντο νηστεύειν, εἶτα πρὸ τοῦ ἀξιωθῆναι τοῦ βαπτίσματος, ἐπέστη ἡ Τεσσαρακοστὴ, οὐκ ἀναμενοῦσι τὸ μέγα σάββατον ἐπὶ τῷ φωτισθῆναι· καθὼς καὶ οἱ ἀπ᾽ ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς νηστεύειν ἀρξάμενοι. Ἀλλ᾽ ἄχρι μὲν δύο ἑβδομάδων, εἰ ἱκανῶς ἐνήστευσαν, ἀξιωθήσονται τοῦ βαπτίσματος· εἰ δ᾽ οὐκ ἔδοξαν αὐτάρκως νηστεῦσαι μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς Τεσσαρακοστῆς, οὐ φωτισθήσονται, ἀλλ᾽ ἀναμενοῦσι καὶ αὐτοὶ, μετὰ τῶν μελλόντων τῷ μεγάλῳ βαπτισθῆναι σαββάτῳ· ὡς ἐκείνων μόνων ὄντων δεκτῶν, τῶν ἐξ ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς νηστευόντων, οἷα τῆς αὐτῶν ἀσκήσεως τελείας οὔσης καὶ οὐκ ἀπεσχεδιασμένης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν Μϛ΄.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

---

ΒΑΛΣ. Οὗτος ὁ κανὼν ἀπαράλλακτός ἐστι κανὼν οη. τῆς ϛ΄. συνόδου, καὶ ἡρμηνεύθη ἐκεῖ.

## Κανὼν ΜΖ΄.

Ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ φώτισμα,(1) καὶ (2) εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν, ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

---

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν, τοὺς βαπτισθῆναι μέλλοντας, ἐν εἰδήσει τοῦ καθ᾽ ἡμᾶς μυστηρίου ὄντας, βαπτίζεσθαι· διὸ τοὺς κατηχουμένους ἀπαγγέλλειν κελεύει, ἐν μιᾷ ἡμέρᾳ τῆς ἑβδομάδος, ἃ διὰ τῆς ἑβδομάδος ἔμαθον, τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. Εἰ δέ τις νοσῶν καὶ περὶ τὴν ζωὴν κινδυνεύων βαπτισθῇ πρὸ τοῦ μαθεῖν τὴν πίστιν καὶ ἀπαγγεῖλαι, ὡς εἴρηται, εἶτα τῆς νόσου ἀπαλλαγῇ, καὶ οὕτως ἐκμανθάνειν αὐτὸν δεῖ τὸ μυστήριον, καὶ εἰδέναι, ὅτι θείας δωρεᾶς κατηξιώθη, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως Θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ἧς διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχεν. Οὐ γὰρ διὰ σπουδῆς οἰκείας τῶν πταισμάτων λυτρούμεθα βαπτιζόμενοι * (3), ἀλλὰ δωρεᾷ καὶ χάριτι Θεοῦ.

ΒΑΛΣ. Τινὲς ἄπιστοι πρὸ τοῦ κατηχηθῆναι ἐβαπτίσθησαν διὰ περιστατικὴν νόσον. Ἔλεγον οὖν τινες, ὡς, ἐπεὶ οὐκ ἔφθασαν βαπτισθῆναι μετὰ τὸ κατηχηθῆναι κατὰ κανόνας, ὀφείλουσι κατηχηθῆναι, καὶ αὖθις φωτισθῆναι. Ἐχρῶντο δὲ καὶ τῷ ιβ΄.

---

(1) Η. Ε. Κ. Βρ. — βάπτισμα Βευερ. Χ. Τρ — (2) ἄνευ τοῦ, καὶ, Λ. Τρ. Βευερ. — (3) Χ. Τρ. — τὸ, βαπτιζόμενοι οὐ κεῖται παρὰ Βευερ. καὶ Κ.

κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τῷ μὴ παραχωροῦντι τὸν διὰ νόσον φωτισθέντα, ἀλογοπραγήτως ἱερέα γίνεσθαι. Φασὶν οὖν οἱ Πατέρες, ὡς ἐκ δευτέρου μὲν οὐ βαπτισθήσεται, ἀναγκασθήσεται δὲ μετὰ τὴν ὑγείαν μαθεῖν τὴν πίστιν, καὶ τὸ μυστήριον τοῦ φωτίσματος, καὶ εἰδέναι ὅτι θείας δωρεᾶς κατηξιώθη, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως Θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ἧς διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχεν.

ΑΡΙΣΤ. Εἴποι τὴν πίστιν τῷ ἐπισκόπῳ, ἢ πρεσβυτέρῳ, τῇ πέμπτῃ τῆς ἑβδομάδος, ὁ βαπτιζόμενος. Εἴποι καὶ ὁ ἐν νόσῳ μετὰ βραχύ.

Ὁ προσερχόμενος τῇ ἐκκλησίᾳ ἐπὶ τῷ βαπτισθῆναι, τὴν πίστιν ἐκμανθανέτω· καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγελλέτω ταύτην τῷ ἐπισκόπῳ, ἢ πρεσβυτέρῳ· οὐ γὰρ δεῖ προχείρως αὐτοὺς βαπτίζειν, καὶ πρὸ τοῦ μυηθῆναι τὴν πίστιν. Ὁ νοσῶν, καὶ ζητῶν βαπτισθῆναι, βαπτιζέσθω· εἶτα τῆς νόσου ἀναστὰς, ἐκμανθανέτω τὴν πίστιν, καὶ γινωσκέτω, ὅτι θείας κατηξιώθη χάριτος.

## Κανὼν ΜΗ'.

Ὅτι δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ Χριστοῦ (1).

---

ΖΩΝΑΡ. Τοὺς βαπτισθέντας, φησὶν ὁ κανὼν δεῖν χρίεσθαι τῷ ἁγίῳ μύρῳ, ὃ καὶ χρίσμα ἐκάλεσεν ἐπουράνιον, ὡς διὰ τῶν εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος ἁγιαζόμενον, καὶ ἁγιάζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τοῦ Χριστοῦ, εἰ μὴ δι' ἔργων φαυλότητα ἡμεῖς ἑαυτοὺς ταύτης ἀποξενώσωμεν.

ΒΑΛΣ. Χρίσμα ἐκάλεσεν ὁ κανὼν τὸ ἅγιον μύρον, καὶ οὐχ ἁπλῶς χρίσμα, ἀλλ' ἐπουράνιον, ὡς διὰ τῶν ἁγίων εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος ἁγιαζόμενον, καὶ ἁγιά-

(1) τοῦ Θεοῦ, Βευερ.

ζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τῶν οὐρανῶν. Φησὶν οὖν τοὺς φωτιζομένους διὰ τούτου χρίεσθαι καὶ ἁγιάζεσθαι. Ὅπως μέντοι παρεδόθη τὸ ἅγιον μύρον, καὶ δι' ἣν αἰτίαν, δηλοῦται ἀπὸ τῶν κατηχητικῶν βιβλίων. Τινὲς δὲ λέγουσι γίνεσθαι τοῦτο κατὰ ἀκολουθίαν ἐκείνου τοῦ μύρου, τοῦ διὰ τῆς πόρνης χυθέντος εἰς τοὺς πόδας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος μηδέν τι κακὸν ποιῆσαι τὴν πόρνην ἐπιχέασαν εἰς τοὺς πόδας τούτου τὸ ἀπὸ νάρδου πολύτιμον μύρον πρὸ τοῦ ἐνταφιασμοῦ αὐτοῦ. Ἐπεὶ γὰρ τὸ βάπτισμα, ὡς πολλάκις εἴρηται, τύπος ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καλῶς κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος τῷ μύρῳ οἱ φωτιζόμενοι χρίονται, ἵνα συνταφῶσι καὶ συναναστῶσι τῷ Χριστῷ.

ΑΡΙΣΤ. Δεῖ τοὺς φωτιζομένους, μετὰ τὸ βάπτισμα, χρίεσθαι. Σαφής.

## Κανὼν ΜΘ'.

Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ Κυριακῇ μόνον.

—

ΖΩΝΑΡ. Τὰ αὐτὰ διατάττεται καὶ ὁ νβ'. κανὼν τῆς ς'. συνόδου, καὶ ζητητέον τὰ ἐκεῖ εἰρημένα, ἀρκέσοντα καὶ πρὸς τοῦτον τὸν κανόνα, καὶ πρὸς τὸν νά. καὶ τὸν νβ'.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ νά. ἀλλὰ καὶ ὁ νβ'. τῆς ς'. συνόδου τὰ αὐτὰ διατάττονται· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα.

ΑΡΙΣΤ. Τῇ Τεσσαρακοστῇ μὴ προσφέρειν, εἰ μὴ σαββάτῳ, καὶ Κυριακῇ μόνον.

Ὁ κανὼν οὗτος οὐ παρεβιάσθη ὅλως, ἀλλὰ φυλάττεται· ἄνευ γὰρ σαββάτου, καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, ἐν τῇ Τεσσαρακοστῇ ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται. Τὸ δὲ ἐν τῇ τοῦ Εὐαγγελισμοῦ ἑορτῇ μὴ προηγιασμένων γίνεσθαι λειτουργίαν, ἀλλὰ προσφέρειν ἄρ-

τον, ὁ πεντηκοστὸς δεύτερος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παραδίδωσι· διὰ τὸ τὰς ἄλλας ἡμέρας τῆς Τεσσαρακοστῆς ταπεινώσεως εἶναι καιρὸν, καὶ ὀφείλειν ἕκαστον τῶν πεπλημμελημένων τὴν ἐπίγνωσιν φέρειν, καὶ μὴ ἀφέντα τὴν περὶ ταῦτα σπουδὴν, πρὸς ἑορτὰς ἀποκλίνειν, καὶ κατὰ ταυτὸ στυγνάζειν, καὶ πνευματικῆς ἀγαλλιάσεως ἐμπιπλᾶσθαι παρὰ καιρόν.

## Κανὼν Ν'.

Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν Τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας.

—

**ΖΩΝΑΡ.** Πᾶσαν τὴν Τεσσαρακοστὴν ἐν νηστείᾳ διάγειν ὁ κανὼν διορίζεται, ἄνευ δηλαδὴ σαββάτου καὶ Κυριακῆς· νηστείαν δὲ τὴν ξηροφαγίαν ὁρίζεται. Τινὲς δὲ κατὰ τὴν πέμπτην τῆς τελευταίας ἑβδομάδος, ἐν ᾗ τὸ Κυριακὸν δεῖπνον συνέφαγε τοῖς μαθηταῖς ὁ Χριστὸς, ἔλυον τὴν νηστείαν, καὶ ἤσθιόν τινα πολυτελέστερα καὶ τρυφηλότερα βρώματα, ὡς τάχα τοῦ Κυρίου τότε τὸ νομικόν τε φαγόντος δεῖπνον, καὶ τὸ οἰκεῖον τοῖς μαθηταῖς παραδόντος (1). Τοῦτο οὖν μὴ γίνεσθαι ὁ παρὼν κανὼν διατάττεται, ἵνα μὴ ἐν τῇ μιᾷ ταύτῃ ἡμέρᾳ λυομένης τῆς νηστείας, ἡ ὅλη Τεσσαρακοστὴ ἀτιμάζηται.

**ΒΑΛΣ.** Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ξηροφαγεῖν ὀφείλομεν κατὰ πᾶσαν τετράδα καὶ παρασκευήν. Οἱ γοῦν ἄνευ νοσήματος μετὰ ἐλαίου καὶ ὀστρακοδέρμων νηστεύοντες παρανομοῦσι· πολλῷ δὲ πλέον οἱ ἐν ταῖς τετράσι καὶ παρασκευαῖς (2) ἰχθύας ἐσθίοντες. Ἐπεὶ δὲ ἤκουσά τινων λεγόντων ἕπεσθαι τῇ ξηροφαγίᾳ καὶ ὑδροποσίαν, λέγε (3),

(1) τὰ ἀπὸ τοῦ, ὡς τάχα τοῦ Κυρίου, ἕως τοῦ, παραδόντος, οὐ κεῖται παρὰ Κ. ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Βευερ. — (2) οἱ κατὰ τὰς τετράδας Χ. Τρ. — (3) Χ. Τρ. — ἐπεὶ δὲ ἀναγκαῖόν ἐστι καὶ ὑδροποτεῖν τοὺς μὴ ἀσθενοῦντας, φαμὲν, Βευερ.

ὅτι οἱ μὲν κανόνες οὐδὲν τοιοῦτον διορίζονται. Ἐπεὶ δέ φησιν ὁ μέγας Ἐπιφάνιος Κύπρου ἐν τοῖς παναρίοις, ὀφείλειν τοὺς πιστοὺς ἐν ταῖς πρὸ τοῦ Πάσχα ἓξ ἡμέραις, δι' ἄρτου, ἁλὸς, καὶ ὕδατος ἀποτρέφεσθαι, καλόν ἐστι σὺν τῇ ξηροφαγίᾳ καὶ ὑδροποτεῖν. Ἀνάγνωθι καὶ τὴν ή. ἐρώτησιν τῶν κανονικῶν ἀποκρίσεων Τιμοθέου Ἀλεξανδρείας, λέγουσαν, Γυνὴ ἐὰν γεννήσῃ τὸ Πάσχα, ὀφείλει νηστεῦσαι; ὡσαύτως καὶ τὸν ί. Συνάγεται γὰρ καὶ ἀπὸ τούτων, ὀφείλειν τοὺς πιστοὺς σὺν τῇ ξηροφαγίᾳ καὶ καὶ ὑδροποτεῖν.

*Ἑτέρα ἑρμηνεία.*

Περὶ τῶν ἐν τῷ παρόντι κανόνι εἴρηται καὶ ἐν τῷ κθ'. τῆς ϛ'. συνόδου. Τινῶν γὰρ μετὰ τὸ νηστεῦσαι τὴν ὅλην Τεσσαρακοστὴν, καταλυόντων τὴν μεγάλην πέμπτην, διὰ τὸ τότε συμπληροῦσθαι τάχα τὴν ἁγίαν Τεσσαρακοστὴν, καὶ τὸν Κυριακὸν δεῖπνον γενέσθαι, ὥρισαν οἱ Πατέρες κατὰ πᾶσαν τὴν Τεσσαρακοστὴν μέχρι τῆς Κυριωνύμου πασχαλίου ἡμέρας νηστεύειν, ἵνα μὴ, λυομένης τῆς νηστείας ἐν μιᾷ ἡμέρᾳ, ἡ ὅλη Τεσσαρακοστὴ ἀτιμάζηται. Ὑπέξελέ μοι τὰ σάββατα καὶ τὰς Κυριακὰς τῆς Τεσσαρακοστῆς, ἐν ταύταις γὰρ ξηροφαγεῖν οὐκ ἀναγκαζόμεθα, ὡς ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς νηστείας.

ΑΡΙΣΤ. Οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ πᾶσαν τὴν Τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας.

Δεῖ πάσας τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελεῖν, καὶ μὴ καταλύειν τὴν νηστείαν ἐν τῇ πέμπτῃ τῆς ὑστέρας ἑβδομάδος τῆς Τεσσαρακοστῆς, ἀλλὰ δεῖ καὶ ἐν αὐτῇ νηστεύειν τε καὶ ξηροφαγεῖν.

## Κανὼν ΝΑ'.

Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ μαρτύρων γενέθλια ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνήμας (1) ποιεῖν ἐν τοῖς σαββάτοις καὶ ταῖς Κυριακαῖς.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν νβ'. κανόνα τῆς ϛ'. συνόδου καὶ τὸν μθ'. τῆς παρούσης συνόδου, διδάσκοντας κατὰ μόνα τὰ σάββατα

(1) μνείαν ποιεῖν Ἑ. Κ. Σ. Ρ.

καὶ τὰς Κυριακὰς τελείαν θυσίαν γίνεσθαι ἐν ταῖς ἡμέραις τῆς ὅλης Τεσσαρακοστῆς, κατὰ δὲ τὰς λοιπὰς διὰ προηγιασμένων τελεῖσθαι τὴν θείαν ἱεροτελεστίαν. Ὡς δέ τινος εἰπόντος, μὴ ὀφείλειν κωλύεσθαι δι' ὅλης τῆς Τεσσαρακοστῆς (1) διὰ θυσίας γίνεσθαι τὰς τῶν ἁγίων μαρτύρων μνήμας, ὡς μηδὲ χαροποιοὺς οὔσας, ἀλλὰ μόνα κωλύεσθαι τὰ γενέθλια τούτων, ὡς χαροποιὰ καὶ πανηγύρεων πρόξενα· ὥρισαν οἱ Πατέρες, μήτε ἐν ταῖς μνήμαις, μήτε ἐν τοῖς γενεθλίοις τῶν μαρτύρων, καθ' ὅλην τὴν Τεσσαρακοστὴν διὰ θυσίας (2) πανηγυρίζειν, ἀλλὰ κατὰ μόνα τὰ σάββατα καὶ τὰς Κυριακὰς τὰς ἑορτὰς τούτων ποιεῖν. Σημείωσαι τοίνυν, ὅτι ἀπὸ τοῦ παρόντος κανόνος, οὐδὲ μνῆμαι κατοιχομένων γίνονται * (3) δι' ὅλης τῆς Τεσσαρακοστῆς, ἄνευ τοῦ σαββάτου(4).

**ΑΡΙΣΤ.** Μηδὲ μνείας μαρτύρων τελεῖν, εἰ μὴ Κυριακαῖς τε, καὶ σάββασιν.

Ἐν τῇ Τεσσαρακοστῇ, ἄνευ σαββάτου καὶ Κυριακῆς, οὐδὲ μαρτύρων μνεῖαι τελοῦνται.

## Κανὼν ΝΒ'.

Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ γάμους ἢ (5) γενέθλια ἐπιτελεῖν.

---

**ΒΑΛΣ.** Διὰ τοὺς αὐτοὺς λόγους οὓς ἄνωθεν εἴπομεν.

**ΑΡΙΣΤ.** Οὐ τελεῖται τῇ Τεσσαρακοστῇ γάμος, οὐδὲ γενέθλιον. Σαφής.

## Κανὼν ΝΓ'.

**Ὅτι οὐ δεῖ Χριστιανοὺς εἰς γάμους ἀπερχομένους, βαλλίζειν ἢ ὀρχεῖσθαι, ἀλλὰ σεμνῶς δειπνεῖν ἢ ἀριστᾶν (6), ὡς πρέπει Χριστιανοῖς.**

---

(1) τὸ ἀπὸ τοῦ, κατὰ δὲ τὰς λοιπὰς ἕως τοῦ, Τεσσαρακοστῆς, παραλείπεται παρὰ Ἑ. — (2) ἄνευ τῆς, διὰ, Χ. Τρ. — (3) Χ. Τρ. — τὸ, γίνονται, οὐ κεῖται παρὰ Ἑ. καὶ Βευηρ. — (4) Χ. Τρ. — παρὰ δὲ Βευηρ. προστίθενται ἐνταῦθα καὶ τὰ ἑξῆς· διὰ τὸ εἶναι πένθος ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τὴν ἁγίαν Τεσσαρακοστὴν οὐχ ἁγίων μνῆμαι γίνονται ἄνευ σαββάτου· ἐὰν οὖν ἁγίων μνῆμαι οὐ γίνονται, πολλῷ πλέον κωλυθήσεται ὁ γάμος. — (5) καὶ γενέθλια Σ. Ῥ. — (6) Βρ. Σ. Ῥ. Ἑ. Κ. — καὶ ἀριστᾶν Π. Χ. Τρ. Βευηρ.

ΖΩΝΑΡ. Ὁ θεσπέσιος Ἀπόστολος Παῦλος φησίν· Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε(1)· τὸ δὲ ἀσέμνως βιοῦν τοὺς πιστοὺς εἰς τοὐναντίον τὸ πρᾶγμα περιΐστᾷ. Διὸ καὶ ὁ παρὼν κανὼν τοὺς ἀπερχομένους πιστοὺς εἰς γάμον κωλύει ἀπρεπῶς διαγίνεσθαι, καὶ ὀρχεῖσθαι ἢ βαλλίζειν· ἐσθίειν δ' ἐπιτρέπει σεμνῶς, μηδὲν ἀνάξιον ποιοῦντας Χριστιανοῖς. Βαλλίζειν δ' ἐστὶ, τὸ κύμβαλα κτυπεῖν, καὶ πρὸς τὸν ἐκείνων ἦχον ὀρχεῖσθαι.

ΒΑΛΣ. Ὁ κανὼν σαφής ἐστιν· ὅτι δὲ ἠπράκτησε παντελῶς, οὐδὲ ἑρμηνείας δεῖται. Βαλλίζειν δ' ἐστὶ τὸ μετὰ κυμβάλων ἢ ἄλλων τοιούτων ὀρχεῖσθαι.

ΑΡΙΣΤ. Βαλλίζειν ἐν γάμοις, ἢ ὀρχεῖσθαι, ἀνάξιον.

## Κανὼν ΝΔ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικούς τινας θεωρίας θεωρεῖν ἐν γάμοις, ἢ δείπνοις, ἀλλὰ, πρὸ τοῦ εἰσέρχεσθαι τοὺς θυμελικοὺς (2), ἐγείρεσθαι αὐτοὺς καὶ ἀναχωρεῖν (3).

—

ΖΩΝΑΡ. Καὶ ὁ κδ'. κανὼν τῆς ϛ'. συνόδου τὰ αὐτὰ διατάττεται· κωλύει γὰρ κἀκεῖνος τοὺς ἱερωμένους καὶ τοὺς μοναχοὺς ἐν ἱπποδρομίαις ἀπιέναι. Οὗτος δὲ γενικώτερον οὐδέ τινας θεωρίας διακελεύεται θεωρεῖν, οὔτε ἐν γάμοις, οὔτε ἐν δείπνοις· οὐ γὰρ ἐν γάμοις μόνον γίνονται συμπόσια, ἀλλὰ καὶ ἐν ἑορταῖς, καὶ ἐν γενεθλίοις, καὶ ἄλλοις ὁμοίοις, ἃ δείπνους ὠνόμασεν. Ὅταν οὖν, φησὶ, κληθῶσιν εἰς τοιαῦτα συμπόσια ἱερατικοὶ καὶ κληρικοὶ, καὶ ἴδωσιν ὅτι θυμελικοὶ μέλλουσιν εἰσελθεῖν, ἐγειρέσθωσαν, καὶ ἀναχωρείτωσαν πρὸ τοῦ ἐκείνους τῶν παιγνίων καὶ τῶν γελωτοποιϊῶν ἀπάρξασθαι.

ΒΑΛΣ. Ἐν τῷ κδ'. καὶ νά. κανόνι τῆς ϛ'. συνόδου, διελάβομεν καὶ περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων· καὶ ἀνάγνωθι ταῦτα· μέμνηται γὰρ καὶ τούτου.

(1) ά. Κορ. ί, 31. — (2) ἄνευ τοῦ, τοὺς, Χ. Τρ. Σ. Ῥ. — (3) ἀναχωρεῖν ἐκεῖθεν Σ. Ῥ.

ΑΡΙΣΤ. Τὸν μέν τοι ἱερατικὸν, ἢ κληρικὸν, δεῖ καὶ πρὸ τῆς θυμέλης ἀπέρχεσθαι.

Ἀπαιτοῦνται οἱ Χριστιανοὶ εἰς γάμον ἀπερχόμενοι, σεμνῶς δειπνεῖν ἐν αὐτοῖς, καὶ μὴ ὀρχεῖσθαι, ἢ βαλλίζειν, τουτέστι, τὰς χεῖρας κροτεῖν, καὶ δι' αὐτῶν κτύπον ἀποτελεῖν· τοῦτο γὰρ ἀνάξιον χριστιανικῆς καταστάσεως. Τοὺς μέν τοι ἱερατικοὺς, μηδὲ θεωρίας τινὰς ἐν γάμοις θεωρεῖν, ἀλλὰ, πρὸ τοῦ εἰσελθεῖν τοὺς θυμελικοὺς, ἐκεῖθεν ἀναχωρεῖν.

## Κανὼν ΝΕʹ.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

---

ΖΩΝΑΡ. Τοὺς ἱερωμένους, καὶ πάντα δὲ Χριστιανὸν σεμνῶς χρὴ βιοῦν. Τὸ δὲ ἐκ συμβολῆς ποιεῖν συμπόσια, ἤγουν πολλῶν διδόντων νομίσματα, ὥστε δι' αὐτῶν γενέσθαι τραπέζας ἁδρὰς, κωλύει ὁ κανὼν, ὡς μέθης καὶ ἀδδηφαγίας καὶ ἄλλων ἀσχημοσυνῶν αἴτιον.

ΒΑΛΣ. Τὸ συμποσιάζειν, παραίτιόν ἐστι μέθης· τῇ δὲ μέθῃ παρέπονται ἀταξίαι καὶ ἀσχημοσύναι, καὶ ταύταις, ἔριδες καὶ Θεοῦ καταφρόνησις. Διορίζονται οὖν οἱ Πατέρες, μήτε ἱερωμένους, μήτε κληρικοὺς, μήτε λαϊκοὺς, ἀπὸ συνδοσίας ποιεῖν συμπόσια· τοῦτο γάρ ἐστιν ἡ συμβολὴ, ἀπὸ τοῦ συμβάλλω, ἤτοι συμπονῶ.

ΑΡΙΣΤ. Ἐράνους οὔτε λαϊκὸς, οὔτε κληρικὸς ἐκτελέσει.

Χάριν συμποσίου οὔτε κληρικὸς, οὔτε λαϊκὸς ποιήσονται ἔρανον.

## Κανὼν ΝϚʹ.

Ὅτι οὐ δεῖ πρεσβυτέρους πρὸ τῆς εἰσόδου τοῦ ἐπισκόπου εἰσιέναι καὶ καθέζεσθαι ἐν τῷ βήματι, ἀλλὰ μετὰ τοῦ ἐπισκόπου εἰσιέναι· πλὴν εἰ μὴ ἀνωμαλοίη ἢ ἀποδημοῖ ὁ ἐπίσκοπος.

---

ΖΩΝΑΡ. Πᾶσαν εὐταξίαν ἐν τοῖς ἱερωμένοις δεῖ πολιτεύεσθαι· τὸ δὲ, τοῦ ἐπισκόπου μέλλοντος εἰσοδεύειν εἰς τὸ θυσιαστήριον, τοὺς πρεσβυτέρους προεισέρχεσθαι, καὶ καθῆσθαι ἐκεῖ, κἀκεῖνον μόνον ἐᾶν, ἢ μετ' ὀλίγον τὴν εἴσοδον ποιεῖν, ἀταξίας ἐστὶ, καὶ εἰς καταφρόνησιν τοῦ ἀρχιερέως· διὸ κωλύει τοῦτο ὁ κανών. Συνεισιέναι δὲ τῷ ἐπισκόπῳ τοὺς ἱερεῖς διορίζεται, εἰ μήπου τις ἀνωμάλως ἔχει, ἤγουν νοσηλεύεται, καὶ οὐ δύναται ἐπὶ πολὺ ἵστασθαι. Καὶ ὅτε δὲ ἀποδημεῖ ὁ ἀρχιερεὺς, οὐκ εἰς καταφρόνησιν αὐτοῦ γίνεται, τὸ τινὰς τῶν ἱερέων ἴσως προεισελθεῖν τῶν ἄλλων εἰς τὸ θυσιαστήριον.

ΒΑΛΣ. Καὶ πανταχοῦ τὸ τῆς εὐταξίας καλὸν πολιτεύεσθαι ἄξιον, πολλῷ δὲ πλέον ἐν ἱερωμένοις. Διὸ καὶ κωλύουσιν οἱ Πατέρες τοὺς πρεσβυτέρους καταφρονεῖν τοῦ ἐπισκόπου, καὶ πρὸ τῆς εἰσόδου εἰσέρχεσθαι ἐν τῷ βήματι, καὶ καθέζεσθαι· ἀλλὰ εἰσοδεύειν μετὰ τοῦ ἐπισκόπου. Ὡς δέ τινος ἀῤῥωστίαν προβαλλομένου, ἢ ἀποδημίαν τοῦ ἐπισκόπου, εἶπον τὰ τοιαῦτα αἴτια εὔλογα εἶναι, καὶ τὴν πρόοδον τὴν εἰς τὸ βῆμα τοῦ ἱερέως οὐκ ἐμποδίζουσιν.

ΑΡΙΣΤ. Πρεσβύτερος εἰς βῆμα πρὸ τοῦ ἐπισκόπου οὐκ εἴσεισιν, οὐδὲ κάθηται.

Παρόντος τοῦ ἐπισκόπου, καὶ λειτουργοῦντος, πρὸ τῆς εἰσόδου αὐτοῦ οὐκ εἰσέλθῃ πρεσβύτερος ἐν τῷ βήματι, καὶ καθίσει· τοῦτο γὰρ ἀταξία ἐστὶ καὶ σύγχυσις.

## Κανὼν ΝΖ'.

Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις καθίστασθαι ἐπισκόπους, ἀλλὰ περιοδευτάς· τοὺς μέν τοι ἤδη προκατασταθέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει· ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους μηδὲν πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου.

—

ΖΩΝΑΡ. Τὸ ἀρχιερατικὸν ἀξίωμα ἔντιμον ἐστί· τὸ δὲ ἐν κώμῃ, ἢ ἐν χώρᾳ, ἔνθα μὴ πόλις ἐστὶ, μηδὲ πλῆθος ἀνθρώπων,

γίνεσθαι ἐπισκόπους, εὐκαταφρόνητον τὴν ἀρχιερωσύνην ποιεῖ. Διὸ καὶ ὁ κανὼν οὗτος κωλύει τοῦτο, ὃ καὶ ὁ ἕκτος κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διετάξατο· γίνεσθαι δὲ περιοδευτὰς ἐν κώμαις καὶ χώραις, διακελεύεται. Περιοδευταὶ δὲ λέγονται, διὰ τὸ περιέρχεσθαι καὶ καταρτίζειν τοὺς πιστοὺς, μὴ ἔχοντας καθέδραν οἰκείαν. Εἰ δέ τινες, φησὶ, πρὸ τοῦ κανόνος κατεστάθησαν ἐν τοῖς τοιούτοις τόποις ἐπίσκοποι, μηδὲν πραττέτωσαν ἄνευ γνώμης τοῦ ἐπισκόπου τῆς πόλεως, δι' οὗ ἐχειροτονήθησαν. Καὶ οἱ πρεσβύτεροι δὲ, φησὶ, μηδὲν ἄνευ γνώμης τοῦ ἐπισκόπου πραττέτωσαν.

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες ἐν ταῖς κώμαις καὶ ἐν τοῖς χωρίοις χωρεπισκόπους καὶ πρεσβυτέρους καθίστασθαι διωρίσαντο· ὁ δὲ παρὼν κανὼν περιοδευτὰς παρακελεύεται γίνεσθαι, καὶ μὴ ἐπισκόπους, ἵνα μὴ γένηται εὐκαταφρόνητος ἡ ἀρχιερωσύνη, ὡς μὴ ἐχούσης τῆς χώρας, ἐν ᾗ ἐχειροτονήθη ὁ ἐπίσκοπος, πλῆθος ἀνθρώπων εἰς τιμὴν τοῦ Θεοῦ καὶ τῆς ἀρχιερωσύνης. Εἰ δέ τινες, φησὶ, πρὸ τοῦ κανόνος κατεστάθησαν ἐν τοῖς τοιούτοις τόποις ἐπίσκοποι, μὴ ἐκβληθήτωσαν, ἀλλ' ἔστωσαν ἐνεργοῦντες τὰ πάντα μετὰ εἰδήσεως τοῦ χειροτονήσαντος αὐτοὺς μητροπολίτου. Ἀλλὰ καὶ οἱ πρεσβύτεροι, φησὶ, μηδὲν ἄνευ γνώμης τοῦ ἐπισκόπου πραττέτωσαν. Ταῦτα τοῦ κανόνος διοριζομένου, εἴποι τις, τῆς ἐννοίας τούτου καταστοχαζόμενος, ὡς, ἐπεὶ ἀτιμία τοῦ Θεοῦ καὶ τῆς ἀρχιερωσύνης ἐστὶ τὸ προΐστασθαι τὸν ἐπίσκοπον λαοῦ ὀλίγου, κἀντεῦθεν εἶναι εὐκαταφρόνητον· πολλῷ πλέον οὐκ ἔςαι πρὸς τιμὴν τοῦ Θεοῦ τὸ πεζῇ βαδίζειν ἀρχιερέα διὰ πενίαν καὶ ςερεῖσθαι τῶν ἀναγκαίων. Ὅθεν καὶ τὸ ψηφίζεσθαι ἐπισκόπους εἰς ἐκκλησίας ἀνατολικὰς, εἰς ἃς μέτριοι πάνυ εὑρίσκονται Χριστιανοὶ, οὐκ ἀσφαλές. Περιοδευταὶ δέ εἰσιν οἱ σήμερον προβαλλόμενοι παρὰ τῶν ἐπισκόπων ἔξαρχοι· οὗτοι γὰρ περιοδεύουσι καὶ ἐπιτηροῦσι τὰ ψυχικὰ σφάλματα, καὶ καταρτίζουσι τοὺς πιστούς. Ἀνάγνωθι καὶ τὸν ς'. κανόνα τῆς ἐν Σαρδικῇ συνόδου.

ΑΡΙΣΤ. Εἰς κώμην, ἢ εἰς χωρίον, ἐπίσκοπος οὐ καθίσταται, ἀλλὰ περιοδευτής· εἰ δέ τις κατέστη, μή τι διοικείτω, τοῦ ἐπισκόπου δίχα τῆς πόλεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐν κώμῃ τινὶ, ἢ καὶ βραχείᾳ πόλει, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ, οὐκ ἀναγκαῖον ἐπίσκοπον γίνεσθαι, ἵνα μὴ τὸ τοῦ ἐπισκόπου κατευτελίζηται ὄνομα· ἀλλὰ περιοδευτὰς, οὓ καὶ ἐξάρχους σήμερον ὀνομάζουσιν, εἰς διόρθωσιν τῶν ψυχικῶν σφαλμάτων στέλλεσθαι ἐν αὐταῖς. Εἰ δέ τινες προεγένοντο, τῆς τιμῆς μὲν μὴ μετακινείσθωσαν, μηδὲν δέ τι ἐπισκοπικὸν διοικείτωσαν, δίχα γνώμης τοῦ ἐπισκόπου τῆς πόλεως, ᾗ ὑπόκεινται αὗται.

## Κανὼν ΝΗ'.

### Ὅτι οὐ δεῖ ἐν τοῖς οἴκοις προσφορὰν γίνεσθαι παρὰ ἐπισκόπων ἢ πρεσβυτέρων (1).

—

**ΖΩΝΑΡ.** Εὔχεσθαι μὲν πανταχοῦ τοὺς πιστοὺς οὐ κεκώλυται, καὶ ἐν οἴκοις, καὶ ἐν ἀγροῖς, καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· προσφέρειν δὲ, ἤγουν προσκομιδὴν ποιεῖν, εἰ μὴ ἐν ναῷ καὶ θυσιαστηρίῳ, οὐ δεῖ. Οὔτε οὖν ἐπισκόποις, οὔτε πρεσβυτέροις παραχωρεῖ τοῦτο ποιεῖν.

**ΒΑΛΣ.** Τοῦτο ἐξεχωρήθη ἀπὸ νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ. Ἀνάγνωθι καὶ συνόδου ϛ'. κανόνα λα'. καὶ νθ'.

**ΑΡΙΣΤ.** Ἐπίσκοπος, ἢ πρεσβύτερος εἰς οἶκον μὴ προσφερέτω.

Εἰς οἶκον ἡ ἀναίμακτος οὐ τελεῖται θυσία, οὔτε παρ' ἐπισκόπου ἢ πρεσβυτέρου· ἀλλ' ἐν τῇ καθολικῇ ἐκκλησίᾳ προσφέρειν δεῖ. Πλὴν ὁ τριακοστὸς πρῶτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου συγχωρεῖ, κατὰ γνώμην τοῦ ἐπισκόπου, καὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις, τοῖς ἔνδον οἰκίας τυγχάνουσι, λειτουργίας τελεῖσθαι· βάπτισμα δὲ μηδ' ὅλως· ἀλλ' ἐν ταῖς καθολικαῖς καὶ μόναις ἐκκλησίαις τοῦ ἀχράντου καταξιοῦσθαι φωτίσματος τοὺς μέλλοντας βαπτισθῆναι, ὡς ὁ πεντηκοστὸς ἔνατος κανὼν τῆς αὐτῆς συνόδου διαλαμβάνει.

(1) παρὰ ἐπισκόπου ἢ πρεσβυτέρου Χ. Τρ. Σ. Ρ.

## Κανὼν ΝΘ'.

Ὅτι οὐ δεῖ ἰδιωτικοὺς ψαλμοὺς λέγεσθαι ἐν τῇ ἐκκλησίᾳ, οὐδὲ ἀκανόνιστα βιβλία, ἀλλὰ μόνα τὰ κανονικὰ τῆς Παλαιᾶς καὶ Καινῆς (1) Διαθήκης.

—

ΖΩΝΑΡ. Ἐκτὸς τῶν ρν'. ψαλμῶν τοῦ Δαβίδ, εὑρίσκονται καί τινες ἕτεροι, τοῦ Σολομῶντος λεγόμενοι εἶναι, καὶ ἄλλων τινῶν, οὓς καὶ ἰδιωτικοὺς ὠνόμασαν οἱ Πατέρες, καὶ μὴ λέγεσθαι ἐν τῇ ἐκκλησίᾳ διετάξαντο, μήτε μὴν βιβλία ἀναγινώσκεσθαι ἀκανόνιστα, μόνα δὲ τὰ κανονικά· κανονικὰ δ' ἐκάλεσαν τὰ τῷ πέ. κανόνι τῶν ἁγίων Ἀποστόλων ἀπαριθμούμενα· ὥσπερ ἀκανόνιστα, ὧν ὁ κανὼν ἐκεῖνος οὐκ ἐμνήσθη. Εἶτα καὶ αὐτὰ τὰ βιβλία τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς ἀπηρίθμησαν, εἰπόντες.

ΒΑΛΣ. Εὑρίσκονταί τινες ψαλμοὶ παρὰ τοὺς ρν'. ψαλμοὺς τοῦ Δαβίδ, λεγόμενοι τοῦ Σολομῶντος εἶναι καὶ ἄλλων τινῶν. Τούτους οὖν ὀνομάσαντες οἱ Πατέρες ἰδιωτικούς, διετάξαντο μήτε τούτους, μήτε ἄλλο τι ἐπ' ἐκκλησίας ἀναγινώσκεσθαι, μὴ ὂν ἀπὸ τῶν ἀπαριθμηθέντων ἐν τῷ πέ. ἀποστολικῷ κανόνι.

## Κανὼν Ξ'.

Ὅσα δεῖ βιβλία ἀναγινώσκεσθαι τῆς Παλαιᾶς Διαθήκης· ά. Γένεσις κόσμου· β'. Ἔξοδος ἐξ Αἰγύπτου· γ'. Λευϊτικόν· δ'. Ἀριθμοί· έ. Δευτερονόμιον· ς'. Ἰησοῦς τοῦ Ναυῆ· ζ'. Κριταί· Ῥούθ· ή. Ἐσθήρ· θ'. Βασιλειῶν πρώτη καὶ δευτέρα· ί. Βασιλειῶν τρίτη καὶ τετάρτη· ιά. Παραλειπομένων πρῶτον καὶ δεύτερον· ιβ'. Ἔσδρας πρῶτον καὶ δεύτερον· ιγ'. Βίβλος Ψαλμῶν ρν'. ιδ'. Παροιμίαι Σολομῶντος· ιέ. Ἐκκλησιαστής· ις'. Ἆσμα ᾀσμάτων· ιζ'. Ἰὼβ· ιή. Δωδεκαπρόφητον· ιθ'. Ἡσαΐας· κ'. Ἱερεμίας, καὶ Βαρούχ, Θρῆνοι καὶ ἐπιστολαί· κά. Ἰεζεκιήλ· κβ'. Δανιήλ. Τὰ δὲ τῆς Καινῆς Διαθήκης ταῦτα· Εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον,

(1) τῆς καινῆς καὶ παλαιᾶς Π. Βρ. — ἅτινά ἐστι ταῦτα, Σ. Ῥ. ὅπου ὁ Ξ'. Καν. ἀποτελεῖ μέρος τοῦ ΝΘ'.

κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην· Πράξεις Ἀποστόλων· Ἐπιστολαὶ καθολικαὶ ἑπτὰ, Ἰακώβου μία, Πέτρου δύο, Ἰωάννου τρεῖς, Ἰούδα μία· Ἐπιστολαὶ Παύλου δεκατέσσαρες· πρὸς Ῥωμαίους μία, πρὸς Κορινθίους δύο, πρὸς Γαλάτας μία, πρὸς Ἐφεσίους μία, πρὸς Φιλιππησίους μία, πρὸς Κολοσσαεῖς μία, πρὸς Θεσσαλονικεῖς δύο, πρὸς Ἑβραίους μία, πρὸς Τιμόθεον δύο, πρὸς Τίτον μία, καὶ πρὸς Φιλήμονα μία.

---

ΖΩΝΑΡ. Ταῦτα μὲν ἀναγνωστέα βιβλία ὁ παρὼν κανὼν ἀνεγράψατο. Ὁ δὲ τῶν ἁγίων Ἀποστόλων πέ. κανὼν τούτοις καὶ τὰς διὰ τοῦ Κλήμεντος συγγραφείσας Διατάξεις τοῖς ἀναγνωστέοις βιβλίοις συναπηρίθμησεν, ἃς ἡ ἕκτη σύνοδος ἐν δευτέρῳ κανόνι μὴ ἀναγινώσκεσθαι διετάξατο, ὡς ὑπὸ αἱρετικῶν νοθευθείσας, προσθεμένων αὐταῖς παρέγγραπτά τινα καὶ διάστροφα.

ΑΡΙΣΤ. Ἰδιωτικοὶ ψαλμοὶ, ἢ ἀκανόνιστα βιβλία, ἐν ναοῖς οὐ ψάλλονται ἢ ἀναγινώσκονται· ἀλλὰ τὰ κεκανονισμένα τῆς Παλαιᾶς τε καὶ Νέας.

Ἅτινά ἐστι ταῦτα· Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον, Ἰησοῦς, Κριταὶ, Ῥοὺθ, Ἐσθὴρ, Βασιλειῶν τέσσαρα, Παραλειπομένων δύο, Ἔσδρα δύο, Ψαλμοὶ, Παροιμίαι Σολομῶντος, Ἐκκλησιαστὴς, Ἆσμα ᾀσμάτων, Ἰὼβ, Δωδεκαπρόφητον, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, καὶ Δανιήλ· ὁμοῦ εἰκοσιδύο τὰ βιβλία τῆς Παλαιᾶς.

Τῆς δὲ Καινῆς, Εὐαγγέλια τέσσαρα, Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου· Πράξεις· Ἐπιστολαὶ καθολικαὶ ἑπτὰ, ἤγουν Ἰακώβου μία, Πέτρου δύο, Ἰωάννου τρεῖς, Ἰούδα μία· Παύλου ιδʹ. ἤγουν πρὸς Ῥωμαίους μία, πρὸς Κορινθίους δύο, πρὸς Γαλάτας μία, πρὸς Ἐφεσίους μία, πρὸς Φιλιππησίους μία, πρὸς Κολοσσαεῖς μία, πρὸς Θεσσαλονικεῖς δύο, πρὸς Ἑβραίους μία, πρὸς Τιμόθεον δύο, πρὸς Τίτον μία, καὶ πρὸς Φιλήμονα μία.

# ΚΑΝΟΝΕΣ

## ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΝ ΣΑΡΔΙΚΗ ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. ΒΑΛΣ. Η (2) ἐν Σαρδικῇ σύνοδος γέγονε βασιλεύοντος Κωνσταντίου, τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου· ἐκεῖνος γὰρ προσθέμενος τῇ τῶν Ἀρειανῶν αἱρέσει, σπουδὴν ἐποιεῖτο τὰ ἐν τῇ πρώτῃ συνόδῳ δογματισθέντα καὶ ὁρισθέντα ἀνατρέψαι· ὅπερ ὁ ἀδελφὸς αὐτοῦ Κώνστας, τῆς πρεσβυτέρας Ῥώμης κρατῶν, μαθὼν ἐξ ἀναφορᾶς τοῦ τότε πάπα, ἠπείλησε πόλεμον διὰ γραμμάτων τῷ ἀδελφῷ, εἰ μὴ παύσοιτο κυμαίνων τὴν ἐκκλησίαν, καὶ τὴν ὀρθόδοξον πίστιν παρασαλεύων. Ὁ δὲ τὸ ἀκριβὲς τῆς πίστεως ζητεῖν, τῷ ἀδελφῷ ἀντεπέστειλε, κἀκεῖνο βεβαιωθῆναι διὰ σπουδῆς τυγχάνειν αὐτῷ. Συνέδοξεν οὖν τοῖς αὐτοκράτορσιν ἀμφοτέροις, σύνοδον γενέσθαι ἀρχιερέων, καὶ τὴν παρ᾽ ἐκείνων δοκιμασθεῖσαν (3) πίστιν κρατεῖν. Διὸ κελεύσει τῶν εἰρημένων αὐταδέλφων καὶ βασιλέων, συνηθροίσθησαν ἐπίσκοποι τὸν ἀριθμὸν τριακόσιοι τεσσαράκοντα καὶ εἷς ἐν Σαρδικῇ, τῇ νῦν λεγομένῃ Τριαδίτζῃ, οἱ διαγνωμονήσαντες περὶ τῶν ἐν Νικαίᾳ δογματισθέντων, ἐβεβαίωσαν ταῦτα, ὅρον ἐκθέμενοι κυροῦντα τὸ ἅγιον σύμβολον τῶν ἐν Νικαίᾳ Πατέρων, καὶ κρατεῖν αὐτὸ, καὶ ἀπαραποίητον μένειν διοριζόμενον, τοὺς δὲ παρὰ τοῦτο φρονοῦντας ἀποκηρύττοντα, καὶ ποιοῦντα ὑπὸ ἀνάθεμα. Οἱ γοῦν τῆς ἐν Σαρδικῇ ταύτης συνόδου Πατέρες καὶ κανόνας ἐξέθεντο εἰς ἐκκλησιαστικὴν ἀφορῶντας κατάστασιν, οἵπερ εἰσὶν οὗτοι.

(1) Χ. Τρ. — Κανόνες τῶν ἐν Σαρδικῇ συνελθόντων ἁγίων καὶ μακαρίων Πατέρων Βρ. — (2) Χ. Τρ. Ἑ. Κ. — Καὶ ἡ ἐν Σαρδικῇ, Βευερ. — (3) δογματισθεῖσαν, Ξ.

## Κανὼν Α΄(1).

Ὅσιος ἐπίσκοπος πόλεως Κορδούβης εἶπεν (2)· Οὐ τοσοῦτον ἡ φαύλη συνήθεια, ὅσον ἡ βλαβερωτάτη τῶν πραγμάτων διαφθορὰ, ἐξ αὐτῶν τῶν θεμελίων ἐστὶν ἐκριζωτέα, ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς εἰς ἑτέραν πόλιν μεθίστασθαι. Ἡ γὰρ τῆς αἰτίας ταύτης πρόφασις φανερὰ (3), δι' ἣν τὰ τοιαῦτα ἐπιχειρεῖται. Οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπισκόπων (4) δεδύνηται, ὃς ἀπὸ μείζονος πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐσπούδασε μεταστῆναι· ὅθεν συνέστηκε διαπύρῳ πλεονεξίας τρόπῳ ὑπεκκαίεσθαι τοὺς τοιούτους, καὶ μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν, ὅπως ἐξουσίαν δοκοῖεν μείζονα κεκτῆσθαι. Εἰ πᾶσι (5) τοίνυν τοῦτο ἀρέσκει, ὥστε τὴν τοιαύτην σκαιότητα αὐστηρότερον ἐκδικηθῆναι, ἡγοῦμαι γὰρ μηδὲ λαϊκῶν ἔχειν τοὺς τοιούτους χρῆναι κοινωνίαν. Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέσκει πᾶσιν.

---

ΖΩΝΑΡ. Ἕκαστος τῶν ἐν τῇ συνόδῳ ταύτῃ προεχόντων (6) ἐν λόγῳ καὶ γνώσει, γνώμας εἰσῆγε περί τινων ὑποθέσεων, καὶ εἰ καὶ τοῖς ἄλλοις ἤρεσκον ἐπισκόποις, ἐκυροῦντο, καὶ εἰς κανόνας ἐξεφωνοῦντο. Ὁ γοῦν ἐπίσκοπος Κουρδούβης Ὅσιος κεκλημένος, πρῶτος εἰσήγαγε γνώμην περὶ τῶν ἐκ πόλεως εἰς ἑτέραν πόλιν μεταβαινόντων ἀρχιερέων. Εἰ γὰρ καὶ ἀποστολικοὶ κανόνες καὶ συνόδων τοῦτο ἐκώλυον, ἀλλ' ἔτι ἐγίνετο. Τὸ γοῦν τοῦ κανόνος τούτου προοίμιον, τοιαύτης ἐστὶν ἐννοίας· ὅτι πᾶσαν δεῖ φαύλην συνήθειαν ἀνατρέπειν, εἰ δὲ καὶ εἰς πραγμάτων εἴη διαφθορὰν, ἐξ αὐτῶν τῶν θεμελίων χρὴ αὐτὴν ἐκριζοῦν, διὰ τῆς ἐκριζώσεως καὶ τῶν θεμελίων τὴν παν-

---

(1) Πρὸ τοῦ Κανόνος ἀναγινώσκεται παρὰ Βρ. Σ. Ῥ. καὶ Κ. τὰ ἑξῆς· — Ἡ ἁγία σύνοδος ἡ ἐν Σαρδικῇ συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν, ὥρισε τὰ ὑποτεταγμένα. — (2) Χ. Τρ. Ἐ. Κ. Σ. Ῥ. Βευερ. — οὐ κεῖται ἐν Π. ἡ φράσις.— (3) ἐστὶ Βρ. — (4) Π. Βρ. Κ. — ἐπίσκοπος Χ. Τρ. Σ. Ῥ.— ἐπίσκοπον Ἐ. — (5) Βρ. Ἐ. Κ. Βευερ. Σ. Ῥ. — ἄνευ τοῦ εἰ, Χ. Τρ. Π. — (6) Χ. Τ. — προεεχόντων Κ. Βευερ.

τελῆ καθαίρεσιν καὶ ἀνατροπὴν ἐνδεικνυμένου τοῦ λόγου. Ὁ δὲ κανὼν διορίζεται, μηδένα ἐπίσκοπον καταλιμπάνειν τὴν πόλιν, ἐν ᾗ ἐχειροτονήθη, καὶ μεταβαίνειν εἰς ἑτέραν· φανερὰν γὰρ εἶναι τὴν αἰτίαν τῆς μεταστάσεως, ἣν πλεονεξίαν ὀνομάζει καὶ ἀλαζονείαν· καὶ πλεονεξίαν μὲν, ὡς πλέον ἔχειν τι τοῦ μεταβαίνοντος ἐκ πόλεως εἰς πόλιν ἐφιεμένου, * ἴσως δαψιλεστέρας ἐχούσης προσόδους τῆς ἐφ' ἣν μέτεισιν· * (1) ἀλαζονείαν δὲ, ὡς δι' ἔπαρσιν καὶ δόξης ἔρωτα μείζονος τὴν μετάβασιν ποιουμένου· οὐ γάρ τις, φησὶν, εὑρέθη ποτὲ ἐκ μείζονος πόλεως εἰς μικροτέραν μεταχωρήσας, ἀλλ' ἐκ μικρᾶς καὶ ἀφανεστέρας εἰς μείζω καὶ ἐπιφανεστέραν· ὅπερ κατηγορεῖ τῶν τοῦτο ποιούντων ἀλαζονείαν καὶ πλεονεξίαν, θελόντων μείζονος δράξασθαι ἐξουσίας. Ταύτην τὴν γνώμην ὁ Ὅσιος ἐπὶ τοῦ συνεδρίου τῶν ἐπισκόπων εἰσαγαγὼν, ἠρώτησεν, εἰ πᾶσιν ἀρέσκει αὐστηρότερον ἐκδικηθῆναι τὴν τοιαύτην κακίαν. Εἶτα καὶ τὸ ἐπιτίμιον ἐπήγαγεν, εἰπὼν, ὅτι ἐκπίπτειν χρὴ τοῦτον τῆς τῶν πιστῶν ὁμηγύρεως, ὥστε μηδὲ ὡς λαϊκὸν ἔχειν τοῦτον μετὰ τῶν πιστῶν κοινωνίαν. Πρὸς ὃ οἱ τῆς συνόδου ἀπεκρίναντο, ὅτι πᾶσιν ἀρέσκει.

ΒΑΛΣ. Περὶ τῶν μεταβαινόντων ἀρχιερέων ἀπὸ πόλεως εἰς πόλιν ἀλλοτρίαν, ἤγουν διοίκησιν, εἴρηται ἐν τῷ ιδ'. κανόνι τῶν ἁγίων Ἀποστόλων, ἐν τῷ πεντεκαιδεκάτῳ τῆς ἐν Νικαίᾳ συνόδου (2), καὶ ἐν τῷ κά. καὶ ἐν τῷ κϐ'. τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἐν ἑτέροις. Καταφρονουμένων δὲ τῶν ἐν αὐτοῖς περιεχομένων, ὁ ἐπίσκοπος πόλεως Κουρδούβης, ὁ καὶ Ὅσιος κεκλημένος διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν, προοιμιασάμενος ὀφείλειν πᾶσαν φαύλην συνήθειαν ἐκριζοῦσθαι, πολλῷ δὲ πλέον τὴν ἀφορῶσαν καὶ εἰς πραγμάτων ἐκκλησιαστικῶν διαφθορὰν, ἐπήγαγε, μὴ ἔχειν ἐπ' ἀδείας (3) ἐπίσκοπον οἱονδήτινα ἀπὸ πόλεως εἰς πόλιν μεθίστασθαι. Ὡς δέ τινος εἰπόντος, συγγνωστέον εἶναι τὸν ἴσως τοῦτο ποιήσαντα διὰ τρόπον ἀγαθὸν, καὶ διὰ τὸ διδάξαι καὶ στηρίξαι λαὸν πλείονα, προσέθετο, παρὰ τῶν ἐπι-

(1) τὰ μεταξὺ τῶν οὐ κεῖται παρὰ Κ. καὶ Βευερ. ἀλλ' ἐν Χ. Τρ μόνον, καὶ λατινιστὶ παρὰ Κ. — (2) Βευερ. — οὐ κεῖται ἐν Χ. Τρ. καὶ Ε. τὸ, ἐν τῷ ιέ τῆς ἐν Νικαίᾳ συνόδου. — (3) τὸ, ἐπ' ἀδείας, οὐ κεῖται παρὰ Κ.

σκόπων τοῦτο τολμᾶσθαι, μὴ διὰ τρόπον ἀγαθὸν, ἀλλὰ διὰ πλεονεξίαν, ἢ δι᾽ ἀλαζονείαν, καὶ ὥστε ἔχειν ἐξουσίαν μείζονα καὶ κερδαίνειν πλείονα. Οὐδεὶς γὰρ, φησὶν, ἐπίσκοπος εὑρέθη ἀπὸ πόλεως μείζονος μεταβὰς εἰς ἐλαχιστοτέραν· ὥστε ἐκ τούτου περιαιρεθῆναι τὴν ὑποψίαν τῆς πλεονεξίας καὶ τῆς φιλοδοξίας. Τοίνυν καὶ ἠρώτησε τὴν σύνοδον, εἰ πᾶσιν ἀρέσκει αὐστηρότερον ἐκδικηθῆναι τὴν τοιαύτην τόλμαν, δηλονότι, μὴ μόνον καθαιρεῖσθαι τὸν τοιοῦτόν τι ποιήσαντα, ἀλλ᾽ ἐκπίπτειν καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως, καὶ μηδ᾽ ὡς λαϊκὸν κοινωνεῖν μετ᾽ αὐτῶν. Πρὸς ὃ οἱ τῆς συνόδου ἀπεκρίναντο, ὅτι πᾶσιν ἀρέσκει. Τούτων οὕτως ἐχόντων, ἐρωτήσει τις, ὡς τοῦ ιε΄. κανόνος τῆς ἐν Νικαίᾳ συνόδου διοριζομένου τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταβάντα ἐπίσκοπον μὴ καθαιρεῖσθαι, ἀλλ᾽ ἀποκαθίςασθαι εἰς τὴν προτέραν αὐτοῦ ἐκκλησίαν, καὶ τοῦ παρόντος κανόνος παντελῆ ἀκοινωνησίαν τούτου καταψηφιζομένου, τίνι προσέχειν ὀφείλομεν; Λύσις. Καὶ ἀμφοτέροις· οὐδὲ γὰρ ἐπικοινωνοῦσιν ἀλλήλοις. Ἀνάγνωθι τὸν ῥηθέντα ιε΄. κανόνα· εἰ δέ τις ἀνθυποφέρει τὸν κ΄. κανόνα τῆς ϛ΄. συνόδου, λέγοντα ταῦτα ῥητῶς· Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν· εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω· καὶ λέγει ὀφείλειν τὸ λοιπὸν τὰ τοῦ τοιούτου μᾶλλον κανόνος κρατεῖν, ὡς μεταγενεστέρου κατὰ πολὺ, καὶ καθαίρεσιν μόνον ἐπάγοντος· ἀκουσάτω μεγάλην εἶναι τὴν διαφορὰν τῶν κανόνων· ἐνταῦθα μὲν γὰρ ἀλλοτρίου θρόνου ἐπέβη ὁ ἐπίσκοπος, καὶ κατεῖχεν αὐτὸν αὐθεντικῶς· διὸ σὺν τῇ καθαιρέσει καὶ ἀποκηρύσσεται ὡς ἀναιδέστατος· ὁ δὲ ἐν τῷ ῥηθέντι κανόνι τῆς ϛ΄. συνόδου δηλούμενος ἐπίσκοπος, οὐδέν τι ἕτερον ἐνήργησεν εἰς ἑτέραν ἐνορίαν, ἀλλὰ μόνον ἐδίδαξε δημοσίᾳ, καὶ διὰ τοῦτο καθαιρεῖται μόνον· ὅπερ καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος γίνεσθαι διωρίσατο εἰς τὸν παρ᾽ ἐνορίαν χειροτονήσαντα, ἐν τῷ ιγ΄. κανόνι αὐτῆς. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς εἰς ἑτέραν πόλιν μεθίστασθαι, μὴ εἴπῃς ἐξ ἀντιδιαστολῆς δύνασθαι ἐπίσκοπον μεταβαίνειν ἀπὸ πόλεως μεγάλης

εἰς μικρὰν, ὡς τάχα περιαιρουμένων καὶ τῶν αἰτιῶν τῶν ἐν τῷ κανόνι δηλωθεισῶν· καὶ τοῦτο γὰρ ὑπὸ τῶν κανόνων παραμοίως κολάζεται, ἀδιαφόρως διοριζομένων καθαιρεῖσθαι μὴ μόνους τοὺς ἀπὸ πόλεως οἱαςδήτινος εἰς ἑτέραν μεταπίπτοντας, ἀλλὰ καὶ τοὺς παρ' ἐνορίαν ἱερατικόν τι ἐνεργοῦντας, καὶ εἰς τὰς λαχούσας αὐτοῖς ὑποστρέφοντας. Καὶ ταῦτα μὲν οὕτως. Σὺ δὲ εἰ θέλεις ἀκριβῶς εἰδέναι τὰ περὶ τῆς μεταθέσεως, μεταβάσεως, καὶ ἐπιβασίας, ἀνάγνωθι τὸ σχόλιον τοῦ ιε'. κανόνος τῆς ά. συνόδου.

ΑΡΙΣΤ. Ἀνεύρετόν ἐστιν ἐπίσκοπον ἐκ μείζονος εἰς μείονα πόλιν μετελθεῖν. Ὁ τοίνυν ἐκ ταπεινῆς ἐφ' ὑψηλοτέραν μεταπηδῶν, ὡς ὁ ἀλαζὼν καὶ πλεονέκτης ὑποβλεπόμενος, διὰ βίου παντὸς ἀκοινώνητος.

Ὁ παρὼν κανὼν τὰς μεταθέσεις τῶν ἐπισκόπων ὅλως οὐ συγχωρεῖ γίνεσθαι· ἀλλὰ κἂν γένωνται, αὐστηρῶς τοὺς μετατιθεμένους κολάζει. Καταλαβόντες γὰρ οἱ Πατέρες ἐξ αὐτοῦ τοῦ πράγματος, ὡς οὐδεὶς τῶν ἐπισκόπων ἀπὸ πόλεως μείζονος εἰς ἐλαχιστοτέραν πόλιν μετατεθῆναι σπουδάζει, ἀλλ' ἀπὸ μικρᾶς πόλεως ἐφ' ὑψηλοτέραν πόλιν ἐθέλει μεταπηδᾷν, διὰ ἀλαζονείαν καὶ πλεονεξίαν, ὥρισαν τὸν τοιοῦτον μηδὲ λαϊκοῦ κοινωνίαν ἔχειν, ἀλλὰ σὺν τῷ καθαιρεῖσθαι, καὶ ἀφωρισμένον εἶναι.

## Κανὼν Β'.

Ὅσιος ἐπίσκοπος εἶπεν (1)· Εἰ δέ τις τοιοῦτος εὑρίσκοιτο μανιώδης ἢ τολμηρὸς, ὡς περὶ τῶν τοιούτων δόξαι τινὰ φέρειν παραίτησιν, διαβεβαιούμενον ἀπὸ τοῦ πλήθους ἑαυτὸν (2) κεκομίσθαι γράμματα, δῆλόν ἐστιν, ὀλίγους τινὰς δεδυνῆσθαι, μισθῷ καὶ τιμήματι διαφθαρέντας, ἐν τῇ ἐκκλησίᾳ στασιάζειν, ὡς δῆθεν τὸν αὐτὸν ἔχειν ἐπίσκοπον ἀξιοῦντας. Καθάπαξ οὖν τὰς τοιαύτας ῥᾳδιουργίας καὶ τέχνας οὐ δεκτέας, ἀλλὰ μᾶλλον (3) κολαστέας εἶναι

(1) Βρ. Ε. Κ. Σ. Φ.— ἡ φράσις παραλείπεται ὑπὸ τοῦ Π. Βευερ. καὶ Χ. Τρ. — (2) Χ. Τρ. Βρ. Σ. Ρ. — πρὸς ἑαυτὸν Π. Ε. Κ. Βευερ. — (3) τὸ, οὐ δεκτέας ἀλλὰ μᾶλλον, κεῖται μόνον ἐν Σ. Ρ. Βρ. Χ. Τρ. Ε. Κ.

νομίζω, ὥστε μηδένα τοιοῦτον μηδὲ ἐν τῷ τέλει λαϊκῆς γοῦν ἀξιοῦσθαι κοινωνίας. Εἰ τοίνυν ἀρέσκει ἡ γνώμη αὕτη, ἀποκρίνασθε. Ἀπεκρίναντο· Τὰ λεχθέντα ἤρεσεν(1).

---

ΖΩΝΑΡ. Εἰ δὲ τοσοῦτόν ἐστι, φησὶ, μανιώδης τις ἢ τολμηρὸς, ὥστε καὶ μετὰ τὸν κανόνα τολμῆσαι μεταπεσεῖν ἐκ πόλεως εἰς πόλιν, καὶ περὶ τούτου δοκεῖν φέρειν παραίτησιν, ἤγουν ἀπολογεῖσθαι, καὶ παραιτεῖσθαι τὴν μέμψιν, ἀντὶ τοῦ, ἀποσκευάζεσθαι, διαβεβαιούμενος, ἤτοι ἐνιστάμενος κεκομίσθαι αὐτὸν ἤτοι δέξασθαι(2), γράμματα ἀπὸ τοῦ πλήθους τῆς πόλεως, μετακαλούμενα αὐτὸν εἰς τὴν ἐπισκοπὴν, δῆλον ὅτι ὀλίγους τινὰς ἠδυνήθη πεῖσαι ϛασιάζειν ἐν τῇ ἐκκλησίᾳ ἀξιοῦντας ἔχειν αὐτὸν ἐπίσκοπον· καὶ ἐκείνους δὲ ἐμισθώσατο, καὶ ἠγόρασε τὸ ζητῆσαι αὐτὸν, δοὺς αὐτοῖς χρήματα, ἅτινα μισθὸν καὶ τίμημα ὠνόμασεν ὁ κανών. Καθόλου τοίνυν, φησὶ, τὰς τοιαύτας ῥᾳδιουργίας, ἤτοι δαλιότητας καὶ τέχνας παρὰ ἐπισκόπων γίνεσθαι, κολάσεώς ἐστιν ἄξιον· ἡ δὲ κόλασις, τὸ μηδένα τοιαῦτα ποιοῦντα, μηδὲ θνήσκοντα, ὡς λαϊκὸν ἀξιοῦσθαι κοινωνίας. Τοῦτο δὲ δείκνυσιν ὅτι οὐδὲ τοῖς πιστοῖς αὐτὸν συναριθμεῖ ὁ κανὼν, ἐπεὶ οὐδὲ ἐν τῷ θανάτῳ παραχωρεῖ μεταλαβεῖν αὐτόν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τοῦ ά. ἐξέχεται. Τινῶν γὰρ ἐπισκόπων αἰτιωμένων διὰ τὴν ἐκ πόλεως εἰς πόλιν τούτων μετάστασιν, καὶ ἐπιχειρούντων παραιτεῖσθαι, ἤγουν ἀποσκευάζειν ἐξ αὐτῶν τὴν αἰτίασιν, ἐκ τοῦ λέγειν, διὰ γραμμάτων τοῦ πλήθους τῆς πόλεως μεταπεσεῖν ἐκ τῆς λαχούσης αὐτοὺς, ὥρισαν οἱ Πατέρες μηδὲ τοῦτο εἰς ἀπολογίαν ἀρκεῖν· ὅτι τῶν εἰκότων ἐστὶ ῥᾳδιουργηθῆναι τοιαῦτα διά τινων ὀλίγων ἐποίκων τῆς πόλεως, διαφθαρέντων (3) νομίσμασι, καὶ οἷον μισθωθέντων· ὅθεν καὶ ἐκόλασαν τοὺς ταῦτα τεχναζομένους ἐπισκόπους, διὰ παντελοῦς ἀποκηρύξεως, ὥστε μηδὲ θνήσκοντας αὐτοὺς, ὡς λαϊκοὺς ἀξιοῦσθαι κοινωνίας. Τούτων δὲ οὕτως ἐχόντων, μὴ εἴπῃς, τοὺς μετὰ ἀληθείας μετακληθέντας (4) παρὰ

---

(1) οὐ κεῖται ἐν Π. τὰ ἀπὸ τοῦ, εἰ τοίνυν ἀρέσκει μέχρι τέλους. — (2) Χ. Τρ. — τὸ, ἤτοι δέξασθαι, οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰμὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ. — (3) ὑποφθαρέντων Χ. Τρ. — (4) παρακληθέντας Χ. Τρ.

πολιτῶν συγγινώσκεσθαι, ἢ μὴ συγγινωσκομένους, τιμωρεῖσθαι κατὰ τοὺς ῥαδιουργήσαντας τὴν μετάκλησιν, ἀλλ' εἶπε αὐτοὺς καθαιρεῖσθαι, ὡς μὴ ὀφείλοντας ὑπακούειν ἀμετόχων ἀνθρώπων.

ΑΡΙΣΤ. Εἴ τις ἐκ πόλεως εἰς πόλιν μεταβὰς καταστασιάζει, τῷ πλήθει ἀρέσκων, καὶ συμμαχούμενος, καὶ ἐν αὐτῷ τῷ τέλει ἀκοινώνητος.

Τὸν εἰς τοσοῦτον τόλμης καὶ μανίας ἐλθόντα, ὥστε παῤῥησιασθῆναι καὶ αἰτεῖν ἐκ πόλεως εἰς πόλιν μετατεθῆναι, ὡς ἀρέσκοντα τῷ πλήθει, καὶ ἐκεῖθεν δεξάμενον γράμματα ἀξιοῦντα ἔχειν αὐτὸν ἐπίσκοπον, ὅπερ δῆλόν ἐστιν ἐκ μηχανῆς καὶ τέχνης αὐτοῦ γενέσθαι, ὀλίγους τινὰς ἰσχύσαντος μισθῷ καὶ τιμήματι διαφθεῖραι, καὶ ἐν τῇ ἐκκλησίᾳ καταστήσαντος στασιάζειν, ὡς δῆθεν αἰτεῖν ἔχειν αὐτὸν ἐπίσκοπον· τὸν τοιοῦτον, ὡς ἄγαν τολμητίαν καὶ ἀπονενοημένον μεγάλως, αὕτη ἡ σύνοδος κατεδίκασεν· ἀπεφήνατο γὰρ, μηδὲ ἐν τῇ ἐξόδῳ τοῦ βίου κοινωνίας ἀξιοῦσθαι. Καὶ σημείωσαι· ξένον γὰρ τοῦτο, καὶ φρικτόν ἐστι, τὸ μηδὲ ἐν τῇ ἐξόδῳ ἀξιοῦσθαι τῆς κοινωνίας· ὅπερ οὐχ εὑρήσεις ἀπανταχῆ τῶν κανόνων ἐν ἄλλῳ τινὶ κείμενον ἁμαρτήματι, καὶ ἐπιτιμώμενον.

## Κανὼν Γ'.

Ὅσιος ἐπίσκοπος εἶπε (1)· Καὶ τοῦτο προστεθῆναι ἀναγκαῖον (2), ἵνα μηδεὶς ἐπισκόπων ἀπὸ τῆς ἑαυτοῦ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, ἐν ᾗ τυγχάνουσιν ὄντες ἐπίσκοποι, διαβαίνοι, εἰ μή τοι (3) παρὰ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ (4) κληθείη· διὰ τὸ μὴ δοκεῖν ἡμᾶς τὰς τῆς ἀγάπης ἀποκλείειν πύλας. Καὶ τοῦτο δὲ ὡσαύτως προνοητέον, ὥστε, ἐὰν ἔν τινι ἐπαρχίᾳ ἐπισκόπων τις ἀντίχρυς ἀδελφοῦ ἑαυτοῦ καὶ συνεπισκόπου (5) πρᾶγμα σχοίη, μηδένα ἕτερον (6) ἐκ τούτων ἀπὸ ἑτέρας ἐπαρχίας ἐπι-

(1) Βρ. Ἐ. Κ. Σ. Ῥ.—ἡ πρώτη φράσις οὐ κεῖται ἐν Π. καὶ Χ. Τρ.—(2) ἀναγκαῖον καὶ τοῦτο προστεθῆναι Σ. Ῥ. — (3) εἰ μή τις Π. Ἑ. Κ. — (4) Χ. Τρ. Βρ. Ἑ. Κ.— ἐν αὐτῇ Π. Βευερ. —(5) συνεπισκόπων Βευερ.—(6) Χ. Τρ. Π. μηδέτερον Βρ. Σ. Ῥ. Βευερ.

σκόπους ἐπιγνώμονας ἐπικαλεῖσθαι. Εἰ δὲ ἄρά τις ἐπισκόπων ἔν τινι πράγματι δόξῃ καταχρίνεσθαι, καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν ἀλλὰ καλὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ, Πέτρου τοῦ Ἀποστόλου τὴν μνήμην τιμήσωμεν, καὶ γραφῆναι παρὰ (1) τούτων τῶν κρινάντων Ἰουλίῳ τῷ ἐπισκόπῳ Ῥώμης, ὥστε διὰ τῶν γειτνιώντων τῇ ἐπαρχίᾳ ἐπισκόπων, εἰ δέοι, ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ ἐπιγνώμονας αὐτὸς παράσχοι. Εἰ δὲ μὴ συστῆναι δύναται τοιοῦτον αὐτοῦ (2) εἶναι τὸ πρᾶγμα, ὡς παλινδικίας χρήζειν, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, τὰ δὲ ὄντα, βέβαια τυγχάνειν.

---

ΖΩΝΑΡ. Οὐ μόνον μεταμείβειν τὰς πόλεις κωλύονται οἱ ἐπίσκοποι, καὶ ἀπὸ ἐλάττονος εἰς μείζονα μετατίθεσθαι, ἀλλ' οὐδὲ ἀπιέναι ἀπὸ ἐπαρχίας εἰς ἄλλην ἐπαρχίαν, ἐν ᾗ εἰσιν ἐπίσκοποι συγχωροῦνται, ὥς τι τελέσοντες ἐκκλησιαστικὸν δίκαιον, εἰ μὴ οἱ ἐν τῇ ἐπαρχίᾳ ἐκείνῃ ἐπίσκοποι αὐτοὺς προσκαλέσωνται. Καὶ τοῦτο δὲ ἐπιτρέπομεν, φησὶν ὁ κανὼν, τὸ ἀπιέναι καλουμένους, διὰ τὸ φιλάδελφον, ἵνα μὴ δόξωμεν κλείειν τὰς τῆς ἀγάπης πύλας. Εἰ δὲ καὶ πρᾶγμα, ἤγουν ὑπόθεσιν, δίκην, σχοίη ἐπίσκοπος μετὰ ἀδελφοῦ αὐτοῦ καὶ συνεπισκόπου, μηδένα ἐκ τούτων τῶν τὴν δίκην ἐχόντων ἐξ ἑτέρας ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι ἐπιγνώμονας, * τουτέστι διαγνώμονας δικαστάς* (3), ἀλλὰ παρὰ τῶν τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπων δικάζεσθαι. Εἰ δὲ παρ' ἐκείνοις δικασθείς τις καταδικάζεται, καὶ ὑπολαμβάνει μὴ σαθρὸν ἔχειν τὸ πρᾶγμα, μὴ ἀσθενῆ δηλονότι ὑπόθεσιν, ἀλλὰ καλὴν, ἤγουν δυναμένην αὐτὸν δικαιῶσαι, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, ἤγουν ἐκ νέου ζητηθῇ, τηρηθῇ, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ, Πέτρου τοῦ Ἀποστόλου τὴν μνήμην τιμήσωμεν, τουτέστι τῷ θρόνῳ τῆς Ῥωμαίων ἐκ-

---

(1) περὶ Ἐ. Κ. Σ. Ῥ. (2) αὐτῷ Βευερ. — (3) τὰ μεταξὺ τῶν * ἐν Σ. Ζωμάνου.

κλησίας ἀναθώμεθα τὴν ἐξουσίαν, ἵνα οἱ κρίναντες τὴν ὑπόθεσιν γράψωσι τῷ πάπᾳ Ἰουλίῳ, ὃς ἦν τότε τῆς Ῥώμης ἐπίσκοπος, ἀναδιδάσκοντες τὴν ὑπόθεσιν, καὶ ὅτι ὁ καταδικαζόμενος ὑπ᾽ αὐτῶν, ἀπαρέσκεται, ὥστε τὸν πάπαν ἐκ τῶν πλησιαζόντων τῇ ἐπαρχίᾳ ἐκείνῃ ἐπισκόπων, παρασχεῖν διαγνώμονα· εἰ διαγνοίη ἐκεῖνος, ὅτι δεῖ ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ πάλιν ζητηθῆναι τὴν ὑπόθεσιν εἰ δὲ μὴ διαγνοίη ὁ πάπας ὅτι παλινδικίας χρήζει ἡ ὑπόθεσις, τουτέστι δευτέρου δικαστηρίου, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, ἤγουν τὰ ἤδη κεκριμένα καὶ τὴν πρώτην ἀπόφασιν μὴ ἀνατρέπεσθαι, τὰ δὲ ὄντα, βέβαια τυγχάνειν· τὰ ἐψηφισμένα δηλαδὴ καὶ γενόμενα, βέβαια τυγχάνειν.

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἅγιοι Πατέρες, τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀπὸ πόλεως εἰς πόλιν μεθισταμένους ἐπισκόπους, ἄρτι διορίζονται, τὸ αὐτὸ γίνεσθαι καὶ εἰς τοὺς ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μεταβαίνοντας, εἰ μήπω, φασὶ, μετάκλητοι γένωνται παρὰ τῶν ἐγχωρίων ἐπισκόπων καὶ συναδελφῶν αὐτῶν· τότε γὰρ δεχθήσονται διὰ τὸ τῆς φιλαδελφίας καλὸν, καὶ ἀπροκριματίστως παρ᾽ ἐνορίαν ἀρχιερατικά τινα ἐνεργήσουσιν. Εἴρηται δὲ τὸ περὶ τῆς ἐπαρχίας, διὰ τοὺς λέγοντας, τὸ μὲν μεταβαίνειν ἀπὸ πόλεως εἰς πόλιν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ οὖσαν, πλεονεξίαν ἢ ἀλαζονείαν τοῦ ἐπισκόπου κατηγορεῖ, κἀντεῦθεν καὶ τιμωρητέον ἐστί· τὸ δὲ μεθίστασθαι ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν περιελείφθη ἀκόλαστον, ὡς ἐντεῦθεν μὴ ἀναφαινομένου φαύλου τινὸς, διὰ τὸ τὰς ἐπαρχίας ἐξ ἀλλήλων πόῤῥω ἀποδίστασθαι, καὶ μὴ διδόναι πάροδον τοῖς ἐν αὐταῖς ἐπισκόποις γινώσκειν τὰς τῶν ἑκατέρων ἐκκλησιῶν εἰσόδους, καὶ τὰ πλήθη τοῦ ἐν ταύταις λαοῦ. Ταῦτα γοῦν μὴ παραδεξαμένη ἡ σύνοδος, παρομοίως καὶ τούτους κολάζεσθαι διωρίσατο. Ἀκούων δὲ τοῦ κανόνος διοριζομένου τιμωρεῖσθαι τοὺς μεταβαίνοντας ἀκλητὶ ἐπισκόπους ἀπὸ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν ἔχουσαν ἐπίσκοπον, μὴ εἴπῃς ἀνευθύνους εἶναι τοὺς ἱερουργοῦντας εἰς ἑτέρας ἐπαρχίας μὴ ἐχούσας ἐπισκόπους, καὶ οὗτοι γὰρ ὁμοίως ὑπὸ τῶν κανόνων εὐθύνονται· προσετέθη δὲ τὸ, ἐν ᾗ τυγχάνουσιν ἐπίσκοποι, διὰ τοὺς ἐπισκόπους τοὺς ἔχοντας ἐνορίας εἰς δύο ἢ καὶ τρεῖς πολ-

λάκις ἐπαρχίας. Ἔτι ἐπήγαγεν ὁ κανὼν καὶ ἕτερον κεφάλαιον, καὶ εἶπεν· Εἰ δὲ πρᾶγμα, ἤγουν ὑπόθεσιν ἔχει ἐπίσκοπος μετὰ συνεπισκόπου αὐτοῦ, τίς ὀφείλει τὴν ὑπόθεσιν δικάζειν; Ὥρισεν οὖν ὑπὸ τῶν ἐπαρχιωτῶν ἐπισκόπων τούτους δικάζεσθαι, καὶ μή τινα τῶν δικαζομένων ἄλλης ἐπαρχίας μετακαλεῖσθαι συνδιαγνώμονα ἐπίσκοπον· καταγινώσκει γὰρ ἀμαθίας ἢ ἀδικίας τῶν ἐπαρχιωτῶν. Ὡς δέ τινος εἰπόντος, εἰ δέ τις ἐκ τούτων κατακρινόμενος νομίσει βαρύνεσθαι, καὶ ἐκκαλέσεται, εἰς οὐδὲν αὐτῷ τὰ τῆς ἐκκλήτου ἀποτελευτήσουσι (1), ὡς μὴ δυναμένων ἑτέρων ἐπισκόπων ἐπαρχιωτῶν ἀνακαλεῖσθαι διάγνωσιν (2) κατὰ τὴν ῥηθεῖσαν διάστιξιν, προσέθετο μὴ εἶναι ἀπαράδεκτον τὸν ἐκκαλούμενον κατὰ τῆς κρίσεως τῶν ἐπαρχιωτῶν, ἀλλ' ὀφείλειν τοὺς ἐπαρχιώτας, διὰ τιμὴν τοῦ ἀποστολικοῦ θρόνου, γράφειν τὰ ἀνενεχθέντα τῷ πάπᾳ Ῥώμης, (ἦν δὲ τότε Ἰούλιός τις ἐπίσκοπος ταύτης,) καὶ παρὰ τῇ ἐξουσίᾳ ἐκείνου ἀνηρτῆσθαι τὰ τῆς ἐκκλήτου· ἐφ' ᾧ, εἰ μὲν διαγνοίη ἄξιον εἶναι τὸ πρᾶγμα δευτέρας κατεξετάσεως, ὁρίσαι παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ σκοπηθῆναι τὴν προγενομένην ἀπόφασιν· εἰ δὲ καταλάβῃ καλῶς τὴν ὑπόθεσιν κριθῆναι, καὶ μὴ δεῖσθαι ταύτην δευτέρας συζητήσεως, ὁρίσαι μένειν τὰ ἅπαξ προκεκριμένα ἀναλλοίωτά τε καὶ βέβαια. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἐρωτήσει δέ τις, ὡς τοῦ ιε. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διοριζομένου τὰ κεκριμένα ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων ὁμογνωμονησάντων μὴ ἀνακρίνεσθαι παρ' ἑτέρων τινῶν, καὶ τοῦ παρόντος κανόνος ἐκκλήτῳ ὑποκεῖσθαι τὴν τοιαύτην ἀπόφασιν διοριζομένου, τίνι προσέχειν ὀφείλομεν; Λύσις. Τινὲς μὲν εἶπον, μὴ ὁμοφωνῆσαι ἐνταῦθα τοὺς ἐπαρχιώτας ἐπισκόπους, ἀλλὰ διαιρεθῆναι εἰς διαφόρους γνώμας, καὶ διὰ τοῦτο ἔχειν χώραν τὰ τῆς ἐκκλήτου· ἄλλοι δὲ εἶπον, ὡς ἐπεὶ μεταγενέστερός ἐστιν ὁ παρὼν κανών, ὀφείλουσι τὰ τούτῳ περιεχόμενα μᾶλλον κρατεῖν· ἀρέσκει οὖν τοῦτο κἀμοί, ὡς καὶ νομίμου ἀκριβείας ἐχόμενον· νενομοθέτηται γὰρ μὴ ἅπαξ, ἀλλὰ καὶ δὶς ἐκκαλεῖσθαι

(1) Χ. Τρ. Ἑ. — συντελοῦσι Βευερ. — (2) Χ. Τρ. Βευερ. — διάκρισιν Ἑ.

τὸν νομίζοντα ἀδικεῖσθαι. Τὸ μέντοι ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ πάπα τηρηθῆναι ἢ μὴ τηρηθῆναι τὴν ἔκκλητον, ἰδικόν ἐστιν εἰς τὰ ἐκκλησιαστικά· οἱ γὰρ νόμοι, ἄνευ ῥητῶν ὀλίγων θεμάτων, διορίζονται πᾶσαν ἔκκλητον δέχεσθαι, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. Τὰ μέντοι ὁρισθέντα περὶ τοῦ πάπα, ἐκληπτέον καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, διὰ τὸ ἐπὶ πᾶσιν ὁμοίως καὶ τοῦτον τῷ πάπᾳ τιμηθῆναι ἀπὸ διαφόρων κανόνων. Δίδοσθαι δὲ ὡρίσθη γειτνιάζοντας ἐπισκόπους παρὰ τοῦ πάπα χάριν κατεξετάσεως τῆς ἐκκλήτου, καὶ μὴ τοῦτον τηρεῖν τὴν ὑπόθεσιν, ἵνα μὴ ὁ καταδικάσας ἀναγκασθῇ διάξιμος εἰς Ῥώμην γενέσθαι, ἀπὸ Θεσσαλονίκης τυχὸν, καὶ ταῦτα, νικήσας τὸ δικαστήριον. Εἰ γὰρ τοῦτο οὐκ ἔστιν, ἀλλὰ πλησίον τοῦ καταδικάσαντος ἡ ἐπισκοπὴ διάκειται, οὐ τηρηθήσεται ἡ ἔκκλητος διὰ γειτνιαζόντων ἐπισκόπων, ὡς ἐμοὶ δοκεῖ, ἀλλὰ παρὰ τοῦ πατριάρχου, κατὰ τοὺς νόμους τοὺς λέγοντας, ἐπὶ μείζονας δικαστὰς ἀνατρέχειν τὴν ἔκκλητον, οὐ μὴν ἐπὶ ἴσους, ἢ ἥττονας· καὶ τοὺς ἑτέρους νόμους τοὺς διοριζομένους τὸν ἐκκλητάριον(1) μὴ παραπέμπειν πρὸς ἕτερον τὴν τῆς ἐκκλήτου τήρησιν. Εἰ δὲ καὶ τοῦτο ὡς προνόμιον εἴπῃς δοθῆναι τῷ πάπᾳ, καινὸν οὐδέν.

ΑΡΙΣΤ. Μηδεὶς ἐπισκόπων, ἄκλητος εἰς πόλιν, διαβαινέτω· καὶ ὁ ἐπαρχιώτης, εἰ ἐπί τι δικάζοιτο, ἀλλοτρίους ἐπισκόπους οὐκ ἐπικαλέσεται. Εἰ δὲ ἐπικρίνοι ὁ Ῥώμης, παρέσονται καὶ ἀλλότριοι.

Ἐν διαφόροις κανόσιν εἴρηται, τὸ μηδένα τολμᾶν ἀπὸ τῆς ἑαυτοῦ παροικίας εἰς ἑτέραν μεταβαίνειν, εἰ μὴ παρὰ τοῦ μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων κληθῇ· τοῦτο γὰρ καὶ ἡ σύνοδος αὕτη προστάττει. Ἀλλὰ καὶ εἴ τις τῶν ἐπισκόπων μετὰ συνεπισκόπου περί τινος πράγματος ἀμφιβολίαν τινὰ σχοίη, καὶ μετ' αὐτοῦ εἰς τὴν σύνοδον τῆς ἐπαρχίας αὐτοῦ δικάζοιτο, οὐκ ὀφείλει καὶ ἀπὸ ἑτέρας ἐπαρχίας διαγνώμονάς τινας τῶν ἐπισκόπων ἐπικαλεῖσθαι, ἀλλὰ παρὰ μόνοις τοῖς ἐπαρχιώταις κριθῆναι. Καὶ εἰ ἀπαρέσκοι αὐτῷ ἡ κρίσις, καὶ οἴεται ἀδικηθῆναι, ἐκκαλεῖσθαι, καὶ τῷ Ῥώμης,

(1) τὸν ἐκκλήτριον Χ. Τρ.

ᾧ ἡ τοιαύτη ὑπόκειται ἐπαρχία, προσέρχεσθαι· καὶ αὐτὸς, ἢ δι' ἑαυτοῦ τηρήσει τὴν ἀπόφασιν, ἢ τοῖς γειτνιῶσιν ἐπισκόποις τῇ ἐπαρχίᾳ τὸ τῆς ἐκκλήτου δικαστήριον ἀναθήσει.

## Κανὼν Δʹ.

Γαυδέντιος ἐπίσκοπος εἶπεν (1)· Ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει (2) τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλλειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ὑποκαταστῆναι, ἐὰν μὴ ὁ τῆς Ῥώμης ἐπίσκοπος ἐπιγνοὺς, περὶ τούτου ὅρον ἐξενέγκῃ.

---

ΖΩΝΑΡ. Ἐὰν αἰτιάματά τινα προτεθῇ κατὰ ἐπισκόπου, καὶ κριθεὶς ὁ αἰτιώμενος ἐπίσκοπος παρὰ τῶν ἐν γειτνίᾳ ἐπισκόπων, τουτέστι τῶν γειτνιώντων, τῶν πλησιαζόντων, καταδικασθῇ καὶ καθαιρεθῇ, λέγῃ δὲ δύνασθαι ἔτι δικαιολογήσασθαι, μὴ πρότερον εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς αὐτοῦ ἕτερος καθιστάσθω, ἤτοι χειροτονείσθω, εἰ μὴ ὁ πάπας, μαθὼν τὰ περὶ τῆς καθαιρέσεως τοῦ ἐπισκόπου, ὅρον ἐξενέγκῃ, ἤγουν ἀποφήνηται, καὶ ἢ κυρώσῃ τὴν καταδίκην αὐτοῦ, ἢ ἀνατρέψῃ. Ἀνάγνωθι καὶ τὸν ιςʹ. κανόνα τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου.

ΒΑΛΣ. Εἰπόντες οἱ Πατέρες τὴν τῶν ἐπαρχεωτῶν ἀπόφασιν ἐκκλήτῳ ὑποκεῖσθαι, καὶ παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων, κατ' ἐπιτροπὴν τοῦ πάπα, τηρεῖσθαι, ἄρτι φασὶ τί ὀφείλει γενέσθαι, ἐὰν καὶ παρὰ τούτων ὁ ἐκκλητεύσας καταδικασθῇ, καὶ πάλιν λέγῃ βαρύνεσθαι. Διορίζονται οὖν μένειν ἐν ἀκεραίῳ τὰ πράγματα, καὶ μὴ ἕτερον ψηφίζεσθαι ἐπίσκοπον εἰς τὴν τοῦ κατακριθέντος ἐκκλησίαν, εἰ μὴ καὶ ἡ

---

(1) οὐ κεῖται ἡ πρώτη φράσις ἐν Π. καὶ Χ. Τρ. — Εἰ δοκεῖ ἀναγκαῖον προστεθῆναι ταύτῃ τῇ ἀποφάσει, ἥντινα ἀγάπης εἰλικρινοῦς πλήρη ἐξενήνοχας ὥστε, ἐάν τις ἐπίσκοπος Σ. Ρ. Κ. Β. — (2) τούτων τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ Σ. Ρ.

δευτέρα ἔκκλητος παρὰ τῷ πάπᾳ τηρηθῇ. Ὥστε σημείωσαι (1) ὅτι ὁ ιέ. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐσχόλασε, καὶ ὅτι οὐδεὶς καταδικαζόμενος καὶ λέγων βαρύνεσθαι, ἐκβιβασμὸν ὑφίσταται, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου τηρηθῶσι· καὶ ὅτι δὶς ἐκκαλεῖσθαι δύναται ὁ κατακρινόμενος. Ἀνάγνωθι τὸν οδ'. ἀποστολικὸν κανόνα, τῆς ἐν Χαλκηδόνι θ'. καὶ τῆς ἐν Καρθαγένῃ ιέ. κή. ρκ'. καὶ ρκα'. καὶ συμβίβασον πάντας πρὸς τὰ ἐνταῦθα γεγραμμένα· ὅτι καὶ τοῖς νόμοις δοκεῖ πᾶσαν ὑπόθεσιν, χωρὶς τῶν μὴ ἐπιδεχομένων ὑπέρθεσιν, ἐκκλήτῳ ὑποκεῖσθαι οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς. Πλὴν μὴ παραδράμῃ σε τὰ τοῦ γ'. κανόνος καὶ τὰ τοῦ έ. τῆς παρούσης συνόδου χάριν τοῦ δέχεσθαι ἢ μὴ δέχεσθαι παρὰ τοῦ πάπα τὴν ἔκκλητον· ἰδικὸν γάρ ἐστι τοῦτο εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, καὶ κρατεῖν ὀφείλει, ἔνθα καὶ ἐξεφωνήθη.

ΑΡΙΣΤ. Ἐπισκόπου καθαιρεθέντος, καὶ διαβεβαιουμένου φέρειν ἀπολογίαν, εἰ μὴ ὁ Ῥώμης ὁρίσοι, οὐ καθιδρύεται ἕτερος· διασκοπῆσαι γὰρ τὴν καθαίρεσιν ἢ ἀποστόλοις, ἢ γράμμασιν.

Μετὰ τὸ καθαιρεθῆναι ἐπίσκοπον παρὰ τῶν ἐπαρχιωτῶν ἐπισκόπων, ἐὰν ἐκκαλέσηται, ὡς οἰόμενος ἀδικεῖσθαι, εἰς τὴν ἐπισκοπὴν αὐτοῦ οὐ ψηφισθήσεται ἕτερος, μέχρις ἂν ὁ Ῥώμης, ᾧ ὑπόκειται ἡ καταδικάσασα αὐτὸν σύνοδος, τὴν καθαίρεσιν ἐξετάσῃ. Ἔξεστι δὲ αὐτῷ τῷ Ῥώμης, ὅσον ἀπὸ τοῦ παρόντος κανόνος, ἢ πρὸς τοὺς γειτνιῶντας τῇ ἐπαρχίᾳ ἐπισκόπους γράφειν, καὶ τηρεῖν αὐτοὺς κατ' ἔκκλητον τὴν τοῦ ἐπισκόπου καθαίρεσιν, ἢ πρεσβυτέρους ἰδίους στέλλειν μετὰ τῶν ἐπισκόπων, καὶ τὴν τοιαύτην δοκιμάζειν ἀπόφασιν.

## Κανὼν Ε'.

Ὅσιος ἐπίσκοπος εἶπεν· Ἤρεσεν, ἵν' εἴ τις ἐπίσκοπος καταγγελθείη, καὶ συναθροισθέντες οἱ ἐπίσκοποι τῆς ἐνορίας τῆς αὐτῆς, τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσι, καὶ ὅσπερ ἐκκαλεσάμενος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς

(1) Ἐ. Χ. Τρ. — ἐνταῦθα ἀναγινώσκονται παρὰ Βευερ. καὶ τὰ ἑξῆς· περὶ τῶν καταδικαζομένων ἐπισκόπων καὶ μετὰ τὴν καθαίρεσιν ζητούντων ἑτέρων κρίσιν, ὅτι οὐ χειροτονεῖται ἕτερος, εἰ μὴ τηρηθῇ ἡ ἔκκλητος τοῦ καταδικασθέντος, οὐ μόνον ἡ πρώτη, ἀλλὰ καὶ ἡ δευτέρα· δὶς γὰρ ἐκκαλεῖσθαι ἐκκεχώρηται, ὅτι κτλ.

Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ διακοῦσαι, δίκαιόν τε εἶναι νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος, γράφειν τούτοις τοῖς ἐπισκόποις καταξιώσῃ τοῖς ἀγχιστεύουσι τῇ ἐπαρχίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ ἀκριβείας ἕκαστα διερευνήσωσι, καὶ κατὰ τὴν τῆς ἀληθείας πίστιν, ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσιν. Εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τῇ δεήσει τῇ ἑαυτοῦ τὸν Ῥωμαίων ἐπίσκοπον κρίνειν δόξῃ(1), ἀπὸ τοῦ ἰδίου πλευροῦ πρεσβυτέρους ἀποστείλοι, ἵνα ᾖ (2) ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν δοκιμάσῃ καὶ ὁρίσῃ δεῖν, ἀποσταλῆναι τοὺς μετὰ τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεντίαν τούτου, παρ' οὗ ἀπεστάλησαν· καὶ τοῦτο θετέον. Εἰ δὲ ἐξαρκεῖν νομίζοι πρὸς τὴν τοῦ πράγματος ἐπίγνωσιν καὶ ἀπόφασιν τοῦ ἐπισκόπου, ποιήσει ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ καλῶς ἔχειν δόξῃ. Ἀπεκρίναντο οἱ ἐπίσκοποι· τὰ λεχθέντα ἤρεσεν (3).

---

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος, φησί, καταγγελθείη, ἤτοι κατηγορηθείη ἐπί τισιν ἐγκλήμασι, καὶ συνελθόντες οἱ ἐπίσκοποι τῆς ἐνορίας ἐκείνης ἀποκινήσωσιν, ἀντὶ τοῦ, ἐκβάλωσιν αὐτὸν τοῦ βαθμοῦ, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας, ἐκεῖνος δὲ ἔκκλητον ζητήσας κατὰ τῆς καταδικαζούσης αὐτὸν ἀποφάσεως, προσέλθῃ τῷ πάπᾳ, καὶ ὁ πάπας θελήσῃ ἀκοῦσαι αὐτοῦ, δίκαιον νομίσας ἀνανεώσασθαι τὴν ἐξέτασιν τοῦ πράγματος, τουτέστι, καὶ πάλιν κριθῆναι τὴν ὑπόθεσιν, γραφέτω τοῖς ἐπισκόποις τοῖς ἀγχιστεύουσιν, ἤγουν τοῖς ἀγχοῦ καὶ πλησίον οὖσι τῆς ἐπαρχίας, ἐν ᾗ ὁ καταδικασθεὶς ἐπίσκοπός ἐστιν, ἵνα αὐτοὶ ἐξετάσωσιν ἐπιμελῶς τὴν ὑπόθεσιν, καὶ ψῆφον, ἤγουν ἀπόφασιν ἐξενέγκωσιν. Ἐνταῦθα φαίνεται ὁ κανὼν οὗτος καὶ δευτέραν ἔκκλητον διδοὺς τῷ καταδικασθέντι ἐπισκόπῳ· λέγει γάρ· εἰ

---

(1) κινεῖν δόξῃ Μάνσ. ἐν περισελ. — ἄνευ τοῦ, κρίνειν, Βρ. — (2) Π. Βιυσρ. Χ. Τρ. Ε. — εἶναι ἐν τῇ ἐξουσίᾳ Βρ. ἵνα ἐν, Σ. Ῥ. Κ. — (3) ἀπεκρίναντο... ἤρεσεν οὐ κεῖται ἐν Π, ἀλλ' ἐν Χ. Τρ. Ἑ. Κ. Βιυσρ. Βρ.

δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι· εἰ γὰρ καὶ παρὰ τῶν ἀγχοῦ τῇ ἐπαρχίᾳ ὄντων ἐπισκόπων κατακριθῇ, φησι, καὶ ἀξιοῖ πάλιν ἀκουσθῆναι, καὶ τοῦτο δόξῃ καὶ τῷ Ῥωμαίων ἐπισκόπῳ, (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ τὸ πᾶν ἀνατίθησιν), ἵνα στέλλῃ πρεσβυτέρους ἀπὸ τοῦ ἰδίου πλευροῦ, τουτέστιν, ἐκκρίτους, πλησίον αὐτοῦ κατὰ τὴν τιμὴν, καὶ ᾠκειωμένους αὐτῷ, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ, τουτέστι τὴν ἐξουσίαν, κρινοῦντας μετὰ τῶν ἐπισκόπων. Εἰ δὲ τὰ ἤδη γενόμενα καὶ κριθέντα ἀρκεῖν νομίζοι ὁ πάπας πρὸς τὴν τῆς ὑποθέσεως τοῦ ἐπισκόπου ἀπόφασιν, ποιήσει ὅπερ ἂν δόξῃ αὐτῷ καλῶς ἔχειν, ἤτοι δίκαιον εἶναι. Ἐκ τούτου τοῦ κανόνος οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς αὐχοῦσιν ἐνδεδόσθαι αὐτοῖς τὰς ἐκκλήτους πάσας τῶν ἐπισκόπων πρὸς αὐτοὺς ἀναφέρεσθαι, τῆς πρώτης οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ τοῦτον εἶναι τὸν κανόνα ψευδῶς λέγοντες· ὅπερ ἐν τῇ κατὰ τὴν Καρθάγεναν ἀθροισθείσῃ συνόδῳ προτεθὲν, ἠλέγχθη μὴ ἀληθεύειν, ὡς ἡ πρὸ τῶν κανόνων τῆς αὐτῆς συνόδου γραφὴ παριστᾷ. Οὔτε οὖν τῆς ἐν Νικαίᾳ συνόδου ἐστὶν ὁ κανὼν, οὔτε πάσας τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. Ὑπέκειντο δὲ τότε τῇ Ῥωμαίων ἐκκλησίᾳ αἱ δυτικαὶ πᾶσαι σχεδὸν ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ἰλλυρικοῦ, αἱ τῆς Ἑλλάδος, καὶ τῆς τοῦ Πέλοπος, καὶ αἱ τῆς λεγομένης Ἠπείρου, αἵτινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς ἐκκλήτους αὐτῶν ἀνήκειν.

ΒΑΛΣ. Καὶ ἐκ τοῦ δ'. κανόνος παρίσταται, ἔχειν ἐπ' ἀδείας τὸν κατακριθέντα ἐπίσκοπον καὶ βαρυνόμενον, δὶς ἐκκαλεῖσθαι. Καὶ ὁ παρὼν δὲ κανών φησιν, ὅτι ἐὰν καταδικασθῇ τις παρὰ τῶν ἐπαρχεωτῶν ἐπισκόπων, καὶ ἐκκαλέσηται πρὸς τὸν πάπαν, κἀκεῖνος ἐπιτρέψῃ τοῖς γειτνιάζουσιν ἐπισκόποις ἀνήσαι τὴν ἔκκλητον, εἰ τοῦτο νομίσει δίκαιον εἶναι, καὶ καταδικασθῇ πάλιν καὶ παρὰ τούτων ὁ αὐτὸς, καὶ προσέλθῃ ἐκ δευτέρου τῷ πάπᾳ, καὶ οὗτος εὐδοκήσῃ δοκιμασθῆναι τὰ προκεκριμένα, μὴ ἀναγκαζέσθω ὁ καταδικάσας εἰς Ῥώμην ἀπελθεῖν, ἀλλ' ἀπελθέτωσαν εἰς τὴν ἐπαρχίαν κατὰ κέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λευσιν τοῦ πάπα πρεσβύτεροι ἐκ τοῦ πλευροῦ αὐτοῦ, ἤτοι ἐκ τῆς ἐκκλησίας τούτου, καὶ ᾠκειωμένοι αὐτῷ, ὀφείλοντες ἔχειν τὴν αὐθεντίαν αὐτοῦ, ἤτοι τὴν ἐξουσίαν, ἐφ' ᾧ κρίναι τὴν ὑπόθεσιν μετὰ τῶν ἐγχωρίων ἐπισκόπων, καὶ διευλυτῶσαι αὐτήν. Εἰ δὲ ὁ ἐπίσκοπος τῆς Ῥώμης οὐ συνίδῃ δίκαιον εἶναι τηρηθῆναι τὰ προκριθέντα, (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ ὁ κανὼν τὸ πᾶν ἀνατίθησι,) ποιήσει ὅπερ ἂν δόξῃ αὐτῷ δίκαιον εἶναι. Ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ ἐναντιωθῇ σοι τὸ κεφ. (1) τοῦ ά. τίτλου τοῦ θ'. βιβλίου τῶν βασιλικῶν, λέγον, μὴ δύνασθαι τὸν ἐκκλητάριον (2) παραπέμπειν πρὸς ἕτερον τὴν τήρησιν τῆς ἐκκλήτου, ἀλλὰ δι' ἑαυτοῦ ταύτης ἀκροᾶσθαι· ἀλλ' εἰπὲ ἰδικὸν εἶναι τὸν παρόντα κανόνα, καὶ οὕτως ἐκφωνηθῆναι διὰ τὸ μῆκος τῆς ὁδοῦ, καὶ ἵνα μὴ σκύλλωνται οἱ ἐπίσκοποι ἐπὶ μακρὰν οὕτω καὶ ἀλλοδαπὴν χώραν γινόμενοι διάξιμοι. Τὸ δὲ μετὰ τῶν πρεσβυτέρων τοῦ πάπα δικάζειν τὴν δευτέραν ἔκκλητον τοὺς ἐπαρχεώτας ἐπισκόπους τοὺς καταδικάσαντας τὸν ἐπίσκοπον, μὴ εἴπῃς ἐναντιοῦσθαι τῷ νόμῳ, τῷ λέγοντι· Ὁ δικαστὴς ἅπαξ ἀποφηνάμενος πέπαυται, καὶ οὐ δύναται τηρεῖν αὖθις τὴν οἰκείαν ἀπόφασιν· ἐξεφωνήθη γὰρ καὶ τοῦτο ἰδικώτερον, ὡς ἐμοὶ δοκεῖ. Διὰ γὰρ τοῦτο καὶ εἰς τὴν δοκιμασίαν τοῦ πάπα ἀνετέθη τὸ εἶδος τῆς κρίσεως· ὅσον γὰρ ἀπὸ τοῦ νόμου, οἱ ἅπαξ ἀποφηνάμενοι οὐκ ἠδύναντο συνδικάζειν μετὰ τῶν πρεσβυτέρων τοῦ πάπα (3). Εἰ δὲ εἴπῃς, ἑτέρους ἐπισκόπους εἶναι τούτους παρὰ τοὺς προαποφηναμένους, οὐδέν τι εὑρήσεις ἀντίξουν. Ἐπεὶ δὲ ἐν τοῖς προλαβοῦσι κανόσιν εἴπομεν, μὴ εἶναι τὰ περὶ τοῦ πάπα ὁρισθέντα ἰδικὰ τούτου καὶ μόνου προνόμια, ὥστε ἔχειν ἐξ ἀνάγκης πάντα ἐπίσκοπον καταδικαζόμενον τῷ θρόνῳ τῆς Ῥώμης προσέρχεσθαι, ἀλλ' ἐξακούεσθαι καὶ εἰς τὸν Κωνσταντινουπόλεως, τὰ αὐτὰ καὶ πάλιν φαμέν.

---

(1) ἴσως ρ'. — (2) Βευερ. Ε. — ἐκκλήτριον Χ. Τρ. — (3) ἐνταῦθα προστίθησιν ὁ Ε. εἰ μήπω ** κατὰ λόγον ἀναψηλαφήσεως μέλλειν τούτους τηρῆσαι τὴν προτέραν [illegible] ἀπόφασιν.

## Κανὼν ϛ'.

Ὅσιος ἐπίσκοπος εἶπεν (1)· Ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ, ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχάνουσιν, ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθέντα παρακαλοῖεν γίνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ἐπιζητουμένου (2) ἐπισκόπου, χρὴ πρότερον ἐκεῖνον τὸν ἐναπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου (3) τῆς ἐπαρχίας, (λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπόλεως), ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς δοθῆναι· ἡγοῦμαι (4) καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι, ἵνα παραγένηται. Εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλήσει (5) τοῦ πλήθους χρὴ γενέσθαι. Χρὴ δὲ μετακαλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους, πρὸς τὴν κατάστασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου. Μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιστᾷν ἐπίσκοπον ἐν κώμῃ τινὶ ἢ βραχείᾳ πόλει, ᾗ τινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ· οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίστασθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία. Ἀλλ' οἱ τῆς ἐπαρχίας, ὡς προεῖπον, ἐπίσκοποι ἐν ταύταις ταῖς πόλεσι καθιστᾷν ἐπισκόπους ὀφείλουσιν, ἔνθα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι. Εἰ δὲ εὑρίσκοιτο οὕτω πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν καὶ (6) ἐπισκοπῆς νομίζεσθαι, λαμβανέτω. Εἰ πᾶσιν ἀρέσκει τοῦτο; Ἀπεκρίναντο πάντες· Ἀρέσκει (7).

---

(1) οὐ κεῖται ἐν Π.—(2) ζητουμένου Χ. Τρ. Βευερ.—(3) τοῦ ἐξάρχοντος Χ. Τρ.—(4) ἡγούμεθα ἐν Π. μόνον. — (5) τῇ βουλῇ Σ. Ρ. — (6) αὐτὴν τῆς ἐπισκοπῆς Βευερ. — (7) Χ. Τρ. Ἑ. Κ. Βρ. Βευερ. — τὰ, ἀπὸ τοῦ εἰ πᾶσιν ἀρέσκει, οὐ κεῖται ἐν Π.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους παρὰ τῶν τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπων καθίστασθαι διάφοροι κανόνες ὁρίζουσιν. Ἐὰν οὖν διαφόρων ἐπισκόπων ὄντων ἐν ἐπαρχίᾳ, συμβῇ ἕνα περιλειφθῆναι ἐπίσκοπον, τῶν ἄλλων θανόντων, ἤ τινων ἴσως καθαιρεθέντων, ἢ καὶ ἑτέρων ἀναγκαίως ἀποδημούντων, καὶ ζητῶσιν οἱ τῶν πόλεων ἐκείνων χειροτονηθῆναι αὐτοῖς ἐπισκόπους (1), χρὴ, φησὶν ὁ κανὼν, τὸν ἐναπομείναντα ἐπίσκοπον μετακαλεῖσθαι διὰ γραμμάτων τοῦ μητροπολίτου τῆς ἐπαρχίας, ὃν καὶ ἔξαρχον ὀνομάζει, καὶ ὑπομιμνήσκεσθαι, ὅτι τὰ πλήθη ζητεῖ καταστῆναι αὐτοῖς ποιμένα, καὶ ἐκδέχεσθαι τὴν παρουσίαν αὐτοῦ. Εἰ δὲ ὑπομνησθεὶς, καθὼς εἴρηται, οὔτε παραγένηται, οὔτε ἀντιγράψῃ, χρὴ τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους γίνεσθαι, τουτέστι, δίδοσθαι αὐτοῖς ἐπίσκοπον παρὰ τοῦ μητροπολίτου τῆς ἐπαρχίας. Εἰ δὲ ὁ μητροπολίτης τῆς ἐπαρχίας μέλλει κατασταθῆναι (2), χρὴ, φησὶ, καὶ τοὺς τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι. Τοῦτο δὲ ἐγίνετο, ὅτε καθ' ἑαυτὰς αἱ πόλεις τοὺς ἐπισκόπους τῶν μητροπόλεων ἐψηφίζοντο. Νῦν δὲ τοῦτο οὐ γίνεται, ἀλλ' οἷς ἡ χειροτονία τῶν ἐπισκόπων ἀπονενέμηται, ἐκεῖνοι διὰ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ψηφίζονται τοὺς ἀρχιερεῖς. Ἑξῆς δὲ ὁ κανὼν διατάττεται, μὴ γίνεσθαι ἐπίσκοπον ἐν κώμῃ τινὶ, ἢ πόλει μικρᾷ, ᾗ καὶ εἷς πρεσβύτερος ἀρκεῖ, ὃ καὶ ὁ νζ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διωρίσατο. Προστίθησι δὲ ὁ κανὼν οὗτος, ὅτι οὐκ ἀναγκαῖόν ἐστιν ἐπίσκοπον ἐκεῖ καθίστασθαι, ὡς ἂν μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία, ἀλλ' οἱ τῆς ἐπαρχίας πρῶτοι ἐπίσκοποι, οἱ μητροπολῖται δηλαδὴ, ἐκεῖνοι ὀφείλουσι ποιεῖν ἐπισκόπους, ὅπου καὶ πρότερον, ἤγουν ἐκ παλαιοῦ, ἦσαν ἐπίσκοποι. Εἰ δέ τις, φησὶ, πόλις πρότερον μὴ ἔχουσα πλῆθος πολὺ πολιτῶν, εὑρίσκοιτο μετὰ ταῦτα γενομένη πολυπληθὴς, ὡς ἀξίαν αὐτὴν νομισθῆναι ἐπισκοπῆς, διὰ τὸ πλῆθος τοῦ λαοῦ λαμβανέτω ἐπίσκοπον, κἂν μὴ ἐκ παλαιοῦ εἶχε.

ΒΑΛΣ. Τοῦ ιϐ'. κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου καὶ ἑτέ-

(1) ἐπίσκοπον Βενετ. — (2) καταστῆναι Χ. Τρ.

ρων διορισαμένων τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι μὴ παρὰ τοῦ πλήθους τῶν πόλεων, ἀλλὰ παρὰ ἀρχιερέων, ὁ παρὼν κανὼν διορίζεται, ὅτι, ἐὰν συμβῇ ἀπὸ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἕνα τινὰ ἀποδημεῖν, καὶ μὴ θέλειν μετὰ τοῦ πλήθους τῶν πολλῶν συνελθεῖν, ἐφ' ᾧ τὴν ψῆφον γενέσθαι τῆς χηρευούσης ἐκκλησίας, τὰ δὲ πλήθη τῆς πόλεως ζητῶσιν ἀρχιερέα, ὀφείλει ὁ ἔξαρχος τῆς ἐπαρχίας, ἤγουν ὁ μητροπολίτης, μετακαλεῖσθαι καὶ τὸν ἀπόντα ἐπίσκοπον διὰ γραμμάτων, ὡς ἂν γένηται ἡ κατάστασις τοῦ ἐπισκόπου παρὰ πάντων τῶν ἐπαρχεωτῶν, κατὰ τὸν δ'. κανόνα τῆς πρώτης συνόδου. Εἰ δὲ οὗτος οὐ θελήσει παρουσιάσαι, οὐδὲ συναινεῖ δι' ἀντιγραφῆς γίνεσθαι τὴν ψῆφον κατὰ τὸ δόξαν τῷ πλήθει τῶν ἐπαρχεωτῶν ἐπισκόπων· οὐδὲ γὰρ προβαλεῖται ὁ ἀποδημῶν ἄγνοιαν ἢ καταφρόνησιν, ὡς μετακληθεὶς παρὰ τῆς συνόδου καὶ μὴ παρουσιάσας. Ταῦτα τοῦ κανόνος διορισαμένου περὶ ψήφου χηρευούσης ἐπισκοπῆς, ἐπεὶ πρὸ τοῦ κη'. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου οἱ μητροπολῖται παρὰ ἐπισκόπων ἐγίνοντο, καὶ οὐχὶ παρὰ τοῦ κατὰ καιροὺς πατριάρχου Κωνσταντινουπόλεως, καθὼς γίνεται σήμερον, φησὶν ὁ κανὼν, ὅτι, ἐὰν μέλλῃ προβῆναι ψῆφος μητροπολίτου, οὐ γενήσεται παρὰ μόνων τῶν ἐπαρχεωτῶν ἐπισκόπων, ἀλλὰ χρὴ μετακαλεῖσθαι καὶ ἑτέρους ἐπισκόπους πλησιοχώρους, πάντως διὰ τὸ μεγαλεῖον τοῦ μητροπολίτου, ὃν καὶ ἔξαρχον ἐπαρχίας ὀνομάζει. Οὕτω γὰρ πάντη ἀνύποπτος ἔσται ἡ τούτου ψῆφος, ὡς παρὰ πλειόνων ἀρχιερέων γενομένη. Ὅτι δὲ ψηφιζομένων ἐπισκόπων ταπεινῶν εἴς τινας παροικίας εὐτελεῖς, ἐν αἷς πολλάκις οὐδὲ ἦσαν ἐπίσκοποι, καὶ πεζῇ βαδιζόντων, καὶ ἄλλως ὄντων καταπεφρονημένων, τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα περιϋβρίζετο, ὥρισαν οἱ Πατέρες, μὴ καθίστασθαι ἐπίσκοπον ἐν κώμῃ, ἢ ἐν χωρίῳ, ἢ ἐν πόλει βραχείᾳ, ἐν ᾗ καὶ εἷς ἱερεὺς ἐπαρκεῖ, ἵνα μὴ ἐξευτελίζηται ἡ αὐθεντία τῆς ἀρχιερωσύνης· ἀλλ' εἰς ἐκείνας τὰς πόλεις ἐπισκόπους καθίστασθαι τὰς πολυανθρώπους, τὰς ἀπὸ παλαιοῦ ἐχούσας ἀρχιερεῖς. Ὡς δέ τινος εἰπόντος, ἄδικον εἶναι τὸ μὴ ἔχειν τὴν πολυάνθρωπον πόλιν ἀρχιερέα, διὰ τὸ μὴ ἐκ παλαιοῦ καθίστασθαι ἐπίσκοπον

ἐν αὐτῇ, προσέθεντο (1) οἱ Πατέρες, ἐν τοιαύτῃ πόλει καὶ ἐκ νέου καθίστασθαι ἐπίσκοπον. Καὶ ταῦτα μὲν οὕτω. Σὺ δὲ σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἄκυρός ἐστιν ἡ ψῆφος τοῦ ἐπισκόπου, γινομένη χωρὶς παρουσίας καὶ συναινέσεως πάντων τῶν ἐπαρχεωτῶν· καὶ ἕνα γὰρ ἐκ τούτων απόδημον ὄντα μετακαλεῖσθαι ὁ κανὼν διωρίσατο· καὶ οὐ δύναταί τις λέγειν, ὡ, ἐπεὶ ἡ τῶν πλειόνων ψῆφος ἀρκεῖ, ἡ τοῦ ἑνὸς ἀπουσία οὐ προκριματίσει, κἂν καὶ ἐναντία ἡ γνώμη τούτου ἐστί. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, μετακαλοῦνται πάντες οἱ ἐνδημοῦντες κατὰ ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν ἀρχιερεῖς, ὅταν ψῆφος ὀφείλῃ γενέσθαι ἐκκλησίας οἱασδήτινος, καὶ ἐμποδίζῃ ταύτην ἡ ἀποδημία (2) τοῦ ἑνός. Τοῦ δὲ κανόνος λέγοντος, καθίστασθαι ἐπισκόπους ἔνθα καὶ πρότερον ἐτύγχανον ἐπίσκοποι, εἰπόν τινες, μὴ ὀφείλειν τοῦτο γίνεσθαι εἰς εὐτελεῖς πάντη κώμας ἢ πόλεις, διὰ τὸ προψηφίζεσθαι εἰς ταύτας ἀρχιερεῖς, ὅταν ἦσαν ὑπὸ λαοῦ εὐθηνούμεναι (3), ἀλλὰ τὴν αἰτίαν τῆς προβλήσεως τοῦ ἀρχιερέως εἶναι τὸ πολυάνθρωπον τῆς χώρας, οὐχὶ τὸ παλαιὸν προνόμιον· καὶ προσέθεντο μὴ χρῆναι ἐπίσκοπον ψηφίζεσθαι εἰς πόλιν καταντήσασαν ἀπὸ πολυανθρώπου εἰς τὸ μηδὲν σχεδὸν ἐκ τῆς τῶν ἐθνῶν ἐπιδρομῆς, ἢ ἄλλης τινὸς τῶν πραγμάτων φορᾶς, ἀλλ' εἰς τὰς πολυανθρώπους, κἂν οὐκ εἶχον πρώην ἀρχιερεῖς. Ὁ μέντοι θεοστεφὴς, κραταιὸς, καὶ ἅγιος ἡμῶν βασιλεὺς, πολλάκις ὑπομνησθεὶς, εἰ χρὴ τὰς ἐν τῇ Ἀνατολῇ οὔσας ἐκκλησίας καὶ παρὰ Ἀγαρηνῶν κατεχομένας ψηφισθῆναι, ψηφίζεσθαι μὲν ταύτας ηὐδόκησε, καὶ σολέμνια τοῖς ψηφίζεσθαι ὀφείλουσι διὰ τὰ ζωαρκῆ ἐπεφιλοτιμήσατο διὰ κοινῆς προστάξεως, ὅταν τέως ἀποδημῶσιν εἰς τὰς ἐκκλησίας αὐτῶν, ἵνα τὸ ἐπὶ ταύταις προσὸν δίκαιον ταῖς ἐκκλησίαις καὶ τῇ βασιλείᾳ αἰωνιζόντως περιφυλάττηται, ὡς μηδὲ ἀπαγορεύων τὴν εἰς ταύτας ἀποκατάστασιν τῶν Χριστιανῶν. Ἐπισκόπους δὲ ὁπωσδήποτε εἰς κώμας εὐτελεῖς ψηφισθῆναι (4) οὐ κατένευσεν, ἀλλὰ μᾶλλον

(1) Χ. Τρ. — εἶπον Ἑ. Βευερ. — (2) ἡ ἀπουσία τοῦ . . . (κενὸν) Ἑ. — (3) Χ. Τρ. Ἑ. = πληθυνόμεναι Βευερ. — (4) ψηφίζεσθαι Ἑ.

καὶ ὠργίσθη κατὰ τῶν οὕτω ψηφιζομένων, ὡς ἐντεῦθεν τοῦ ἀρχιερατικοῦ ἀξιώματος ὑβριζομένου. Τοῦ δὲ ἁγιωτάτου ἐκείνου μητροπολίτου Θηβῶν τοῦ Καλοκτένη ψηφισαμένου ἐκ νέου ἐπισκόπους, λόγος ἐγένετο παρὰ τῇ συνόδῳ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Μιχαὴλ, τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, εἰ ὤφειλε τὸ καινισθὲν τοῦτο ἔργον ποιῆσαι ὁ μητροπολίτης μετὰ συνοδικῆς ἐπικρίσεως, καὶ πάντες εἶπον, ὡς ὤφειλε τὸ παρὰ τοῦ Θηβῶν καινισθὲν, παρὰ τῆς μεγάλης συνόδου ἐπιτραπῆναι μετὰ διάγνωσιν, κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν διοριζόμενον, μηδέν τι περιττὸν γίνεσθαι παρὰ τοῦ ἐπισκόπου ἄνευ γνώμης συνοδικῆς.

ΑΡΙΣΤ. Εἰ τῶν λαῶν ἐπικομιζόντων ἐπίσκοπον, οἱ ἐπίσκοποι παρουσιάσουσιν, εἷς δέ τις λείπῃ, προσκαλείσθω κἀκεῖνος. Εἰ δὲ προσκαλούμενος, οὔτε γράφειν, οὔτε ἐνδημεῖν βούλοιτο, ὁ ζητούμενος χειροτονείσθω.

Τοῦτο νῦν οὐκ ἐνεργεῖται, τὸ παρὰ τῶν κληρικῶν καὶ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, ἀλλὰ παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων αὗται προβαίνουσιν, ὡς ὁ δωδέκατος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διατάττεται, καὶ ὁ ἐννεακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἄλλοι πολλοί. Δεῖ γοῦν, ἢ πάντας παρεῖναι τοὺς ἐπισκόπους ἐπὶ τῇ ψήφῳ, ἢ καὶ τοὺς ἀπόντας διὰ γραμμάτων συμψήφους γίνεσθαι τοῖς παροῦσιν.

ΑΡΙΣΤ. Μητροπολίτου καθισταμένου, καὶ οἱ πλησιόχωροι μετάπεμπτοι ἔστωσαν.

Μητροπολίτου μέλλοντος ψηφισθῆναι, οὐ πάντες τῆς ἁπανταχῇ διοικήσεως οἱ μητροπολῖται εἰς τὴν ψῆφον αὐτοῦ κληθήσονται, ἀλλ' οἱ πλησιόχωροι· ἐκεῖνο γὰρ καὶ ἀδύνατον γενέσθαι, εἴπερ, κατὰ τὸν εἰκοστὸν πέμπτον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ἐντὸς τριῶν μηνῶν αἱ χειροτονίαι ὀφείλουσι γίνεσθαι τῶν χηρευουσῶν ἐπισκοπῶν.

ΑΡΙΣΤ. Εἰς ὀλίγην πόλιν καὶ κώμην, ἢ καὶ εἷς αὐτάρκης πρεσβύτερος, ἐπίσκοπος οὐ καθίσταται· εἰ δὲ πολυανθρωποτάτη γένοιτο πόλις, οὐκ ἀνάξιον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὐκ ἀναγκαῖον, βραχείας οὔσης τῆς πόλεως, ἢ τῆς κώμης, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ, ἐπίσκοπον γίνεσθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα. Εἰ δὲ καὶ βραχεῖα πόλις πολυανθρωποτάτη γένοιτο, οὐκ ἀπεικὸς καὶ ἐν αὐτῇ χειροτονηθῆναι ἐπίσκοπον.

## Κανὼν Ζ'.

Ὅσιος ἐπίσκοπος εἶπεν (1)· Ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ παῤῥησίαν, ὅσην ὀφείλομεν κεκτῆσθαι. Πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ Ἀφροι· οἵτινες, καθὼς ἔγνωμεν παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείστας καὶ διαφόρους, καὶ μὴ (2) δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, δεήσεις διακομίζειν (3), καὶ μὴ, ὡς ὀφείλει γίνεσθαι, καὶ ὡς προσῆκόν ἐστι, τοῖς πένησι καὶ τοῖς λαϊκοῖς, ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ πράξεις περινοεῖν τισιν. Αὕτη τοίνυν ἡ σκαιότης τὸν θραυσμὸν οὐκ ἄνευ σκανδάλου τινὸς ἡμῖν καὶ καταγνώσεως προξενεῖ. Πρεπωδέστερον δὲ εἶναι ἐνόμισα (4), ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅστις ἂν ὑπό τινος βιάζηται, ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις (5) ἀποστεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν. Εἰ τοίνυν, ἀγαπητοὶ ἀδελφοὶ, πᾶσι τοῦτο δοκεῖ, ἐπικρίνατε (6), μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατό-

---

(1) Βρ. Βευερ. Ἑ. Κ. οὐ κεῖται ἐν Π. Χ. Τρ. τὸ, ὅσιος . . . εἶπεν. — (2) ὁ, μὴ, οὐ κεῖται ἐν Σ. Ῥ. καὶ Χ. Τρ. — (3) διακομίζειν εἰς τὸ στρατόπεδον Χ. Τρ. — (4) ἐνομίσαμεν τὸ Π. μόνον. — (5) τὸ, τὶς, οὐ κεῖται ἐν Χ. Τρ — (6) εἰ τοίνυν ... ἐπικρίνατε, οὐ κεῖται ἐν Π.

πεδον παραγίνεσθαι, παρεκτὸς τούτων, οὓς ἂν ὁ εὐσεβέστατος (1) βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασι μετακαλοῖτο. Ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἴκτου δεομένους, καταφυγεῖν ἐπὶ τὴν ἐκκλησίαν, διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς περιορισμὸν ἢ νῆσον (2) καταδικασθέντας, ἢ δ' αὖ πάλιν οἱαδηποτοῦν ἀποφάσει ἐκδεδομένους, τοῖς τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελλησμοῦ καὶ ἄνευ τοῦ διστάσαι τοῖς τοιούτοις(3) αἰτεῖσθαι συγχώρησιν. Εἰ τοίνυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε ἅπαντες. Ἀπεκρίναντο ἅπαντες· Ὁριζέσθω καὶ τοῦτο (4).

---

ΖΩΝΑΡ. Τινὲς τῶν ἐπισκόπων, καὶ μάλιστα οἱ Ἄφροι, οἱ ἐν Ἀφρικῇ δηλονότι, συνεχῶς προσήεσαν τοῖς βασιλεῦσιν, αἰτήσεις οἰκείας καὶ ἀξιώσεις ἔχοντες, οὐδὲ δικαίας ἴσως. Τοῦτο οὖν διορθουμένη ἡ σύνοδος αὕτη, φησὶν, ὅτι ἡ ἀκαιρία ἡμῶν, ἤτοι τὸ μὴ εὐκαίρως προσιέναι τοῖς βασιλεῦσι, συνεχῶς δὲ, καὶ αἱ ἄδικοι ἀξιώσεις, πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν, ἤγουν μὴ οὕτως εἶναι κεχαρισμένους καὶ αἰδοῦς ἀξίους νομίζεσθαι, μηδὲ παῤῥησιάζεσθαι δύνασθαι, ὅσον ὀφείλομεν. Πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ Ἄφροι· στρατοπέδου δὲ ἐμνήσθη, ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ βασιλεῖς στρατείᾳ ἐσχόλαζον, οἵτινες ἐπίσκοποι τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσι τῶν συνοδικῶν παραινέσεων οὕτως, ὥστε ἄνθρωπον (ἤτοι ἐπίσκοπον) ἕνα πολλὰς καὶ διαφόρους,* ἀντὶ τοῦ, ποικίλας,*(5) αἰτήσεις κομίζειν εἰς τὸ στρατόπεδον, καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, καὶ μὴ γίνεσθαι καθὼς χρέος ἐστὶ ποιεῖν τοὺς ἐπισκόπους, καὶ καθὼς ἐνδέχεται. Τί [illegible] τοῦτο ἐστί; τὸ μὴ συναίρεσθαι (6) καὶ ἀντιλαμβάνεσθαι, ἐπικουρεῖν τε (7), καὶ βοηθεῖν τοῖς πένησι καὶ ταῖς

(1) Σ. Ῥ. — εὐλαβέστατος, οἱ λοιποί. — (2) εἰς περιορισμὸν νήσων Χ. Τρ. — (3) τούτοις Βευερ. — (4) τὰ, ἀπὸ τοῦ, εἰ τοίνυν, οὐ κεῖται ἐν Π. — (5) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰ μὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ — (6) τὸ συναίρεσθαι Χ. Τρ. — (7) Χ. Τρ. — τὸ, ἐπικουρεῖν τε οὐ κεῖται παρὰ Κ. καὶ Βευερ.

χήραις, ἢ τοῖς λαϊκοῖς, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ ἐνεργείας τοιαύτας ἐπινοεῖν, ἀντὶ τοῦ, ἐπὶ νοῦν ἔρχεσθαι αὐτοῖς, καὶ τοιαῦτα αἰτεῖν. Αὕτη τοίνυν, φησὶν, ἡ σκαιότης, ἡ κακία, ἡ πονηρία, προξενεῖ ἡμῖν τὸν θραυσμὸν, τουτέςι θραύει ἡμᾶς, ὥςε μήτε παῤῥησίαν δύνασθαι ἔχειν, σκανδαλιζομένων ἐφ' ἡμῖν τῶν ἀνθρώπων καὶ καταγινωσκόντων ἡμῶν. Πρέπειν δὲ μᾶλλον, φησὶ, λογίζομαι, τὸν ἐπίσκοπον βοηθεῖν ἐκείνῳ τῷ βίαν ὑπό τινος πάσχοντι, καὶ ταῖς ἀδικουμέναις χήραις, καὶ τοῖς ὀρφανοῖς, οὓς ἀποστεροῦσί τινες τῶν αὐτοῖς διαφερόντων· καὶ τούτοις δὲ τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις, καὶ τοῖς καταδυναστευομένοις τότε βοηθεῖν, ὅτε δίκαια ἀξιοῦσιν· εἰ γὰρ (1) ἄδικόν τι αἰτοῦσιν, οὐδὲ ἐκείνων ἐν ἀδίκοις ἀντιποιεῖσθαι χρὴ τοὺς ἐπισκόπους. Εἰ τοίνυν τοῦτο δοκεῖ πᾶσι, φησὶν ὁ Ὅσιος, ἐπικρίνατε, ἀντὶ τοῦ, κυρώσατε τὴν γνώμην ταύτην, ὥστε μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον, ἤτοι εἰς βασιλέα, παραγίνεσθαι, ἄνευ τῶν γράμμασι βασιλικοῖς μετακαλουμένων. Ἐπεὶ δὲ πολλοὶ προσφεύγουσι τῇ ἐκκλησίᾳ ἐλέους δεόμενοι, καὶ διὰ πταίσματα περιορισθῆναι ἢ εἰς νῆσον πεμφθῆναι καταδικασθέντες, ἢ ἔκδοτοι γενόμενοι ἀποφάσει ἑτέρας κολάσεως, τοῖς τοιούτοις, φησὶν, οὐ χρὴ μὴ βοηθεῖν τοὺς ἐπισκόπους, * (2) ἀλλὰ μελλησμοῦ, ἤτοι βραδυτῆτος χωρὶς καὶ δισταγμοῦ αἰτεῖσθαι αὐτοῖς συγχώρησιν.

ΒΑΛΣ. Ἐν τῷ ια'. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἐκωλύθησαν οἱ ἐπίσκοποι, καὶ πάντες οἱ κανονικοὶ, ἄνευ ἐκχωρήσεως συνοδικῆς πρὸς βασιλέα ἀπέρχεσθαι. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται, μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον, ἤγουν ἔνθα ὁ βασιλεὺς διάγει, παραγίνεσθαι, χωρὶς μετακλήσεως βασιλικῆς, εἰ μὴ πολλάκις τις θελήσει τοῦτο ποιῆσαι διὰ χειραγωγίαν πτωχῶν τινων, ἢ κατακρίτων προσελθόντων τῇ ἐκκλησίᾳ, ὅπερ καὶ ἀνῃρέθη ὑπὸ τοῦ ῥηθησομένου προσεχῶς ή. κανόνος, διοριζομένου καὶ τὰς τοιαύτας ὑποθέσεις, μὴ παρὰ ἐπισκόπων ὑπομιμνήσκεσθαι, ἀλλὰ παρὰ

(1) εἰ γὰρ κἀκεῖνοι Χ. Τρ. — (2) Χ. Τρ. — τὸ, τοὺς ἐπισκόπους οὐ κεῖται παρὰ Βευερ. καὶ Κ.

διακόνων, ἤγουν διακονητῶν, ἤτοι δουλευτῶν. Καὶ ἡ μὲν ἔννοια τοῦ κανόνος αὕτη· αἱ αἰτίαι δὲ, δι' ἃς ἐθεσπίσθη, σαφεῖς εἰσι, καὶ οὐ δέονται ἑρμηνείας. Τούτων οὕτως ἐχόντων, ἐρωτήσει τις, εἰ ἐφεῖται ἐπισκόπῳ μετὰ συνοδικῆς ἐπιτροπῆς πρὸς βασιλέα ἀπέρχεσθαι κατὰ τὸν ιά. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου; Λύσις. Ὁ παρὼν κανὼν τὸν ῥηθέντα κανόνα οὐκ ἀναιρεῖ, ἀλλ' ἐκείνῳ μᾶλλον συμφωνεῖ· διὸ καὶ, ὡς ἐμοὶ δοκεῖ, μετὰ συνοδικῆς σκέψεως ἀπροκριματίστως ἐπίσκοπος εἰς βασιλέα ἀπελεύσεται, πολλῷ δὲ πλέον κληρικός. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κἂν κεκωλυμένον ἐστὶ πρὸς βασιλέα σχολάζειν ἐπισκόπους καὶ ἑτέρους ἱερωμένους, ἀλλὰ κατὰ βασιλικὸν ὁρισμὸν ἀκινδύνως τοῦτο ποιήσουσι, καὶ τὸ προσταττόμενον αὐτοῖς ἐνεργήσουσιν, ὡς μήτε τοῦ βασιλέως ἀνακρινομένου περί τίνος αὐτοὺς μετακαλεῖται, μήτε τούτων εὐθυνομένων ὡς ὑπεικόντων προστάττοντι βασιλεῖ (1). Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιά. ιβ'. καὶ τῆς παρούσης συνόδου κανόνα ή. θ'. καὶ κά.

ΑΡΙΣΤ. Ὀρφανοῦ, καὶ χήρας, καὶ ἀπροστάτου βιαζομένων, εἰς βοήθειαν κατατολμήσει καὶ προσελεύσεται τῷ βασιλεῖ ὁ ἐπίσκοπος, ἀλλ' οὐχὶ τῇ τοιαύτῃ προφάσει διατρίψει εἰς τὸ στρατόπεδον, ἀλλὰ μᾶλλον διάκονον στέλλοιτο.

ΑΡΙΣΤ. Τοῖς ἐπὶ τὴν ἐκκλησίαν προσφεύγουσι βοηθητέον.

Τὸ μὲν ἀντιλαμβάνεσθαι τὸν ἐπίσκοπον ὀρφανῶν, καὶ χηρῶν, καὶ ἀπροστάτων βιαζομένων, ὡσαύτως δὲ καὶ τῶν εἰς τὴν ἐκκλησίαν καταφευγόντων διὰ τὰ αὐτῶν ἁμαρτήματα, καὶ δεομένων συμπαθείας, καὶ προσέρχεσθαι περὶ αὐτῶν τῷ βασιλεῖ, καὶ αἰτεῖν τοῖς μὲν ἀδικουμένοις ἐκδίκησιν, τοῖς δὲ κατακριθεῖσι διά τι πταῖσμα συγχώρησιν, ὁ παρὼν προστάττει κανών. Τὸ δὲ διὰ τὰς τοιαύτας αἰτίας τοὺς ἐπισκόπους τὰς ἑαυτῶν καταλιμπάνειν ἐκκλησίας, καὶ ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, ἢ ἀλλαχοῦ, ἔνθα ὁ βασιλεύς ἐστι, καὶ ὀχλεῖν περὶ τῶν τοιούτων, ὡς ἐπάγον παρὰ τῶν πολλῶν τοῖς ἐπισκόποις μέμψιν καὶ λοιδωρίαν, οὐ συγχωρεῖ γίνεσθαι, ἀλλὰ

(1) προστάττοντι βασιλικῷ Ἑ.

διὰ τῶν ἰδίων διακόνων στέλλεσθαι τὰς δεήσεις τῷ βασιλεῖ ἐπιτάττει.

## Κανὼν Η'.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο ἡ ἀγχίνοια ὑμῶν κρινάτω, ἵν' ἐπειδὴ (1) ἔδοξε, διὰ τὸ μὴ πίπτειν ὑπὸ κατάγνωσίν τινα τῶν ἐπισκόπων ἀφικνούμενον εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου ἀποστέλλοιεν(2). Τοῦ (3) γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα θᾶττον διακοσμιθῆναι δυνήσεται. Ἀπεκρίναντο πάντες· Καὶ τοῦτο ὁριζέσθω(4).

---

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, τῶν ἐπισκόπων, τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἀνωτέρω ἐμνήσθημεν, ἤγουν ἐπὶ βοηθείᾳ ἀδικουμένων καὶ καταδυναστευομένων, ἢ διὰ πταίσματα κατακριθέντων, καὶ ἵνα μὴ καταγινώσκωνται οὐ βούλονται ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, διακόνους οἰκείους πεμπέτωσαν· τοῦ γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει· οὐδὲ γὰρ μέμψεταί τις, φησὶ, τῷ ὑπηρέτῃ, ἤτοι τῷ διακόνῳ διατρίβοντι ἐν στρατοπέδῳ, ὡς μέμψεται τῷ ἐπισκόπῳ ἐκεῖ ἀπελθόντι, καὶ τὰ παρὰ τοῦ βασιλέως δοθησόμενα γράμματα εἰς συγχώρησιν ἴσως τῶν πταισάντων, ἢ ἕτερα οἱαδήτινα, συντόμως κομισθῆναι διὰ τοῦ διακόνου δυνήσεται. * Διάκονον δὲ οὐχὶ κεχειροτονημένον λέγει, ἀλλ' ὑπηρέτην ἁπλῶς, καὶ οἱονδήτινα δουλευτήν * (5).

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ θεσπίζει, προστιθέμενος, μὴ διὰ τῶν ἐπισκόπων, ἀλλὰ μετὰ τῶν διακόνων τὰς πρὸς τοὺς βασιλεῖς ἐντεύξεις αὐτῶν γίνεσθαι· διακόνους δ' ἐνταῦθα, μὴ τοὺς κεχειροτονημένους εἴπῃς, ἀλλὰ τοὺς ἁπλῶς δουλευτὰς καὶ οἱουςδήτινας ὑπηρέτας.

---

(1) Χ. Τρ. Βευερ Σ. Ῥ. Καὶ τοῦτο ὁριζέσθω ἵν' ἐπειδὴ ἔδοξε. Π. —(2) ἐπιστέλλοιεν Βευερ. — (3) Σ. Ῥ. Χ. Τρ. Ἐ.— τοῦτο γὰρ Βευερ. Κ.—(4) ἀπεκρίναντο... ὁριζέσθω, οὐ κεῖται ἐν Π. καὶ Χ. Τρ. — (5) Χ. Τρ. — τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ.

## Κανὼν Θ'.

Ὅσιος ἐπίσκοπος εἶπε (1)· Καὶ τοῦτο ἀκόλουθον εἶναι νομίζω, ἵνα εἰ ἐν (2) οἱᾳδηποτοῦν ἐπαρχίᾳ ἐπίσκοποι πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλοιεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τουτέστι τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ ἀκολουθίαν καὶ πρὸς τοὺς συναδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, οἵτινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγοιεν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια πράγματα διακυβερνᾷ. Εἰ δὲ ἔχοι τις τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βούλοιτο περί τινος, ὅπερ πρεπωδέστατον εἴη ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου καὶ ἀξιῶσαι καὶ ἐντείλασθαι τούτοις, οὔστε (3) τὴν αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν ἡγοῖτο (4). Οἱ δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συνεπισκόπῳ Ἰουλίῳ, τὰς δεήσεις, ἃς ἔχοιεν διδόναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερος (5) αὐτὸς δοκιμάζῃ, εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυντοῖεν, καὶ οὕτω τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλοι. Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο, ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην (6).

**ΖΩΝΑΡ.** Ἔτι τῆς αὐτῆς ὑποθέσεως ἔχονται οἱ κανόνες. Ἐπισκόπων γὰρ κατὰ πᾶσαν ἐπαρχίαν ὄντων, ἀνάγκη πάντως καὶ ἔνθα ὁ βασιλεὺς διέτριβεν, ἐπισκόπους εἶναι. Φησὶν οὖν ὁ παρὼν κανὼν, ὅτι, ἐὰν ἐπίσκοπος πρὸς ἐπίσκοπον τῆς χώρας, ἐν ᾗ διάγει ὁ βασιλεὺς, γράψῃ περί τινος ὑποθέσεως, χρὴ τὴν

(1) οὐ κεῖται ἡ φράσις ἐν Π. Χ. Τρ. καὶ Βευερ. — (2) Βρ. Σ. Ῥ. Καὶ τοῦτο ὁριζέσθω ἵνα ἐν Π. — (3) Σ. Ῥ. — ὥστε — (4) Ἐ. Κ. Σ. Ῥ. — Τὸ, ἡγοῖτο, οὐ κεῖται ἐν Π. Βρ. Χ. Τρ. — (5) πρότερον Βευερ. — (6) ἅπαντες... ταύτην, οὐ κεῖται ἐν Π.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐπιστολὴν καὶ τὰς δεήσεις τῷ μητροπολίτῃ τῆς χώρας ἐκείνης ἐγχειρίζεσθαι, ἵνα αὐτὸς στέλλῃ ταύτην πρὸς ὃν ἐστάλη, δι' οἰκείου διακόνου, διδοὺς (1) αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, συνιστώσας δηλαδὴ τὸν πεμφθέντα, καὶ γνωριζούσας αὐτὸν τῷ (2) ἐπισκόπῳ πρὸς ὃν ἐπέμφθη, καὶ γράφων κατὰ ἀκολουθίαν, ἤγουν ἀκολούθως, οἷς ἔγραψεν ὁ τὴν ὑπόθεσιν ἔχων ἐπίσκοπος (3) καὶ τὰς δεήσεις στείλας. Τοῦτο δὲ γίνεσθαι ὡρίσθη, ἵνα ὁ μητροπολίτης ἐπιγνῷ τὴν ὑπόθεσιν περὶ ἧς ἔγραψε τῷ συνεπισκόπῳ ὁ ἐπίσκοπος, καὶ εἰ φορτική τις εἴη, καὶ οὐκ ἐνδέχεται ἐνοχληθῆναι τὰς βασιλικὰς ἀκοὰς περὶ αὐτῆς, ἀποπέμψηται τὰς δεήσεις, καὶ ἀντιστρέψῃ τῷ πέμψαντι αὐτάς. Εἰ δὲ καί τινας τῶν ἐν τῷ παλατίῳ ἔχοι φίλους ἐπίσκοπος, οὐδὲ τούτους ἀξιῶσαι κωλύεται διὰ τοῦ οἰκείου διακόνου βοηθῆσαι αὐτῷ, ἐπὶ ὑποθέσει εὐλόγῳ καὶ πρέπουσαν ἀρχιερεῖ αἴτησιν ἐχούσῃ. Εἰ δὲ εἰς Ῥώμην ἐνδημοῦντος τοῦ βασιλέως, σταλεῖεν παρ' ἐπισκόπων ἐν αὐτῇ τινες δεήσεις κομίζοντες, τῷ πάπᾳ ταύτας ὀφείλουσι παρέχειν, ἵνα αὐτὸς ἐξετάζοι, εἰ εὔλογοι αἱ δεήσεις εἰσί· καὶ εἰ μή τινα ῥήματα ἀναίσχυντα ἔχουσι πρὸς τὸν βασιλέα, ἀποστέλλοι ταύτας αὐτὸς, προστασίας καὶ φροντίδα παρέχων αὐτοῖς, ἤγουν προϊστάμενος καὶ συνεργῶν αὐτοῖς.

ΒΑΛΣ. Ὅτι οὐκ ἀνῃρέθη ὁ ιά. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, δῆλον καὶ ἀπὸ τοῦ παρόντος κανόνος. Φησὶ γὰρ, ὅτι, ἐὰν ἐπίσκοπος θελήσῃ ἀποστεῖλαι δεήσεις εἰς τὸν βασιλέα διὰ συναδέλφου καὶ συνεπισκόπου αὐτοῦ, ἀρχιερατεύοντος εἰς ἐπαρχίαν, εἰς ἣν διάγει ὁ βασιλεὺς, ὀφείλει προσέρχεσθαι τῷ προσφόρῳ μητροπολίτῃ, καὶ ἀναδιδάσκειν αὐτὸν τὸ οἰκεῖον βούλημα. Καὶ ὁ μητροπολίτης μετὰ διακόνου αὐτοῦ ὀφείλοντος ἐπιφέρεσθαι κανονικὰς ἐπιστολὰς, ἤγουν εἰρηνικὰς καὶ συστατικὰς, ἀναδιδάξαι τὸν ἐνδημοῦντα ἐπίσκοπον, ὡς εἴρηται, εἰς τὸν βασιλέα τὴν τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου παράκλησιν. Τοῦτο δὲ γίνεσθαι οὕτως ὡρίσθη, ἵνα ὁ μητροπολίτης

(1) Χ. Τρ. — δοὺς Βευηρ. Κ. — (2) τῷ ἐπισκόπῳ, οὐ κεῖται ἐν Χ. Τρ. — (3) τῇ ἐπίσκοπος, οὐ κεῖται ἐν Χ. Τρ.

ἐπιγνῷ τὴν ὑπόθεσιν, καὶ διαγνῷ, εἰ ἐνδέχεται ἀνενεχθῆναι ταύτην τῷ βασιλεῖ, εἴτε καὶ μή. Ὡς δέ τινος εἰπόντος, ἐκ τούτου ἀναιρεῖσθαι τὸν τῆς παρούσης συνόδου ή. κανόνα, τὸν διοριζόμενον μετὰ διακόνων οἰκείων τοὺς ἐπισκόπους ὑπομιμνήσκειν τὸν βασιλέα τὰ περὶ τῶν ψυχωφελῶν αἰτιῶν, προσέθεντο οἱ Πατέρες, πρὸς μὲν βασιλέα μὴ ἀποστέλλεσθαι διάκονον παρὰ ἐπισκόπου χωρὶς συνοδικῆς ἐπιτροπῆς· πρὸς δέ τινας οἰκείους τῷ βασιλεῖ ποιεῖν μετὰ διακόνου ἀξιώσεις· πλὴν καὶ τοῦτο, ὡς ἐμοὶ δοκεῖ, μετὰ εἰδήσεως τοῦ μητροπολίτου γενήσεται. Τοὺς μέντοι παραγινομένους εἰς τὴν Ῥώμην ἐπισκόπους, μὴ ἄλλως τῷ βασιλεῖ προσέρχεσθαι, εἰ μὴ ὁ πάπας λάβῃ τὴν περὶ τούτου εἴδησιν, καὶ αὐτὸς δοκιμάσας τὰ περὶ τῶν δεήσεων, ἢ ἐπιτρέψῃ τὴν ἀναφορὰν, καὶ ἀποστείλῃ αὐτοὺς εἰς τὸν βασιλέα, ἢ ἀπείπῃ, ὡς καὶ ὀφείλων ἀντέχεσθαι τῶν ἐπισκόπων, καὶ βοηθεῖν ἐπὶ πᾶσιν αὐτοῖς. Ὥστε σημείωσαι ἀπὸ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων, ὅτι οὔτε μητροπολίτης, οὔτε ἐπίσκοπος, χωρὶς συνοδικῆς διαγνώσεως δύναται δεήσεις ἀνενεγκεῖν τῷ βασιλεῖ, ἢ δι᾽ ἑαυτοῦ, ἢ διὰ διακόνου αὐτοῦ. Ἀκούων δὲ ταῦτα γίνεσθαι μετὰ εἰδήσεως τοῦ μητροπολίτου, καὶ τοῦ πάπα, προστίθει καὶ συνοδικὴν ἐπακολουθεῖν διάγνωσιν κατὰ τὸν ιά. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Τὰ δὲ περὶ τοῦ πάπα ἐνταῦθα γεγραμμένα, ἕλκυσον καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, δι᾽ οὓς λόγους πολλάκις εἴπομεν. Ἀνάγνωθι καὶ κεφ. β΄. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ πάντα. Τούτων δὲ οὕτω διορισθέντων, εἶπόν τινες, μὴ ὀφείλειν οἱονδήτινα μητροπολίτην, χωρὶς πατριαρχικῆς ἐπιτροπῆς ὁτεδήποτε εἰς βασιλέα ἀπέρχεσθαι· ἐμοὶ δὲ δοκεῖ, ὡς ὅτε πρώτως μέλλοι ὁ μητροπολίτης τὸν βασιλέα προσκυνῆσαι ἐκ τῆς λαχούσης αὐτὸν ἀνελθὼν εἰς τὴν βασιλεύουσαν, ἀνάγκην ἔχει τοῦτο ποιεῖν μετὰ πατριαρχικῆς ἐπιτροπῆς· μετὰ ταῦτα δὲ ἀπολύτως, ὅτε βούλεται, ἀπελεύσεται εἰς τὸν βασιλέα χάριν τοῦ προσκυνῆσαι αὐτὸν, καὶ παρακλητεῦσαι περὶ ὧν προανήνεγκε δεήσεων, μετὰ πατριαρχικῆς εἰδήσεως.

ΑΡΙΣΤ. Ἀδελφοῦ πρὸς ἀδελφὸν ἐπιστέλλοντος, ὁ μητρο-

πολίτης τὸν ἀπόστολον ἐνισχυέτω, καὶ γραφέτω πρὸς τοὺς ἐν οἷς ἡ ἀξίωσις ἐπισκόπους, τοῦ ἀποστόλου ἀντιλαμβάνεσθαι.

Στέλλων ὁ ἐπίσκοπος πρὸς βασιλέα δεήσεις τινὰς, καὶ περὶ αὐτῶν πρὸς συναδελφὸν αὐτοῦ γράφων, ἐν τῷ στρατοπέδῳ μετὰ τοῦ βασιλέως διάγοντα, ὡς παρ᾽ αὐτοῦ τοῦ βασιλέως μετακληθέντα ἐπὶ τῷ μετ᾽ αὐτοῦ συνδιάγειν, ὀφείλει τῷ ἰδίῳ μητροπολίτῃ προσέρχεσθαι, καὶ τὰς δεήσεις ὑποδεικνύειν, καὶ τὸν διάκονον ὃν ἀποστεῖλαι βούλεται, ἵνα παρ᾽ αὐτοῦ τοῦ μητροπολίτου πρότερον αἱ δεήσεις ἐξετασθῶσι, μή ποτε οὐ δικαίαν τὴν αἴτησιν ἔχωσι· καὶ οὕτω, μετὰ τὸ δοκιμάσαι ταύτας, γράμμασιν αὐτοῦ καὶ συστατικαῖς ἐπιστολαῖς, τὸν ἀποστελλόμενον ἐνισχύσει· καὶ ἀξιώσει τοὺς μετὰ τοῦ βασιλέως διάγοντας ἐπισκόπους ἀντιλαβέσθαι τοῦ διακόνου.

## Κανὼν Γ'.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω, ἵνα (1) μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο, ὥστε ἐάν τις πλούσιος, ἢ σχολαστικὸς ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ ἀναγνώστου, καὶ διακόνου (2), καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ, ἵνα καθ᾽ ἕκαστον βαθμὸν, ἐάν περ ἄξιος νομισθείη, εἰς τὴν ἀψίδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη. Ἕξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς (3) οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος, δι᾽ οὗ ἡ πίστις αὐτοῦ, καὶ ἡ τῶν τρόπων καλοκἀγαθία, καὶ ἡ στεῤῥότης, καὶ ἡ ἐπιείκεια, γνώριμος γενέσθαι δυνήσεται· καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς τῆς μεγίστης ἀπολαύσει τιμῆς. Οὔτε γὰρ προσῆκόν ἐστιν, οὔτε ἡ ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ (4) ἐπιδέχεται τολμηρῶς καὶ κούφως ἐπὶ τούτῳ ἰέναι, ὥστε ἢ ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον

(1) Βρ. Ἑ. Κ. Σ. Ῥ. — Δεῖ μετὰ πάσης Βευερ. — Δεῖ μετὰ πάσης ἐξετάζεσθαι Π. Χ. Τρ. — (2) καὶ ὑποδιακόνου, καὶ διακόνου Βευερ. Σ. Ῥ. — (3) ὁ ἀριθμὸς Χ. Τρ. — (4) ἐπαναστροφὴ Κ. Ἑ.

προχείρως καθίστασθαι· οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη· ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος Ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν ἐγένετο διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις· τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία, τὴν ἀναστροφὴν, καὶ τὸν ἑκάστου τρόπον οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται. Ἅπαντες εἶπον ἀρέσκειν αὐτοῖς, καὶ καθάπαξ μὴ δεῖν ἀνατρέπειν ταῦτα (1).

---

ΖΩΝΑΡ. Οὐδένα τῶν ἐξ ἀγορᾶς ὄντων, ἤτοι τῆς δημώδους συγχύσεως, κἂν πλούσιος ᾖ(2), κἂν σχολαστικὸς, τουτέστι, περὶ λόγους σχολάζων, βούλεται ὁ κανὼν, εἰ ἄξιος κρίνεται ἐπισκοπῆς, ἀθρόον χειροτονεῖσθαι ἐπίσκοπον, ἀλλὰ διορίζεται τοὺς τοιούτους εἰς ἕκαστον βαθμὸν ἱερατικὸν προβιβάζεσθαι, καὶ ἐφ' ἑκάστῳ ἐπὶ καιρὸν ὑπηρετεῖν οὐκ ἐλάχιστον, ἵνα διὰ τοῦ καιροῦ ἐκείνου γνωσθείη ἥ τε πίστις αὐτοῦ, εἰ ὀρθή ἐστι, καὶ ἡ ἀγαθότης τῶν τρόπων, καὶ ἡ στεῤῥότης τοῦ φρονήματος αὐτοῦ, καὶ ἡ ἐπιείκεια, * ἤγουν ἡ πρᾳότης, ἵνα μὴ ὀργίλος ᾖ * (3), καὶ οὕτως εἰς τὴν ἀψίδα τῆς ἐπισκοπῆς, ἤγουν εἰς τὴν ἀκρότητα τοῦ ὕψους τῆς ἀρχιερωσύνης διαβῇ κατὰ προκοπὴν, * προκόπτων καὶ προβαίνων ἀπὸ τῶν χθαμαλοτέρων ἐπὶ τὰ ὑψηλότερα * (4). Οὐδὲ γὰρ πρέπει, φησὶν, ἡ ἐπιστήμη, τουτέστιν ἡ τῶν θείων λόγων γνῶσις, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ, ἤγουν ἡ συνήθεια ἡ δοκιμασθεῖσα * καὶ βεβαιωθεῖσα * (5) τῷ χρόνῳ, ἐπιδέχεται τολμηρῶς καὶ κούφως, ἤγουν εὐκόλως ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, προχείρως χειροτονεῖσθαι· οὕτω γὰρ, φησὶν, εἰς ἐπισκοπῆς ἀξίαν προβαίνων, νεόφυτος ἐνομίσθη τῷ Ἀποστόλῳ, κωλύσαντι ταχείας γίνεσθαι τὰς καταστάσεις. Οἱ μὲν οὖν τῆς συνόδου ταύτης Πατέρες οὕτως ἐξελάβοντο τὸν νεόφυτον. Ὁ δὲ κλεινὸς Ἀπόστολος Παῦλος, νεόφυτον, τὸν ἄρτι ἐξ ἀγριελαίου, τῆς ἀπιστίας φημὶ, πρὸς

---

(1) τὰ ἀπὸ τοῦ, ἅπαντες εἶπον, οὐ κεῖται ἐν Π. — (2) Χ. Τρ. — ᾖ, μόνον λατινιστὶ παρὰ Κ. — (3) Χ. Τρ. — τὰ μεταξὺ τῶν * οὐ κεῖνται παρὰ Βευερ. καὶ Κ. — (4) Χ. Τρ. — οὐ κεῖται τὰ μεταξὺ τῶν * παρὰ Βευερ. καὶ Κ. εἰμὴ μόνον λατινιστὶ παρὰ τῷ τελευταίῳ. (5) Χ. Τρ. — τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰ μὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ,

καλλιέλαιον, τὴν πίστιν δηλαδὴ τὴν ὀρθόδοξον μετεγκεντρισθέντα, λέγει, καὶ ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος οὕτως ἐνόησε τὸν νεόφυτον, ὡς ἔστιν εὑρεῖν ἐν τῷ δευτέρῳ κανόνι αὐτῆς· καὶ ὁ ιζ'. κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου τὰ αὐτὰ διορίζεται.

ΒΑΛΣ. Ἐν τῷ ιζ'. κανόνι τῆς πρώτης καὶ δευτέρας συνόδου, ἱκανῶς ἐγράψαμεν περὶ λαϊκῶν ἢ μοναχῶν(1) μελλόντων ἀρχιερωσύνης ἀξιοῦσθαι. Πλὴν, ἐκεῖ μὲν γενικῶς τὰ περὶ τούτου ἐξεφωνήθησαν, ἐνταῦθα δὲ περὶ μόνων πλουσίων καὶ σχολαστικῶν, τουτέστι περὶ λόγους σχολαζόντων· ὃ γοῦν ἐκεῖσε ἐζητήσαμεν χάριν τοῦ δηλουμένου τῷ κανόνι νενομισμένου καιροῦ, τοῦτο καὶ εἰς τὸν παρόντα κανόνα ζητητέον. Νεόφυτος δὲ, παρὰ μὲν τῷ Ἀποστόλῳ ὁ νεοφώτιστος λέγεται, παρὰ δὲ τῷ κανόνι, ὁ ἀπὸ πλουσίου ἢ σχολάζοντος εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβαζόμενος. Ζήτει καὶ τὸν β'. κανόνα τῆς ἐν Νικαίᾳ πρώτης συνόδου.

ΑΡΙΣΤ. Ἀγοραῖος σχολαστικὸς, ἢ πλούσιος, εἰ μὴ τοὺς ἱεροὺς διέλθοι βαθμοὺς, ἐπίσκοπος οὐ καθίσταται. Τὸ δὲ τῶν βαθμῶν διάστημα οὐ λίαν ὀλιγοστὸν, δι' οὗ τὸ δοκίμιον τῆς πίστεως καὶ καλοκἀγαθίας αὐτοῦ δοκιμάζοιτο· ὁ γὰρ ἑτέρως, νεόφυτος.

Οὗτος ὁ κανὼν τοὺς μὲν λαϊκοὺς τοὺς ἐν τῇ ἀγορᾷ διατρίβοντας, καὶ σχολάζοντας ἐν αὐτῇ, ἢ καί τινας πλουσίους καὶ ἀγοραίους πραγματευτὰς, εἰς ἐπισκοπῆς ἀξίωμα βουληθέντας ἀνενεχθῆναι, οὐκ ἄλλως προστάττει καθίστασθαι, εἰ μὴ ἀναγνώστου, καὶ πρεσβυτέρου, καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσουσι· τὸ δὲ διάστημα ἑκάστου βαθμοῦ χρονιαῖον εἶναι, ἵν' ὁ βίος αὐτῶν, καὶ ἡ πίστις ἐν τοσούτῳ δοκιμασθῇ. Ὁ δὲ ἑπτακαιδέκατος κανὼν τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης, οὐδένα τῶν λαϊκῶν, κἂν μὴ ἐκ φαύλης ἐστὶ διαγωγῆς, ἀλλ' οὐδὲ τῶν μοναχῶν, εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀθρόως ἀνάγεσθαι συγχωρεῖ, ἀλλὰ τοὺς ἱερατικοὺς πρότερον βαθμοὺς προελθεῖν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον πληροῦντα χρόνον, καὶ τότε τῆς ἐπισκοπῆς τὴν χειροτονίαν δέχεσθαι.

(1) τὸ, ἢ μοναχῶν, οὐ κεῖται παρὰ Βευηρ. ἀλλ' ἐν Χ. Τρ. καὶ Ἑ.

## Κανὼν ΙΑ'.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα (1) ἐπίσκοπος, ὅταν ἐξ ἑτέρας πόλεως παραγίνηται εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, κόμπου χάριν ἐγκωμίοις οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώσει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος ᾖ διδασκαλίας, μὴ καταφρονῇ ἐκείνου, καὶ συνεχέστερον ὁμιλῇ, καταισχύνειν καὶ κατευτελίζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου σπουδάζων (2)· αὕτη γὰρ ἡ πρόφασις εἴωθε ταράχους ποιεῖν (3)· καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι καὶ παρασπᾶσθαι σπουδάζῃ, μὴ διστάζων τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, καὶ εἰς ἑτέραν μεθίστασθαι. Ὁριστέον τοίνυν (4) ἐπὶ τούτῳ χρόνον, ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νενόμισται. **Μέμνησθε** δὲ (5) ἐν τῷ προάγοντι χρόνῳ (6) τοὺς **Πατέρας** ἡμῶν κεκρικέναι, ἵνα, εἴ τις λαϊκὸς ἐν πόλει διάγων τρεῖς **Κυριακὰς** ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, ἀποκινοῖτο τῆς κοινωνίας. Εἰ τοίνυν περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρὴ, οὐδὲ πρέπει, ἀλλ' οὐδὲ συμφέρει ἐπίσκοπον, εἰ μηδεμίαν βαρυτέραν ἀνάγκην ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, καὶ λυπεῖν (7) τὸν ἐμπεπιστευμένον αὐτῷ λαόν. Ἅπαντες οἱ ἐπίσκοποι εἰρήκασι· Καὶ ταύτην τὴν γνώμην σφόδρα εἶναι πρεπωδεστάτην ὁριζόμεθα (8).

---

(1) ὅσιος . . . ἵνα, οὐ κεῖται παρὰ Βευερ. Χ. Τρ. —ὁρίζομεν, ἵνα Π. —(2) τὸ, σπουδάζων, οὐ κεῖται παρὰ Ἑ. καὶ Κ. — (3) παρέχειν Χ. Τρ. Σ. Ῥ. — (4) Π. Βρ. Σ. Ῥ. Ἑ. Κ. — οὖν Βευερ. Χ. Τρ. — (5) καὶ ἐν τῷ προάγοντι Βρ. — (6) λόγῳ Χ. Τρ. — (7) θλίβειν Βευερ. — (8) ἅπαντες . . . ὁριζόμεθα, οὐ κεῖται ἐν Π. παρὰ δὲ Βευερ. ἄνευ τοῦ, ὁριζόμεθα.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος εἰς πόλιν ἀπέλθῃ ἑτέραν, ἢ εἰς ἐπαρχίαν ἄλλην, κόμπου χάριν, ὥστε δηλονότι ἐπιδείξασθαι καὶ ἐγκωμιασθῆναι ὡς λόγιος, ἢ θρησκείας καθοσιώσει, ἢ διὰ ζήτησιν πίστεως, καὶ ὅπως χρὴ λατρεύειν· θρησκεία γὰρ ἡ λατρεία ἐστίν· * ἤγουν πῶς ὅσιον λατρεύειν, πιστεύειν. Νοηθήσεται δὲ καὶ ἄλλως τὸ, θρησκείας καθοσιώσει, τουτέστι πίστεως ἀφορισμῷ, ὥστε ἀφορισθῆναι πίστιν, καὶ ἢ ἀποδοκιμαμασθῆναι, ἢ στηριχθῆναι· καθοσίωσις γὰρ καὶ ὁ ἀφορισμὸς, ὡς τὸ, καθωσιώθη ὁ δεῖνα, ἤγουν εἰς τιμωρίαν ἀφωρίσθη· οἷόν ἐστι καὶ τὸ, σῶσον τὸν δοῦλόν σου, ὅτι ὅσιός εἰμι, ἤτοι ἀφωρισμένος σοι, καὶ σοὶ ἀνατεθειμένος*(1)· καὶ βούλοιτο πλείονα χρόνον διάγειν ἐκεῖ, ὁ δὲ τῆς χώρας ἐκείνης ἐπίσκοπος μὴ ᾖ λόγιος, ὥστε δύνασθαι διδάσκειν, μὴ ὁμιλείτω συνεχῶς, καταφρονῶν τοῦ τῆς χώρας ἐπισκόπου, καὶ καταισχύνων αὐτὸν ὡς ἀμαθῆ· αἴτιον γὰρ, φησὶ, τοῦτο ταραχῆς, ἢ καὶ πανούργως γινόμενον, ἵνα ὡς λόγιος παρὰ τοῦ τῆς χώρας ἐκείνης λαοῦ θαυμασθῇ, καὶ προμνηστεύσηται τὴν τῆς πόλεως ἐκείνης καθέδραν, καὶ ἐντεῦθεν οὐ διστάσει καταλιπεῖν τὴν αὐτοῦ ἐκκλησίαν, καὶ εἰς ἑτέραν μεθίστασθαι (2). Δεῖ τοίνυν ὁρίσαι χρόνον, ὅσον ὀφείλει ἐπίσκοπος ποιεῖν εἰς χώραν ἢ πόλιν ἀπελθὼν, ἐν ᾗ ἔστιν ἐπίσκοπος· καὶ γὰρ καὶ τὸ μὴ ὑποδέχεσθαι παρ' ἐπισκόπου τὸν συνεπίσκοπον ἀπάνθρωπόν ἐστι, καὶ σκαιὸν * (3), φαῦλον, καὶ πονηρόν. Ἐπειδὴ οὖν, φησὶν, οἱ Πατέρες ἡμῶν, οἱ τῆς ἐν τῷ Τρούλλῳ, τῆς λεγομένης ἕκτης συνόδου δηλαδὴ, ἐκείνων γάρ ἐστιν ὁ κανὼν π', ἔκριναν, ἵνα, εἴ τις λαϊκὸς ἐν πόλει διάγων ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνέρχοιτο ἐν τῇ ἐκκλησίᾳ, ἀποκινοῖτο τῆς κοινωνίας, τουτέστιν ἀφορίζοιτο· εἰ δὲ περὶ λαϊκῶν ταῦτα εἴρηται, οὔτε πρέπον ἐστὶν, οὔτε συμφέρον, ἐπίσκοπον ἐπὶ πολὺ ἀμπολιμπάνεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, εἰ μή τινα βαρεῖαν ἀνάγκην ἔχοι, ἢ πρᾶγμά τι δυσχερές.

---

(1) τὰ μεταξὺ κεῖται * ἐν Χ. Τρ. οὐχὶ δὲ παρὰ Βευερ. καὶ Κ. ἀλλὰ ἐν τῷ παραρτήματι τοῦ Κ. ἀναγινώσκεται μόνον τὸ, ἤγουν . . . πιστεύειν. — (2) Κ. ἐν παραρτ. ταῦτα γὰρ ποιῶν, φησὶν, ἕτοιμον δείκνυσιν ἑαυτὸν εἰς τὸ καταλιπεῖν τὴν ἑαυτοῦ ἐκκλησίαν καὶ μετασῆναι εἰς ἄλλην.—(3) Χ. Τρ — ἐν δὲ παραρτήματι τοῦ Κ. ἀναγινώσκεται καὶ ταῦτα· φιλάλληλον γὰρ καὶ κοινωνικὸν ζῶον ὁ ἄνθρωπος, ὁ δὲ μὴ τοιοῦτος ἀπάνθρωπος.

ΒΑΛΣ. Πᾶσαν σκανδάλου πρόφασιν περιαιροῦντες οἱ Πατέρες, διωρίσαντο, μὴ μεταβαίνειν ἐπίσκοπον ἀπὸ πόλεως εἰς πόλιν, ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν, κατὰ τρόπον ἀλαζονείας ἢ πλεονεξίας· εἰ δὲ τοῦτο οὐ γένηται διὰ τοιαύτην αἰτίαν, ἀλλὰ διὰ πρόσκαιρον ἀνάπαυσιν, ἢ ἑτέραν εὔλογον ἀφορμὴν, μὴ κατεπαίρεσθαι αὐτὸν, λόγιον τυχὸν ὄντα, τοῦ ἐγχωρίου ἐπισκόπου ἀμαθοῦς ἴσως τυγχάνοντος, μηδὲ αὐτὸν μὲν ἐφίεσθαι ἐγκωμίων διὰ δογματικῶν διδασκαλιῶν, (τοῦτο γάρ ἐστιν ἡ θρησκεία, τουτέστιν ἡ λατρεία, καὶ ἡ πίστις,) τοῦ δὲ ἐγχωρίου ἐπισκόπου καταφρονεῖν, ὡς ἐμπειρίαν δογματικῆς διδασκαλίας μὴ ἔχοντος, ἀλλ' ἡσυχάζειν καὶ ἔχειν τὴν ἀνάλογον τιμὴν πρὸς τὸν ἐγχώριον ἐπίσκοπον· τὸ γὰρ παρὰ ταῦτα γινόμενον, φασὶ, παραίτιόν ἐστι ταραχῆς πολλῆς, καὶ ὑποψία τοῦ σπουδάζειν τὸν τοιοῦτον καταλιπεῖν τὴν λαχοῦσαν αὐτὸν, καὶ σφετερίσασθαι τὴν ἑτέρῳ ἀνήκουσαν ἐκκλησίαν. Διά τοι τοῦτο μὴ ἀνεκτὸν ἡγησάμενοι ἐπὶ πολὺν χρόνον διάγειν ἐπίσκοπον εἰς ἀλλοτρίαν ἐνορίαν, ἐπήγαγον, ὡς, ἐπεὶ τὸ μὴ ὑποδέχεσθαι τοὺς ἐγχωρίους ἐπισκόπους ἀρχιερεῖς ἑτέρων ἐνοριῶν ἀφιλάδελφόν ἐστι καὶ ἀπάνθρωπον, κεκανόνισται δὲ μηδὲ λαϊκὸν ἀπολιμπάνεσθαι ἀπὸ τῆς ἐκκλησίας ἐπὶ τρεῖς Κυριακὰς, ἢ μὴν ἀκοινώνητον εἶναι, πάντως κρατήσει καὶ ἐπὶ ἀρχιερέων ὁ αὐτὸς κανών. Ὅθεν καὶ διωρίσαντο, μηδένα ἐπίσκοπον ἐπὶ πλέον ἀπολιμπάνεσθαι τῆς λαχούσης αὐτὸν, καὶ θλίβειν τὸν ἐμπιστευθέντα αὐτῷ λαὸν, εἰ μή τινα βαρεῖαν ἀνάγκην ἔχοι, ἢ πρᾶγμά τι δυσχερές. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ιδ'. ιέ. τῆς παρούσης συνόδου κανόνα ιδ'. ις'. ιζ'. τῆς συνόδου Καρθαγένης κανόνα κγ'. καὶ οά. συνόδου ἕκτης κανόνα ιζ'. ιη. καὶ κ'. καὶ μάθῃς, πῶς κολάζονται οἱ παρ' ἐνορίαν διδάσκοντες. Ἀνάγνωθι καὶ τὸν ις'. κανόνα τῆς πρώτης καὶ δευτέρας συνόδου, καὶ τὰ ἐν ἐκείνῳ παρ' ἡμῶν γραφέντα, καὶ μάθῃς πόσον καιρὸν ὀφείλουσιν οἱ ἐπίσκοποι διατρίβειν ἔξωθεν τῶν ἐπισκοπῶν αὐτῶν· διὰ γὰρ ταῦτα οὐδὲ πλατύτερόν τι περὶ τούτου ἐνταῦθα διελήφθη. Ἐρωτήσει δέ τις, ὡς τοῦ π'. κανόνος τῆς ς'. συνόδου, δηλονότι τῆς ἐν τῷ Τρούλλῳ, διορισαμένου ἀφορίζεσθαι τοὺς λαϊκοὺς τοὺς ἐπὶ τρισὶ

Κυριακαῖς μὴ συνερχομένους καὶ ἐκκλησιάζοντας, τοῦ καὶ κατὰ πολὺ ὄντος μεταγενεστέρου ταύτης τῆς συνόδου, πῶς ὁ παρὼν κανὼν, προγενέστερος ὢν, αὐτοῦ μέμνηται; Λύσις. Ἕτερος μὲν κανὼν πρὸ τῆς παρούσης συνόδου οὐδέν τι τοιοῦτον διωρίσατο· ἀγράφως δὲ, ὡς ἔοικεν, ἐνηργοῦντο τὰ τοῦ τοιούτου κανόνος ἀρχῆθεν, ὡς καὶ ἄλλα πολλά· ὕστερον δὲ, ἡ ἐν τῷ Τρούλλῳ σύνοδος καὶ ἐγγράφως τὰ περὶ τούτου ἐξέθετο.

ΑΡΙΣΤ. Ὁ προσκαλούμενος ἐπίσκοπος ἐξ ἐπισκόπου, τοῦ προσκαλεσαμένου ἰδιώτου τυγχάνοντος, μὴ συνεχέστερον δημηγοροίη· μῶμος γὰρ τοῦτο τοῦ ἰδιώτου, καὶ μνηστεία τῆς ἐπισκοπῆς ἐκείνου· καὶ ἀμφότερα οὐκ ἀμώμητα.

ΑΡΙΣΤ. Ἀνάγκης δίχα βαρείας, δυσχερὲς τὸ ἐπὶ πλεῖστον τὸν ἐπίσκοπον τῆς οἰκείας ἐκκλησίας ἀπολιμπάνεσθαι.

Εἴ τις τῶν ἐπισκόπων εἰς ἑτέραν παραγένηται πόλιν, παρὰ τοῦ κατὰ χώραν προσκληθεὶς ἐπισκόπου, καὶ ὁ προσκαλεσάμενος αὐτὸν οὐκ ἔστι διδασκαλίας ἔμπειρος, μὴ διδασκέτω συνεχέστερον τὸν λαὸν, καὶ δημηγορίας ποιείτω· τοῦτο γὰρ ταραχὰς εἴωθε προξενεῖν, καὶ καταφρόνησιν ἐμποιεῖν τῷ προσκαλέσαντι αὐτὸν ἐπισκόπῳ. Δοκεῖ δὲ καὶ διὰ τῆς ἐπιδείξεως ταύτης, τὴν ἀλλοτρίαν προμνηστεύεσθαι ἐκκλησίαν, καὶ τὸν λαὸν εἰς ἑαυτὸν ἕλκειν, καὶ σπουδάζειν τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιπεῖν, καὶ εἰς ταύτην μετατεθῆναι. Ὥρισε γοῦν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μὴ πλέον τῶν τριῶν ἑβδομάδων τὸν προσδεχθέντα ἐπίσκοπον τῆς ἑαυτοῦ ἐκκλησίας ἀπολιμπάνεσθαι, ἀλλ' εἰς τὸν ἐμπεπιστευμένον αὐτῷ λαὸν ὑποστρέφειν, εἰ μήπου τις αὐτὸν βαρυτάτη ἀνάγκη, ἢ πρᾶγμά τι δυσχερὲς, καὶ ἐπὶ πλέον ἀπολιμπάνεσθαι ἐκβιάσοι.

## Κανὼν ΙΒ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ οὐδέν ἐστι παραλειπτέον, καὶ τοῦτο ὁρισθήτω (1). Τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πόλεσιν, ἐν αἷς ἐπίσκοποι καθίσταν-

(1) Βρ. Κ. 'Ε. Σ. 'Ρ. — παραλείπεται ταῦτα ἐν Π. παρὰ Βευερ. καὶ Χ. Τρ.

ται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησιν. Οὕτως οὖν αὐτοῖς συγχωρητέον εἶναι κρίνω (1), ἵνα, εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς Κυριακὰς ἡμέρας, τουτέστι τρεῖς ἑβδομάδας, ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἀγχιστευούσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγοι, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι, καὶ λειτουργεῖν, καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν, ἐν ᾗ ἐστιν ἐπίσκοπος, παραγίγνοιτο· τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ ἀπουσίαν οὐδεμίαν ὑπομενεῖ ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δόξει ἔγκλημα. Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις (2).

---

ΖΩΝΑΡ. Τῶν ἐπισκόπων τινές, φησὶν ὁ κανών, ἐν ταῖς χώραις τῶν πόλεων, ἐν αἷς ἐπισκοποῦσιν, ὀλίγα πάνυ κέκτηνται ἴδια τῶν ἐκκλησιῶν αὐτῶν, ἀλλ' οὐχὶ ἴδια τῆς οἰκείας περιουσίας, ἐν δὲ ἑτέραις χώραις ἔχουσι κτήσεις μεγάλας, ἐξ ὧν κτήσεων * (3) δύνανται βοηθεῖν τοῖς πένησι, διδόντες αὐτοῖς τὰ πρὸς χρείαν, ὥστε ἀναγκαῖον εἶναι αὐτοῖς ἀπέρχεσθαι ἐκεῖ διὰ τὴν συλλογὴν τῶν καρπῶν. Οὕτως οὖν, φησὶ, συγχωρείσθω ἐπίσκοπος εἰς ἑτέραν ἐνορίαν διάγειν, * ἀπιὼν εἰς τοὺς οἰκείους ἀγροὺς * (4), ἵνα ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνέρχοιτο τῷ ἐπισκόπῳ τῆς πόλεως, ἀλλ' ἐν τοῖς ἀγροῖς αὐτοῦ διάγῃ, καὶ ἐν τῇ πλησιαζούσῃ ἐκεῖ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος τὴν σύναξιν τοῦ λαοῦ ποιεῖται, συνέρχηται, καὶ λειτουργῇ· τὸ λειτουργεῖν δ' ἐνταῦθα, οὐχὶ τὸ ἱερουργεῖν καὶ προσφέρειν τὴν ἀναίμακτον θυσίαν νοητέον, ἀλλὰ τὸ εὔχεσθαι, καὶ τοὺς συνήθεις ὕμνους τῷ Θεῷ ἀναπέμπειν. Πῶς γὰρ ἱε-

---

(1) τὸ, κρίνω, οὐ κεῖται ἐν Σ. Ρ. — κρίνομεν Π. — (2) ἅπαντες.. ἡ διατύπωσις, οὐ κεῖται ἐν Π. — (3) Χ. Τρ. — (4) τὰ μεταξὺ * μόνον ἐν Χ. Τρ. καὶ Κ. λατινιστί.

ρουργῆσαι ἠδύνατο, ἢ ἄλλο τι ποιῆσαι ἀρχιερατικὸν δίκαιον εἰς ἀλλοτρίαν ἐνορίαν, μὴ παρὰ τοῦ ἐπισκόπου τῆς χώρας τοῦτο ἐπιτραπείς; κατὰ γὰρ τὸν λϛ'. κανόνα τῶν Ἀποστόλων καθαιρεῖται ὁ τοῦτο ποιήσας. Καὶ τὸ συνέρχεσθαι δὲ εἰς ἐκκλησίαν, καὶ συνεύχεσθαι τοῖς ἐκεῖσε πιστοῖς, διὰ τοῦτο, φασὶν, ἐπιτρέπομεν, ἵνα μὴ δοκῇ χωρὶς συνελεύσεως εἶναι, καὶ προσκρούῃ πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα, τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν. Μὴ μέντοι, φασὶ, συνεχέστερον εἰς τὴν πόλιν τῆς χώρας ἐκείνης παραγίνοιτο, ἵνα οὕτω μήτε ζημίαν τινὰ ὑποστῇ ἐκ τοῦ μὴ ἐπιτηρεῖν τὰ οἰκεῖα, καὶ τὸ τῆς ἀλαζονείας ἐκκλίνῃ αἰτίαμα, μὴ διὰ δόξαν νομιζόμενος ἀπιέναι εἰς ἑτέραν πόλιν ἢ χώραν, ὥστε διδάσκειν, καὶ καταισχύνειν τὸν ἐν ἐκείνῃ ἐπίσκοπον.

**ΒΑΛΣ.** Ὁ μὲν ιά. κανὼν διδάσκει περὶ τῶν ἀποδημησάντων ἐπισκόπων ἀπὸ πόλεως εἰς πόλιν, ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν· ὁ δὲ παρὼν κανὼν διορίζεται τοὺς ἐπισκόπους, τοὺς ἔχοντας ἀκινήτους μεγάλας κτήσεις εἰς ἀλλοτρίας ἐνορίας, ἀπαρεμποδίστως εἰς ταύτας ἀπέρχεσθαι διὰ τὴν συγκομιδὴν τῶν καρπῶν, καὶ οὕτω χειραγωγεῖν τοὺς πένητας. Πλὴν, φησὶν, ἐπὶ μὲν τρισὶ Κυριακαῖς ὀφείλει ὁ ἐπίσκοπος διάγειν εἰς τὰ οἰκεῖα κτήματα, καὶ μετὰ τῶν ἐγχωρίων πιστῶν ἐκκλησιάζειν καὶ συλλειτουργεῖν, ἤτοι συνεύχεσθαι μετὰ τοῦ ἐκεῖσε ὄντος πρεσβυτέρου, ἵνα μὴ δοκῇ χωρὶς συνελεύσεως ἐκκλησιαστικῆς εἶναι, καὶ προσκρούειν πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα, τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν· μετὰ δὲ τὰς τρεῖς Κυριακὰς μὴ παραβάλλειν συχνότερον ἐν τῇ πόλει, ἐν ᾗ ὁ κατὰ τόπον ἐστὶν ἐπίσκοπος· τούτου γὰρ, φησὶν, οὕτω γινομένου, οὔτε αὐτὸς ὑποπέσει χρηματικῇ ζημίᾳ διὰ τὸ κατὰ παρουσίαν αὐτοῦ γενέσθαι τὴν συγκομιδὴν τῶν καρπῶν, οὔτε ὁ ἐγχώριος ἐπίσκοπος ἀλαζονείαν τούτῳ ἐπιγράψηται. Τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἀναγκαστικὸν εἶναι τῷ ἐπιδημήσαντι ἐπισκόπῳ εἰς τὰ παρ' ἐνορίαν κτήματα τῆς ἐκκλησίας αὐτοῦ, ἐπὶ τρισὶ Κυριακαῖς ἐκεῖσε καθῆσθαι, καὶ μὴ

παραβάλλειν ἐν τῇ πόλει, ἐν ᾗ ὁ ἐγχώριός ἐστιν ἀρχιερεύς, ἀλλὰ συμβουλευτικὸν, διὰ τὸ ἀσκανδάλιστον. Εἰ γὰρ θέλει ἀπεντεῦθεν εἰς τὴν πόλιν ἀπελθεῖν, καὶ συνομιλῆσαι εἰρηνικῶς τῷ ἐγχωρίῳ ἀρχιερεῖ, καὶ ὑποχωρῆσαι εἰς τὰ ἐκκλησιαστικὰ αὐτοῦ κτήματα, οὐ κωλυθήσεται· ὁ γὰρ σκοπὸς τοῦ κανόνος οὐδέν τι ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ μὴ ὀχλεῖσθαι τὸν ἐγχώριον ἐπίσκοπον ὑπὸ τοῦ παρ' ἐνορίαν ἐκεῖσε ἀφικνουμένου ἐπισκόπου, καὶ παρ' αὐτοῦ ἴσως περιϋβρίζεσθαι. Ἀνάγνωθι καὶ τὰ ἐν ιϛ'. κανόνι τῆς α'. καὶ β'. συνόδου γραφέντα παρ' ἡμῶν· καὶ σημείωσαι, ὅτι εἰς τὰς ἀκινήτους κτήσεις τῶν ἀλλοτρίων ἐκκλησιῶν ὁ ἐγχώριος ἐπίσκοπος ἐνεργεῖ τὰ ἀρχιερατικὰ δίκαια· ἀπὸ μακρᾶς δὲ συνηθείας, βεβαιωθείσης πολλάκις συνοδικῶς, ὁ θρόνος τῆς Κωνσταντινουπόλεως σταυροπήγιά τε δίδωσιν εἰς πάσας τὰς τῶν ἐκκλησιῶν ἐνορίας, καὶ ἀναφορὰν ἔχει οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ἐφ' αἷς ἔχει ἀκινήτοις κτήσεσιν ὁπουδήποτε. Τινὲς δὲ λέγουσι, τὸ αὐτοδίκαιον ἔχειν τὸν αὐτὸν ἅγιον θρόνον, οὐ μόνον εἰς τὰς διαφερούσας τούτῳ κυριαρχικῷ δικαίῳ κτήσεις, ἀλλὰ καὶ εἰς τὰ ἀκίνητα τῶν ὑποκειμένων τούτῳ μοναστηρίων, ὁπουδήποτε διακείμενα. Καλῶς δ' ἐξελαβόμεθα τὴν λειτουργίαν ἀντὶ εὐχῆς· λειτουργεῖν γὰρ, ἤτοι ἱερουργεῖν, χωρὶς ἐπιτροπῆς τοῦ κατὰ χώραν ἐπισκόπου, ἀδύνατόν ἐστιν.

ΑΡΙΣΤ. Ἐπίσκοπος κτήσεις κεκτημένος ὑπερορίους, εἰ μέλλει ἐν ταύταις ἰέναι, μὴ πλέον ἐκεῖσε μενέτω Κυριακῶν τριῶν διαστήματος· οὕτω γὰρ ἡ οἰκεία τοῦτον ποίμνη καταπλουτίσει, καὶ αὐτὸς ἄτυφος διαμένει.

Κτήματά τινες τῶν ἐπισκόπων εἰ ἔχοιεν ἐν ἀλλοτρίαις ἐπισκοπαῖς κείμενα, οὐ κωλύονται ἀπέρχεσθαι εἰς ἐπιτήρησιν τούτων, καὶ τὴν συλλογὴν τῶν καρπῶν ποιεῖσθαι· πλὴν καὶ οὗτοι πλέον τριῶν ἑβδομάδων ἐν ἀλλοτρίαις ἐγχρονίζειν οὐ συγκεχώρηνται· ἵνα μήτε τὰ τῆς ἐκκλησίας αὐτῶν πράγματα διὰ τὴν ἀπουσίαν αὐτῶν ἀπόλωνται, μήτε ἔγκλημα τύφου καὶ ἀλαζονείας αὐτοῖς προσάψωσιν, ἐπὶ μακρότερον ἐν ἀλλοτρίᾳ πόλει ἐνδιατρίβουσιν.

## Κανὼν ΙΓ΄.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο πᾶσιν ἀρεσάτω (1), ἵνα εἴτε διάκονος, εἴτε πρεσβύτερος, ἢ καί τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδότα αὐτὸν καταφύγοι, γινώσκοντα ἀποκεκινῆσθαι αὐτὸν τῆς κοινωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ χρῆναι τῷ ἐπισκόπῳ καὶ ἀδελφῷ αὐτοῦ ὕβριν ποιοῦντα, παρέχειν αὐτῷ κοινωνίαν. Εἰ δὲ τολμήσοι τοῦτο ποιῆσαι, γινωσκέτω, συνελθόντων ἐπισκόπων, ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον καθεστάναι. Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Αὕτη ἡ κρίσις καὶ τὴν εἰρήνην πάντοτε διαφυλάξει, καὶ διατηρήσει τὴν πάντων ὁμόνοιαν (2).

---

ΖΩΝΑΡ. Τοῦτο καὶ ἀποστολικοὶ κανόνες, καὶ συνοδικοὶ πολλοὶ διετάξαντο· ὅ τε γὰρ λϐ΄. καὶ ὁ λγ΄. τῶν ἁγίων Ἀποστόλων κανὼν, καὶ ὁ ιγ΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὰ αὐτὰ τεθεσπίκασιν.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιϐ΄. ιγ΄. ιδ΄. λϐ΄. καὶ λγ΄. κανόνα τῶν ἁγίων Ἀποστόλων, καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ϛ΄. τὰ αὐτὰ λέγοντας.

ΑΡΙΣΤ. Ὁ τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα κοινωνίας μετὰ γνῶσιν ἀξιῶν, οὐκ ἀνεύθυνος.

Ὁ ἐν εἰδήσει δεξάμενος τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα πρεσβύτερον, ἢ διάκονον, ἢ καί τινα τῶν κληρικῶν, καὶ συγκοινωνήσας, ἤτοι συλλειτουργήσας αὐτῷ, οὐκ ἀνεύθυνος, ἀλλ' ἀφορισθήσεται καὶ αὐτὸς, κατὰ τὸν δωδέκατον κανόνα τῶν ἁγίων Ἀποστόλων.

---

(1) Βρ. Ἑ. Κ. Χ. Ῥ. — Ἀρέσκει, ἐάν τις Π. — (2) Βρ. Χ. Γρ. Ἑ. Κ. — Ἅπαντες... ὁμόνοιαν, οὐ κεῖται ἐν Π. οὐδὲ παρὰ Βευερ.

## Κανὼν ΙΔ'.

Ὅσιος ἐπίσκοπος εἶπε· Τὸ δὲ πάντοτέ με κινοῦν ἀποσιωπῆσαι οὐκ ὀφείλω (1). Εἴ τις ἐπίσκοπος ὀξύχολος εὑρίσκοιτο, ὅπερ οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι, καὶ τραχέως (2) ἀντικρὺ πρεσβυτέρου ἢ διακόνου κινηθεὶς, ἐκβαλεῖν ἐκκλησίας αὐτὸν (3) ἐθελήσοι, προνοητέον ἐστὶ μὴ ἀθρόον τὸν τοιοῦτον κατακρίνεσθαι, καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. Πάντες ἐπίσκοποι εἰρήκασιν (4)· Ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχίας καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλεως ἄπεστιν, ἐπὶ τὸν πλησιόχωρον κατατρέχειν, καὶ ἀξιοῦν, ἵνα μετὰ ἀκριβείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα· οὐ γὰρ χρὴ μὴ ὑπέχειν (5) τὰς ἀκοὰς τοῖς ἀξιοῦσιν. Κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γένηται, καὶ ἢ κυρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχῃ. Πρὶν δὲ ἐπιμελῶς καὶ μετὰ πίστεως ἕκαστα ἐξετασθῇ, ὁ μὴ ἔχων τὴν κοινωνίαν πρὸ τῆς διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει ἐκδικεῖν τὴν κοινωνίαν. Ἐὰν δὲ, συνεληλυθότες τῶν κληρικῶν τινες, κατίδωσι τὴν ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ, ἐπειδὴ οὐ προσῆκόν ἐστιν, ὕβριν, ἢ μέμψιν ἄδικον ὑπομένειν, πικροτέροις καὶ βαρυτέροις ῥήμασι ἐπιστρέφειν τοῦτον ὀφείλουσιν, ἵνα τῷ τὰ πρέποντα κελεύοντι ὑπηρετῶνται, καὶ ὑπακούωσιν. Ὥσπερ γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφείλει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, τὸν αὐτὸν τρόπον καὶ οἱ ὑποτεταγμένοι (6) ἄδολα τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν.

---

(1) ὅσιος . . . οὐκ ὀφείλω, οὐ κεῖται ἐν Π. παρὰ Βευερ. Χ. Τρ. — (2) Σ. Ῥ. — ταχέως, οἱ λοιποί. — (3) Σ. Ῥ. — τινὰ, οἱ λοιποί. — (4) πάντες . . . εἰρήκασιν, οὐ κεῖται ἐν Π. — (5) Π. Χ. Τρ. Κ. Ἑ. Βρ. Σ. Ῥ. — μὴ ἔχειν Βευερ. — (6) Χ. Τρ. Βρ. Ἑ. Κ. — οἱ ὑπηρετούμενοι Π. Βευερ.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος, φασὶν οἱ Πατέρες, ὀξύχολος ᾖ, ἤτοι ὀργίλος, εἰ καὶ οὐκ ἐνδέχεται τοιούτους εἶναι τοὺς ἐπισκόπους, καὶ κινηθεὶς εἰς θυμὸν κατὰ διακόνου ἢ πρεσβυτέρου, ἐκβάλῃ τῆς ἐκκλησίας τοῦτον, ἤγουν ἀφορίσῃ, προνοητέον, ἤτοι φροντιστέον, μὴ ἀθρόως, ἤγουν αἰφνηδίως καὶ χωρὶς σκοποῦ τὸν τοιοῦτον τῆς κοινωνίας ἀποστερεῖσθαι. Καταφευγέτω δὲ ὁ ἐκβληθεὶς(1) πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας, ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος, καὶ ἀξιούτω, ἵνα παρ' αὐτοῦ ἀκριβῶς ἐξετασθῇ τὸ πρᾶγμα, ἤτοι ἡ ἐπ' αὐτῷ πρᾶξις τοῦ ἐπισκόπου· οὐ χρὴ γὰρ παροράσθαι τοὺς αἰτουμένους, καὶ μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω, ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, ἵνα ἢ κυρωθῇ ἡ ἀπόφασις αὐτοῦ δικαία οὖσα, ἢ διορθωθῇ. Ὁ δὲ ἀφωρισμένος οὐκ ὀφείλει πρὸ τῆς διαγνώσεως ἀναιδῶς προσιέναι τῇ κοινωνίᾳ· ἐὰν δὲ ἴδωσιν αὐτόν τινες τῶν κληρικῶν τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου, ἐπαιρόμενόν τε καὶ ἀλαζονευόμενον κατὰ τοῦ ἀφορίσαντος αὐτὸν, ὀφείλουσιν ἐπιστρέφειν αὐτὸν, τουτέστιν εἰς ταπείνωσιν ἄγειν καὶ ὑποταγὴν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν, ὀνειδιστικοῖς δηλαδὴ καὶ ἐπεξελευστικοῖς· τοῦτο δὲ ποιεῖν ὀφείλουσιν, ὡς ὑπηρετοῦντες καὶ ὑπακούοντες τοῦ ἐπισκόπου αὐτῶν· ὥσπερ γὰρ, φησὶ, χρέος ἔχει ὁ ἐπίσκοπος ἐνδείκνυσθαι καθαρὰν διάθεσιν πρὸς τοὺς ὑπηρέτας, ἤτοι τοὺς κληρικοὺς αὐτοῦ, οὕτως ἀρίδηλόν ἐστι κἀκείνους ὀφείλειν τὴν ὑπηρεσίαν τοῖς ἐπισκόποις ἄδολον ἐκτελεῖν (2). Τὸ δὲ λέγειν τὸν κανόνα, μὴ ἐνδημοῦντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας, καταφεύγειν τὸν ἀφορισθέντα ἐπὶ τὸν πλησιόχωρον, οἶμαι μηδέποτε ἐνεργῆσαι· τέως δὲ νῦν οὐ γίνεται. Πῶς γὰρ παρ' ἑτέρου μητροπολίτου, ᾧ οὐχ ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, πεισθήσεται δοκιμασθῆναι, εἰ δικαίως ἀφώρισεν ἢ μή; Ζήτει καὶ τῆς ἐν Καρθαγένῃ κανόνα κθ'.

ΒΑΛΣ. Ἔμαθες ἀπὸ ἑτέρων κανόνων, ὅτι οὐκ ἔξεστι τοῖς ἐπισκόποις ἀκρίτως ἀφορίζειν τοὺς κληρικοὺς αὐτῶν. Ὁ δὲ παρὼν

(1) Χ. Τρ. — ὁ ἐγκληθεὶς Βευερ. καὶ Κ., ἀλλὰ λατινιστὶ ejectus.— (2) Βευερ. Κ. οὕτως ὀφείλουσιν ἄδολα καὶ αὐτοὶ τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν Χ. Τρ.

κανὼν φησιν, ὅτι, ἐὰν ἐπίσκοπος ὀξύχολος καὶ θυμώδης ὑπάρχων, κἂν οὐκ ἐνδέχεται τοιοῦτον εἶναι τὸν ἐπίσκοπον, ἀλλὰ πρᾷον καὶ μετριόφρονα, ἀφορίσῃ ἀπὸ θυμοῦ πρεσβύτερον αὐτοῦ, ἢ διάκονον, προνοητέον, ἤτοι φροντιστέον, μὴ ἀπεντεῦθεν τοῦτον καταχεκριμένον (1) λογίζεσθαι, ὥστε μὴ συγκοινωνεῖν, ἤγουν μὴ ἐνεργεῖν τὰ τῆς ἱερατείας μετὰ τῶν ἱερουργούντων. Ὁ γὰρ Κύριος, Λάβετε, εἶπε, Πνεῦμα ἅγιον· ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ὧν δ' ἂν κρατῆτε, κεκράτηνται· οὐ μὴν καὶ, τοὺς μὴ ἁμαρτάνοντας κολάζετε· ἀλλ' ἐχέτω ἐξουσίαν, ἀφορισθεὶς προσέρχεσθαι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας (2), ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, ἐφ' ᾧ συστάδην τηρηθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ. Εἰ δὲ οὐ πάρεστιν ὁ μητροπολίτης, ἀπελθέτω ὁ ἀφορισθεὶς εἰς τὸν πλησιόχωρον μητροπολίτην, ἐφ' ᾧ τηρηθῆναι παρ' ἐκείνου τὸ πρᾶγμα. Τούτου δὲ γενομένου, μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω, ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, καὶ καρτερείτω ἢ τὸν στηριγμὸν τοῦ ἀφορισμοῦ, ἢ τὴν διόρθωσιν. Ὡς δέ τινος εἰπόντος, μεγάλως ἐκ τούτου βοηθεῖσθαι τὸν ἀφορισθέντα εἰς τὸ μὴ ἐμποδίζεσθαι τὴν ἱερατικὴν αὐτοῦ ἐνέργειαν ἐκ τοῦ ἀφορισμοῦ, διὰ τοὺς κανόνας τοὺς λέγοντας, πρὸ καταδίκης ἐντελοῦς μηδένα τιμωρεῖσθαι, φησὶν ὁ κανὼν, ὅτι κἂν κοινωνικός ἐστιν ὁ ἀφορισθεὶς, καὶ τὰ τοῦ ἀφορισμοῦ ὑπὸ ἐξέτασιν ἔπεσον, ἀλλ' οὐκ ὀφείλει αὐτεκδίκητος γίνεσθαι καὶ ἱερουργεῖν πρὸ τοῦ δικαιωθῆναι· Ὁ γὰρ ἀθετῶν, φησὶν, ὑμᾶς, ἐμὲ ἀθετεῖ. Τοίνυν ὀφείλουσιν οἱ λοιποὶ κληρικοὶ, οἱ ἰδόντες τοῦτον ἱερουργοῦντα μετὰ τὸ ἀφορισθῆναι, ἐξυπεροψίας, ἤτοι ἀλαζονείας, ἐπιστρέφειν αὐτὸν εἰς ταπείνωσιν πικροτέροις ῥήμασιν, ἤτοι ὀνειδιστικοῖς, οὐ μὴν καὶ ὑβριστικοῖς· οὕτω γὰρ δόξουσιν ὑπήκοοι καὶ ὑπηρέται τῶν ἐπισκοπικῶν κελεύσεων· ὥσπερ γὰρ, φησὶ, χρέος ἔχει ὁ ἐπίσκοπος ἀγαπᾷν τοὺς κληρικοὺς αὐτοῦ, οὕτω· καὶ αὐτοὶ ὀφείλουσιν ἄδολον τὴν ὑπηρεσίαν ἀπονέμειν τοῖς ἐπισκόποις. Μὴ εἴπῃς δὲ πολλοῖς κανόσιν ἐναντιοῦσθαι τὸν παρόντα κανόνα

(1) κατακρινόμενον Βευερ. — (2) Χ. Τρ. = ἐκκλησίας Βευερ. Ἐ.

διοριζόμενον ἀνατρέχειν τὸν ἀφορισθέντα πρὸς τὸν πλησιόχωρον μητροπολίτην, εἴπερ ὁ ἐπαρχιώτης μητροπολίτης ἀποδημεῖ, ἐφ' ᾧ παρὰ τούτου κατεξετασθῆναι τὰ τοῦ ἀφορισμοῦ. Θεμάτισον γὰρ, ἢ ἐνταλθῆναι τὸν πλησιόχωρον ἀρχιερέα παρὰ τοῦ ἀποδημήσαντος μητροπολίτου τοιούτων ἀκροᾶσθαι ἐκκλησιαστικῶν ὑποθέσεων ἀνηκουσῶν τῇ ἐκείνου ἐνορίᾳ, ἢ αἱρετὸν καταστῆναι τοῦτον δικαστὴν παρά τε τοῦ ἐπισκόπου καὶ τοῦ κληρικοῦ· ἄλλως γὰρ οὐ δύναται ὁ πλησιόχωρος μητροπολίτης δικάζειν ἐπίσκοπον ἢ κληρικὸν ἑτέρας ἐπαρχίας, καθὼς καὶ ἐν τοῖς προλαβοῦσι κανόσιν εἰρήκαμεν. Πρὸς δὲ τὸν ἴσως ἐρωτήσοντά σε, πῶς οὐ τιμωρεῖ ὁ κανὼν τὸν μὴ ἐμμείναντα τῷ ἀφορισμῷ, ἀλλὰ καταφρονήσαντα τούτου καὶ ἱερουργήσαντα, εἰπὲ, ὅτι ὁ κ'. κανὼν τῆς παρούσης συνόδου γενικῷ τῷ λόγῳ καθαιρεῖσθαι διορίζεται τοὺς παραβαίνοντας τὰ ἐν ταύτῃ διορισθέντα, καὶ ὁ κθ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ἐκ μόνης ταύτης τῆς αἰτίας τὸν τοιοῦτον καταδικάζει, ὥσπερ ἂν εἰ εὐλόγως ἀφωρίσθη. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐκ ἔστιν ὑβριστικὸν τῷ ἐπισκόπῳ τὸ τὸν ἀφορισθέντα ζητεῖν κατεξετασθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ· καὶ ὅτι, κἂν ὅπως ἂν ἀφορισθῇ ὁ κληρικὸς, ὀφείλει δέχεσθαι τὸν ἀφορισμὸν, καὶ ἀναμένειν τὴν ἐξέτασιν. Θαυμάζω δὲ πῶς οὐ διωρίσαντο οἱ Πατέρες, τί ὀφείλει γίνεσθαι, ἐὰν ὁ πάπας, λόγου χάριν, ἀφορίσῃ κληρικὸν αὐτοῦ ἀνευλόγως, καὶ αἰτιᾶται μὲν τὸν ἀφορισμὸν ὁ κληρικὸς, οὐ δύναται δὲ πρὸς μείζονα σύνοδον ἀπελθεῖν καὶ προθεῖναι τὴν αἰτίασιν. Τὰ μέντοι ἐνταῦθα διορισθέντα χάριν πρεσβυτέρων καὶ διακόνων, ἐκληπτέον καὶ εἰς τοὺς λοιποὺς κληρικοὺς, ἀλλὰ μὴν καὶ λαϊκούς.

ΑΡΙΣΤ. Ὁ παρ' ὀξυχόλου κατάκριτος, ἐπικουρίας δεόμενος, οὐκ ἀνήκοος· ἄχρι δὲ τῆς ἐπικουρίας δηλαδὴ ἀκοινώνητος.

Ὁ παρ' ἐπισκόπου εἰς θυμὸν ὡς ἔτυχε κινουμένου ἀφορισθεὶς κληρικὸς, εἰ προσέλθῃ τῷ μητροπολίτῃ, ᾧ ὁ ἐπίσκοπος ὑπόκειται, ἐπὶ τὸ ἐξετάσαι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ, εἴτε εὔλογός ἐστιν, εἴτε καὶ μὴ, παραδεχθήσεται· πρὸ δὲ τοῦ ἐξετασθῆναι καὶ διαγνωσθῆναι, εἴτε καλῶς ἀφωρίσθη, εἴτε

καὶ μή, οὐ παραδεχθήσεται εἰς κοινωνίαν, ἀλλ' ἐν τῷ ἐπιτιμίῳ ἔσται.

## Κανὼν ΙΕ'.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο δὲ πάντες ὁρίσωμεν, ἵνα (1), εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ, ἀλλότριον ὑπηρέτην, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη κατάστασις νομίζοιτο. Εἴ τινες δ' ἂν τοῦτο ἑαυτοῖς ἐπιτρέψειαν, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν καὶ ὑπομιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν. Ἅπαντες εἰρήκασι· Καὶ οὗτος ὁ ὅρος ἔσται ἀσάλευτος. (2)

---

ΖΩΝΑΡ. Περὶ τούτου καὶ ὁ ις'. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ ὁ ιζ'. τῆς ς'. συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ νδ'. καὶ ϟ'. διαλέγονται, ἵνα μή τις ἐπίσκοπος ἑτέρου ἐπισκόπου κληρικὸν δέχηται, ἢ χειροτονῇ αὐτὸν εἰς μείζονα προάγων βαθμόν· εἰ δὲ χειροτονήσει, ἄκυρος ἡ χειροτονία εἴη, εἰ μὴ ὁ πρότερος ἐπίσκοπος τοῦ κληρικοῦ ἐκείνου ἐπιτρέψῃ τὴν χειροτονίαν· οἱ δὲ τοῦτο ἑαυτοῖς ἐπιτρέψαντες, τουτέστι τὸ οἰκειώσασθαι ἢ καὶ χειροτονῆσαι ἀλλότριον κληρικόν, ὀφείλουσιν ὑπομιμνήσκεσθαι περὶ τούτου, καὶ διορθοῦσθαι παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων. Ὁ δὲ ιζ'. κανὼν τῆς ς'. συνόδου, μεταγενεστέρας οὔσης παρὰ ταύτην τὴν σύνοδον, τοὺς ἔκτοτε χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου εἰς ἑτέραν μεταχωροῦντας ἐκκλησίαν καθαιρεῖσθαι κελεύει, καὶ τοὺς ὑποδεξαμένους αὐτούς.

ΒΑΛΣ. Ὁ ιζ'. κανὼν τῆς ς'. συνόδου, μεταγενέστερος ὤν, καθαιρεῖσθαι διορίζεται καὶ τοὺς δεξαμένους καὶ τοὺς δεχθέντας. Ἀνάγνωθι καὶ τῆς ἐν Νικαίᾳ συνόδου κανόνα ιέ. ις'. τῆς ἐν Καρθαγένῃ νδ'. καὶ ϟ'.

---

(1) Οὐ κεῖται παρὰ Βευερ. καὶ Χ. Τρ. — ὁρίζομεν ἵνα, Π. — (2) ἅπαντες . . . ἀσάλευτος, οὐ κεῖται ἐν Π.

ΑΡΙΣΤ. Τὸν ἀλλότριον ὑπηρέτην ἀλλότριος, δίχα τῆς ἐκείνου γνώμης, ἔμβαθμον καθιστὰς, καθίστησιν, ἀλλ' ἀβέβαιον.

Οὐ δεῖ ἐπίσκοπον ἀλλότριον κληρικὸν παραδέχεσθαι, καὶ εἰς βαθμόν τινα τάττειν αὐτὸν, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου. Εἰ δέ τις τοῦτο ποιήσει, καὶ τὸν ἀλλότριον ἐν τῷ ἰδίῳ κλήρῳ ἐγκαταστήσει· ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη ἔσται κατάστασις.

## Κανὼν Ις'.

Ἀέτιος ἐπίσκοπος εἶπεν· Οὐκ ἀγνοεῖτε ὁποία καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις. Πολλάκις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων ἐπαρχιῶν (1) πρεσβύτεροι καὶ διάκονοι παραγίνονται, καὶ οὐκ ἀρκούμενοι βραχέος (2) διαγωγῇ χρόνου, εναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιοῦντες διατελοῦσιν, ἢ μόλις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγκάζονται· περὶ τούτων οὖν ὁριστέον (3). Ὅσιος ἐπίσκοπος εἶπεν (4)· Οὗτοι οἱ ὅροι, οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

—

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει, καὶ τὰ ἤδη περὶ αὐτῶν ὡρισμένα τηρεῖσθαι διακελεύεται.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει· καὶ ἀνάγνωθι τὰ περὶ τούτου γραφέντα ἐν διαφόροις κανόσιν.

ΑΡΙΣΤ. Οἱ ἐπὶ τῶν ἐπισκόπων βραδύτητος ὅροι, καὶ ἐπὶ πρεσβυτέρων, καὶ διακόνων, ἔχουσι δύναμιν.

---

(1) Σ. Ῥ. Χ. Τρ. Βρ. Ἑ. Κ. — Ἐπειδὴ πολλάκις εἰς τὴν τῶν Θεσσαλονικέων μητρόπολιν ἀπὸ ἑτέρων ἐπαρχιῶν Π. — (2) βραχείᾳ Π. Ε. Κ. — (3) Ἅπαντες οἱ ἐπίσκοποι εἶπον, ἀρέσκει· προστίθησιν ἡ Σ. Ῥ. — (4) Περὶ τούτων... ἐπίσκοπος εἶπεν, οὐ κεῖται ἐν Π.

ὥρισται τὸν ἐπίσκοπον μὴ τὴν οἰκείαν ποίμνην καταλιμπάνειν, καὶ ἐν ἑτέρᾳ πόλει πλέον τριῶν ἑβδομάδων ἐνδιατρίβειν. Τοῦτο γοῦν καὶ ἐπὶ πρεσβυτέρων, καὶ διακόνων, ὁ παρὼν ὁρίζει κανὼν, τὸ μὴ πλέον τριῶν ἑβδομάδων καὶ αὐτοὺς τῆς ἑαυτῶν ἐκκλησίας ἀπολιμπάνεσθαι.

## Κανὼν ΙΖ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· Ὑποβάλλοντος(1) καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ὀλυμπίου, καὶ τοῦτο (2) ἤρεσεν, ἵνα, εἴ τις ἐπίσκοπος βίαν ὑπομείνας ἀδίκως ἐκβληθείη, ἢ διὰ τὴν ἐπιστήμην, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν, καὶ φεύγων τὸν κίνδυνον, ἀθῶος καὶ καθωσιωμένος ὢν, εἰς ἑτέραν ἔλθοι πόλιν, μὴ κωλυέσθω (3) ἐκεῖ ἐπὶ τοσοῦτον διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς γεγενημένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ· σκληρὸν γὰρ καὶ βαρύτατον, ἐλασίαν ἄδικον ὑπομεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν· πλείστῃ γὰρ καλοκἀγαθίᾳ καὶ φιλοφρονήσει (4) ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος. Ἅπαντες εἰρήκασιν· Ἤρεσε καὶ τοῦτο (5).

—

ΖΩΝΑΡ. Ἀνωτέρω διαταξάμενοι οἱ τῆς συνόδου ταύτης Πατέρες, τοὺς ἀπιόντας εἰς ἑτέραν πόλιν ἔχουσαν ἐπίσκοπον μὴ πλέον τῶν τριῶν ἑβδομάδων ἐκεῖ διατρίβειν, ἐνταῦθά τισι καὶ ἐπὶ πολὺ προσμένειν συγχωροῦσιν. Οὗτοι δ' εἰσὶν οἱ ἀδίκως ἐκβαλλόμενοι τῶν ἐκκλησιῶν αὐτῶν, ἢ διὰ τὴν ἐπιστήμην, ἤγουν ὡς ἐπιστάμενοι τὴν τῶν δογμάτων τῆς πίστεως ἀκρίβειαν, καὶ ταύτην διδάσκοντες, καὶ παρὰ αἱρετικῶν ἐλαυνόμενοι, οἷα γεγόνασι παρὰ τῶν Ἀρειανῶν ἐπὶ τοῦ Κωνσταν-

(1) ὑπερβάλλοντος Βρ. — (2) Βρ. Σ. Ῥ. Ε. Κ. — τὰ ἀπὸ τοῦ ὅσιος, ἕως τοῦ, καὶ τοῦτο, οὐ κεῖται ἐν Π. παρὰ δὲ Βευερ. καὶ ἐν Χ. Τρ. οὕτω· Καὶ τοῦτο ἤρεσεν, ἵνα κτλ. — (3) κωλύηται Βευερ. Χ. Τρ. — (4) Π. Ἐ. Κ. Σ. Ῥ. — φιλοφροσύνῃ Χ. Τρ. Βευερ. — (5) Ἅπαντες . . . τοῦτο, οὐ κεῖται ἐν Π.

τίου καὶ τοῦ Οὐάλεντος, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ὡς ὁμολογοῦντες ὅσα ἡ καθολικὴ ἐκκλησία, ἤγουν τὴν ἔνσαρκον οἰκονομίαν, καὶ ὅτι Θεὸς ἀληθινός ἐστιν ὁ Χριστὸς, καὶ διωκόμενοι πάλαι μὲν παρὰ τῶν παλαιοτέρων βασιλέων, ὕστερον δὲ καὶ παρὰ τοῦ Ἰουλιανοῦ· ἢ ὡς ὑπὲρ τῆς ἀληθείας λέγοντες, καὶ ἀδικουμένων καὶ καταδυναστευομένων ὑπερμαχοῦντες, οἷα τῷ μεγάλῳ Βασιλείῳ γεγόνασι, καὶ τῷ Χρυσοστόμῳ, καὶ ἄλλοις πολλοῖς. Τὸν γοῦν οὕτω διωκόμενον ἐκ τῆς ἐκκλησίας αὐτοῦ ἀδίκως, ἀνάγκη εἰς ἑτέραν πόλιν ἀπιέναι φεύγοντα τὸν κίνδυνον, ἀθῶον μὲν ὄντα, κατὰ τὸ εὐθές τε καὶ δίκαιον, καθωσιωμένον δὲ, διὰ τὴν δυναστείαν τῶν διωκόντων αὐτόν· καθωσιωμένος δ' ἐστὶν ὁ ἀφωρισμένος εἰς κόλασιν· τὸν τοιοῦτον, φησὶν ὁ κανὼν, μὴ κωλύεσθαι διατρίβειν ἐν ἑτέρᾳ πόλει, ἕως ἂν εἰς τὴν οἰκείαν ἐπανέλθῃ πόλιν, τὸν φόβον τοῦ κινδύνου διαφυγὼν, ἢ τῆς ὕβρεως τῆς γενομένης αὐτῷ ἀπαλλαγείς. Ὕβριν δὲ, οἶμαι, τὴν ἀπέλασιν τὴν ἐκ τοῦ θρόνου αὐτοῦ ὀνομάζει· σκληρὸν γάρ, φησι, καὶ βαρύτατον, τὸν ἀδίκως τῆς πόλεως αὐτοῦ ἀπελαθέντα, μὴ ὑποδέχεσθαι παρὰ τῶν συνεπισκόπων μετὰ πολλῆς τῆς φιλοφροσύνης καὶ ἀγαθότητος, ἤγουν προθύμως καὶ ἱλαρῶς.

ΒΑΛΣ. Διαφόρων κανόνων διοριζομένων μὴ διάγειν ἐπίσκοπον εἰς ἑτέραν ἐνορίαν ἐπέκεινα τοῦ νενομισμένου καιροῦ, ἄρτι φασὶν οἱ Πατέρες, τοῦτο μὴ κρατεῖν εἰς τοὺς ἐπισκόπους τοὺς ἐκβαλλομένους ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν, ἢ διὰ τὴν ἐπιστήμην, τουτέστι, τὴν περὶ τὰ θεῖα δόγματα σπουδαίαν διδασκαλίαν, ἢ διὰ τὸ ὁμολογεῖν τὴν ὀρθόδοξον πίστιν, ἢ διὰ τὸ ἐκδικεῖν τοὺς ἠδικημένους, κἀντεῦθεν διὰ μεγάλην αἰτίαν, καὶ ὡς φεύγοντας τὸν κίνδυνον, λογιζομένους μὲν καθωσιωμένους παρὰ τῶν ἐκβαλλόντων αὐτοὺς, ὄντας δὲ τῇ ἀληθείᾳ ἀθώους· ἀλλ' ἔστωσαν καὶ εἰς ἑτέρας πόλεις ἀκωλύτως, ἕς τ' ἂν ἡ ἀπειλὴ τοῦ κινδύνου παυθῇ, καὶ δυνηθῇ ὁ ἐπίσκοπος εἰς τὴν λαχοῦσαν αὐτὸν ἀπελθεῖν, ἢ ἐκδικηθῇ ἡ ἐκ τῆς ἀπελάσεως ἐπιγενομένη τούτῳ ὕβρις· σκληρὸν γὰρ καὶ ἀφιλάδελφόν ἐστι, μὴ φιλοφρονεῖσθαι μετὰ πάσης ἀγαθότητος τὸν τοιοῦτον παρὰ τῶν συναδελφῶν αὐτοῦ. Ὥστε σημείωσαι, ὅτι οὐκ ὀφείλουσιν ἀπὸ τῆς βασιλευού-

σης τῶν πόλεων ἐκβάλλεσθαι οἱ ἀνατολικοὶ ἐπίσκοποι οἱ μὴ ἔχοντες καθίσματα, ὡς τῶν ἐκκλησιῶν αὐτῶν κατεχομένων παρὰ τῶν ἐθνῶν· καὶ οἱ παρὰ τῶν ἀδίκων πρακτόρων διωκόμενοι, διὰ τὸ λέγειν ὑπὲρ τῶν ἀδικουμένων.

ΑΡΙΣΤ. Ἀδίκως ἐπίσκοπος ἐλαυνόμενος, εἰ ἐπὶ τῆς ἀλλοτρίας διάγοι, δεκτέος, ἕως τὴν ὕβριν ἐπανασώσαιτο.

Τὸν τύφον καὶ τὴν ἀλαζονείαν οἱ Πατέρες κωλύοντες προσέταξαν, μὴ ἐφ' ἱκανὸν καιρὸν ἐπίσκοπον ἐν ἀλλοτρίᾳ ἐπισκοπῇ διατρίβειν. Εἰ δέ τις, ἢ διὰ τὴν ὁμολογίαν τῆς ἡμετέρας πίστεως, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδίκησιν, τῆς ἰδίας πόλεως ἐκβληθείη, καὶ εἰς ἑτέραν ἀπέλθῃ πόλιν, οὐ κωλυθήσεται ἐκεῖ διάγειν, μέχρις ἂν ἀπαλλαγὴν εὑρεῖν δυνηθῇ τῆς πρὸς αὐτὸν γενομένης ὕβρεως.

## Κανὼν ΙΗ'(1).

Γαυδέντιος ἐπίσκοπος εἶπεν· Οἶδας, ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε κατασταθέντος σου ἐπισκόπου, ἡ εἰρήνη λοιπὸν ἐβράβευσεν· ἵνα μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιαστικῶν (2) ἐναπομείνῃ, ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου κατασταθέντας, καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία αἰτία εὑρίσκοιτο, πάντας ὑποδεχθῆναι.

## Κανὼν ΙΘ'(3).

Ὅσιος ἐπίσκοπος εἶπε· Τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη (4)· Ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν οἶκτον, ἅπαξ τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, ἐὰν μὴ βούλοιντο (5) ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ

(1) ιθ'. τοῦ Χ. Ρ. — οὐ κεῖται ὁ κανὼν ἐν Π. — (2) Χ. Τρ. Βρ. Σ. Ρ. Ε. Κ. — περὶ τῶν ἐκκλησιῶν Βευερ. — (3) ιη'. ἐν Π. — (4) Ὅσιος . . . ἐστιν αὕτη, οὐ κεῖται ἐν Π. — ἐν δὲ Χ. Τρ. παραλείπεται τὸ, τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη. — (5) ἐὰν βούλοιντο . . . τοῦ λοιποῦ δὲ μὴ ὑποδέχεσθαι Χ. Τρ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν δὲ μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐπίσκοπον νομίζεσθαι· εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι (1) αὐτοῖς ἀρνεῖσθαι. Πάντες εἶπον· Ἀρέσκει (2).

—

ΖΩΝΑΡ. Ὁ Μουσαῖος καὶ ὁ Εὐτυχιανός, ὧν οἱ κανόνες οὗτοι μέμνηνται, καὶ ἕτεροι, ὡς ἐπίσκοποι, κληρικούς τινας ἐν ἐκκλησίαις κατέστησαν. Περὶ τούτων οὖν ὁ Ὅσιος ἔφη, ὅτι οἱ ὑπό τινων ἀδελφῶν ἡμῶν εἰς κλῆρον ἐκκλησιαστικὸν καταστάντες ἔςωσαν κληρικοὶ ἐν αἷς κατέςησαν ἐκκλησίαις· εἰ γὰρ καὶ οἱ καταστήσαντες αὐτοὺς οὐκ ἔμελλον εἶναι ἐπίσκοποι δι' αἰτίας τινάς, ὅμως ὅτε κατέταξαν αὐτούς, ἐπισκοπικὰ δίκαια εἶχον ὡς κεχειροτονημένοι, καὶ διὰ τοῦτο ἐδέξατο καὶ τοὺς παρ' αὐτῶν χειροτονηθέντας ἡ σύνοδος. Εἰ δὲ μὴ βούλονται ἐπανελθεῖν εἰς τὰς ἐκκλησίας, ὧν ὠνομάσθησαν κληρικοί, μηκέτι ὑποδεχέσθωσαν ἐν ἄλλαις δηλαδὴ ἐκκλησίαις. Ὁ δὲ Εὐτυχιανὸς καὶ ὁ Μουσαῖος ἐπισκόπου δίκαια ἢ ὄνομα μὴ ζητείτωσαν· εἰ δὲ ὡς λαϊκοὶ βούλονται κοινωνεῖν, οὐ χρὴ αὐτοὺς ἀποπέμπεσθαι.

ΒΑΛΣ. Ὁ Μουσαῖος καὶ ὁ Εὐτυχιανὸς ἀχειροτόνητοι ὄντες, ὡς ἐπίσκοποι κληρικούς τινας ἐχειροτόνησαν. Τοῦ γοῦν Γαυδεντίου ζητήσαντος διὰ τὴν κατὰ Θεὸν εἰρήνην δεχθῆναι τοὺς παρὰ τούτων χειροτονηθέντας, ὡς μηδὲ εἴδησιν ἔχοντας τοῦ κακοῦ, ἕτερος ἐπίσκοπος, Ὅσιος ἐπονομαζόμενος, ἀπελογήσατο, ὡς, εἰ καὶ ὀφείλομεν εἶναι φιλάνθρωποι καὶ μετριόφρονες, ἀλλ' ἐκείνους εἰς κλῆρον δεξόμεθα τοὺς ἱερωθέντας παρά τινων τῇ ἀληθείᾳ μὲν ὄντων ἐπισκόπων, διά τινα δὲ ἴσως πταίσματα ἐκβληθέντων ἀπὸ τῶν λαχουσῶν αὐτούς, ἐὰν τέως καὶ αὐτοὶ οἱ κληρικοὶ καλοθελῶς ἀπέρχωνται πρὸς ἃς ἐκληρώθησαν ἐκκλησίας· τοῖς δὲ παρὰ τοῦ Εὐτυχιανοῦ καὶ τοῦ Μουσαίου κληρωθεῖσι δῆθεν, ὡς λαϊκοῖς συγκοινωνήσομεν· ὅτι οὐδὲ ὄνομα ἐπισκόπου δύνανται ἐκδικεῖν οἱ αὐτοὺς τάχα χειροτονήσαν-

---

(1) οὐ χρὴ Χ. Τρ. — (2) οὐ κεῖται τὸ, πάντες εἶπον ἀρέσκει, ἐν Π. καὶ Χ. Τρ.

τες. Ὥστε σημείωσαι, ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οὐδένα προχριματισμὸν ὑπέστησαν οἱ παρά τινων καθαιρεθέντων ἢ καὶ ἀναθεματισθέντων κληρωθέντες. Τὰ δὲ περὶ τοῦ Μουσαίου καὶ τοῦ Εὐτυχιανοῦ ἕλκυσον καὶ εἰς ἄλλους μὴ χειροτονηθέντας καὶ πλασαμένους χειροτονηθῆναι (1). Περὶ δὲ τῶν βαπτισθέντων παρὰ ἀνιέρων, οὐκ ἔχω τί σοι εἰπεῖν ἀναμφίβολον. Εὑρίσκεται γὰρ εἰς τὸν βίον τοῦ ἁγίου Ἀθανασίου, ὅτι παιδία τινὰ παρὰ τῷ χείλει τῆς θαλάσσης ἐν τῇ ἄμμῳ παρὰ τοῦ ἁγίου βαπτισθέντα κατὰ λόγον παιδιᾶς, ὅτι καὶ αὐτὸς παιδίον τῷ τότε ἦν, ἐδέξατο ὁ κατὰ χώραν ἐπίσκοπος, καὶ ὡς ἤδη βαπτισθέντα διὰ μύρου χρίσας, ἀπέλυσε. Φέρεται δὲ καὶ εἰς τὸν βίον τοῦ ἁγίου Πορφυρίου, ὅτι οὐκ ἐβαπτίσθη παρὰ ὀρθοδόξου, ἀλλὰ σκηνικὸν βίον ὑποκρινόμενος παρὰ αἱρετικοῦ σκηνικοῦ διὰ ὕδατος κατάβροχος γέγονεν, ὡς τάχα βαπτισθείς· καὶ οἱ μὲν παρεστῶτες αἱρετικοί, τὸ γεγονὸς ἔσχον γέλωτος ἀφορμήν, αὐτὸς δὲ μαρτυρίου· εἶδε γὰρ ἀγγέλους μετὰ λαμπάδων προπορευομένους ἔμπροσθεν αὐτοῦ, καὶ τό, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, βοῶντας· κἀντεῦθεν ἀπὸ σκηνικοῦ μάρτυς γέγονεν.

*Ἑτέρα ἑρμηνεία.* (2)

Ἐντὸς μὲν ἐγράφησαν ὅσα δῆτα καὶ ἐγράφησαν χάριν τῶν βαπτισθέντων παρὰ ἀνιέρων (3). Τοῦ δὲ μητροπολίτου Ἡρακλείας κυροῦ Μανουὴλ ἐρωτήσαντος συνοδικῶς, εἰ χρὴ δεχθῆναι ὡς πιστὸν *βεβαπτισμένον, τὸν* (4) παρὰ ἀνιέρου τινὸς πλασαμένου τὸ ἱερατεύειν βαπτισθέντα κατὰ τὴν ἐνορίαν αὐτοῦ, ἐδέησε καὶ ἡμᾶς εἰπεῖν τὸ δοκοῦν ἡμῖν, καὶ εἴπομεν ταῦτα· Οἱ θεοκήρυκες ἅγιοι Ἀπόστολοι, δι' ἐπισκόπων καὶ πρεσβυτέρων τὸν ἀπὸ τοῦ θείου βαπτίσματος ἁγιασμὸν δίδοσθαι τοῖς πιστοῖς διωρίσαντο. Φασὶ γὰρ ἐν μϛ'. καὶ μζ'. κανόνι ταῦτα

(1) Χ. Τρ. — χειροτονίαν Ἑ. Βευερ. —(2) Ἡ 6'. αὕτη ἑρμηνεία οὐ κεῖται παρὰ Ἑ. ὁ δὲ Βευερ. δημοσιεύει αὐτὴν ἐν ταῖς σημειώσεσιν αὐτοῦ, ἀνευρὼν αὐτὴν ἐν τῷ Βοδληϊανείῳ καὶ τῷ Ἀμερβαχείῳ Κώδηξι· οὐχ εὕρηται δὲ ἐν πᾶσι τοῖς χειρογράφοις, ὡς προστεθεῖσα ἀκολούθως ὑπὸ τοῦ Βαλσαμῶνος μετὰ τὴν ὁλικὴν τῶν κανόνων ἐξήγησιν. — (3) παρὰ αἱρετικῶν Βευερ. — (4) τὰ ἐντὸς τῶν *οὐ κεῖται παρὰ Βευερ.

ῥητῶς· Ἐπίσκοπον, ἢ πρεσβύτερον, αἱρετικῶν δεξαμένους βάπτισμα, ἢ θυσίαν, καθαιρεῖσθαι προστάσσομεν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Ὁ γοῦν λέγων, μὴ ὀφείλειν βαπτισθῆναι τὸν παρὰ λαϊκοῦ ψευδοϊερέως βαπτισθέντα, καὶ μὴ ἁγιασθέντα κατὰ ἀλήθειαν, προφανῶς ἐναντιοῦται, κατὰ τὸ ἐμοὶ τέως δοκεῖν, τοῖς τοιούτοις κανόσι· δέχεται γὰρ παρὰ τὴν τούτων περίληψιν λαϊκοῦ ψευδοϊερέως ἐπίπλαστον βάπτισμα. Ὅτι δὲ μόνοις ἐπισκόποις καὶ ἱερεῦσιν ἡ τοῦ ἁγίου βαπτίσματος ἐνεδόθη τελετή, δῆλόν ἐστιν ἀπὸ τοῦ κϛ'. κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου, λέγοντος, ὅτι οὐ δεῖ ἐφορκίζειν τοὺς μὴ προσδεχθέντας ὑπὸ ἐπισκόπων· καὶ τοῦ μϛ'. κανόνος τῆς αὐτῆς συνόδου, τοὺς φωτιζομένους τὴν πίστιν ἀπαγγέλλειν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις διοριζομένου, οὐ μὴν τοῖς λαϊκοῖς. Ὥσπερ τοίνυν τοὺς ἀμφιβαλλομένους εἰ ἐβαπτίσθησαν, βαπτίζειν ἀπροκριματίστως ὡρίσθημεν ὑπὸ τοῦ οβ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, κἂν καὶ τῇ ἀληθείᾳ βαπτίσματος ἔτυχον, οὕτω καὶ τὸν βαπτισθέντα παρὰ ἀνθρώπου μὴ λαβόντος ἐξουσίαν βαπτίζειν, καὶ διὰ τοῦ βαπτίσματος ἀφιέναι ἁμαρτίας, (ῥυπτικὸν γάρ, φησιν, ἁμαρτημάτων τὸ βάπτισμα), ἀκινδύνως καὶ χωρίς τινος προσκόμματος βαπτίζειν ὀφείλομεν· μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ τοῦτον τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος καθάρσεως. Εἰ δέ τις λέγει διὰ τὴν γενομένην ἀνάγνωσιν τῶν ἁγίων εὐχῶν παρὰ τοῦ λαϊκοῦ, καὶ τὴν τοῦ ἁγίου μύρου χρίσιν, ὀφείλειν ἀληθὲς τοῦτο βάπτισμα λογίζεσθαι, εἴπῃ πάντως καὶ τοὺς κληρωθέντας παρὰ ἐπισκόπων πλαστῶς (1) καὶ μὴ κατὰ ἀλήθειαν χειροτονηθέντων, ὀφείλειν εἶναι καὶ μετὰ διάγνωσιν τοῦ κακοῦ κληρικούς, ὅπερ ἐστὶν ἄτοπον καὶ ὑπεναντίον τῷ δ'. κανόνι τῆς ἁγίας καὶ οἰκουμενικῆς β'. συνόδου τῷ ταῦτα διαταττομένῳ ῥητῶς· Περὶ Μαξίμου τοῦ κυνικοῦ καὶ τῆς κατ'

(1) Χ. Τρ. = πλαστοῦ Βιυερ.

αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γενομένης, ὥστε καὶ μήτε τὸν Μάξιμον ἐπίσκοπον γενέσθαι ἢ εἶναι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων τῶν περὶ αὐτὸν, καὶ τῶν παρ' αὐτοῦ γενομένων, ἀκυρωθέντων· καὶ τῷ ιή. κανόνι τῆς ἐν Σαρδικῇ, τῷ διοριζομένῳ τοὺς παρὰ τοῦ Μουσαίου καὶ Εὐτυχιανοῦ κληρωθέντας, ὡς λαϊκοὺς μόνον δεχθῆναι, ὡς κληρικοῖς δὲ αὐτοῖς μὴ κοινωνεῖν, διὰ τὸ τὸν Μουσαῖον καὶ τὸν Εὐτυχιανὸν ἀχειροτονήτους εἶναι. Ὡς γοῦν οὐκ εἰσὶ κληρικοὶ οἱ παρὰ τοῦ ἀνιέρου Μαξίμου, καὶ τοῦ Εὐτυχιανοῦ, καὶ τοῦ Μουσαίου χειροτονηθέντες, οὕτως οὐδὲ βεβαπτισμένος λογισθήσεται ὁ παρὰ ἀνιέρου βαπτισθῆναι λεγόμενος· διὸ καὶ τοῦ ἀληθοῦς βαπτίσματος ἀπροκριματίστως ἀξιωθήσεται (1). Εἰ γὰρ μὴ τοῦτο εἴπωμεν, οὐ μόνον τοῖς ἱεροῖς καὶ θείοις κανόσιν ἐναντιωθησόμεθα, ἀλλὰ καὶ ἀναγκασθησόμεθα λέγειν πιστοὺς διὰ τὴν τοῦ ἁγίου μύρου τιμὴν, καὶ τοὺς ἀπὸ μακρᾶς συνηθείας βαπτιζομένους Ἀγαρηνοὺς ἵνα μὴ ὄζωσιν· ὡσαύτως καὶ τοὺς παρὰ ἀνιέρων χριομένους τῷ ἁγίῳ μύρῳ, λογίζεσθαι καὶ εἶναι βεβαπτισμένους κυρίως καὶ ἀληθῶς, καὶ διδόναι ἁγιασμὸν τοὺς μὴ λαβόντας ἐξουσίαν αὐτοὺς ἀπὸ τῆς τοῦ παναγίου Πνεύματος χάριτος· ὅπερ ἐμοὶ τέως οὐκ ἔστιν ἀνεκτόν. Εἰ δέ τις ἀνθυποφέροι μοι τὸ ἐπὶ τῶν ἡμερῶν τοῦ μεγάλου ἁγίου Ἀθανασίου γεγονὸς, γέγραπται γὰρ τοὺς παρ' αὐτοῦ ἐν παιδικῇ ἡλικίᾳ βαπτισθέντας ἐπὶ τῆς θαλασσίου ψάμμου δεχθῆναι ὡς βεβαπτισμένους, καὶ τὸ ἐπὶ τῷ ἁγίῳ Πορφυρίῳ τελεσιουργηθὲν παρὰ σκηνικοῦ κατὰ λόγον παιγνίου βαπτισθέντι, κἀντεῦθεν μαρτυρικοῦ στεφάνου ἀξιωθέντι, ὡς ἰδόντι τηνικαῦτα θείους ἀγγέλους μετὰ λαμπάδων προπορευομένους αὐτοῦ, καὶ τὸ, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, βοῶντας, ἀντιθήσω τούτῳ νομικὸν κανόνα, λέγοντα, Τὸ παρὰ κανόνας οὐχ ἕλκεται πρὸς ὑπόδειγμα. Ἂν γοῦν ὁ βαπτίσας ἀνίερος θείας χάριτος ἠξιώθη οἵας καὶ ὁ μέγας Ἀθανάσιος, καὶ ὁ ἅγιος Πορφύριος, δεξόμεθα καὶ ἡμεῖς τὸ παρὰ τούτου γενόμενον βάπτισμα· εἰδ' οὐκ ἔστι

(1) τὸ ἀληθῶς βάπτισμα ἀποκριματίστως βαπτισθήσεται Βευερ.

τοῦτο, τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ἐξ ἀνάγκης ἀκολουθήσομεν.

ΑΡΙΣΤ. Ἄδεκτος ὁ κληρικὸς ὁ μὴ τελῶν εἰς τὴν ἐκκλησίαν, ἐν ᾗ κεκλήρωται. Εὐτυχιανὸς μέν τοι, καὶ Μουσαῖος, ἐπισκόπου κλῆσιν οὐκ ἐκδικήσουσι· κοινωνίας μέν τοι κατὰ τοὺς λαϊκούς, ἐὰν θέλωσιν, ἐπιτεύξονται.

Ὑπὸ τῶν συνόδων σχεδὸν πασῶν, καὶ ἐν πολλοῖς κανόσιν ὥρισται, τὸ, μὴ ὑποδέχεσθαι τοὺς ἀλλοτρίους κληρικοὺς παρ' ἐπισκόπων ἑτέρων, καὶ ὑπὸ ἐκκλησιαστικὸν βαθμὸν προάγειν αὐτούς· τοῦτο γοῦν καὶ ὁ παρὼν διδάσκει κανών. Εὐτυχιανὸν μέντοι, καὶ τὸν Μουσαῖον, σχισματικοὺς γενομένους, καὶ καθαιρεθέντας, ὁρίζει, εἰ μεταμεληθῶσι, καὶ τὸ τῆς ἐπισκοπῆς διεκδικοῦσιν ἀξίωμα, ἢ τὸ ὄνομα μὴ εἰσακουσθῆναι, ὡς λαϊκοὺς μέντοι, εἰ βούλονται, εἰς κοινωνίαν παραδεχθῆναι.

## Κανὼν Κ΄(1).

**Γαυδέντιος ἐπίσκοπος εἶπε· Ταῦτα σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα, καὶ πρεπόντως τῇ ἐπιτιμίᾳ ἡμῶν τῶν ἱερέων, καὶ Θεῷ ἀρέσαντα καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ δυνήσονται, ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθήσῃ· ἴσμεν γὰρ καὶ αὐτοὶ, πλεονάκις διὰ τὴν ὀλίγων ἀναισχυντίαν τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐληλυθέναι. Εἰ τοίνυν τις παρὰ τὰ πᾶσι (2) δόξαντα τολμήσοι, σπουδάζων τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ, ἢ τῷ Θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστασθαι, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν. Ἅπαντες ἀπεκρίναντο· Πρέπει καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη (3).**

—

(1) κκ΄. ἐν Σ. Ῥ. — ιθ΄. ἐν Π. — Γαυδέντιος... εἶπε, οὐ κεῖται ἐν Π. — (2) τὰ παρὰ πᾶσι Βευερ. — (3) ἅπαντες... γνώμη, οὐ κεῖται ἐν Π.

ΖΩΝΑΡ. Ταῦτα, φησὶν ὁ κανὼν, ἐπὶ σωτηρίᾳ ὁρισθέντα, καὶ κατὰ τὸ πρέπον τῇ τάξει καὶ τῇ τιμῇ τῇ ἱερατικῇ, καὶ θεάρεςα ὄντα, καὶ ἀνθρώποις ἀποδεκτὰ, οὐκ ἰσχύσουσιν, οὐδὲ κρατήσουσιν, εἰ μὴ καὶ φόβος κολάσεων καὶ ἐπιτιμίων ταῖς ἀποφάσεσιν ἐπακολουθήσει, ὥστε φοβεῖσθαι τοὺς παραβαίνοντας, ὅτι ἐπιτιμηθήσονται. Γινώσκομεν γὰρ, ὅτι πολλάκις τινῶν ὀλίγων ἐξ ἀναισχυντίας παραβαινόντων τοὺς κανόνας, καταγινώσκεται τὸ θεῖον ὄνομα τῆς ἱερωσύνης, οὐ τῶν ἁμαρτανόντων ἱερέων μόνον βλασφημουμένων, ἀλλ' ὁμοῦ πάντων· διὰ γὰρ τῆς ἱερωσύνης, πάντας τοὺς ἱερεῖς ἐνέφηνεν. Εἰ οὖν τολμήσει τις ἄλλο τι διαπράξασθαι παρὰ τὰ δόξαντα πᾶσιν, ἀλαζονευόμενος καὶ ἐπαιρόμενος, καὶ μὴ σπεύδων τῷ Θεῷ ἀρέσαι, γινωσκέτω ὑπεύθυνον ἑαυτὸν καθιστᾷν (1) ἐγκλήματι ἀπολογίας, τουτέστιν, οὐ μονομερῶς καταχριθήσεται, ἀλλὰ καὶ ἑλκυσθήσεται εἰς δικαστήριον, καὶ ὡς ἔγκλημα ποιήσας, ἀπολογήσασθαι ἀπαιτηθήσεται, καὶ ἀποβαλεῖ ἀξίωμα, ἤγουν στερηθήσεται τῆς τιμῆς τοῦ ἀξιώματος τῆς ἐπισκοπῆς, ἤγουν καθαιρεθήσεται.

ΒΑΛΣ. Περὶ διαφόρων ἐκκλησιαστικῶν ζητημάτων ὁροθετήσαντες οἱ Πατέρες ἐν τῇ τοιαύτῃ συνόδῳ, καὶ ἀναλογισάμενοι εὐκαταφρόνητα ἴσως γενέσθαι τὰ ὁρισθέντα, διὰ τὸ μὴ κατεμπεδωθῆναι αὐτὰ κολάσεσιν ἐκκλησιαστικαῖς ἐκ παραβάσεως, ὥρισαν, μετὰ διάγνωσιν (τοῦτο γάρ ἐστιν ἡ τοῦ ἐγκλήματος ἀπολογία) τοὺς ἀθετήσοντας τὰ ἐν τούτοις περιεχόμενα τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀπόλλειν. Εἶπε οὖν, ὡς ἐκ τῶν ῥημάτων τῶν κατακρινόντων τοὺς ἀθετητὰς τῶν διορισθέντων ὑπὸ τῆς συνόδου, οὐ μόνον οἱ ἱερωμένοι, ἀλλὰ καὶ οἱ λαϊκοὶ κολάζονται. Ἀπὸ μὲν γὰρ τοῦ εἰπεῖν τὸν κανόνα, τὴν τιμὴν τούτους ἀποβάλλειν, τοὺς λαϊκοὺς ἐδήλωσεν· ἀπὸ δὲ τοῦ θεσπίσαι ἀπόλλειν αὐτοὺς τὸ ἀξίωμα τῆς ἐπισκοπῆς, ἐδήλωσε τοὺς ἱερωμένους· ἢ εἰπὲ περὶ ἱερωμένων μόνων ἐκφωνηθῆναι τὸν κανόνα, καὶ ἐκλαβοῦ τὸ, καὶ, τὸ προστεθὲν, ἀντὶ τοῦ, ἤτοι· καὶ λέγε, ἀποβάλλειν τοὺς ἀθετητὰς τὴν τιμὴν, ἤτοι τὸ ἀξίωμα τῆς ἐπισκοπῆς.

(1) Χ. Τρ. — ὅτι... καταστήσει Βευερ. Κ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΚΑ΄(1).

**Καὶ** τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις, ἤγουν καναλίῳ, καθεστώτων ἐπισκόπων, θεασάμενος ἐπίσκοπον, ἐπιζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται· καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν εἰς στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας, κἂν κεκλημένος ἀφικνῆται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο. Εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς εἴρηται (2) τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινων ἀξιώσεις σπουδάζοι ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ. Ἅπαντες εἶπον· Ὁριζέσθω καὶ τοῦτο (3).

---

ΖΩΝΑΡ. Καὶ τοῦτο γνώριμον γενήσεται· τοῦτο ποῖον; τὸ μὴ καταγινώσκεσθαι τὴν ἱερωσύνην διὰ τὴν ὀλίγων ἀναισχυντίαν· καὶ πληρωθήσεται, πῶς; ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσιν ὄντων δηλαδὴ ταῖς ἐν ταῖς δημοσίαις κειμέναις ὁδοῖς, ἤτοι καναλίῳ, δι᾽ ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς δίεισιν ἐν ὑδραγωγείῳ τὸ ὕδωρ, (κανάλης γὰρ ἀγωγὸς ὕδατος λέγεται, ἡ δὲ λέξις Ῥωμαϊκή·) εἰ οὖν ἕκαστος ἡμῶν, φασι, θεασάμενος ἐπίσκοπον ἀπιόντα που, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται, καὶ διὰ τί, καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται· καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ζ΄. καὶ ἠ. καὶ θ΄. κανόνι τῆς συνόδου ταύτης. Καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· εἰ δέ ποι ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι ἐν ἄλλῃ πόλει,

---

(1) Χ. Τρ. Βευερ. Ἑ. Κ. — κ΄. ἐν Π. — οὐ κεῖται δὲ Βρ. — (2) προείρηται Χ. Τρ. Βευερ. —(3) ἅπαντες... καὶ τοῦτο, οὐ κεῖται ἐν Π. — (4) ἀντὶ τοῦ τοῦτο, ποῖον; τὸ Χ. Τρ. γράφει, ἤγουν.

καὶ (1) καταισχύναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πεπόρευται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν αἰτήσεις ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. Εἴρηται γὰρ ἐν τῷ ἑνδεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι, εἰ μὴ γράμματα κομίζηται τοῦ μητροπολίτου τῆς ἐπαρχίας, καὶ τῶν ἐπισκόπων αὐτῆς· τὸν δὲ μὴ οὕτω ποιοῦντα, ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ.

ΒΑΛΣ. Καὶ τοῦτο γνώριμον γενήσεται, τοῦτο, ποῖον; τὸ μὴ καταγινώσκεσθαι τὴν ἱερωσύνην, διὰ τὴν τῶν ὀλίγων ἀναισχυντίαν· καὶ πληρωθήσεται· πῶς; ἐὰν ἕκαστος ὑμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσιν ὄντων δηλαδὴ ταῖς ἐν ταῖς δημοσίαις κειμέναις ὁδοῖς, ἤτοι καναλίῳ, δι' ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς δίεισιν ἐν ὑδραγωγείῳ τὸ ὕδωρ, (κανάλις γὰρ ἀγωγὸς ὕδατος λέγεται, ἡ δὲ λέξις Ῥωμαϊκή), θεασάμενος ἐπίσκοπον ἀπιόντα που, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται, καὶ διὰ τί, καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται. Καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ἑβδόμῳ, καὶ ὀγδόῳ, καὶ ἐννάτῳ κανόνι τῆς συνόδου ταύτης· καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· εἰ δέ που ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι ἐν ἄλλῃ πόλει, καὶ καταισχύναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πορεύεται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν αἰτήσεις ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. Εἴρηται γὰρ ἐν τῷ ἑνδεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι, εἰ μὴ γράμματα κομίζηται τοῦ μητροπολίτου τῆς ἐπαρχίας,

(1) Χ. Ἐρ. = διαλέξασθαί τε καὶ καταισχύνας Κ. Βευερ.

καὶ τῶν ἐπισκόπων αὐτῆς, τὸν δὲ μὴ οὕτω ποιοῦντα, ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ· καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Νομίζω δὲ, ὅτι ἐκείνοις τοῖς ἐπισκόποις ἐνεδόθη πολυπραγμονεῖν τὰς αἰτίας τῶν παροδευόντων ἐπισκόπων, τοῖς ἔχουσι δίκαιον κατὰ τούτων, μητροπολίταις δηλαδὴ καὶ πατριάρχαις· εἰ γὰρ οὐχ ὑπόκειται ὅλως ὁ διερχόμενος ἐπίσκοπος τῷ κατὰ πάροδον ὄντι ἀρχιερεῖ, οὐκ ἀνακριθήσεται περὶ τῆς παρόδου· τουτέστιν, ἐὰν ἐπίσκοπος Ἐξαμιλίου ἢ Ῥαιδεστοῦ ἀνατρέχῃ διὰ τῆς Θρᾳκικῆς Ἡρακλείας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καλῶς παρὰ τοῦ μητροπολίτου αὐτοῦ, ἤγουν τοῦ Ἡρακλείας, ἀναγκασθήσεται εἰπεῖν τὰς αἰτίας, δι' ἃς εἰς Κωνσταντινούπολιν ἀπέρχεται. Εἰ δέ τις ἐπίσκοπος, ὑποκείμενος τῷ μητροπολίτῃ Θεσσαλονίκης, διὰ τῆς αὐτῆς Ἡρακλείας εἰς τὴν βασιλεύουσαν ἀπέρχεται, παρὰ μὲν τοῦ Θεσσαλονίκης ἀνακριθήσεται, παρὰ δὲ τοῦ Ἡρακλείας οὐ λογοπραγηθήσεται· τὸ γὰρ διδόναι λόγους τοὺς παροδίτας ἐπισκόπους τῆς ἑαυτῶν ὁδοιπορίας πρὸς πάντα παρόδιον ἐπίσκοπον, ὡς ἐμοὶ δοκεῖ, ἐναντίον ἐστὶ τοῖς κανόσι, τοῖς διοριζομένοις, τοὺς ἀπροσφόρους ἀρχιερεῖς μὴ παρεμβάλλειν ἑαυτοὺς εἰς ὑποθέσεις ἀλλοτρίων ἐπισκόπων.

ΑΡΙΣΤ. Ὁ τὰ καλῶς καὶ θεαρέστως ἐννενεγμένα τύφῳ παρασαλεῦσαι πειρώμενος, οὐκ ἐπίσκοπος. Τεθεαμένος ἐπίσκοπος ἐπίσκοπον ἐρχόμενον εἰς στρατόπεδον, ἐμποδὼν μὴ γινέσθω, εἰ γνοίη κατά τι τῶν προειρημένων ἐρχόμενον· εἰ δ' ἄλλως, προαγγελλέτω τὸ ἀκοινώνητον.

Ὁ μὴ φυλάττων τὰ καλῶς καὶ θεαρέστως καινισθέντα, ἀλλὰ τύφῳ καὶ ἀλαζονείᾳ εἰς ἕτερόν τι χωρεῖν τολμῶν παρ' αὐτὰ, τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀφαιρεθήσεται. Ἐπεὶ δὲ ἤδη κεκανόνισται, μὴ ἄλλως ἀπέρχεσθαι ἐπίσκοπον εἰς στρατόπεδον, εἰ μὴ βασιλικοῖς γράμμασι μετακαλοῖτο, δεῖ τὸν διερχόμενον ἐπίσκοπον τὴν αἰτίαν ἀπαιτεῖσθαι τῆς παρόδου παρὰ τοῦ ἐπισκόπου, ἐν ᾧ καταλύσει. Καὶ εἰ μὲν εὑρήσει αὐτὸν τοιουτοτρόπως εἰς τὸ στρατόπεδον ἀπερχόμενον, κατὰ μηδὲν αὐτῷ ἐμποδὼν γίνεσθαι, ἀλλὰ καὶ μετὰ τιμῆς ἐκπέμπειν αὐτὸν, καὶ γράφειν τοῖς ἐν ἐπαρχίᾳ, καὶ τοῖς συναδελφοῖς αὐτοῦ πᾶσιν, ὑποδέχεσθαι αὐτὸν ἀδιακρίτως, ὡς

τὴν πορείαν ποιούμενον κανονικῶς τε καὶ ἀσκανδάλιστον· εἰ δ' ἄλλως εὑρήσει τοῦτον εἰς τὸ στρατόπεδον ἀφικνούμενον, ἢ δι' ἐπίδειξιν, ἢ διά τινων ἀξιώσεις, μὴ ἀνηκούσας αὐτῷ ὡς ἀρχιερεῖ, μὴ κοινωνεῖν αὐτῷ, ἢ τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, ἢ προνοίας τινὸς ὅλως αὐτὸν ἀξιοῦν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΚΑΝΟΝΕΣ

## ΤΩΝ ΕΝ ΚΑΡΘΑΓΕΝΗ ΣΥΝΕΛΘΟΝΤΩΝ ΣΙΖ΄. ΜΑΚΑΡΙΩΝ ΠΑΤΕΡΩΝ.

ΖΩΝΑΡ. ΒΑΛΣ. Ἡ ἐν Καρθαγένῃ σύνοδος γέγονε βασιλεύοντος ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ Ὀνωρίου, ἐν δὲ τῇ Κωνσταντινουπόλει Θεοδοσίου τοῦ μικροῦ, συνελθόντων ἐν Καρχηδόνι θείων Πατέρων διακοσίων δεκαεπτὰ, ἐξ Ἀφρικῆς καὶ τῶν ταύτῃ ὑποκειμένων χωρῶν· ἡ γὰρ Καρθάγενα (1) μέρος τῆς Καρχηδόνος ἐστὶν, ἡ δὲ Καρχηδὼν ἐπαρχία τῆς Ἀφρικῆς· ἡ γὰρ Ἀφρικὴ εἰς πολλὰς μεμέρισται μοίρας, ὧν μία ἡ Καρχηδών. Συνῆσαν δὲ τοῖς τὴν σύνοδον ταύτην πληροῦσι Πατράσι καὶ τοποτηρηταὶ ἐκ τοῦ πάπα τῆς Ῥώμης ἀποσταλέντες· ἀποστολικὴν γὰρ καθέδραν τὸν τῆς Ῥώμης θρόνον ὠνόμασαν, ὡς τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ἐν αὐτῇ διαπρέψαντος, καὶ πρῶτον ἀρχιερέα τὸν Λίνον ἐν αὐτῇ καταστήσαντος. Ἐξῆρχε δὲ τῆς συνόδου Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ὃν καὶ πάπαν ὠνόμαζον, καὶ Βαλεντῖνος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας, καὶ ἄλλοι τῶν ἐπισκόπων τῶν τε Νουμιδιῶν τῶν δύο, τῆς τε Βυζακηνῆς, καὶ τῆς Μαυριτανίας τῆς Σιτιφήνσης (2), καὶ Καισαρειανῆς, καὶ Τριπόλεως τῆς Ἀνθυπατιανῆς· μοῖραι δὲ καὶ αὗται τῆς Ἀφρικῆς. Τοποτηρηταὶ δὲ τῆς ἐκκλησίας Ῥώμης ἦσαν, Φαυστῖνος ἐπίσκοπος Πικένου τῆς Ποτεντίνης ἐκκλησίας τῆς χώρας τῶν Ἰταλῶν, Φίλιππός τε καὶ Ἄσελλος οἱ πρεσβύτεροι· καὶ ἄλλοι δὲ τοποτηρηταὶ τῶν ἤδη ῥηθεισῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς παρῆσαν, τοὺς τόπους ἀναπληροῦντες τῶν μὴ δυνηθέντων συνελθεῖν εἰς τὴν σύνοδον· ὅθεν καὶ τὸ

(1) Χ. Τρ. Κ. Ἐ. — Καρθαγένη Βευερ. — (2) Κ. — τῆς Σιτιφάνσης, οὐ κεῖται παρὰ Βευερ. Ἑ. καὶ Χ. Τρ.

τῆς τοποτηρησίας ὄνομα ἐξελήφθη, ἐκ τοῦ τηρεῖν δηλαδὴ, ὅ ἐστι φυλάσσειν, ἤτοι ἀναπληροῦν τοὺς τόπους τῶν στελλόντων αὐτούς. Συνελθούσης δὲ τῆς συνόδου Αὐρήλιος ἐπίσκοπος εἶπε.

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων Βασιλέων Ὀνωρίου τὸ ιβʹ. καὶ Θεοδοσίου τὸ ἡ, τῶν αὐγούστων, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἰουνίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς ἐκκλησίας Φαύστου, συνελθόντων Αὐρηλίου τοῦ πάπα, ἅμα Βαλεντίνῳ τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας, Φαυστίνῳ ἀπὸ Πικένου τῆς Ποτεντινῆς ἐκκλησίας τῆς Ἰταλῶν χώρας, τοποτηρητῇ τῆς ἐκκλησίας Ῥώμης, ἀλλὰ καὶ διαφόροις τοποτηρηταῖς τῶν Ἀφρικανῶν ἐπαρχιῶν, τουτέστι, τῶν δύο Νουμιδιῶν, τῆς Βυζακηνῆς, Μαυριτανίας Σιτιφένσης, καὶ Μαυριτανίας τῆς Καισαριανῆς, καὶ Τριπόλεως· καὶ Βικεντίῳ Κολουσιτάνῳ, Φορτουνατιάνῳ Νεαπολίτῃ, καὶ τοῖς λοιποῖς ἐπισκόποις τῆς Ἀνθυπατιανῆς χώρας διακόσιοι δεκαεπτά· οὐ μὴν ἀλλὰ καὶ Φιλίππῳ, καὶ Ἀσέλλῳ τοῖς πρεσβυτέροις τοποτηρηταῖς τῆς ἐκκλησίας Ῥώμης, ταῦτα ἅπερ καὶ αὐτοῖς ἤρεσε, παρεστώτων τῶν διακόνων (1).

*Αὐρήλιος ἐπίσκοπος εἶπε.*

Μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς συνόδου, ὡς μέμνησθε, ἀδελφοὶ μακαριώτατοι, πολλὰ ἐζητήθη (2) ἐν τῷ ἀναμένειν ἡμᾶς τοὺς ἀδελφοὺς ἡμῶν, τοὺς νῦν εἰς τὴν παροῦσαν σύνοδον τοποτηρητὰς συνελθόντας, ἃ τοῖς πεπραγμένοις ἀνάγκη ἐστὶν ἐντεθῆναι. Διὸ τῷ δεσπότῃ ἡμῶν περὶ τῆς συνελεύσεως τοῦ τοσούτου ἀθροίσματος ὑπολέλειπται χάριτας ἀναπέμψαι, ἵνα τοῦτο μὲν, τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, ἃ νῦν ἔχομεν καὶ ἀπὸ τῶν Πατέρων κατέστησαν· τοῦτο δὲ, καὶ ἅπερ ἐνταῦθα ἀπὸ τῶν προηγησαμένων ἡμᾶς, τὴν αὐτὴν σύνοδον βεβαιωσάντων, καὶ τὰ (3) κατὰ τὸν αὐτὸν τύπον ἀνὰ πάντας τοὺς τῶν κληρικῶν βαθμοὺς ἀπὸ τοῦ ἄκρου ἕως τοῦ ἐσχάτου σω-

(1) Ὁ πρόλογος οὗτος ἀναγινώσκεται μόνον παρὰ Κ. καὶ Ἰουστέλλῳ καὶ παρὰ Βρ. λατινιστὶ, παρὰ δὲ Βευερ. ἐν ταῖς σημειώσεσιν αὐτοῦ τόμ. 2 σελ. 202. — παρὰ δὲ Ἑ. καὶ Χ. Τρ. οὐ κεῖται ὅλως. — (2) Χ. Τρ. Βευερ. — ἐξητήσαμεν Ἑ. Κ. — (3) Ἰ. Κ. Χ. Τρ. Ἑ. — Βευερ. ἄνευ τοῦ, τά.

τηριωδῶς ταχθέντα, εἰς μέσον προενεχθῶσιν. Ἀπὸ πάσης τῆς συνόδου ἐλέχθη· Προενεχθήτω (1).

*Δανιὴλ νοτάριος ἀνέγνω.*

Τῆς ἐν Νικαίᾳ συνόδου ἡ ὁμολογία τῆς πίστεως, ἤτοι τὰ ὁρισθέντα, οὕτως ἔχει. Καὶ ἐν τῷ λέγειν, Φαυστῖνος ἐπίσκοπος Πικένου, τοῦ λαοῦ τοῦ Ποτεντίνου, τῆς Ἰταλῶν χώρας, τοποτηρητὴς τῆς Ῥωμαίων ἐκκλησίας, εἶπεν· Ἐπετράπη ἡμῖν ἀπὸ τῆς ἀποστολικῆς καθέδρας, τίνα ἐγγράφως(2) πρακταϊστέα, ὡς αὐτῶν μεμνήμεθα ἐν τοῖς ἀνωτέρω πεπραγμένοις, τουτέστι περὶ τῶν ἐν Νικαίᾳ κανόνων, ἵνα φυλαχθῶσι καὶ ὁ ὁρισμὸς αὐτῶν καὶ ἡ συνήθεια· ἐπειδή τινα τάξει καὶ κανόνι κρατοῦνται, τινὰ δὲ συνηθείᾳ ἐτυπώθη· περὶ τούτων τοίνυν ἐν πρώτοις, ἐὰν ἀρέσκῃ τῇ μακαριότητι ὑμῶν, συζητήσωμεν, καὶ μετὰ ταῦτα, τὰ λοιπὰ πεπραγμένα καὶ ἐναρχθέντα, ἐντατTόμενα βεβαιωθῶσιν, ἵνα καὶ πρὸς τὴν ἀποστολικὴν καθέδραν ἀντιγράφοις ὑμετέροις ἐμφανίσαι δυνηθῆτε, καὶ τῷ αὐτῷ προσκυνητῷ πάπᾳ δηλώσητε, ὡς ἐπιμελῶς ἀνεμνήσθημεν, εἰ καὶ ὅτι τὰ κεφάλαια τῶν πράξεων ἤδη τοῖς πεπραγμένοις ἐνεβλήθησαν. Περὶ τούτων τοίνυν, ὡς προεῖπον, τί ἀρέσκει τῇ ὑμετέρᾳ ἀγάπῃ καὶ μακαριότητι, πρᾶξαι ὀφείλομεν. Ἐλθέτω τοιγαροῦν εἰς μέσον τὸ κομμονιτώριον, ἵνα δυνηθῆτε γνῶναι, τί ἐν αὐτῷ περιέχεται, ὅπως πρὸς ἕκαστα ἀπόκρισις δοθῇ.

*Αὐρήλιος ἐπίσκοπος εἶπε.*

Προκομισθήτω τὸ κομμονιτώριον, ὅπερ οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν τοῖς πεπραγμένοις ἔναγχος ἐνεφάνισαν, καὶ τὰ λοιπὰ ἀκολούθως, τά γε πεπραγμένα καὶ τὰ πρακτέα.

ΒΑΛΣ. (3) Ὁ μὲν ἐπίσκοπος Αὐρήλιος τοῦ λόγου προκαταρξάμενος, εἶπεν, ὅτι εὐχαριστεῖν δεῖ τῷ δεσπότῃ Θεῷ ὑπὲρ τῆς συνελεύσεως τῶν Πατέρων, ἵνα τά τε παρὰ τῶν ἐν Νικαίᾳ Πατέρων δογματισθέντα (4) καὶ ὁρισθέντα, ἃ ἔχομεν ἀπὸ τῶν

(1) Χ. Τρ. — προενεχθῶσι, Ἰ. Βευερ. Ἑ. Κ. — (2) τινὰ ἐγγράφως, τινὰ δὲ καὶ ἀγράφως, Ἰουστ. — (3) ἡ ἑρμηνεία αὕτη παρὰ μὲν Κ. καὶ Χ. Τρ. ἀποδίδοται τῷ Ζωναρᾷ, παρὰ δὲ Βευερ. καὶ Ἑ. τῷ Βαλσαμῶνι — (4) Κ. — [illegible] κιμασθέντα Βευερ. Ἑ.

πρὸ ἡμῶν Πατέρων, καὶ ἅπερ οἱ προηγησάμενοι Πατέρες ἐβεβαίωσαν, ἀντὶ τοῦ, βέβαια ἡγήσαντο, καὶ ὅσα ἐκεῖνοι ἐτύπωσαν περὶ πάντων τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων, προτεθῶσιν εἰς μέσον. Ὁ δὲ Φαυστῖνος ἔφη, ὅτι ἐπετράπη ἡμῖν ἀπὸ τοῦ πάπα τινὰ τρακταϊστέα, τουτέστι σκοπητέα, ἐξεταστέα, δοκιμαστέα· (οἱ γὰρ Λατῖνοι, τρακτάτον τὸν σκοπὸν καὶ τὸ βούλευμα λέγουσι)· καὶ ἵνα φυλαχθῶσι τῶν ἐν Νικαίᾳ κανόνων ὁ ὁρισμὸς καὶ ἡ συνήθεια. Εἰπὼν δὲ κανόνων ὁρισμὸν καὶ συνήθειαν, ἐπήγαγεν, ὅτι τινὰ τάξει καὶ κανόσι κρατοῦνται, τινὰ δὲ συνηθείᾳ ἐτυπώθη· ὥστε καὶ τὰ τῆς συνηθείας τῇ χρόνῳ δοκιμασθείσης καὶ βεβαιωθείσης κρατεῖν ὀφείλει. Εἶτα ἐζητήσαμεν εἰς μέσον προενεχθῆναι τὸ κομμονιτώριον, ἤτοι τὸ ἔγγραφον ὑπόμνημα τῶν πραχθέντων καὶ λαληθέντων· (ἔθος γὰρ ἐν ταῖς συνελεύσεσι, τὰ λαλούμενα, καὶ τυπούμενα, καὶ ὅσα ἐπράχθησαν, γράφεσθαι)· ἢ κομμονιτώριον τὴν ἐντολὴν τοῦ πάπα φησί, δι' ἧς ἐνετείλατο ἐγγράφως, τίνα ὤφειλον ζητηθῆναι, ἵνα γινώσκωσι ταῦτα, καὶ μηδὲν λανθάνῃ αὐτῶν, ὅπερ μᾶλλον ἔοικεν εἶναι· πρόσκειται γάρ· Δανιὴλ νοτάριος ἀνέγνω κομμονιτώριον, καὶ τὰ ἑξῆς.

*Τῷ ἀδελφῷ Φαυστίνῳ, καὶ τοῖς τέκνοις Φιλίππῳ καὶ Ἀσέλλῳ τοῖς πρεσβυτέροις, Ζώσιμος ἐπίσκοπος.*

Τὰ καταπιστευθέντα ὑμῖν πράγματα οὐ λανθάνουσιν· ὑμεῖς οὖν οὕτως, ὡς ἵνα ἡ ὑμετέρα ἐκεῖσε, μᾶλλον δέ, ἐπειδὴ ἡ ἡμετέρα ἐκεῖσε ἐν ὑμῖν παρουσία ἐστί, πάντα ἐκτελέσατε· μάλιστα καὶ τοῦτο ἡμῶν ἔχοντες τὸ ἔνταλμα καὶ τὰ ῥήματα τῶν κανόνων, ἅ τινα πρὸς πλείονα βεβαίωσιν τῷ παρόντι κομμονιτωρίῳ ἐνετάξαμεν. Οὕτως γὰρ εἶπον, ὦ ἀδελφοί, οἱ τῆς ἐν Νικαίᾳ συνόδου, ὅτε περὶ τῆς τῶν ἐπισκόπων ἐκκλήτου ἐψηφίζοντο· ἤρεσε δέ, ὥστε, ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ κρίνωσιν οἱ συνελθόντες ἐπίσκοποι τῆς ἰδίας αὐτοῦ ἐπαρχίας, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτόν, καὶ δόξῃ ἐκκαλεῖσθαι καὶ καταφεύγειν πρὸς τὸν μακαριώτατον ἐπίσκοπον Ῥώμης, καὶ αὐτὸς θελήσῃ ἀκουσθῆναι τοῦτον, καὶ τὸ τοιοῦτον δίκαιον νομίσῃ, ὥστε ἀνανεωθῆναι τὴν ἐξέτασιν, γράψαι καταξιώσει πρὸς τοὺς ἐν τῇ ὁμορούσῃ ἐπαρχίᾳ ἐπισκόπους, ἵνα αὐτοὶ ἐπιμελῶς πάντα συ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ζητήσωσι, καὶ κατὰ τὸ ἀληθὲς περαιώσωσι. Διὸ ἐάν τις ἀξιοῖτο πρᾶγμα αὐτοῦ πάλιν ἀκουσθῆναι, καὶ οἰκείᾳ δεήσει κινήσοι τὸν ἐπίσκοπον Ῥώμης, ἵνα ἐκ τοῦ πλευροῦ αὐτοῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ αὐτοῦ εἴη, ὅπερ βούλεται, καὶ ὅπερ ὑπολαμβάνει· καὶ ἐὰν ψηφίσηται ὀφείλειν πεμφθῆναί τινας, ὥστε παρόντας αὐτοὺς μετὰ τῶν ἐπισκόπων κρῖναι, ἔχοντες τὴν αὐθεντίαν τοῦ ἀποστείλαντος αὐτούς, ἐν τῇ κρίσει αὐτοῦ εἴη· ἐὰν δὲ καὶ νομίσῃ ἀρκεῖν τοὺς ἐπισκόπους, ἵνα πέρας τῷ πράγματι ἐπιθῶσι, ποιήσει τὸ τῇ συνετωτάτῃ αὐτοῦ βουλῇ παριστάμενον.

ἈΡΙΣΤ. Εἰ καθέλωσιν ἐπίσκοπον ἐπίσκοποι, ἐὰν τῷ Ῥώμης ἔκκλητον ἐπάγοιτο, ἤτω εὐάκουστος, τοῦ Ῥώμης γράφοντος ἢ ἐπιτάττοντος.

Δίδωσι καὶ ὁ κανὼν οὗτος, καθὼς καὶ ὁ τέταρτος τῆς ἐν Σαρδικῇ συνόδου κανών, ἐξουσίαν τῷ Ῥώμης, προσερχομένῳ παρὰ τοῦ καθαιρεθέντος ἐπισκόπου, ἢ πρεσβυτέρους ἀποστέλλειν ἰδίους, καὶ τηρεῖν μετὰ τῶν ἐπισκόπων κατ' ἔκκλητον τὴν ἐξενεχθεῖσαν παρ' αὐτῶν κατὰ τοῦ ἐπισκόπου τοῦ ἐκκαλεσαμένου καθαίρεσιν, ἢ γράφειν τοῖς γειτνιάζουσιν ἐπισκόποις τῇ ἐπαρχίᾳ, καὶ παρ' ἐκείνων τὰ τῆς ἐκκλησίας τηρεῖσθαι.

*Καὶ ἀναγνωσθέντων, Ἀλύπιος ἐπίσκοπος τῆς Θεαγαστέων ἐκκλησίας τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, εἶπε.*

Περὶ τούτου ἤδη καὶ τοῖς ἀνωτέρω γράμμασι τῆς συνόδου ἡμῶν ἀντεγράψαμεν· καὶ τοῦτο ἡμᾶς φυλάξειν ὁμολογοῦμεν, τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου. Ὅμως ἔτι ἐμὲ κινεῖ, ὅτι ἐν τῷ ἐπισκήπτειν ἡμᾶς τοῖς γραικικοῖς ἴσοις ταύτης τῆς ἐν Νικαίᾳ συνόδου, ταῦτα ἐκεῖ, οὐκ οἶδα ποίῳ λόγῳ, οὐδαμῶς εὕρομεν· ὅθεν αἰτοῦμεν τὴν τιμιότητα τὴν σήν, ἁγιώτατε πάπα Αὐρήλιε, ἐπειδὴ τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐν Κωνσταντινουπόλει λέγεται εἶναι, τινὰς μετὰ γραμμάτων τῆς ὑμετέρας ἁγιωσύνης πέμψαι καταξιώσατε· καὶ μὴ μόνον πρὸς αὐτὸν τὸν ἁγιώτατον ἀδελφὸν ἡμῶν τὸν τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον, ἀλλὰ καὶ τὸν τῆς Ἀλεξανδρείας καὶ Ἀντιοχείας, τοὺς προσκυνητοὺς ἱερεῖς, οἵτινες τὴν αὐτὴν σύνοδον ἡμῖν μεθ' ὑποσημειώσεως τῶν οἰκείων γραμ-

μάτων ἀποστείλωσιν, ὥστε πᾶσαν μετὰ ταῦτα ἀμφισβήτησιν ἀφαιρεθῆναι· ἐπειδὴ καὶ ἡμεῖς οὕτως, ὡς ὁ ἀδελφὸς Φαυστῖνος ἤγαγεν, οὐδαμῶς εὕρομεν ταῦτα· ὅμως ἡμᾶς πρὸς ὀλίγον φυλάξοντας, ὡς προεῖπον, ἕως οὗ τὰ ἐντελῆ ἴσα ἔλθωσιν, ὁμολογοῦμεν. Ὀφείλομεν δὲ αἰτῆσαι γράμμασιν ἡμετέροις καὶ τὸν σεβασμιώτατον τῆς ἐκκλησίας Ῥώμης ἐπίσκοπον Βονιφάτιον, ἵνα καὶ αὐτὸς ὁμοίως καταξιώσῃ πρὸς τὰς μνημονευθείσας ἐκκλησίας στεῖλαί τινας, ὀφείλοντας τὰ αὐτὰ ἴσα κατὰ τὰ παρ' αὐτοῦ γραφέντα ἀγαγεῖν. Νῦν δὲ τῆς μνημονευθείσης ἐν Νικαίᾳ συνόδου, ἅπερ ἔχομεν ἴσα τοῖς πεπραγμένοις τούτοις συζεύξομεν.

*Φαυστῖνος ἐπίσκοπος τοποτηρητὴς τοῦ Ῥώμης εἶπεν.*

Οὐδὲν ἡ ὑμετέρα ἁγιωσύνη πρόκριμα ποιεῖ τῇ ἐκκλησίᾳ Ῥώμης, εἴτε περὶ τούτου τοῦ κεφαλαίου, εἴτε περὶ ἄλλων· ἐπειδὴ ἠξίωσεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀλύπιος ἀμφιβόλους εἶναι τοὺς κανόνας. Ἀλλὰ ταῦτα πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν ἡμῶν γράψαι καταξιώσατε, ἵνα καὶ οὗτος ὁλοκλήρους τοὺς κανόνας συζητῶν μετὰ τῆς ὑμετέρας ἁγιωσύνης, περὶ πάντων τῶν ὁρισθέντων τρακτατσῃ. Ἀρκεῖ γὰρ, ἵνα καθὼς ἡ ὑμετέρα ἁγιωσύνη παρ' ἑαυτῇ τρακταΐζει, οὕτω καὶ αὐτὸς καθ' ἑαυτὸν συζητήσῃ, μήπως φιλονεικία μεταξὺ τῶν ἐκκλησιῶν τις ἀναφυῇ, ἀλλὰ μᾶλλον ἀδελφικῇ ἀγάπῃ βουλεύσησθε, ἀντιγράφοντος αὐτοῦ, τί ὀφείλει κρειττόνως φυλαχθῆναι.

*Αὐρήλιος ἐπίσκοπος εἶπεν.*

Ἐκτὸς ὧν προτεθείκαμεν ἐν τοῖς πεπραγμένοις, ἀνάγκη ἐστὶ καὶ γράμμασι τῆς ἡμετέρας βραχύτητος τῷ ἁγιωτάτῳ ἀδελφῷ ἡμῶν καὶ συλλειτουργῷ Βονιφατίῳ πάντα, ὅσα ψηλαφῶμεν, εἰς πλῆρες ἐμφανίσαι. Ἐὰν τοίνυν πᾶσιν ἀρέσκῃ ἡ ἡμετέρα ἐπακολούθησις, μάθωμεν στόματι πάντων. Σύμπασα ἡ σύνοδος εἶπεν, Ἀρέσκει.

*Ναυάτος ἐπίσκοπος, τοποτηρητὴς Μαυριτανίας Σιτιφένσης, εἶπε.*

Μεμνήμεθα νῦν τοῦτο τὸ κομμονιτώριον περὶ πρεσβυτέρων, ἔτι μὴν καὶ διακόνων περιέχειν, πῶς ὀφείλουσιν ἀπὸ

τῶν ἰδίων ἐπισκόπων, ἢ ἐκ τῶν ὁμορούντων ἀκούεσθαι, ὅπερ ἐν τῇ Νικαέων συνόδῳ οὐδαμῶς ἀνέγνωμεν. Διὰ τοῦτο αὐτὸ κελεύσει ἡ ὑμετέρα ἁγιωσύνη ἀναγνωσθῆναι.

*Αὐρήλιος ἐπίσκοπος εἶπεν·*

Ἀναγνωσθήτω ἐπὶ τόπου καὶ τοῦτο τὸ ζητούμενον.

*Δανιὴλ νοτάριος ἀνέγνω·*

Περὶ ἐκκλήτων δὲ κληρικῶν, τουτέστι, τοῦ ἥττονος τόπου, τῆς συνόδου βεβαία ἐστὶν ἀπόκρισις· περὶ ἧς τί μέλλετε πράττειν, ἡγησάμεθα ὀφείλειν ἐνταγῆναι (1), ἐπειδὴ οὕτω λέλεκται. Ὅσιος ἐπίσκοπος εἶπε·

Τὸ ἔτι κινοῦν με σιωπῆσαι οὐκ ὀφείλω. Ἐάν τις τυχὸν ἐπίσκοπος ὀργίλος, ὅπερ οὐκ ὀφείλει, ταχέως, ἢ καὶ τραχέως, κινηθεὶς κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, ἀφορίσαι τοῦτον τῆς ἰδίας θελήσῃ ἐκκλησίας, προνοητέον ἐστὶν, ἵνα μὴ ἀναιτίως καταχριθῇ, ἢ ἀπολέσῃ τὴν κοινωνίαν. Ἐχέτω οὖν ἐξουσίαν ὁ ἐκβληθεὶς προσελθεῖν τοῖς ὁμόροις, ὥστε ἀκουσθῆναι τὴν αἰτίαν αὐτοῦ, καὶ ἐπιμελέστερον ψηλαφηθῆναι· οὐκ ὀφείλει γὰρ αὐτῷ παρακαλοῦντι ὑπακοὴ ἀρνηθῆναι· κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ εἴτε δικαίως εἴτε ἀδίκως ἐκβαλὼν αὐτὸν, ἀνεξικάκως δέξεται ὅπως τὸ πρᾶγμα σκοπηθῇ, καὶ ἢ κυρωθῇ, ἢ διορθωθῇ ἡ ψῆφος αὐτοῦ, καὶ τὰ λοιπά.

**ΑΡΙΣΓ.** Πρεσβύτερος, καὶ διάκονος ἀφωρισμένος, ἄδειαν ἔχει τοῖς ὁμόροις ἐγκαλεῖν· καὶ μέντοι φέρειν ἀνεξικάκως ὁ ἀφορίσας τὸ κυρωθησόμενον ἐποφείλει.

Ὁ κανὼν οὗτος συγχύσεώς ἐστι καὶ σκανδάλων παραίτιος· τὸ μὲν γὰρ τὸν ἀφορισθέντα ὑπὸ τοῦ ἰδίου ἐπισκόπου κληρικὸν ἐπὶ τὸν μητροπολίτην τῆς ἐπαρχίας αὐτοῦ προσφεύγειν καὶ ἐγκαλεῖν, ἀκόλουθόν ἐστι καὶ κανονικόν· τὸ δὲ, τοῦ μητροπολίτου ἀπόντος, τοῖς πλησιοχώροις προσέρχεσθαι ἐπισκόποις τὸν ἀφορισθέντα, καὶ καθιστᾷν αὐτοὺς ἐξεταστὰς τοῦ ἐπισκόπου τοῦ μὴ ὑποκειμένου αὐτοῖς, παράλογόν ἐστι, καὶ θορύβου παραίτιον. Διὰ τοῦτο γοῦν οὐδὲ καθολικός ἐστι, καὶ

(1) Χ. Τρ. — ἐναγῆναι Ἰουσ. Βευερ. Κ.

ἐν ταῖς ἄλλαις κρατῶν διοικήσεσιν· ἀλλ᾽ ὡς τοπικὸς, ἐν Καρθαγένῃ καὶ ἐν Ἀφρικῇ.

*Καὶ τούτων ἀναγνωσθέντων, Αὐγουστῖνος ἐπίσκοπος τῆς ἐκκλησίας Ἱππώνης, τῆς Νουμιδικῆς χώρας, εἶπε.*

Καὶ τοῦτο ἡμᾶς φυλάξοντας ὁμολογοῦμεν, σωζομένης τῆς ἐπιμελεστέρας συζητήσεως τῆς ἐν Νικαίᾳ συνόδου.

*Αὐρήλιος ἐπίσκοπος εἶπεν.*

Ἐὰν ἔτι μὴν καὶ τοῦτο ἀρέσκῃ, τῇ ἀποκρίσει τῆς πάντων ἡμῶν ἀγάπης βεβαιώσατε.

Σύμπασα ἡ σύνοδος εἶπε· Πάντα τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα πᾶσιν ἡμῖν ἀρέσκουσιν.

*Ἰουκοῦνδος ἐπίσκοπος τῆς Ὀφφετούφης ἐκκλησίας, τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας εἶπε.*

Τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου, παρατραπῆναι ὑπό τινος οὐδαμῶς δύναται.

*Φαυστῖνος ἐπίσκοπος τοποτηρητὴς τῆς ἐκκλησίας Ῥώμης εἶπεν.*

Ἀκμὴν κατὰ τὴν ἐπαγγελίαν τῆς ὑμετέρας ἁγιωσύνης, τοῦτο μὲν, τοῦ ἁγίου Ἀλυπίου, τοῦτο δὲ, καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ἰουκούνδου, τινὰ ἀκυροῦσθαι πιστεύω, τινὰ βεβαιοῦσθαι· ὅπερ οὐκ ὀφείλει ἀμφίβολον εἶναι ἐχομένων τῶν αὐτῶν κανόνων. Τοιγαροῦν, ὡς ἀρέσκει καὶ ἡμῖν καὶ ὑμῖν, πρὸς τὸν ἁγιώτατον καὶ σεβασμιώτατον ἐπίσκοπον τῆς ἐκκλησίας Ῥώμης ἀναγαγεῖν ἡ ὑμετέρα ἁγιωσύνη καταξιώσει, ἵνα καὶ αὐτὸς, ὅπερ καὶ ὁ ἁγιώτατος Αὐγουστῖνος ὁρίσαι κατηξίωσε, ὁρίσῃ,* καὶ σκέψασθαι δυνηθῇ ἑκάτερον· καὶ γὰρ τοῦτο παραχωρητέον ἐστὶ, καὶ σιωπητέον· τουτέστι, περὶ τῶν ἐκκλήτων τοῦ κατωτέρου βαθμοῦ, ἐὰν ἀκμὴν εἰς ἀμφίβολον ἐστί· καὶ περὶ τούτου τοῦ κεφαλαίου δίκαιόν ἐστι τὸν ἐπίσκοπον τοῦ μακαρίου θρόνου ὀφείλειν τυπῶσαι, εἰ μέντοι ἀποδέχεσθαι τοῦτο ἐν τοῖς κανόσιν εὑρεθῆναι δύναται.

ΒΑΛΣ. Φαυστίνου τοῦ τοποτηρητοῦ τῆς παλαιᾶς Ῥώμης ζητήσαντος τρακταϊσθῆναί τινα ἐκκλησιαστικὰ ζητήματα,

κατὰ τὸ ἐντεταλμένον αὐτῷ παρὰ τοῦ πάπα, ἐπέτρεψεν ὁ ἐπίσκοπος Αὐρήλιος τοῦτο γενέσθαι. Καὶ δῆτα τοῦ νοταρίου Δανιὴλ ἀρξαμένου τὸ κομμονιτώριον ἀναγινώσκειν, εἶπεν ὁ ἐπίσκοπος Ζώσιμος πρὸς τοὺς τοποτηρητὰς τῆς Ῥώμης, ὅτι οὐ λανθάνουσι, τουτέστιν οὐκ ἀγνοοῦνται τὰ ἐνταλθέντα ὑμῖν παρὰ τοῦ ἀποστολικοῦ θρόνου, καὶ ὀφείλουσι ταῦτα ἐξετασθῆναι, ὥσπερ ἐὰν ἡ σύνοδος κατὰ τὴν Ῥώμην ἐγένετο. Ἐπεὶ διὰ τῆς παρουσίας ὑμῶν τῶν τοποτηρητῶν δοκοῦσι τὰ τῆς συνόδου ἐκεῖσε τελεῖσθαι, καὶ αὐτίκα προσετέθη ὁ ἑ. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου, ὡς ὢν τάχα τῶν ἐν Νικαίᾳ Πατέρων. Καὶ ἀμφιβολίας γενομένης περὶ τοῦ, εἰ ἐστὶν ὁ κανὼν οὗτος τῆς ἐν Νικαίᾳ συνόδου, εἶπεν ὁ ἐπίσκοπος Ἀλύπιος, ὡς ἀναγκαῖον μέν ἐστι τοῦτο φυλάττεσθαι· ἐπεὶ δὲ οὐχ εὑρίσκεται οὗτος ἐν ταῖς Ἑλληνικαῖς βίβλοις, ταῖς περιεχούσαις τὰ πεπραγμένα εἰς τὴν κατὰ Νίκαιαν σύνοδον, παρακαλῶ, ὦ Αὐρήλιε, γενέσθαι γραφὴν πρὸς τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως, καὶ τὸν Ἀλεξανδρείας, καὶ τὸν Ἀντιοχείας, ἵνα ψηλαφηθῶσι τὰ ἐκεῖσε ὄντα πρωτότυπα πρακτικὰ τῆς πρώτης συνόδου, ἐφ' ᾧ παρεκβληθῆναι τὸν αὐτὸν κανόνα, καὶ διευλυτωθῆναι τὸ ἀμφίβολον. Τὰ μέντοι ἐν τούτῳ δηλούμενα, φυλάττεσθαι μέχρις ἂν τὸ ἀμφισβητούμενον λυθῇ· τὸ αὐτὸ δὲ ἤθελε γενέσθαι καὶ παρὰ τοῦ πάπα Ῥώμης. Οὕτω δὲ τούτων λαληθέντων, ὁ τοποτηρητὴς τῆς Ῥώμης Φαυστῖνος εἶπε, μηδέν τι ἀπεικὸς εἰπεῖν τὸν Ἀλύπιον· καὶ ὁ πάπας γὰρ ἵνα θελήσῃ τὴν φιλονεικίαν τῶν ἐκκλησιῶν περιαιρεθῆναι καὶ λυθῆναι. Ἤρεσεν οὖν καὶ τῷ ἐπισκόπῳ Αὐρηλίῳ τοῦτο γενέσθαι, καθὼς καὶ τῇ πάσῃ συνόδῳ. Μετὰ δὲ τὸ ταῦτα συντελεσθῆναι, ἐζητήθη παρὰ τοῦ Ναυάτου ἐπισκόπου καὶ τοποτηρητοῦ Μαυριτανίας, πῶς καὶ παρὰ τίνων ὀφείλουσιν οἱ κληρικοὶ δικάζεσθαι κατὰ τῶν κεκριμένων ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἐκκαλούμενοι· καὶ ἀπεκρίνατο ἐπίσκοπός τις ἐπονομαζόμενος Ὅσιος· Τὸ ἔτι κινοῦν με σιωπῆσαι οὐκ ὀφείλω, καὶ τὰ ἑξῆς τοῦ ιδ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου· ἅτινα καὶ ἐξηγήθησαν ἐκεῖσε. Καὶ τούτων τοίνυν τρακταϊσθέντων, εἶπεν ὁ Αὐγουστῖνος, ὀφείλειν καὶ τὸν κανόνα τοῦτον φυλάττεσθαι, σωζομένης

μέντοι τῆς ἐπιμελεστέρας ζητήσεως, ἤτοι ἐξετάσεως τῆς ἐν Νικαίᾳ συνόδου, ὥστε φυλαχθῆναι, εἰ τῆς συνόδου ἐκείνης ἐστί. Καὶ οἱ λοιποὶ Πατέρες, τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα, πᾶσιν ἀρέσκειν εἶπον, καὶ ὀφείλειν εἰς τὸ ἑξῆς τηρεῖσθαι ἀπαρεγχείρητα. Ζήτει καὶ τὰ ἐν τῷ έ. κανόνι τῆς ἐν Σαρδικῇ συνόδου παρ' ἡμῶν γραφέντα.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ εὕρηται τὰ εἰς Νίκαιαν πεπραγμένα γεγραμμένα, ἄξιος ὁ Ῥώμης τῷ Κωνσταντινουπόλεως καὶ τῷ Ἀλεξανδρείας γράψαι, καὶ λαβεῖν ἐκεῖθεν αὐτὰ, καὶ ἡμῖν ἐμφανίσαι.

Οἱ παρὰ τοῦ πάπα Ῥώμης ἐν τῇ συνόδῳ ταύτῃ σταλέντες τοποτηρηταὶ, προβαλλόμενοι τὸν παρὰ τῆς ἐν Σαρδικῇ συνόδου τεθέντα κανόνα, περὶ τοῦ, τὸν καθαιρεθέντα τῷ Ῥώμης προσέρχεσθαι, ὡς παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ὁρισθέντα, καὶ ἀπαιτήσαντες τοὺς συναθροισθέντας ἐν τῇ συνόδῳ ταύτῃ Πατέρας βεβαιῶσαι αὐτὸν ὡς τῆς ἐν Νικαίᾳ συνόδου ὄντα κανόνα· ἐπεὶ οὗτοι μὴ ἐπὶ μνήμης ἔχοντες, εἰ παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐτέθη, ἀλλὰ μηδὲ τὰ κατὰ Νίκαιαν πεπραγμένα, ὑπογεγραμμένα τε καὶ βέβαια ἐπιφερόμενοι, ἔφησαν ἀγνοεῖν, ἄξιον ἔκριναν τὸν Ῥώμης γράψαι πρὸς τὸν Κωνσταντινουπόλεως καὶ τὸν Ἀλεξανδρείας, καὶ παρ' ἐκείνων τοὺς ἐν Νικαίᾳ κανόνας λαβεῖν βεβαίους, καὶ ἐμφανίσαι τούτους αὐτοῖς· τέως δὲ τὸν τοιοῦτον κανόνα, μέχρις ἂν ἀληθέστατά τε καὶ βέβαια τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου δέξωνται, κρατεῖν ἠθέλησαν· καὶ ἐτέθη καὶ παρ' αὐτῶν ἐνταῦθα πρῶτος. Μεθ' ὃ δὲ ταῦτα ἐπέμφθησαν πρὸς αὐτοὺς παρά τε τοῦ ἁγίου Κυρίλλου, τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ τοῦ Ἀττικοῦ, τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου, καὶ οὐχ εὗρον ἐν αὐτοῖς κεκανονισμένον, τὸ δύνασθαι στέλλειν τὸν Ῥώμης κληρικοὺς ἰδίους, καὶ δι' αὐτῶν ἐξετάζειν κατ' ἔκκλητον τὰς καθαιρέσεις τῶν ἐπισκόπων, ἔγραψαν πρὸς τὸν τότε ὄντα πάπαν τῆς Ῥωμαίων πόλεως τὸν Κελεστῖνον, μὴ οὕτως ἔκτοτε θέλειν ποιεῖν, καὶ παραχωρεῖν στέλλεσθαι κληρικοὺς αὐτοῦ πρὸς τὸ κατεξετάζειν τὰς ἀποφάσεις καὶ καθαιρέσεις τῶν ἐπισκόπων, ἵνα μὴ καπνώδης τοῦ κόσμου τύφος τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἰσάγηται.

*Αὐρήλιος ἐπίσκοπος εἶπε.*

Τὰ ἔκπαλαι τῇ ὑμετέρᾳ ἀγάπῃ παρ' ἡμῶν ἐμφανισθέντα ἴσα τῶν ὁρισθέντων τῇ ἐν Νικαίᾳ συνόδῳ, νῦν καταδέξασθε· ἀλλὰ καὶ τὰ ἐκ τῶν ἡμετέρων καθηγητῶν κατὰ τὸν τῆς αὐτῆς συνόδου τύπον σωτηριωδῶς, ἔτι μὴν καὶ τὰ νῦν παρ' ἡμῶν ταχθέντα, ἀναγνωσθῆναι καὶ τοῖς πεπραγμένοις ἐμβληθῆναι.

*Σύμπασα ἡ σύνοδος εἶπε.*

Τὰ ἴσα τῆς πίστεως καὶ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ συνόδου, τοὺς πάλαι πρὸς ἡμᾶς διὰ Καικιλιανοῦ τοῦ προηγητοῦ τῆς ὑμετέρας ἁγιωσύνης προσενεχθέντας, ἔτι μὴν καὶ ἅπερ τούτοις ἑπόμενα τὰ μέρη ἐνταῦθα κατέστησαν, καὶ νῦν δὲ κοινῇ συζητήσει παρ' ἡμῶν ὡρίσθησαν, τούτοις τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐμβληθέντα μείνωσι, δηλονότι, καθὼς προλέλεκται, πρὸς τοὺς σεβασμίους ἐπισκόπους τῶν ἐκκλησιῶν Ἀντιοχείας, Ἀλεξανδρείας καὶ Κωνσταντινουπόλεως, γράψαι καταξιούσης τῆς ὑμετέρας μακαριότητος, ἵνα τὰ ἀληθέστατα ἴσα τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ὑποσημειώσεως οἰκείων γραμμάτων ἀποστείλωσιν· ὅπως φανερωθείσης τῆς ἀληθείας, τὰ κεφάλαια ταῦτα, ἅπερ ἐν τῷ κομμονιτωρίῳ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Φαυστῖνος καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἄσελλος μεθ' ἑαυτῶν ἤγαγον, ἢ ἐκεῖνα εὑρισκόμενα, ὑφ' ἡμῶν κυρωθῶσιν, ἤ, ἐὰν μὴ εὑρεθῶσι, συνηγμένης ἔτι τῆς συνόδου περὶ τούτων ἑξῆς συζητήσωμεν.

ΖΩΝΑΡ. Καὶ ὁ κανὼν ὁ εἰρημένος, ὡς τῆς ἐν Νικαίᾳ οἰκουμενικῆς συνόδου, προετέθη· διὸ καὶ ὁ ἐπίσκοπος Αὐγουστῖνος φυλαχθῆναι τὸν κανόνα κατέθετο, σωζομένης μέντοι τῆς ἐπιμελεστέρας ζητήσεως, ἤτοι ἐξετάσεως τῆς ἐν Νικαίᾳ συνόδου, ὥστε φυλαχθῆναι, εἰ τῆς συνόδου ταύτης ἐστί. Καὶ οἱ λοιποὶ τῆς συνόδου Πατέρες, τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα πᾶσιν ἀρέσκειν εἶπον. Εἶτα ἀνεγνώσθη ἡ ὁμολογία τῆς πίστεως τῆς ἐν Νικαίᾳ συνόδου.

*Δανιὴλ νοτάριος τῆς ἐν Νικαίᾳ συνόδου, τὴν ὁμολογίαν τῆς πίστεως καὶ τοὺς ὅρους αὐτῆς ἀνέγνω ἐν τῇ τῶν Ἄφρων συνόδῳ.*

## Η ΟΜΟΛΟΓΙΑ ΤΗΣ ΠΙΣΤΕΩΣ.

### ΤΗΣ ΕΝ ΝΙΚΑΙᾼ ΣΥΝΟΔΟΥ.

Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα Παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι᾽ οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, καὶ ἐν τῇ γῇ. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· τοὺς δὲ λέγοντας, ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ ἀλλοιωτὸν, ἢ τρεπτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Ὁμοίως δὲ καὶ οἱ ὅροι τῆς ἐν Νικαίᾳ συνόδου, ἐν εἴκοσι κεφαλαίοις ἀνεγνώσθησαν· ἔπειτα τὰ ἐν ταῖς συνόδοις τῆς Ἀφρικῆς νομοθετηθέντα τοῖς παροῦσι πεπραγμένοις ἐντεθειμένα γινώσκονται.

### Κανὼν Α'. (Α'.) (1.)

*Ὥστε τὰ ἐν τῇ Νικαιέων συνόδῳ ὁρισθέντα, παντὶ τρόπῳ παραφυλαχθήσεται.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Ταῦτα οὕτω παρ᾽ ἡμῖν ἔχον-

(1) Σημειωτέον ἐνταῦθα, ὅτι σχεδὸν μικρὰ ἐν ταῖς ἐκδόσεσι τῶν Κανόνων τῆς ἐν

τα, (1) τὰ ἴσα τῶν ὁρισθέντων, ἅπερ τότε οἱ Πατέρες ἡμῶν ἐκ τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ἑαυτῶν κατήγαγον, ἧς τὸν τύπον φυλάττοντα τὰ ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡμῶν, βεβαιωθέντα φυλαχθῶσι (2).

---

ΖΩΝΑΡ. Ὃ δὲ λέγει ὁ Αὐρήλιος, τοιοῦτόν ἐστιν· ὅτι ἃ παρ' ἡμῖν εἰσιν ἴσα τῶν νῦν ἀναγνωσθέντων, ἃ οἱ Πατέρες ἡμῶν, ἤγουν οἱ πρὸ ἡμῶν ἐπίσκοποι ἤγαγον τότε, ὅτε ἡ ἐν Νικαίᾳ

---

Καρθαγένῃ συνόδου ἐπικρατεῖ ἀσυμφωνία, περί τε τὴν κατάταξιν, τὴν διαίρεσιν, καὶ τὴν ἀρίθμησιν αὐτῶν. Οὕτω τινὲς μὲν ἀριθμοῦσι Κανόνας ρλγ', ὡς ἡ ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἀρχαίου κανονικοῦ δικαίου ὑπὸ Ἰουστέλλου καὶ Βοέλλου ἔκδοσις τῶν Κανόνων τῆς συνόδου ταύτης, καὶ ἡ λατινικὴ παρὰ Βρυνσίῳ· οἱ γὰρ ἐν ταῖς ἐκδόσεσι ταύταις φερόμενοι ὡς Κανόνες ρλδ' ἕως ρλή, τοιοῦτοι κυρίως οὐκ εἰσίν, ἀλλ' ἐπιστολαὶ τῆς Συνόδου καὶ πρὸς αὐτήν. Ἄλλαι δὲ τέμνουσαι μέν τινας κανόνας, συγχωνεύουσαι δ' ἑτέρους, παριστῶσιν ἀριθμὸν κανόνων πάντη διάφορον. Οὕτως ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου, καὶ ἐν τῇ καθ' Ἕρβετον ἐκδόσει τοῦ Βαλσαμῶνος, ἀριθμοῦνται Κανόνες ρλέ, καί τοι τοῦ ἀριθμοῦ ξγ' καὶ τοῦ ρδ' δὶς ἐπαναλαμβανομένων· ἐν τῇ κατὰ Κιντῖνον ἐκδόσει τοῦ Ζωναρᾶ, φαίνονται κανόνες ρμζ'· καὶ τέλος ὁ τοῦ Πηδαλίου ἐκδότης, τῇ οἰκείᾳ μᾶλλον κρίσει (ὡς αὐτὸς ὁμολογεῖ) ἢ τοῖς χειρογράφοις ἑπόμενος, ἰδίαν τινὰ εἰσήγαγε διαίρεσιν, ἀριθμῶν δι' ἑλληνικῶν μὲν στοιχείων κανόνας ρμά, παρατιθεὶς δὲ καὶ ἑτέραν ἀρχαίαν, ὥς φησιν, ἀρίθμησιν κανόνων 136 δι' ἀραβικῶν ἀριθμῶν, σύμφωνον σχεδὸν τῇ τοῦ Βευερηγίου καὶ Ἑρβέτου.

Ἐν τῇ παρούσῃ ἐκδόσει ἠκολουθήσαμεν καὶ κατὰ τοῦτο πιστῶς τῇ γραφῇ τοῦ Τραπεζουντείου Κώδικος, παραδεχθέντες τὴν τῶν ρλγ' κανόνων ἀρίθμησιν, ὅτι ταύτῃ ἄλλως χρῶνται ὅ,τε συγγραφεὺς τοῦ Νομοκάνονος καὶ οἱ ἐξηγηταὶ τοῦ Συντάγματος. Ἐπεὶ δὲ ἡ παρὰ τῇ ἡμετέρᾳ ἐκκλησίᾳ χρῆσις τοῦ Πηδαλίου κατέστησε κοινὴν τὴν κατ' αὐτὸ δι' ἀλφαβητικῶν στοιχείων ἀρίθμησιν τῶν κανόνων τῆς συνόδου ταύτης, οὐκ ἄπο σκοποῦ ἔδοξε καὶ ταύτην τῇ ἡμετέρᾳ προσθεῖναι διὰ τῶν ἐν παρενθέσει ἐλασσόνων ἀλφαβητικῶν στοιχείων.

Ἵνα δὲ τὰς ὑφ' ἕκαστον κανόνα ἐπαναληπτικὰς παρατηρήσεις ὡς ὀχληρὰς ἀποφύγωμεν, σημειωτέον ἅπαξ ἐνταῦθα, ὅτι, ἐπεὶ ἡ σύνταξις τῶν Κανόνων τῆς ἐν Καρθαγένῃ συνόδου ἐνεδέδυτο ἀνέκαθεν τύπον πρακτικῶν, ἀπαντῶμεν παρὰ ταῖς ἀρίσταις ἐκδόσεσιν, ἐν ἀρχῇ μὲν ἑκάστου κανόνος, τὴν ὑπόθεσιν αὐτοῦ, καὶ τὸ ὄνομα τοῦ προτείναντος ἐπισκόπου, ἐν τέλει δὲ τὴν ὑπὸ τῆς συνόδου ἀποδοχὴν τῆς προτάσεως. Ταῦτα πάντα, ἀφαιρεθέντα ἐν γένει ὑπὸ τοῦ ἐκδότου τοῦ Πηδαλίου, ἐν μέρει δὲ παρὰ τοῦ Βευερηγίου, τοῦ Ἑρβέτου, καὶ τοῦ Κιντίνου, διετηρήσαμεν ἡμεῖς, ἑπόμενοι μὲν ταῖς ἐκδόσεσι τοῦ Ἰουστέλλου, τῆς Ῥωμαϊκῆς Σταχυολογίας, καὶ τοῦ Βρυνσίου, πρὸς δὲ τὴν τῶν Κανόνων ὀρθοτέραν κατάληψιν οὐ σμικρὸν συμβάλλοντα θεωρήσαντες.

(1) Ζ. Ῥ. Χ. Τρ. Π. — ἔχονται Ἰουστ. Ἑ. Κ. Βευερ. — (2) Π. Σ. Ῥ. Ἑ. Χ. — φυλαχθήσεται βεβαιωθέντα Χ. Τρ. Βευερ.

συνήθροιστο σύνοδος· ἦσαν γὰρ ἐν τῇ συνόδῳ ἐκείνῃ, ὡς ἔοικε, καὶ ἐξ Ἀφρικῆς ἐπίσκοποι· εἰ οὕτως ἔχουσιν, ὡς ἀνεγνώσθησαν δηλαδὴ, ἔτι γὰρ ἀμφέβαλλον περὶ αὐτῶν, διὸ καὶ ἠξίουν τοὺς πατριάρχας, ὡς εἴρηται, στεῖλαι αὐτοῖς τὰ ἴσα, βεβαιωθέντα παρ' αὐτῶν, ἐὰν καὶ τὰ παρ' ἡμῶν ὁρισθέντα τὸν τύπον ἐκεῖνον φυλάττωσι, καὶ ἐκείνοις ἕπωνται, φυλαχθήσονται βέβαια.

ΒΑΛΣ. Ἀναγνωσθέντος τοῦ ἁγίου συμβόλου, καθὼς ἐν τῇ πρώτῃ συνόδῳ συνετέθη, ὡσαύτως καὶ τῶν εἴκοσι κανόνων τῆς αὐτῆς συνόδου, πρὸς δὲ, καὶ τῶν ἐν τῇ Ἀφρικῇ νομοθετηθέντων, καὶ διοριζομένων ἀπαράτρωτα φυλάττεσθαι τὰ κατὰ Νίκαιαν συνοδικῶς πραχθέντα καὶ ἀποφανθέντα, εἶπεν ὁ Αὐρήλιος, ὅτι τὰ παρὰ τῶν Πατέρων τῆς Ἀφρικῆς μετακομισθέντα ἀπὸ Νικαίας ἴσα τῶν τότε ὁροθετηθέντων, οὕτως ἔχουσιν ὡς ἀνεγνώσθησαν· καὶ ὀφείλουσι κατὰ τὴν τούτων ἀκολουθίαν πραχθῆναι καὶ ὁρισθῆναι τὰ ἑπομένως λαληθῆναι ὀφείλοντα καὶ βεβαιωθῆναι, ἐφ' ᾧ φυλάττεσθαι καὶ εἰς τὸ ἑξῆς.

ΑΡΙΣΤ. Τὰ ἴσα τῶν δεδογμένων τοῖς ἐν Νικαίᾳ, ἃ οἱ Πατέρες ἡμῶν ἐκ τῆς συνόδου μεθ' ἑαυτῶν κατήγαγον, φυλαττέσθωσαν.

Τὰ τοῖς ἐν Νικαίᾳ ἱεροῖς Πατράσι συνελθοῦσι τὸ πρῶτον δογματιθέντα τε καὶ κανονισθέντα, καὶ ἡ σύνοδος αὕτη ἐπικυροῖ, καὶ διατάττει φυλάττεσθαι.

## Κανὼν Β'. (Β'.)

*Περὶ κηρυκτέας τῆς ἁγίας Τριάδος.*

Σύμπασα ἡ σύνοδος εἶπε· Θέλοντος (1) τοῦ Θεοῦ, ἴσῃ ὁμολογίᾳ ἡ ἐκκλησιαστικὴ πίστις, ἡ δι' ἡμῶν παραδιδομένη, ἐν ταύτῃ τῇ ἐνδόξῳ συνελεύσει πρωτοτύπως ὁμολογητέα ἐστίν· ἔπειτα ἡ ἐκκλησιαστικὴ τάξις, μετὰ συναινέσεως ἑκάστου, καὶ ὁμοῦ πάντων, φυλακτέα ἐστί(2). Πρὸς βεβαιωτέας (3) δὲ τὰς ~~τῶν~~ ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν τῶν ἔναγχος χειροτονηθέντων διανοίας, ταῦτα δεῖ προσθεῖναι, ἃ

(1) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, Θέλοντος. — (2) τὰ ἀπὸ τοῦ, ἔπειτα ἡ ἐκκλησιαστικὴ τάξις ἕως τοῦ, φυλακτέα ἐστὶν, οὐ κεῖται ἐν Σ. 'Ρ. — (3) βεβαιωτέας Σ. Ρ.

παρὰ τῶν Πατέρων βεβαίᾳ διατυπώσει παρελάβομεν, ὥστε τῆς Τριάδος, τουτέστι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τὴν ἑνότητα, τὴν μηδεμίαν ἔχειν διαφορὰν γινωσκομένην, ἣν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσαν κατέχομεν· καὶ καθὼς ἐμάθομεν, οὕτω τοὺς λαοὺς τοῦ Θεοῦ διδάξομεν. Ὁμοίως (1) ἀπὸ πάντων τῶν ἐπισκόπων τῶν ἔναγχος προαχθέντων ἐλέχθη φανερῶς· Οὕτω δεχόμεθα, οὕτω κατέχομεν, οὕτω διδάσκομεν, τῇ πίστει τῇ εὐαγγελικῇ ἅμα τῇ ὑμετέρᾳ διδασκαλίᾳ ἑπόμενοι.

ΖΩΝΑΡ. ΒΑΛΣ. Φασὶν οἱ τῆς συνόδου, ὅτι ἐν τῇ συνελεύσει ταύτῃ, πρῶτον μὲν ὁμολογοῦμεν τὴν ἐκκλησιαστικὴν πίστιν, ἤγουν τὴν παρὰ τῆς τῶν πιστῶν ἐκκλησίας δοξαζομένην (2), ἥτις δι᾽ ἡμῶν, τῶν ἐπισκόπων δηλαδὴ, παραδέδοται· ἔπειτα φυλάττειν κατατιθέμεθα τὴν ἐκκλησιαστικὴν τάξιν, εἰς τοῦτο ἑκάστου ἡμῶν συναινοῦντος καὶ ὁμοῦ πάντων. Πρὸς δὲ βεβαίωσιν τῆς διανοίας τῶν πρὸ ὀλίγου χειροτονηθέντων ἀδελφῶν ἡμῶν καὶ συνεπισκόπων, προσθεῖναι δεῖ, ἃ παρὰ τῶν πρὸ ἡμῶν Πατέρων, τουτέστι τῶν ἀρχαίων ἐπισκόπων, βεβαίᾳ διατυπώσει, ἤγουν ὡς κανόνα βέβαιον καὶ ἀσφαλῆ παρελάβομεν. Καὶ αὐτίκα ἐπάγουσι τίνα εἰσὶν ἃ παρέλαβον, ἤτοι τὰ περὶ τῆς ἁγίας Τριάδος· ὅτι οὐδεμίαν διαφορὰν ἔχει ἡ ἁγία Τριὰς, ἀντὶ τοῦ, κατ᾽ οὐδὲν ἀλλήλων διαφέρουσιν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ἄνευ δηλονότι τῶν ἑκάστου ἰδιοτήτων· ἀλλ᾽ ἑνότης γινώσκεται ἐν αὐτοῖς, ἤγουν, ὅτι ἕν εἰσι τὰ τρία πρόσωπα, κατά τε οὐσίαν, καὶ δόξαν, καὶ δύναμιν· καὶ οὕτω τὴν πίστιν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσαν, ἤγουν ἐντυπωθεῖσαν, ἀφορισθεῖσαν, γινώσκομεν, φασὶν οἱ τῆς συνόδου, καὶ οὕτω διδάξομεν τοὺς λαοὺς, καθὼς ἐδιδάχθημεν, τῇ εὐαγγελικῇ διδασκαλίᾳ ἑπόμενοι.

ΑΡΙΣΤ. Οὐδὲν τῆς ἁγίας Τριάδος διάφορον γινώσκεται ἢ διδάσκεται, κατὰ τὴν τῶν ἐν Νικαίᾳ βεβαίωσιν.

Οὕτω παρελάβομεν, οὕτω φρονοῦμεν, μηδεμίαν διαφορὰν ἐπὶ τῆς ἁγίας γινώσκειν ἢ διδάσκειν Τριάδος· ἀλλὰ συμφυῆ ταύτην εἰδέναι, καὶ ὁμοδύναμον, καὶ ὁμότιμον.

(1) Τὰ ἑξῆς οὐ κεῖται ἐν Π. — (2) Χ. Τρ. Γ. — δεξαμένην Βευερ. Ἐ.

## Κανὼν Γ'. (Γ'.)

*Περὶ ἐγκρατείας.*

Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐν τῇ προλαβούσῃ συνόδῳ ὡς περὶ ῥυθμοῦ ἐγκρατείας καὶ ἁγνείας ἐζητεῖτο (1), ἤρεσεν, ὥστε τοὺς τρεῖς βαθμοὺς τούτους, τοὺς συνδέσμῳ τινί (2) τῆς ἁγνείας διὰ τῆς καθιερώσεως (3) συμπεπλεγμένους, φημὶ δὴ ἐπισκόπους, πρεσβυτέρους, καὶ διακόνους, ὡς πρέπει ὁσίοις ἐπισκόποις, καὶ ἱερεῦσι Θεοῦ, καὶ Λευίταις καὶ ὑπουργοῦσι θείοις καθιερώμασιν, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν, ὃ (4) παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν, ἐπιτυχεῖν· ἵνα καὶ τὸ διὰ τῶν Ἀποστόλων παραδοθὲν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν.

---

ΖΩΝΑΡ. Περὶ σωφροσύνης καὶ ἐγκρατείας τῶν ἱερωμένων ὁ κανὼν οὗτος διαλαμβάνει, λέγων, τοὺς τρεῖς βαθμοὺς τοὺς συμπλέξαντας ἑαυτοὺς, καὶ διὰ τῆς ὁμολογίας συνδεθέντας τῇ ἁγνείᾳ, ἤγουν ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ Λευΐτας, τουτέστι, διακόνους, τοὺς ὑπουργοῦντας τοῖς θείοις καθιερώμασιν, ἤτοι τῇ ἀναιμάκτῳ θυσίᾳ, τῇ καθιερωμένῃ τῷ Θεῷ, δεῖν ἐγκράτειαν ἐν πᾶσιν ἀσκεῖν, καὶ οὐχὶ, ἐν τῷ μὲν, ἐγκρατεῖς εἶναι, ἐν τῷ δὲ, αὖθις ἀδιαφόρως ζῆν, ἀλλ' ἐν πᾶσιν ἐγκράτειαν μετιέναι, τουτέστι, πᾶσαν ἐργάζεσθαι ἀρετὴν, ὅπως, φησὶ, δυνηθῶσιν ἐπιτυχεῖν, ἃ ἁπλῶς αἰτοῦσι παρὰ Θεοῦ, ἤγουν ἀδιστάκτως καὶ μὴ διακρινόμενοι. (5) Οὗτοι γάρ εἰσι μεσῖται Θεοῦ καὶ ἀνθρώπων, ἐξιλεούμενοι τὸ θεῖον τοῖς ἄλλοις, καὶ σωτηρίαν αἰτούμενοι τοῖς πιστοῖς, καὶ εἰρήνην τῷ κόσμῳ (6). Εἰ οὖν πα-

---

(1) Βευερ. Ε. Κ. Ε. Σ. Ρ. — ἐν Π. καὶ Χ. Τρ. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ Ἤρεσεν. —(2) τὸ, τινὶ, οὐ κεῖται ἐν Χ. Τρ. —(3) καθιερωσύνης Π. Σ. Ρ. Ἰους. —(4) τοῦ, ὃ παρὰ τοῦ Θεοῦ Σ. Ρ. — (5) τὸ, ἤτοι ἀδιστάκτως καὶ μὴ διακρινόμενοι οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. καὶ Κ. ἐν ταῖς σημειώσεσιν αὐτοῦ. — (6) τὰ, ἀπὸ τοῦ, ἐξιλεούμενοι ἕως τοῦ, τῷ κόσμῳ, οὐ κεῖται ἐν Χ. Τρ.

σαν, φησὶ, μετέρχονται ἀρετὴν, καὶ οὕτω παῤῥησιάζονται πρὸς Θεὸν, τυγχάνοιεν ἂν καὶ τῶν αἰτήσεων· ὡς εἴγε μὴ παῤῥησίαν ἔχοιεν, πῶς ἂν ὑπὲρ ἄλλων πρεσβεύσωνται (1); Οὕτω γὰρ καὶ ἃ παραδεδώκασιν οἱ Ἀπόστολοι, φυλάξομεν, καὶ τὰ διὰ τῆς ἀρχαιότητος κατακρατηθέντα, ἤγουν καὶ τὰ ἐγγράφως νενομοθετημένα, καὶ τὰ ἀγράφως διὰ τῆς μακρᾶς καὶ ἀρχαίας συνηθείας κρατήσαντα.

ΒΑΛΣ. Ὁ κανὼν οὗτος, πάσης ἀρετῆς ἐργάτας εἶναι θέλει τοὺς τὰ ἅγια μυστήρια μεταχειριζομένους, ἤγουν ἐπισκόπους, ἱερεῖς, καὶ διακόνους, καὶ ἐγκρατεῖς εἶναι μὴ διὰ μόνης σωφροσύνης, ἀλλὰ καὶ διὰ παντὸς ἔργου καὶ πράγματος. Οὕτω γὰρ, φησιν, εἰσακουσθήσονται παρὰ τοῦ Θεοῦ εὐχόμενοι ὑπὲρ τοῦ λαοῦ, καὶ πληροφορήσουσι φυλάττειν τὰ παραδοθέντα ὑπὸ τῶν ἁγίων Ἀποστόλων, καὶ ὑπὸ τῆς ἀρχαίας ἀγράφου ἐκκλησιαστικῆς ἀκολουθίας.

ΑΡΙΣΤ. Ἐπίσκοπος, καὶ πρεσβύτερος, καὶ διάκονος, ἁγνὸς ἔστω καὶ ἐγκρατής.

## Κανὼν Δ'. (Δ'.)

*Περὶ διαφόρων τάξεων ὀφειλουσῶν ἀπέχεσθαι γυναικῶν.*

Φαυστῖνος ἐπίσκοπος Πικένου τῆς Ποτεντινῆς χώρας, τοποτηρητὴς τῆς ἐκκλησίας Ῥώμης, εἶπεν· Ἀρέσκει (2), ἵνα ἐπίσκοπος, καὶ πρεσβύτερος, καὶ διάκονος, καὶ πάντες οἱ τὰ ἱερὰ ψηλαφῶντες τῆς σωφροσύνης φύλακες, γυναικῶν ἀπέχωνται. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Ἀρέσκει, ὥστε πάντας σωφροσύνην τηρεῖν τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἤτοι δουλεύοντας (3).

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ὁ μὲν πρὸ τούτου κανὼν περὶ ἐγκρατείας διελέχθη τῶν ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, οὗτος δὲ ἰδικώτερον περὶ σωφροσύνης καὶ ἀποχῆς γυναικῶν. Ἐκ τούτων δὲ τῶν κανόνων, μάλιστα δὲ τοῦ παρόντος, οἱ ἐν Ῥώμῃ, καὶ ὅσοι ἐκείνης ὁμογνώμονες, δοξάζου-

(1) ὡς εἴγε ... πρεσβεύσωνται; οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. καὶ Κ. —(2) ἐν Η. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, ἀρέσκει. —(3) Ἰουστ. Ἑ. Κ.

σι, μηδὲ τοὺς πρεσβυτέρους ἢ διακόνους χρῆναι νομίμως γυναιξὶν ὁμιλεῖν, ἀλλ' ἀζυγας (1) εἶναι· σφάλλονται δὲ κἀν τούτῳ, ὥσπερ καὶ ἐν ἑτέροις. Ὁ γὰρ πέμπτος κανὼν τῶν ἁγίων Ἀποστόλων, Ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. Καὶ ἴσως ἐρεῖ τις, ὅτι καὶ παρ' ἡμῖν οἱ ἐπίσκοποι γυναῖκας οὐκ ἔχουσιν· ἀλλὰ τοῦτο τοῖς τῆς λεγομένης ἕκτης συνόδου Πατράσι νενομοθέτηται, λέγουσιν ἐν τῷ ιβ'. κανόνι, ὡς οὐκ ἐναντιούμενοι τοῖς παρὰ τῶν Ἀποστόλων ὁρισθεῖσι τοῦτό φαμεν, ἀλλὰ τῆς σωτηρίας τῶν πιστῶν, καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν προμηθούμενοι, καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως. Ἡ δὲ αὐτὴ σύνοδος ἐν ιγ'. κανόνι, τόν τε παρόντα κανόνα ἡρμήνευσε, λέγουσα, τοὺς πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν ἀπαιτεῖσθαι κατὰ τοὺς καιροὺς τῆς τῶν ἁγίων μυστηρίων μεταχειρίσεως, καὶ ἐπάγουσα, ὡς, εἴ τις τολμήσειε πρεσβυτέρους, ἢ διακόνους, ἢ ὑποδιακόνους ἀποστερεῖν τῆς πρὸς νόμιμον γυναῖκα συναφείας καὶ κοινωνίας, καθαιρείσθω. Καὶ ὁ ἑβδομηκοστὸς δὲ κανὼν τῆς παρούσης συνόδου ἐλέγχει τοὺς Λατίνους, περὶ τούτου κακῶς φρονοῦντας, λέγει γάρ· Ἤρεσεν, ὥστε τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν ἰδίων ἔτι μὴν ἀπέχεσθαι γυναικῶν· ὡς ἐντεῦθεν δείκνυσθαι, ὅτι καὶ οἱ ἐπίσκοποι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι γυναιξὶ συνεβίουν, καὶ οὐκ ἀπηγόρευσεν αὐτοῖς ἡ σύνοδος τὴν πρὸς αὐτὰς ὁμιλίαν, εἰ μὴ κατὰ τοὺς ἰδίους ὅρους, τουτέστι, κατὰ τὰς ὡρισμένας ἡμέρας τῆς ἑκάστου ἐφημερίας.

### *Ἑτέρα ἑρμηνεία* (3).

Τὸ ἀπέχεσθαι γυναικῶν, μὴ μόνον τοὺς ἱερωμένους, ἀλλὰ καὶ πάντας τοὺς πιστοὺς κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως, καὶ τῷ Ἀποστόλῳ νενομοθέτηται, λέγοντι, Δοκιμαζέτω ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ

(1) Χ. Τρ. — ἀζύγους Βευερ. Κ. — (2) Χ. Τρ. — τῶν πιστῶν, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (3) εὕρηται ἐν Χ. Τρ. καὶ παρὰ Βευερ. μόνον.

ἐκ τοῦ ποτηρίου πινέτω (1)· καὶ πάλιν· Μὴ ἀποστερείτωσαν ἑαυτοὺς οἱ ὁμόζυγοι, εἰ μήτοι ἐκ συμφώνου, ὅταν τῇ προσευχῇ τῆς ἁγίας κοινωνίας προσελθεῖν μέλλωσι (2). Καὶ τὸν Δαβὶδ δὲ, καὶ τοὺς σὺν αὐτῷ ζητήσαντας τὸν Ἀβιάθαρ τὸν ἀρχιερέα λαβεῖν (3) ἐκ τῶν ἄρτων τῆς προθέσεως, * τῶν τιθεμένων τότε εἰς προτύπωσιν τοῦ σώματος τοῦ Χριστοῦ, προησφαλίσατο ὁ ἀρχιερεὺς * (4), εἰ καθαροί εἰσιν ἀπὸ κοίτης γυναικός (5). Καὶ τὸ ἐν τῇ θείᾳ μυσταγωγίᾳ (6) ἐκφωνούμενον, « Τὰ ἅγια τοῖς ἁγίοις », τοιαύτης ἐννοίας ἐστίν· οἱ γὰρ μεμολυσμένοι ἀπὸ συνουσίας γυναικὸς, ἢ ἐξ ἄλλου τρόπου μυσαροῦ μὴ ὄντες ἅγιοι, τουτέστιν ἄξιοι, οὐκ ὀφείλουσι μεταλαμβάνειν (7). Ὥστε ἀπὸ τούτων ἁπάντων συνάγεται, ὅτι οὐδὲ αὐτοὶ οἱ ὁμόζυγοι συνελθόντες σωματικῶς, τῆς ἁγίας ἀξιωθήσονται μεταλήψεως (8) κατ' αὐτὴν τὴν ἡμέραν. Ὁ δὲ ἁγιώτατος ἐκεῖνος πατριάρχης κὺρ Λουκᾶς ἐρωτηθεὶς περὶ τούτου, ἀπεφήνατο συνοδικῶς, πρὸ τριῶν ἡμερῶν ὀφείλειν ἀποδιΐστασθαι τῆς σωματικῆς ὁμιλίας τοὺς μέλλοντας μετασχεῖν τῶν θείων ἁγιασμάτων· ἀλλὰ καὶ τοὺς νυμφίους, τοὺς κατὰ τὴν αὐτὴν ἡμέραν τοῦ γάμου * (9) μετὰ τὴν ἁγίαν μετάληψιν συνερχομένους διὰ μίξεως (10), ἐπιτιμίοις καθυπέβαλε. Καὶ ἀνάγνωθι τὸ κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος γεγονὸς χάριν τούτου σημείωμα. Ὡσαύτως ἀνάγνωθι καὶ ἐκ τῶν κανονικῶν ἐρωταποκρίσεων Τιμοθέου Ἀλεξανδρείας τὴν ε'. καὶ τὴν ιγ'. διδασκούσας ἀπέχεσθαι τοὺς πιστοὺς τῆς πρὸς ἀλλήλους ὁμιλίας τὸ σάββατον καὶ τὴν Κυριακήν. Αἱ τοιαῦται δὲ παραδόσεις συγκροτοῦνται καὶ ἀπὸ τῶν Μωσαϊκῶν βιβλίων· φησὶ γὰρ ἐν τῇ βίβλῳ τῆς Ἐξόδου ταῦτα ῥητῶς· Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, καταβὰς διαμάρτυρε τῷ λαῷ

---

(1) α', Κορινθ. ΙΑ', 28. — (2) α', Κορινθ. Ζ', 5. — (3) τὸν Ἀβιάθαρ τὸν ἀρχιερέα λαβεῖν, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. — (4) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. — (5) Χ. Τρ. — παρὰ δὲ Βευερ. οὕτω· Εἰ καθαροί εἰσιν ἀπὸ γυναικὸς ὁ ἱερεὺς ἠρώτα. — (6) ἱερουργίᾳ Χ. Τρ. — (7) Χ. Τρ. ὁ δὲ Βευερ. οὕτως. ἢ ἄλλως, οὐκ εἰσὶν ἅγιοι, διὸ οὐδὲ ὀφείλουσι κοινωνεῖν. — (8) Χ. Τρ. — τῆς ἁγίας κοινωνίας μετάσχωσι, Βευερ. — (9) Χ. Τρ. — τοῦ γάμου οὐ κεῖται παρὰ Βευερ. — (10) Χ. Τρ. — οὐ κεῖται τὸ, διὰ μίξεως παρὰ Βευερ.

τούτῳ, καὶ ἄγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος Σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ(1)· καὶ πάλιν· Κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν, καὶ ἡγίασεν αὐτοὺς, καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν, καὶ εἶπε τῷ λαῷ· Γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, καὶ μὴ προσέλθητε γυναικί(2).

ΑΡΙΣΤ. Καὶ γυναικὸς ἤτωσαν ἀπεχόμενοι, ἵνα τῶν αἰτουμένων ἐπιτυγχάνοιεν.

Ὁ μὲν κανὼν οὗτος, καὶ ὁ εἰκοστὸς πέμπτος, συμβιβαζόμενοι πρὸς τὸν ἑβδομηκοστὸν κανόνα τῆς παρούσης συνόδου, οὐ φαίνονται ἀπαιτοῦντες τὸν ἐπίσκοπον, καὶ πρεσβύτερον, καὶ διάκονον διαλύειν τὸν γάμον, καὶ τῶν γυναικῶν αὐτῶν ἀπέχεσθαι τέλεον, ἀλλὰ κατὰ τοὺς ἰδίους καιροὺς ἐγκρατεύεσθαι ἐξ αὐτῶν, ἤγουν, ὅτε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ σχολάζουσι, καὶ τὴν τῶν ἁγίων ποιοῦνται μεταχείρισιν. Ὁ δὲ δωδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τοῖς ἐπισκόποις οὐ συγχωρεῖ ταῖς ἰδίαις γαμεταῖς συνοικεῖν, μετὰ τὴν προελθοῦσαν χειροτονίαν τῆς ἐπισκοπῆς ἐπ' αὐτοῖς, ἀλλὰ διαλύειν τὴν πρὸς αὐτὰς συνάφειαν· τοῦτο δὲ, οὐκ ἐπ' ἀθετήσει τοῦ γάμου, καὶ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων εἰσάγει, ἀλλ' ἐπὶ προμηθείᾳ τῆς σωτηρίας, καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τοῦ λαοῦ, καὶ τῷ μή τινα μῶμον δοῦναι κατὰ τῆς ἱερατικῆς καταστάσεως. Ὁ δὲ τρισκαιδέκατος τῆς αὐτῆς ἕκτης συνόδου κανὼν καὶ ἐπιμέμφεται τὸ ὡς ἐν τάξει κανόνος ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ παραδεδομένον, ἤγουν τὸ καθομολογεῖν τοὺς μέλλοντας χειροτονεῖσθαι διακόνους ἢ πρεσβυτέρους, ὡς οὐκέτι ταῖς αὐτῶν συναφθήσονται γαμεταῖς, καὶ προστάττει τὰ κατὰ νόμους τῶν ἱερατικῶν ἀνδρῶν συνοικέσια μὴ διασπᾶσθαι, ἀλλ' ἐῤῥῶσθαι, καὶ μὴ χωρίζεσθαι ἀπ' ἀλλήλων, ἀλλ' ἢ μόνον κατὰ τοὺς ἰδίους καιροὺς ἐκ τῶν συμβίων αὐτῶν ἐγκρατεύεσθαι, καθὼς καὶ ὁ Ἀπόστολος παραδίδωσι, καὶ πάλιν συνέρχεσθαι.

---

(1) Ἐξόδ. ΙΘ', 10, 11. — (2) Ἐξόδ. ΙΘ', 14, 15.

## Κανὼν Ε'. (Ε'.)

*Περὶ ἀπληστίας.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Τὴν (1) τῆς ἀπληστίας ἐπιθυμίαν, ἣν πάντων τῶν κακῶν μητέρα εἶναι οὐδεὶς ἀμφιβάλλει, δέον ἐπέχειν, ἵνα μή τις τοῖς ἀλλοτρίοις (2) κατακέχρηται, μηδὲ ἵνα διὰ κέρδος τοὺς τῶν Πατέρων ὅρους τις ὑπερβαίνῃ, μηδὲ ἵνα παντοίως τινὶ κληρικῷ ἐξὸν εἴη ἀπὸ οἱουδήποτε πράγματος τόκον λαβεῖν. Καὶ τὰ μὲν νεωστὶ ἀνενεχθέντα, ἀμαυρὰ ὄντα, καὶ καθόλου λανθάνοντα, σκοπούμενα παρ' ἡμῶν, τυπωθήσονται. Περὶ δὲ ὧν φανερώτατα ἡ θεία Γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἕπεσθαι. Ἀκολούθως γὰρ τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὀφείλει καταδικάζεσθαι. Σύμπασα ἡ σύνοδος εἶπεν· Οὐδεὶς κατὰ τῶν Προφητῶν, οὐδεὶς κατὰ τῶν Εὐαγγελίων χωρὶς κινδύνου ἐποίησε (3).

---

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ τοκίζειν κληρικοὺς ὁ κανὼν διατάξασθαι μέλλων, περὶ ἀπληστίας διαλέγεται πρῶτον, καὶ ταύτην εἶναί, φησι, τῶν κακῶν ἁπάντων μητέρα, ἣν καὶ ἐπέχειν ὁρίζει, τουτέστι κωλύειν, ἀνακόπτειν, ἵνα μὴ τοῖς ἀλλοτρίοις ἐπεμβαίνῃ, καὶ κατακέχρηται αὐτοῖς· κατάχρησιν δ' ὠνόμασε τὴν παρὰ τὸ δέον χρῆσιν· χρῆσις δὲ παρὰ τὸ δέον ἐστὶ, καὶ τὸ εὐαφόρμως τάχα τὰ ἀλλότρια ἀφαιρεῖσθαι. Οἱ γὰρ δανείζοντες ἐπὶ τόκοις, ὡς δῆθεν ὠφελουμένων τῶν δανειζομένων ἐκ τοῦ δάνους, φασὶ, καὶ αὐτοὺς συμμετέχειν τοῦ κέρδους. Καὶ ἄλλως δὲ ἀνακόπτειν δεῖ, φησι, τὴν πλεονεξίαν, ἵνα μὴ διὰ κέρδος τοὺς τῶν Πατέρων ὅρους τις ὑπερβαίνῃ· ὅρους δὲ τῶν Πατέρων τοὺς ἱεροὺς κανόνας καλεῖ. Ὅτι γὰρ μδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, δανείζειν τοὺς ἱερωμένους ἐπὶ

---

(1) Ἐν Π. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, Τὴν τῆς ἀπληστίας. — (2) Π. — τοῖς ἀλλοτρίοις ὅροις Βευερ. Ἐ. Κ. Βρ. Σ. Ψ. Ἰουστ. — (3) Σύμπασα... ἐποίησεν, οὐ κεῖται ἐν Π. Χ. Τρ. καὶ Σ. Ψ.

τόκοις ἀπαγορεύει, καὶ ὁ τῆς πρώτης οἰκουμενικῆς συνόδου ιζ'. κανὼν καθαιρέσει καθυποβάλλει καὶ καταδικάζει τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους, ἐπὶ τόκοις δανείζοντας· καὶ ὁ τῆς ἐν Λαοδικείᾳ συνόδου δ'. κανὼν ἀποτρέπει τοῖς ἱερατικοῖς τὸ ἐπὶ τόκοις δανείζειν· τούτους οὖν τοὺς κανόνας ὅρους τῶν Πατέρων ἐκάλεσεν (1). Ἀνακοπτέσθω δέ, φησιν, ἡ ἀπληστία, καὶ ἵνα μὴ ἐξῇ κληρικῷ οἱῳδήτινι τόκον λαμβάνειν ἀπὸ οἱουδήποτε πράγματος· οὐ μόνον γὰρ ἀργύρια δανείζονται, ἀλλὰ καὶ σῖτος, καὶ οἶνος, καὶ ἔλαιον, καὶ μυρία ἕτερα εἴδη· καὶ ὥσπερ ἐπὶ τῶν νομισμάτων συμφωνεῖται δίδοσθαι τόκος, οὕτω καὶ ἐπὶ τῶν εἰδῶν· δανείζων γάρ τις σῖτον τυχὸν μοδίους ἑκατὸν, συμφωνεῖ λαβεῖν μετὰ καιρὸν ὡρισμένον μοδίους ἐπέκεινα τόσους, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἵνα οὖν μὴ περιγράφηται ὁ κανὼν, νομίσματα μὲν μὴ δανειζόντων ἐπὶ τόκῳ τῶν ἱερωμένων, ἐν εἴδεσι δὲ τοῦτο ποιούντων, προσέθεντο οἱ Πατέρες, οἱουδήποτε πράγματος. Καὶ τά μὲν νεωστὶ ἀνενεχθέντα, ἤγουν ὑπομνησθέντα, φασὶν, ἀμαυρὰ ὄντα, ἤγουν ἀσαφῆ, σκοτεινὰ, ἀγνοούμενα, τυπωθήσονται, ἀντὶ τοῦ, ὁρισθήσονται παρ' ἡμῶν σκοπούμενα· ἃ δὲ (2) ἡ θεία Γραφὴ ἐθέσπισεν, ἤτοι ἐνομοθέτησε, διωρίσατο, περὶ ἐκείνων οὐ δεῖ ψηφίζεσθαι, τουτέστιν ἀποφαίνεσθαι, ἀλλὰ καὶ ἕπεσθαι καὶ ἀκολουθεῖν τοῖς νενομοθετημένοις. Θείαν δὲ Γραφὴν, τούς τε ἱεροὺς κανόνας ὠνόμασε καὶ τὰς γραφικὰς ῥήσεις, τὸ, Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου (3), καὶ, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ (4), καὶ ὅσα τοιαῦτα. Εἶτα καὶ κατασκευάζουσι, πῶς ἄτοπόν ἐστι καὶ αἰσχρὸν τὸ δανείζειν ἐπὶ τόκοις τοὺς ἱερωμένους, καί φασιν, ὅτι ὅπερ ἐν λαϊκοῖς ἐπιλήψιμόν ἐστιν, ἤγουν ψεκτὸν καὶ διαβεβλημένον, ἀκολούθως ἐν κληρικοῖς πολλῷ μᾶλλον ὀφείλει καταδικάζεσθαι. Πρὸς ταῦτα ἡ σύνοδος εἶπεν· Οὐδεὶς κατὰ τῶν Προφητῶν, οὐδεὶς κατὰ τοῦ Εὐαγγελίου χωρὶς κινδύνου ἐποίησε. Τοῦτο δ' ἐστὶν ὃ εἶπον, ὅτι, ἐπεὶ καὶ τῇ παλαιοτέρᾳ Γρα-

(1) τούτους . . ἐκάλεσεν, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Κ. Τρ. — καὶ Βιυερ. Κ. — (3) Δευτερ. ΚΓ', 19. — (4) Ψαλμ. ΙΔ', 5.

φῇ, (ταύτην γὰρ διὰ τῶν προφητῶν ᾐνίξαντο), καὶ τῇ νέᾳ, ἣν διὰ τοῦ Εὐαγγελίου ἐνέφηναν, ἀποτετραμμένον ἐστὶ τὸ τοκίζειν, οὐδεὶς ποιῶν τὰ ἀπηγορευμένα αὐταῖς ἐκφεύξεται τὸν κίνδυνον· κινδυνεύσει γὰρ περὶ τὴν οἰκείαν ἐπιτιμίαν, τουτέστι καθαιρεθήσεται.

ΒΑΛΣ. Ὁ μὲν μδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ δ'. τῆς ἐν Λαοδικείᾳ, ἀποτρέπουσι τόκους λαμβάνειν τοὺς κληρικούς· ὁ δὲ ιζ'. κανὼν τῆς ά. συνόδου καθαιρέσει καθυποβάλλει αὐτούς. Τούτους οὖν τοὺς κανόνας, ὅρους καλέσαντες οἱ Πατέρες, καὶ ἀπληστίαν, καὶ αἰσχροκέρδειαν τὴν τῶν τόκων λῆψιν κατονομάσαντες, διωρίσαντο μὴ ὑπερβαίνειν τοὺς τῶν Πατέρων ὅρους, ἤτοι τοὺς κανόνας, καὶ λαμβάνειν τόκους κληρικὸν ἀφ' οἱουδήτινος πράγματος, ἤγουν μήτε ἀπὸ δανείου νομισμάτων, μήτε ἀπὸ δανείου σίτου, ἢ ἑτέρου εἴδους τινός. Προσέθεντο δὲ, ὅτι τὰ μὲν νεωςὶ ἀνενεχθέντα, ἤγουν τυπωθέντα, ἀσαφῆ καὶ σκοτεινά. εἰσιν, ὡς ἀγνοούμενα· περὶ δὲ ὧν ἡ θεία Γραφὴ ἐθέσπισεν, ἤτοι ἐνομοθέτησεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἀκολουθεῖν τοῖς νενομοθετημένοις· θείαν δὲ Γραφὴν τούς τε ἱεροὺς κανόνας ὠνόμασαν, καὶ τὰς γραφικὰς ῥήσεις, οἷον τὸ, Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου, καὶ, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ ὅσα τοιαῦτα. Εἶτα κατασκευάζουσι, πῶς ἄτοπόν ἐστι καὶ αἰσχρὸν τὸ δανείζειν ἐπὶ τόκοις ἱερωμένους, καί φασιν, ὅτι, ὅπερ ἐν λαϊκοῖς ἐπιλήψιμόν ἐστι, τουτέστι ψεκτὸν καὶ διαβαλλόμενον, ἀκολούθως ἐν κληρικοῖς πολλῷ μᾶλλον ὀφείλει καταδικάζεσθαι. Πρὸς ταῦτα ἡ σύνοδος εἶπεν Οὐδεὶς κατὰ τῶν Προφητῶν, οὐδεὶς κατὰ τοῦ Εὐαγγελίου, χωρὶς κινδύνου ἐποίησεν· ἤγουν ὅτι, ἐπεὶ καὶ τῇ παλαιοτέρᾳ Γραφῇ, (ταύτην γὰρ διὰ τῶν Προφητῶν ᾐνίξαντο,) καὶ τῇ νέᾳ, (ἣν διὰ τοῦ Εὐαγγελίου ἐνέφηναν,) ἀποτετραμμένον ἐστὶ τὸ τοκίζειν, οὐδεὶς ποιῶν τὰ ἀπηγορευμένα αὐταῖς ἐκφεύξεται τὸν κίνδυνον· κινδυνεύσει γὰρ περὶ τὴν οἰκείαν ἐπιτιμίαν, τουτέστι καθαιρεθήσεται.

ΑΡΙΣΤ. Τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, ὁποῖόν ἐστι τὸ τοκίζειν, πολλῷ μᾶλλον ἐν κληρικοῖς καταδικάζεται.

Καὶ ὁ τεσσαρακοστὸς τέταρτος ἀποστολικὸς κανὼν, καὶ ὁ

ἑπτακαιδέκατος τῆς ἐν Νικαίᾳ συνόδου τὸ πρῶτον, καὶ ὁ δέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τὸν ἀπαιτοῦντα τόκους πρεσβύτερον, ἢ διάκονον, καὶ μὴ παυόμενον, τῇ καθαιρέσει καθιστῶσιν ὑπόδικον. Εἰ γὰρ παρὰ λαϊκῶν τοῦτο γινόμενον ἐπίμεμπτόν ἐστι, καὶ αἰσχροκερδείας καὶ πλεονεξίας μῶμον αὐτοῖς ἐπιτρίβει, καὶ οὐδὲ εἰς ἱερωσύνην παραδέχονται, εἰμὴ τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλώσουσι, καὶ ὑποσχεθῶσι μηκέτι τῷ τοιούτῳ τῆς φιλοχρηματίας νοσήματι ἐμπεσεῖν, κατὰ τὸν ιδʹ. τοῦ μεγάλου Βασιλείου κανόνα, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὑπὸ καταδίκην ἔσται.

## Κανὼν ϛʹ. (ϛʹ.)

*Ὥστε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.*

Φορτουνάτος ἐπίσκοπος εἶπεν· Ἐν ταῖς προλαβούσαις συνόδοις μεμνήμεθα ὁρισθέντα (1), ὥστε χρίσμα ἢ καταλλαγὴν μετανοούντων, ἢ κορῶν, καὶ τόπων, καὶ ναῶν (2) καθιέρωσιν ὑπὸ πρεσβυτέρων μὴ γίνεσθαι. Ἐὰν δέ τις ἀναφυῇ τοῦτο πράττων, τί δεῖ περὶ τούτου ὁρίσαι; Αὐρήλιος ἐπίσκοπος εἶπε· Τὸ ὑμέτερον ἀξίωμα ἤκουσε τὸ ἀνενεχθὲν παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Φορτουνάτου· τί πρὸς ταῦτα λέγετε; Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη (3), χρίσματος ποίησιν, καὶ κορῶν καθιέρωσιν ὑπὸ πρεσβυτέρων μὴ γίνεσθαι (4)· μήτε δὲ καταλλάξαι τινὰ εἰς δημοσίαν λειτουργίαν πρεσβυτέρῳ ἐξεῖναι· τοῦτο πᾶσιν ἀρέσκει.

---

ΖΩΝΑΡ. Χρίσματος ποίησις, ἡ ἐπὶ τῷ ἁγίῳ μύρῳ ἐστὶ

(1) ὁρισθέντος Χ. Τρ. — (2) Σ. Ῥ. — τόπων καὶ ναῶν, οὐ κεῖται παρὰ τοῖς λοιποῖς, παρὰ δὲ Βευερ. ἢ κορῶν, καὶ ναῶν καθιέρωσιν. — (3) ὁ Κανὼν οὗτος ἄρχεται ἐν Π. ἀπὸ τοῦ, Χρίσματος ποίησιν κτλ. — τὰ προηγούμενα κεῖται παρὰ Βευερ. Ἐ. Κ. καὶ ἐν Χ. Τρ. ὅπου ὅμως παραλείπεται τὸ, Αὐρήλιος ἐπίσκοπος . . . ἐλέχθη. — (4) Λυνστ. — μὴ γένηται οἱ λοιποί.

τελετή· καταλλαγὴ δὲ μετανοούντων, τὸ λῦσαι τὸν ἐξομολογησάμενον τοῦ ἐπιτιμίου, καὶ ἐν μετανοίᾳ γενόμενον, καὶ ἐπιτιμηθέντα. Ὡς γὰρ ἤδη ἱκανῶς ἴσως ὁ τοιοῦτος δουλεύσας τῷ ἐπιτιμίῳ, ἢ καὶ τὸν ὡρισμένον πληρώσας χρόνον, καὶ ἀνάλογον ἐπιδειξάμενος τὴν μετάνοιαν, λύεται τοῦ ἐπιτιμίου, καὶ ἢ συνεστάναι τοῖς πιστοῖς παραχωρεῖται, ἢ καὶ τῶν ἁγιασμάτων μεταλαμβάνειν· καταλλάττει γὰρ ὥσπερ αὐτὸν τῷ Θεῷ ὁ ἀρχιερεὺς διὰ τῆς μετανοίας, καὶ οὕτω συνίστησιν αὐτὸν τοῖς πιστοῖς ἐν τῇ ἐκκλησίᾳ, καὶ τῶν ἁγιασμάτων καταξιοῖ· ἢ καί, ἔτι τοῦ χρόνου τῆς μετανοίας ἐπιδαψιλευομένου καταλλάττεται, ἔστιν ὅτε, ὁπότε δηλαδὴ περὶ τὴν ζωὴν κινδυνεύει, ὥς φησι περὶ τούτου ὁ ἐφεξῆς κανών. Κορῶν δὲ καθιέρωσις, οὐχὶ διακονισσῶν χειροθεσία ἐστίν, ἀλλ' ἔθος ἦν προσάγεσθαι χόρας ταῖς ἐκκλησίαις παρθενίαν ὁμολογούσας, καὶ ἁγνεύειν ὑπισχνουμένας (1), καὶ ταύτας οἱ ἐπίσκοποι δι' εὐχῶν καθιέρουν, ὡς ἀνατεθείσας τῷ Θεῷ, καὶ ἐκεῖνοι ἐφρόντιζον τῆς φυλακῆς καὶ ἀναγωγῆς αὐτῶν, μετὰ τοῦ χωρισθῆναι αὐτὰς ἐκ τῶν πατέρων αὐτῶν, καθὼς δηλοῖ ὁ μδ'. κανὼν τῆς παρούσης συνόδου. Ταῦτα οὖν γίνεσθαι παρὰ πρεσβυτέρων ἀπηγόρευσεν ἡ σύνοδος· παρὰ γὰρ ἀρχιερέων καὶ τὸ ἅγιον χρίσμα τελεῖται καὶ ἁγιάζεται, καὶ καταλλαγὴ μετανοούντων γίνεται· οἷς γὰρ δεσμεῖν δέδοται, τούτοις καὶ τὸ λύειν ἐπιτέτραπται. Καὶ ἅμα διακρίσεως ἀκριβοῦς χρεία εἰς τὸ γνῶναι, εἰ ἐκ ψυχῆς μετενόησε καὶ ἀρκούντως ὁ ἁμαρτήσας, πρὸς ἃ ὁ πρεσβύτερος ἴσως οὐχ ἱκανὸς ἔσται. Καὶ ἡ κορῶν καθιέρωσις, παρὰ ἀρχιερέων γίνεσθαι διατέτακται, ἵνα εἴδησιν ἔχων, ὅτι καθιερώθησαν, φροντίζῃ καὶ τῆς αὐτῶν διαγωγῆς τε καὶ φυλακῆς ἕκαστος τῶν ἐπισκόπων. Τὸ δὲ καταλλάξαι εἰς δημοσίαν λειτουργίαν τοιοῦτόν ἐστιν· οἱ ἐπιτιμηθέντες καὶ τῆς ἐκκλησίας εἰργόμενοι, ἐν ταῖς συνάξεσι μὲν μετὰ τῶν πιστῶν οὐ παραχωροῦνται συνίστασθαι, καθ' ἑαυτοὺς δὲ ὑμνεῖν τὸν Θεὸν καὶ δέεσθαι αὐτοῦ οὐ κωλύονται· ὅτε δὲ τοῦ ἐπιτιμίου λυθῶσι, τότε συνίστανται τοῖς πιστοῖς, καὶ δημοσίᾳ, ἤγουν μετὰ

---

(1) τὸ, καὶ ἁγνεύειν ὑπισχνουμένας, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βεβερ. καὶ Κ.

τοῦ δήμου τῶν πιστῶν, τοῦ πλήθους δηλαδὴ, λειτουργοῦσιν, ἀντὶ τοῦ, φανερῶς ὑμνοῦσι τὸ θεῖον, καὶ λατρεύουσι τῷ Θεῷ· ἐξείληπται γὰρ τὸ λειτουργεῖν καὶ ἐπὶ λατρείας καὶ ὕμνου (1).

ΒΑΛΣ. Χρίσματος ποίησίς ἐστιν ἡ τοῦ ἁγίου μύρου τελετή· καταλλαγὴ μετανοούντων, τὸ δέχεσθαι λογισμοὺς ἁμαρτανόντων, καὶ λύειν τοὺς ἴσως ἐπιτιμηθέντας ἐκ τοῦ ἐπιτιμίου· καταλλάσει γὰρ τούτους ὁ ψυχικὸς ἰατρὸς μετὰ τοῦ Θεοῦ, διὰ τῆς μετανοίας καὶ τῆς πρὸς τὸ κρεῖττον ἐπιστροφῆς. Κορῶν δὲ καθιέρωσις, οὐχὶ διακονισσῶν χειροθεσία ἐστὶ, ἀλλ' ἔθος ἦν, κόρας προσάγεσθαι τῇ ἐκκλησίᾳ παρθενίαν ὁμολογούσας, καὶ ταύτας οἱ ἐπίσκοποι δι' εὐχῶν καθιέρουν, ὡς ἀνατεθείσας τῷ Θεῷ, καὶ ἐκεῖνοι ἐφρόντιζον τῆς φυλακῆς αὐτῶν, καθὼς δηλοῦται ἀπὸ τοῦ μδ'. κανόνος τῆς παρούσης συνόδου. Ταῦτα οὖν γίνεσθαι παρὰ πρεσβυτέρων ἀπηγόρευσεν ἡ σύνοδος, ὥσπερ καὶ τὴν τῶν ναῶν καθιέρωσιν, καὶ δέδωκε τὴν ἐξουσίαν αὐτῶν τοῖς ἀρχιερεῦσι. Τὸ δὲ καταλλάξαι εἰς δημοσίαν λειτουργίαν, τοιοῦτον ἐστίν· οἱ ἐπιτιμηθέντες καὶ τῆς ἐκκλησίας εἰργόμενοι, οὐ παραχωροῦνται συνίστασθαι μετὰ τῶν πιστῶν, καθ' ἑαυτοὺς δὲ ὑμνεῖν τὸν Θεὸν οὐ κωλύονται· ὅτε δὲ τοῦ ἐπιτιμίου λυθῶσι, τότε συνίστανται τοῖς πιστοῖς, καὶ δημοσίᾳ, ἤγουν φανερῶς, ὑμνοῦσι τὸν Θεὸν μετὰ τοῦ δήμου. Ἀνάγνωθι καὶ τὸν μγ'. κανόνα τῆς παρούσης συνόδου· καὶ μὴ ἐναντιωθῇ σοι ὁ νβ'. ἀποστολικὸς κανὼν λέγων, τοὺς ἐπισκόπους καὶ τοὺς πρεσβυτέρους δέχεσθαι τοὺς ἐπιστρέφοντας· ἀλλ' εἰπὲ καὶ τούτους τοὺς πρεσβυτέρους κατὰ προτροπὴν τῶν ἐπισκόπων δέχεσθαι τοὺς μετανοοῦντας. Ὥστε σημείωσαι, ὅτι οἱ χωρὶς ἐπιτροπῆς ἐπισκοπικῆς δεχόμενοι λογισμοὺς ἀνθρώπων ἱερωμένοι μοναχοὶ κακῶς ποιοῦσι, πολλῷ δὲ πλέον οἱ ἀνίεροι· οὗτοι γὰρ οὐδὲ μετὰ προτροπῆς ἐπισκοπικῆς δύνανται τοιοῦτόν τι ἐνεργῆσαι· διὸ καὶ σημείωμα γέγονε συνοδικὸν τοῦ ἁγιωτάτου Πατριάρχου Κυροῦ Θεοδοσίου (2) ἐκ προσελεύσεως τοῦ μέρους τῆς σεβασμίας μονῆς τῆς Εὐεργέ-

(1) ἐξείληπται . . . καὶ ὕμνου, οὐ κεῖται ἐν Χ. Τρ. — (2) τοῦ ἁγιωτάτου. — Θεοδοσίου, κεῖται παρὰ Ἑ. παρὰ δὲ Βευερ. ἐν σημειώσεσιν, οὐχὶ δὲ ἐν Χ. Τρ.

τιδος, ὡς, ἐπεὶ τὸ τυπικὸν τῆς μονῆς διορίζεται δέχεσθαι τὸν κατὰ καιροὺς ἡγούμενον αὐτῆς, τοὺς λογισμοὺς τῶν μοναχῶν, οὐκ ἐφεῖται δὲ ἀνιέρῳ δέχεσθαι λογισμοὺς, ἐξ ἀνάγκης ἕπεται τὸ εἶναι τὸν καθηγούμενον ἱερέα. Ἡγούμενοι δὲ, ὡς πολλάκις εἴπομεν, ἀνίεροι γίνονται· ὅτι καὶ γυναῖκες ἡγουμενεύουσι μὲν, λογισμοὺς δὲ ἀνθρώπων οὐ δέχονται. Τούτων οὕτως ἐχόντων, λέγουσί τινες, ὡς, ἐπεὶ παρὰ ἀρχιερέων ἡ τῶν κορῶν (1) καθιέρωσις γίνεται, οὐκ ἔσται ἐπ' ἀδείας ἱερωμένῳ καθηγουμένῳ, ἢ ἁπλῶς ἱερεῖ μοναχῷ, ἀποκείρειν οἱονδήτινα μοναχὸν χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς· ταυτὸν γάρ ἐστιν ἡ τῶν κορῶν καθιέρωσις, καὶ ἡ τῶν μοναχῶν ἀπόκαρσις. Ἐμοὶ δὲ δοκεῖ ἀπαρεμποδίστως τοὺς ἱερεῖς καθηγουμένους ἀποκείρειν καὶ δίχα ἐπιτροπῆς ἐπισκοπικῆς· εἰ γὰρ ὁ ιδ'. κανὼν τῆς ζ'. συνόδου ἐκχωρεῖ τῷ καθηγουμένῳ καὶ σφραγίδα ἀναγνώστου ποιεῖν * χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου* (2)εἰς τὴν οἰκείαν μονὴν, πολλῷ πλέον ἐξεχώρησεν αὐτῷ ποιεῖν τὴν ἀπόκαρσιν· καὶ ἀνάγνωθι τὰ ἐν τῷ αὐτῷ ιδ'. κανόνι γραφέντα. Οἱ δὲ ἁπλῶς ἱερεῖς μοναχοὶ ὀφείλουσι τὰς ἀποκάρσεις ποιεῖν μετὰ εἰδήσεως ἐπισκοπικῆς διὰ τὸν παρόντα κανόνα, εἰ μήπου τις καὶ τοῦτο θελήσει γίνεσθαι κατὰ μόνην τοῦ μοναχοῦ ἱερέως θέλησιν, ἀπὸ τῆς μακρᾶς συνηθείας τῆς ἀντὶ νόμου καὶ κανόνος κρατούσης μέχρι τοῦ νῦν. Ὅπερ τέως ἐμοὶ μετὰ πληροφορίας οὐ δοκεῖ· οὐδὲ γὰρ οἶδα ἐὰν ἐλαλήθη τοῦτο συνοδικῶς καὶ ἐστηρίχθη. Τὸ δὲ μὴ δέχεσθαι λογισμοὺς ἀνθρώπων πάντας τοὺς ἱερεῖς, ἀλλὰ μόνους τοὺς μοναχοὺς ἱερεῖς, ἄδικον ἐστίν· οἴομαι δὲ ὑπὸ τῆς ὑποκρίσεως ἐπλεονεκτήθη, καὶ διὰ τοῦτο βραδέως πάντῃ, ἐῶ γὰρ εἰπεῖν οὐδαμῶς, ἀνατίθεταί τις ἐπισκόπῳ ἢ ἱερεῖ λογισμὸν οἰκεῖον μὴ ὄντι καὶ μοναχῷ· ὅπερ τοῖς μὲν ἐπισκόποις καὶ τοῖς ἱερεῦσι μακαριώτατόν ἐστι, τοῖς δὲ μοναχοῖς ἐπικινδυνώτατον· τοῖς γὰρ ἀξίοις, φησὶ, καὶ κατὰ τὸν Ἀπόστολον Πέτρον οὖσι, δοτέον τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ πλέον οὐ γράφω (3).

(1) ἡ τῶν ἱερῶν Βευερ. — (2) Χ. Τρ. — τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. εἰ μὴ λατιν. — (3) ὅπερ τέως οὐ γράφω, οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. καὶ λατ. παρὰ Ἑ. ἐν παραρτ. σελ. 1123. Σημείωσαι δὲ τὸν Παρισινὸν ἐκδότην ὁμολογοῦντα ἐν οὐδενὶ Ἑλληνικῷ χειρογράφῳ εὑρεῖν τὸ χωρίον τοῦτο, ὡς καὶ ἄλλα πολλὰ ἅπερ ἀναγινώσκονται ἐν Χ. Τρ. Eorum, qui sequuntur

ΑΡΙΣΤ. Καὶ χρίσματος ποίησις, ἤγουν μύρου κατασκευὴ, καὶ κορῶν καθιέρωσις, καὶ καταλλαγή τινος εἰς δημοσίαν λειτουργίαν, ἀπὸ πρεσβυτέρων μὴ γινέσθω.

Τὴν τοῦ ἁγίου μύρου κατασκευὴν καὶ τελείωσιν, καὶ τὴν καθιέρωσιν τῶν παρθένων, καὶ τὴν τελείαν καταλλαγὴν τῶν ἐν μετανοίᾳ, ὥστε αὐτοὺς δημοσίᾳ μετὰ τῶν πιστῶν συνίστασθαι, καὶ τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων, πρεσβύτερος οὐ συγκεχώρηται ποιεῖν· ἀλλὰ παρ' ἐπισκόπου ταῦτα ὀφείλουσι γίνεσθαι.

## Κανὼν Ζ'. (Ζ').

*Περὶ τῆς τῶν ἐν κινδύνῳ καθεστώτων καταλλαγῆς.*

**Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐάν τις (1) ἐν κινδύνῳ καθεστὼς, αἰτήσῃ ἑαυτὸν καταλλαγῆναι τοῖς ἱεροῖς θυσιαστηρίοις (2), τοῦ ἐπισκόπου ἀπόντος, ὀφείλει εἰκότως ὁ πρεσβύτερος ἐρωτῆσαι τὸν ἐπίσκοπον, καὶ οὕτω τὸν ἐν κινδύνῳ καταλλάξαι κατὰ τὴν ἐκείνου παραγγελίαν (3)· τοῦτο δὲ τὸ πρᾶγμα ὀφείλομεν σωτηριώδει βουλῇ κυρῶσαι. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Ἀρέσκει (4) ὅπερ ἡ ὑμετέρα ἁγιωσύνη ἀναγκαίως ἡμᾶς ὠφελῆσαι κατηξίωσεν.**

---

ΖΩΝΑΡ. Κἀνταῦθα τὴν διάκρισιν ὁ κανὼν τοῖς ἐπισκόποις ἀνατίθησιν· ἐὰν γάρ, φησι, κινδυνεύῃ τις περὶ τὴν ζωὴν ἐκ νόσου, ἢ ἐξ ἄλλης αἰτίας, ἐπιτετιμημένος ὢν, καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ προσελθεῖν κωλυόμενος, καὶ αἰτήσῃ καταλλαγῆναι αὐτὸν τοῖς ἱεροῖς θυσιαστηρίοις, ἀντὶ τοῦ, δεκτὸν γενέσθαι εἰς τὴν θείαν μετάληψιν, ἄπεστι δὲ ὁ ἐπίσκοπος, ὀφείλει, φησὶν

---

locorum Græcum textum in nullis codicibus hactenus nancisci licuit: idcirco solum interpretis Latinum textum subiecimus ex editione Gul. Morelii, Typographi Regii. M. DC. LXI.

(1) ἐὰν δέ τις Π. — (2) μυστηρίοις Ἰουστ. — (3) Μέχρι τούτου τὸ Π. — τὰ δὲ μετὰ ταῦτα κεῖται παρὰ Ἰουστ. Κ. Ἐ. Σ. Ῥ. Βρ. λατ. — ἐν δὲ Χ. Τρ. καὶ παρὰ Βευερ. ἡ σύνοδος εἶπεν, ἀρκεῖ κτλ. — (4) ἀρκεῖ Ἰουστ. Χ. Τρ. Ἐ. Κ.

ὁ κανὼν, ἐρωτῆσαι τὸν ἐπίσκοπον ὁ πρεσβύτερος, καὶ οὕτω τὸν ἐν κινδύνῳ καταλλάξαι, καθὼς ἐκεῖνος ὑπόθηται. Εἰκότως δὲ τοῖς ἐπισκόποις ἡ λύσις ἀνετίθετο τῶν ἐπιτιμίων, διά τε τὴν ἤδη ῥηθεῖσαν αἰτίαν, καὶ ὅτι τοῖς ἀρχιερεῦσιν ἡ ἐξαγόρευσις ἁρμόζει, ὡς δεσμεῖν καὶ λύειν δυναμένοις (1). Καὶ οἱ νῦν γὰρ λογισμοὺς δεχόμενοι μοναχοὶ, εἰ μὴ ἐξ ἀρχιερέως ἐπιτραπῶσι δέχεσθαι λογισμοὺς, οὔτε δεσμεῖν, οὔτε λύειν ἔχουσιν ἐξουσίαν· τοῖς γὰρ ἱεροῖς Ἀποστόλοις τὴν ἐξουσίαν ταύτην ἔδωκεν ὁ Χριστὸς, τύπον δὲ τῶν Ἀποστόλων οἱ ἀρχιερεῖς πληροῦσι.

ΒΑΛΣ. Καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἐναργῶς ἀναφαίνεται, μὴ ἐξεῖναι τοῖς ἱερεῦσιν ἐξομολογήσεις ἀνθρώπων ἀναδέχεσθαι, καὶ συγχωρεῖν ἁμαρτίας χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς. Φησὶ γὰρ, ἐὰν κινδυνεύῃ τις περὶ τὴν ζωὴν, καὶ ζητήσῃ καταλλαγῆναι, ἤγουν παραχωρηθῆναι εἰς μετάληψιν τῶν θείων ἁγιασμάτων μετὰ ἐξομολόγησιν, ἄπεστι δὲ ὁ ἐπίσκοπος, οὐ δύναται ὁ ἱερεὺς καταλλάξαι τοῦτον· ἀλλ' ὀφείλει ἐρωτᾷν τὸν ἐπίσκοπον, τὸν ἐπέχοντα τόπον Ἀποστόλου, καὶ λαβόντα ἐξουσίαν ἀπὸ Θεοῦ δεσμεῖν τε καὶ λύειν, καὶ μετὰ προτροπῆς αὐτοῦ ποιεῖν τὴν καταλλαγὴν, ἐὰν τέως ἐστὶν εὐχερὲς γενέσθαι τὴν ἐρώτησιν. Εἰ γὰρ ἄπεστιν μακρὰν ὁ ἐπίσκοπος, καὶ ὁ θάνατος ἐφίσταται, καὶ χωρὶς τοῦ ἐρωτηθῆναι τὸν ἐπίσκοπον δοθήσεται καταλλαγὴ παρὰ τοῦ ἱερέως, κατὰ τὸν μγ'. κανόνα τῆς παρούσης συνόδου. Εἰ γοῦν οὐδὲ ἐπιτελεύτιον καταλλαγὴν χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς ὁ ἱερεὺς δίδωσιν, ὡς μηδὲ ἐξουσίαν ἔχων τοῦ δεσμεῖν καὶ λύειν, πολλῷ πλέον ἐξομολόγησιν οὐ δέξεται ὑγιαίνοντος. Τούτων δὲ οὕτως ἐχόντων, καὶ τοῦ ϛ'. κανόνος μὴ παρακελευσαμένου τί ὀφείλει γίνεσθαι εἰς τὸν ἱερέα τὸν δίχα ἐπιτροπῆς ἐπισκόπου δεξάμενον λογισμοὺς, κατὰ τὴν ἐρώτησιν τοῦ Φουρτουνάτου, ἀλλὰ μηδὲ τοῦ παρόντος κανόνος περὶ τούτου τι διοριζομένου, εἶπόν τινες, παρὰ τῇ ἐπισκοπικῇ διακρίσει ἀνακεῖσθαι τὴν κόλασιν τοῦ παραβάτου τοῦ κανόνος. Ὁ δὲ ἁγιώτατος ἐκεῖνος

(1) δεδυνημένοις Βεύερ.

πατριάρχης κυρὸς Μιχαὴλ, ὁ γεγονὼς ὕπατος τῶν φιλοσόφων, ἔλεγεν, ὀφείλειν καθαιρεῖσθαι τὸν τοιοῦτον ἱερέα, κατὰ τοὺς κανόνας τοὺς διοριζομένους καθαιρεῖσθαι τοὺς παρ' ἐνορίαν ἐνεργοῦντας ἱερατικόν τι, καὶ τοὺς παραβάτας τῶν κανόνων.

ΑΡΙΣΤ. Τὸν ἐν κινδύνῳ καθεστῶτα καταλλάξαι τοῖς ἱεροῖς θυσιαστηρίοις θέλων ἱερεὺς, ἐρωτάτω τὸν ἐπίσκοπον, καὶ κατὰ τὸ λεχθὲν ποιείτω.

Ὁ προγραφεὶς κανὼν παρ' ἐπισκόπου τὴν καταλλαγὴν προσέταξε γίνεσθαι· ὁ δὲ παρὼν διατάττεται, κατὰ γνώμην τοῦ ἐπισκόπου, καὶ παρὰ πρεσβυτέρων ταύτην τελεῖσθαι.

## Κανὼν Η'.(Η'.)

*Περὶ τῶν τοὺς πατέρας αἰτιωμένων, καὶ ὥστε μηδενὶ διαβεβλημένων ἐξεῖναι ἐπισκόπου κατηγορεῖν.*

Νουμίδιος ἐπίσκοπος Μαζουλιτάνος (1) εἶπεν· Εἰσὶ πολλοὶ(2) οὐκ ἀγαθῆς ἀναστροφῆς, οἵτινες ἡγοῦνται τοὺς πατέρας καὶ ἐπισκόπους, ὡς ἔτυχεν, ὀφείλειν ἐνάγεσθαι· τοὺς τοιούτους δεῖ προσδέχεσθαι, ἢ μή(3); Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἀρέσκει τοίνυν τῇ ἀγάπῃ ὑμῶν, τοὺς εἴς τινα μύση ἐμπεπλεγμένους, κατὰ πατέρων φωνὴν κατηγορίας ἀποτίθεσθαι; Ἐκ πάντων τῶν ἐπισκόπων ἐλέχθη(4)· Ἐὰν διαβέβληται ὁ τοιοῦτος, μὴ προσδεχθῇ(5).

---

ΖΩΝΑΡ. Καὶ ὁ ρκή. κανὼν τῆς παρούσης συνόδου, καὶ ὁ ρκθ'. καὶ ὁ ρλ'. περὶ ταύτης τῆς ὑποθέσεως διαττάτονται, πλατύτερον διαγορεύοντες, τίνες εἰσὶν ἄδεκτοι εἰς ἐπισκόπου κατηγορίαν. Καὶ ἡ δευτέρα δὲ οἰκουμενικὴ σύνοδος, προγενεστέρα οὖσα τῆς συνόδου ταύτης, ἐν ἕκτῳ κανόνι περὶ τούτου τοῦ κεφαλαίου ὡρίσατο διαταξαμένη, τίνες δεχθήσονται κατηγοροῦντες ἐπισκόπων καὶ κληρικῶν· ἀναγνωστέον οὖν τὸν κανόνα ἐκεῖνον, καὶ τὴν ἐκείνου ἐξήγησιν. Τὸ δὲ, οὐκ ἀγαθῆς

---

(1) Μαζουλιτάνος Σ. Ρ.—(2) ὁ κανὼν ἐν Π. καὶ Χ. Τρ. ἄρχεται ἀπὸ τοῦ, εἰσὶ πολλοί.—(3) τοὺς τοιούτους οὐ δεῖ προσδέχεσθαι· οὕτω λήγει ὁ κανὼν ἐν Π.
(4) πάντες εἶπον Χ. Τρ.—(5) μὴ προσδέχεσθαι Π. Βευερ.

ἀναστροφῆς, ἀντὶ τοῦ, οὐκ ἀγαθῆς διαγωγῆς, οὐ καλοῦ βίου, εἴρηται.

ΒΑΛΣ. Ὁ ἕκτος κανὼν τῆς δευτέρας οἰκουμενικῆς συνόδου διορίζεται, μὴ εἶναι εὐπαραδέκτους εἰς ἐπισκόπων καὶ κληρικῶν κατηγορίας ἅπαντας, ἀλλὰ μόνους τοὺς ἀνεπιλήπτους· ἀνάγνωθι οὖν τὸν τοιοῦτον κανόνα, προγενέστερον ὄντα, καὶ τῆς παρούσης συνόδου κανόνα ρκή. ρκθ'. ρλ'. καὶ ρλά.

ΑΡΙΣΤ. Ἔδοξε τοὺς εἰς μύση ἐμπεπλεγμένους, κατηγορίας μὴ ἀποτίθεσθαι, ἀλλ' ἀδέκτους εἶναι πρὸς τὸ κατηγορεῖν.

Εἴρηται καὶ ἐν τῷ ἕκτῳ κανόνι τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων ἁγίων Πατέρων, μὴ ἀνεξετάστως τοὺς κατηγόρους εἰς κατηγορίαν ἐπισκόπων παραδέχεσθαι· ἀλλὰ πρῶτον ἐξετάζειν τὴν θρησκείαν αὐτῶν, ἵνα μὴ αἱρετικοὶ ὦσιν· εἶτα καὶ τὰς ὑπολήψεις αὐτῶν ἀνερευνᾷν, μήποτε κατεγνωσμένοι εἰσὶ, καὶ ἀποβεβλημένοι, καὶ ἀκοινώνητοι, ἢ ὑφ' ἑτέρων ἐπ' ἐγκλήμασι κατηγορούμενοι, καὶ μήπω ἀθώους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἐγκλημάτων ἀπέδειξαν. Τοῦτο γοῦν καὶ τῷ παρόντι δοκεῖ κανόνι, τὸ μή τινα ἔνοχον ἐγκλήμασιν ὄντα εἰς κατηγορίαν ἐπισκόπου παραδέχεσθαι.

## Κανὼν Θ'. (Θ'.)

*Περὶ τῶν κατ' ἀξίαν τῶν οἰκείων ἀτοπημάτων ἐκ τοῦ ἐκκλησιαστικοῦ συλλόγου ἐκβαλλομένων.*

Αὐγουστῖνος ἐπίσκοπος, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, εἶπε· Τοῦτο ὁρίσαι καταξιώσατε, ὥστε (1) τοὺς ἀξίως τῶν οἰκείων ἐγκλημάτων ἀπὸ τῆς ἐκκλησίας διωχθέντας, ἐάν τις ἐπίσκοπος ἢ πρεσβύτερος δέξηται εἰς κοινωνίαν, καὶ αὐτὸς ἔτι μὴν τῷ ἴσῳ ἐγκλήματι ὑπεύθυνος φανῇ, ἅμα τοῖς τοῦ οἰκείου ἐπισκόπου τὴν κανονικὴν ψῆφον ἀποφεύγουσιν. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη (2)· Πᾶσιν ἀρέσκει.

---

(1) ἐν Π. ὁ καν. ἄρχεται ἀπὸ τοῦ ὥστε, καὶ λήγει εἰς τὸ, ἀποφεύγουσι.
(2) οἱ τῆς συνόδου εἶπον Χ. Τρ.

ΖΩΝΑΡ. Τοῦτο καὶ οἱ τῶν ἁγίων Ἀποστόλων ὅ,τε ιά. καὶ ιϐ'. καὶ λϐ'. διετάξαντο. Ἃ γοῦν ἐν ἐκείνοις ἐγράφη, κἀνταῦθα ἀρκέσουσι. Καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ δὲ συνόδου ς'. κανὼν περὶ τούτου διαλαμϐάνει, καὶ ὁ ιγ'. τῆς ἐν Σαρδικῇ.

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ιά. ιϐ'. λϐ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ς', καὶ τῆς ἐν Σαρδικῇ κανόνα ιγ', διδάσκοντας τί ὀφείλει γίνεσθαι εἰς τοὺς δεχομένους καθῃρημένους ἢ ἀφωρισμένους κληρικούς· ὡσαύτως καὶ εἰς τοὺς δεχομένους ἀφωρισμένους λαϊκούς. Ὁ δὲ παρὼν κανὼν διορίζεται, τοὺς διωχθέντας ἀπὸ ἐκκλησίας κληρικοὺς δι' ἀξίαν ἐκδίκησιν τοῦ παρ' αὐτῶν τολμηθέντος ἐγκλήματος, ἐὰν ἕτερος ἐπίσκοπος ἢ πρεσϐύτερος δέξηται εἰς κοινωνίαν, καὶ αὐτὸν ὁμοίως τῷ δεχθέντι κολάζεσθαι. Συναγαγὼν οὖν τὰ παρὰ τῶν ἑτέρων κανόνων καὶ τοῦ παρόντος κανόνος διορισθέντα, εἰπὲ, ὅτι, ἐὰν κληρικὸν καθῃρημένον δέξηται ἕτερος ἐπίσκοπος εἰς κοινωνίαν ἱερατικὴν, καθαιρεθήσεται· ἐὰν δὲ μετὰ ἀφωρισμένου συνεύξηται, ἀφορισθήσεται· διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν κανὼν εἶπεν, ὁμοίως τῷ ἐκϐληθέντι ἐκ τῆς ἐκκλησίας τὸν δεξάμενον αὐτὸν ἐπίσκοπον κολάζεσθαι. Σημείωσαι δὲ, ὅτι καὶ ὁ παρὼν κανὼν οὐκ ἀσυντηρήτως, ἀλλὰ μετὰ καταδίκην ἀξίαν τῷ ἁμαρτήματι θέλει τοὺς κληρικοὺς καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι.

ΑΡΙΣΤ. Ὁ ἀκοινωνήτῳ κοινωνῶν, ἀκοινώνητος.

Ὁ τὸν ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα δεχόμενος, καὶ συλλειτουργῶν αὐτῷ, ἐν εἰδήσει ὢν τοῦ ἀφορισμοῦ, ἀφωρισμένος καὶ αὐτὸς ἔστω· ὡσαύτως καὶ ὁ αἱρετικοῖς κοινωνῶν, καὶ συνευχόμενος αὐτοῖς, τοῖς πιστοῖς οὐ συγκοινωνήσει, ἀλλὰ τῆς ἐκκλησίας ἐξωθήσεται.

## Κανὼν Ι'. (Γ'.)

*Περὶ πρεσβυτέρων τῶν ἀπὸ τῶν οἰκείων καταγινωσκομένων ἐπισκόπων.*

Ἀλύπιος (1) ἐπίσκοπος, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, εἶπεν· Οὐδ' ἐκεῖνο δεῖ παρεᾶσαι, ἵνα, ἐάν τις (2) τυχὸν πρεσβύτερος ἀπὸ τοῦ ἰδίου ἐπισκόπου καταγνωσθεὶς, φυσιότητί τινι καὶ ὑπερηφανίᾳ ἐπαρθεὶς, ἡγήσηται ὀφείλειν κεχωρισμένως ἅγια τῷ Θεῷ προσφέρειν, ἢ ἄλλο ἀνορθοῦν θυσιαστήριον οἰηθείη κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως(3) καὶ καταστάσεως, ὁ τοιοῦτος ἀτιμώρητος μὴ ἐξέλθῃ. Βαλεντῖνος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας, εἶπεν· Ἀναγκαίως τῇ ἐκκλησιαστικῇ πίστει καὶ τάξει σύμφωνά εἰσι τὰ παρὰ τοῦ ἀδελφοῦ ἡμῶν Ἀλυπίου προενεχθέντα· Λοιπὸν, τί δοκεῖ τῇ ὑμετέρᾳ ἀγάπῃ, εἴπατε (4).

---

**ΖΩΝΑΡ.** Ἐὰν πρεσβύτερος ἐπιτιμηθεὶς ἀφορισμῷ ἴσως ἐπαρθῇ φυσιότητι, τουτέστι κενοδοξίᾳ καὶ ὄγκῳ, καὶ ἰδίᾳ προσφέρῃ τῷ Θεῷ ἱερουργῶν καθ' ἑαυτὸν, ἢ αὐτὸς νέον θυσιαστήριον καινουργήσῃ κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ καταστάσεως· συγχέει γὰρ τὴν ἐκκλησιαστικὴν κατάστασιν, ὡς τῶν πρεσβυτέρων ὑπείκειν ὀφειλόντων τῷ ἐπισκόπῳ, ἐκεῖνος καὶ ἀντιπράττων, καὶ ἀνθιστάμενος αὐτῷ, καὶ κατὰ τῆς πίστεως ποιεῖ· οἱ γὰρ ἄπιστοι βλέποντες ὅτι ἀτάκτως διάγουσιν οἱ ἱερωμένοι, κωμῳδήσουσι τὴν πίστιν· τοὺς γοῦν τοιούτους οὐκ ἀτιμωρήτους δεῖ, φασιν, εἶναι, διὸ καὶ ἀναθέματι αὐτοὺς ἡ σύνοδος κατεδίκασε. Καὶ ὁ ς'. δὲ τῆς ἐν Γάγγρᾳ συνόδου κανὼν, ὑπὸ ἀνάθεμα τοὺς παρασυνάγοντας ἐποιήσατο. Ὁ δὲ τῶν Ἀποστόλων λά. κανὼν καθαίρεσιν τῶν τοιούτων καταψηφίζεται.

(1) Βευερ. Βρ. λατιν. Σ. 'Ρ. — Αὐρήλιος, Ἰουστ. Κ. 'Ε. — (2) ἐν Π. ὁ καν. ἄρχεται ἀπὸ τοῦ, ἐάν τις, — (3) πίστεως, ὁ τοιοῦτος ἀνάθεμα ἔστω Π. ὅπου παραλείπονται τὰ λοιπά. — (4) ἐνταῦθα τίθησιν ὅ,τε Βευερ. καὶ τὸ Χ. Τρ. τὴν παρὰ Ἰουστ. καὶ Βρ. (λατινιστὶ) ἐπιγραφὴν τοῦ ἑπομένου κανόνος, μέρους ἄλλως ὄντος τοῦ παρόντος.

ΒΑΛΣ. Ὁ λά. ἀποστολικὸς κανὼν τοὺς παρασυνάγοντας, κληρικοὺς μὲν ὄντας, καθαιρέσει καθυποβάλλει, λαϊκοὺς δὲ ἀφορίζεσθαι διορίζεται· πλὴν μετὰ πρώτην, καὶ δευτέραν, καὶ τρίτην παράκλησιν· ὁ δὲ παρὼν κανὼν, καὶ ὁ ς'. τῆς ἐν Γάγγρᾳ, ἀναθεματίζει τούτους· τίνι γοῦν ὀφείλομεν προσχεῖν ζητητέον. Οἴομαι οὖν, ὅτι καὶ ἄμφω κατὰ κανόνα (1) γενήσεται. Πρῶτον μὲν γὰρ κατὰ τὸν ἀποστολικὸν κανόνα, οἱ σχισματικοὶ παραγγελθήσονται τοῦ κακοῦ ἀποσχέσθαι· καὶ μὴ πεισθέντες, καθαιρεθήσονται, ἢ ἀφορισθήσονται. Εἰ δὲ καὶ οὕτω τῇ φυσιότητι, τουτέστι τῇ κενοδοξίᾳ καὶ τῇ ἀνηκοΐᾳ ἐμμένουσιν, ἀναθέματι καθυποβληθήσονται, ὡς σεσηπότα μέλη ἐκ τοῦ ὑγιαίνοντος σώματος τῆς ἐκκλησίας ἐκκοπέντες. Τὸ γὰρ ἀπεντεῦθεν ἀναθεματισθῆναι τοὺς μὴ διὰ δογματικὴν προσκεκρουκότας αἰτίαν, ἀλλὰ δι' ἀλαζονείαν καὶ νοὸς κουφότητα κατὰ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἀτακτήσαντας, βαρύτατόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ. Ἀνάγνωθι καὶ τὸν ά. κανόνα τοῦ μεγάλου Βασιλείου, διδάσκοντα διαφορὰν αἱρετικῶν, σχισματικῶν, καὶ παρασυναγόντων. Ἐνταῦθα δὲ καταχρηστικῶς ἐξελήφθη τὸ σχίσμα καὶ ἡ παρασυναγωγὴ εἰς τοὺς κατὰ ἀλαζονείαν κατὰ τοῦ ἐπισκόπου αὐτῶν φυσιωθέντας καὶ ἀποσχισθέντας.

ΑΡΙΣΤ. Ὁ ὑπὸ ἐπισκόπου καταγνωσθεὶς, εἶτα διαστὰς, καὶ θυσιαστήριον πήξας, ἢ προσενεγκὼν, τιμωρητέος.

Ὁ παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθεὶς, καὶ μὴ προσελθὼν τῇ συνόδῳ, ἤ τινι ὁ ἐπίσκοπος αὐτοῦ ὑπόκειται, ἐπὶ τῷ ἐξετάσαι τὰ τοῦ ἀφορισμοῦ, καὶ τὸ παραλόγως γενόμενον διορθώσασθαι· ἀλλ' ὑπερηφανίᾳ καὶ τύφῳ ἐπαρθεὶς, τούτου μὲν καταφρονήσαι, ἀποσχίσει δὲ ἑαυτὸν τῆς ἐκκλησίας, καὶ θυσιαστήριον ἕτερον πήξει, καὶ ἅγια τῷ Θεῷ προσάξει· ὁ τοιοῦτος, ὡς κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ καταστάσεως ταῦτα ποιῶν, οὐκ ἀτιμώρητος ἔσται, ἀλλ' ἀναθεματισθήσεται.

---

(1) Σ. Τρ. κατὰ τοὺς κανόνας Ε. Βευερ.

## Κανὼν ΙΑ'. (ΙΑ'.)

*Ἐάν τις πρεσβύτερος κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς σχίσμα ποιήσῃ, ἀνάθεμα ἔστω* (1).

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Ἐάν τις(2) πρεσβύτερος ἐν τῇ διαγωγῇ αὐτοῦ καταγνωσθῇ, ὀφείλει ὁ τοιοῦτος τοῖς γειτνιῶσιν ἐπισκόποις προσαγγεῖλαι, ἵνα αὐτοὶ τοῦ πράγματος ἀκροάσωνται, καὶ δι' αὐτῶν τῷ ἰδίῳ ἐπισκόπῳ καταλλαγῇ. Τοῦτο δὲ ἐὰν μὴ ποιήσῃ, ἀλλ', ὅπερ ἀπείη, ὑπεροψίᾳ φυσιούμενος, ἐκ τῆς τοῦ ἰδίου ἐπισκόπου κοινωνίας ἑαυτὸν χωρίσῃ, καὶ παρὰ μίαν μετά τινων σχίσμα ποιῶν, ἁγίασμα τῷ Θεῷ προσενέγκῃ, ὁ τοιοῦτος ἀνάθεμα λογισθήτω (3), καὶ τὸν ἴδιον τόπον ἀπολεσάτω· σκοπουμένου (4), μή ποτε κατὰ τοῦ ἐπισκόπου μέμψιν ἔχοι δικαίαν.

---

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ ἀποφαίνεται, καί φησιν, ὅτι, ἐὰν πρεσβύτερος καταγνωσθῇ παρὰ τοῦ ἐπισκόπου ἐν τῇ ἰδίᾳ διαγωγῇ, τουτέστιν, ὡς μὴ καλῶς βιοὺς, ὀφείλει τοῖς πλησίον οὖσιν ἐπισκόποις προσαγγεῖλαι, ἤτοι γνωρίσαι, ὅπως κατεγνώσθη παρὰ τοῦ ἐπισκόπου, ἵνα δι' αὐτῶν ἀκροασαμένων τῶν πραχθέντων, καταλλαγῇ τῷ ἐπισκόπῳ. Ἐὰν δὲ μὴ τοῦτο ποιήσῃ, ἀλλ', ὅπερ μὴ γένοιτο, κενοδοξίᾳ ἐπαιρόμενος ἀποσχισθῇ μὲν τοῦ ἐπισκόπου, παρὰ μίαν δὲ, ἀντὶ τοῦ, ἰδιαίτατα μετά τινων ἱερουργήσῃ, ὁ τοιοῦτος οὐ μόνον, φησὶ, τὸν ἴδιον βαθμὸν ἀπολέσει, ἀλλὰ καὶ ἀνάθεμα ἔσται. Χρὴ δὲ, φησι, σκοπεῖν καὶ ἐξετάζειν, μή ποτε δικαίως αἰτιᾶται τὸν ἴδιον ἐπίσκοπον, συνειδὼς αὐτῷ μέμψιν, καὶ εὐλόγως τὴν μετ' αὐτοῦ κοινωνίαν ἐκκλίνῃ. Ἀναγνωστέον καὶ τὸν κθ'. κανόνα τῆς συνόδου ταύτης, καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα τέταρτον, καὶ τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου κανόνας ιγ'. ιδ'. καὶ ιε'.

---

(1) ἡ ἐπιγραφὴ αὕτη ἀποτελεῖ παρὰ Βευερ. μέρος τοῦ ι'. κανόνος.—(2) Ἐάν τις, ἄρχεται ὁ καν. ἐν Π. — (3) λογισθήσεται Βευερ. — (4) δηλονότι σκοπουμένου, Βευερ.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ ἀποφαίνεται· διορίζεται γὰρ μὴ μόνον καθαιρεῖσθαι, ἀλλὰ καὶ ἀναθεματίζεσθαι τοὺς καταγινωσκομένους παρὰ ἐπισκόπων πρεσβυτέρους, καὶ μὴ θέλοντας εἰρηνικῶς λυθῆναι τὸ πρᾶγμα διὰ κατεξετάσεως τῶν γειτνιαζόντων ἐπισκόπων, ἀλλ' ἀποσχίζοντας, τουτέστι χωρίζοντας ἑαυτοὺς ἀπὸ τοῦ ἰδίου ἐπισκόπου, καὶ ἱερουργοῦντας ἰδιαιτάτως παρὰ γνώμην ἐκείνου. Ἀνάγνωθι καὶ τὸν ς'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τὸν ιδ'. τῆς ἐν Σαρδικῇ. Χρὴ δέ, φησι, σκοπεῖν καὶ ἐξετάζειν, μή ποτε δικαίως αἰτιᾶται τὸν ἴδιον ἐπίσκοπον ὁ κληρικὸς, καὶ εὐλόγως τὴν μετ' αὐτοῦ κοινωνίαν ἐκκλίνῃ. Ἀνάγνωθι καὶ τὸν κθ'. κανόνα τῆς συνόδου ταύτης, καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα δ'. Τὴν δὲ κατὰ τοῦ ἐπισκόπου μέμψιν, μὴ εἴπῃς εἶναι ἐξ ἁμαρτήματος, ἢ ἀπὸ ἄλλης αἰτιάσεως ἐγκληματικῆς, ἀλλ' ἀπὸ δογματικῆς, ἢ ἀδίκου διαγωγῆς. Οὐδὲ γὰρ ὀφείλει ὁ κληρικὸς ἀπὸ τοῦ ἐπισκόπου αὐτοῦ χωρίζεσθαι πρὸ καταδίκης, εἰμὴ προφανῶς αὐτὸν βλέπῃ ἀδικοῦντα, ἢ ἐναντιούμενον τῷ ὀρθῷ δόγματι. Τοῦ δὲ μητροπολίτου Φιλιππουπόλεως, τοῦ Ἰταλικοῦ ἐκείνου, ἀφορίσαντος τὸν ἴδιον κληρικὸν τὸν Καψορύμην, λόγος ἐγένετο παρὰ τῷ ἁγιωτάτῳ ἐκείνῳ πατριάρχῃ τῷ Μουζάλωνι, μὴ ὀφείλειν τοῦτον συμπαθείας ἀξιωθῆναι, ὡς μὴ προσελθόντα κατὰ τὸν παρόντα κανόνα τοῖς γειτνιάζουσιν ἐπισκόποις καὶ τῇ κατὰ χώραν συνόδῳ, χάριν τοῦ καταλλαγῆναι δι' αὐτῶν τῷ μητροπολίτῃ, ἀλλὰ πρώτως τὸν πατριαρχικὸν θρόνον ὀχλήσαντα, καὶ ὑπὸ ἀντιδικίαν ἀγαγόντα τὸν ἴδιον ἐπίσκοπον. Τοῦ δὲ Καψορύμη εἰπόντος διὰ πολλῶν μητροπολιτῶν ζητῆσαι αὐτὸν τὴν τοῦ οἰκείου μητροπολίτου συμπάθειαν, καὶ μὴ εἰσακουσθῆναι, καὶ διὰ τοῦτο καταντῆσαι εἰς τὴν μεγάλην σύνοδον, διεγνώσθη μηδέν τι ἀκανόνιστον ποιῆσαι αὐτόν.

ΑΡΙΣΤ. Πρεσβύτερος καταγινωσκόμενος παρ' ἐπισκόπου, τοῖς πλησίον ἐπισκόποις ἐκκαλεῖν ἐαθήσεται. Εἰ δὲ μὴ ἐκκαλέσοι, ἀλλὰ σχίζων, καὶ φυσιούμενος, ἁγίασμα τῷ Θεῷ προσαγάγοι, ἔστω ἀνάθεμα.

Τῆς αὐτῆς ἐστιν ἐννοίας τῷ πρὸ αὐτοῦ κανόνι καὶ οὗτος.

## Κανὼν ΙΒ΄. (ΙΒ΄.)

*Ἐάν τις ἐπίσκοπος χωρὶς καιροῦ συνόδου ἐγκλήματι περιβληθῇ, ὁ τοιοῦτος ἀκουσθῇ ἀπὸ δώδεκα ἐπισκόπων.*

**Φῆλιξ ἐπίσκοπος εἶπεν· Ἀναφέρω (1) κατὰ τὰ ὁρισθέντα ἐκ τῶν παλαιῶν συνόδων, ἵνα, ἐάν τις (2) ἐπίσκοπος (ὅπερ ἀπείη) ἔν τινι ἐγκλήματι περιπέσῃ, καὶ γένηται πολλὴ ἀνάγκη τοῦ μὴ δύνασθαι πολλοὺς συνελθεῖν, διὰ τὸ μὴ ἀπομεῖναι αὐτὸν ἐν τῷ ἐγκλήματι, ἀπὸ δώδεκα ἐπισκόπων ἀκουσθῇ, καὶ ὁ πρεσβύτερος ἀπὸ ἓξ ἐπισκόπων καὶ τοῦ ἰδίου (3), καὶ ὁ διάκονος ἀπὸ τριῶν.**

---

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι κατηγορούμενοι, παρὰ τῶν οἰκείων συνόδων ὡρίσθησαν κρίνεσθαι. Ἐὰν δὲ ἐπισκόπου ἐπὶ ἐγκλήματι κατηγορουμένου (4), δυσχερὲς εἴη πάνυ (5) ὅλην τὴν σύνοδον συνελθεῖν, ἢ τοὺς πλείονας, δώδεκα, φησί, συνερχόμενοι ἐπίσκοποι ἐξεταζέτωσαν τὴν ὑπόθεσιν, ἵνα μὴ ὁ κατηγορηθεὶς ἐπίσκοπος ἀπομείνῃ ἐν τῷ ἐγκλήματι, τουτέστιν, ἵνα μὴ ἀμφίβολος ὢν καταφρονοῖτο ὑπὸ τοῦ ὑπ' αὐτὸν λαοῦ ὡς ὑπὸ κατηγορίαν ὤν· πρεσβυτέρου δὲ κατηγορουμένου, ἓξ ἐπίσκοποι δικάσαι ἀρκέσουσι· διακόνων δὲ εἰς ἐξέτασιν ὁμοίαν (6), τριῶν ἐπισκόπων ἱκανὴ ἔσται διάγνωσις. Ἔοικε δὲ ὁ κανὼν οὗτος ἐναντιοῦσθαι τῷ δ'. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ὃς τοὺς μὲν ἐπισκόπους ὑπὸ συνόδων καθαιρεῖσθαι φησί· τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους, ὑπὸ τῶν ἰδίων ἐπισκόπων. Εἴποι δέ τις, συμβιβάζων τοὺς τοιούτους κανόνας, ὅτι ὁ μὲν τῆς ἐν Ἀντιοχείᾳ κανὼν τὰς ζητήσεις τῶν κατηγοριῶν τῶν κατὰ πρεσβυτέρων καὶ διακόνων ἐξ ἀρχῆς τῷ ἐπισκόπῳ ἀνέθετο, κἀκείνῳ δέδωκε ψηφίζεσθαι περὶ αὐτῶν· ὁ δὲ παρὼν κανών, εἰ ὁ καταδικασθεὶς ὑπὸ τοῦ ἰδίου ἐπισκόπου οἴοιτο ἀδικεῖσθαι,

---

(1) ἀναφερέτω Βευερ. Ἰους. Χ. Τρ. Ἑ. Κ. — (2) ἐν Π. ὁ Κανὼν ἄρχεται ἀπὸ τοῦ, Ἐάν τις κτλ. ἐν δὲ Χ. Τρ. ἀπὸ τοῦ, Ἀναφερέτω. — (3) καὶ τοῦ ἰδίου, οὐ κεῖται ἐν Χ. Τρ. — (4) κατηγορηθέντος Χ. Τρ. — (5) πάνυ, οὐ κεῖται ἐν Χ. Τρ. — (6) διακόνων δέ, τρεῖς. Χ. Τρ. ὅπου καὶ λήγει ἡ ἑρμηνεία τοῦ Ζωναρᾶ ἐν Χ. Τρ.

ἐπὶ πρεσβυτέρου μὲν, ἓξ ἐπισκόπους δίδωσι διαγνώμονας, ἐπὶ δὲ διακόνου, τρεῖς.

ΒΑΛΣ. Τοῦ δ'. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐμφαίνοντος τὰς μὲν καθαιρέσεις τῶν πρεσβυτέρων καὶ τῶν διακόνων παρὰ ἑνὸς ἐπισκόπου γίνεσθαι, τὰς δὲ καθαιρέσεις τῶν ἐπισκόπων παρὰ συνόδου, δοκεῖ ἐναντιοῦσθαι αὐτῷ ὁ παρὼν κανὼν, διοριζόμενος ὑπὸ δώδεκα ἐπισκόπων τὸ ἐλάχιστον κρίνεσθαι ἐπίσκοπον χάριν ἐγκληματικῆς ὑποθέσεως, τὸν πρεσβύτερον ὑπὸ ἓξ, καὶ τὸν διάκονον ὑπὸ τριῶν. Οὐκ ἐναντιοῦνται δὲ οἱ κανόνες· ἀλλ' ὁ μὲν τῆς ἐν Ἀντιοχείᾳ δηλαδὴ, ἄλλως τὰς τοιαύτας κρίσεις ὥρισε διευλυτοῦσθαι· ὁ δὲ παρὼν κανὼν, κατὰ πολὺ μεταγενέστερος ὢν, ἀσφαλεστέρως τὰς τοιαύτας κρίσεις παρεκελεύσατο γίνεσθαι· καὶ οὐκ ἔστιν ἐναντίωσις ἡ ἀσφαλεστέρα νομοθεσία. Ὅτι δὲ διὰ τὸ ἀσφαλέστερον ταῦτα νενομοθέτηται, δηλοῦται καὶ ἀπὸ τοῦ λέγειν τοὺς Πατέρας, τότε ταῦτα γίνεσθαι, ὅτε μὴ ἐστὶν εὐχερὲς καὶ πλείονας συνελθεῖν ἐπισκόπους· τηνικαῦτα γὰρ ἀναγκαῖόν ἐστι καὶ πλείονας ἐπισκόπους ἀκροᾶσθαι τῶν ἐγκληματικῶν ὑποθέσεων. Τὸ δὲ, μὴ ἀπομεῖναι τὸν ἐπίσκοπον ἐν τῷ ἐγκλήματι, οὕτως ἑρμηνευτέον, ἵνα μὴ ἀμφίβολος ὢν ὁ ἐπίσκοπος καταφρονοῖτο παρὰ τοῦ ὑπ' αὐτὸν λαοῦ, ὡς ὑπὸ κατηγορίαν ὤν. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἐρωτήσει δέ τις, εἰ τοῦ κανόνος μόνων ἐγκληματικῶν ὑποθέσεων μεμνημένου, ἐφεῖται μητροπολίτῃ ἑνὶ, ἢ ἐπισκόπῳ ἑνὶ, δικάζειν ἐπίσκοπον, ἢ ἱερέα, ἢ διάκονον, χάριν ὑποθέσεως συναλλαγματικῆς ἀτιμοποιοῦ, ἤγουν περὶ παραθήκης, ἢ περὶ χιχρήσεως· ὡσαύτως καὶ περὶ ὑποθέσεως ἐξ ἁμαρτήματος ἀναφυομένης, ἤγουν ὕβρεως, κλοπῆς, βίας, καὶ τῶν ὁμοίων. Λύσις. Ὁ νέ. ἀποστολικὸς κανὼν καὶ ὁ πδ'. καθαιρεῖσθαι διορίζονται τοὺς ὑβρίζοντας βασιλεῖς, ἐπισκόπους, καὶ ἄρχοντας· καί τινες εἰς τὰς τοιαύτας ὕβρεις καὶ μόνας στενοχωροῦσι τὴν καθαίρεσιν. Ἐμοὶ δὲ δοκεῖ ἀπὸ πάσης ἀτιμοποιοῦ ἀγωγῆς, χρηματικῆς δηλαδὴ καὶ ἐγκληματικῆς, ἐπάγεσθαι ἀτιμίαν καὶ τοῖς ἱερωμένοις, κατὰ τὴν καθόλου τῶν νόμων καὶ ἀδιάστικτον θεσμοθεσίαν (1)· εἶδον γὰρ

(1) Χ. Τρ. — νομοθεσίαν. Βευερ.

καὶ πολλοὺς ἱερωμένους ἀπὸ κλοπῆς καθαιρεθέντας συνοδικῶς. Εἰ δὲ ἐρωτήσει τις, τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀναγνώστας, ἀκούσει, ὅτι ὁ κ'. κανὼν τῆς παρούσης συνόδου παρὰ ἑνὸς ἐπισκόπου τοὺς λοιποὺς κληρικούς, τοὺς παρὰ τὸν πρεσβύτερον δηλαδὴ καὶ τὸν διάκονον, δικάζεσθαι διορίζεται. Ἔτι ἐρωτήσει τις, ὡς, τοῦ κανόνος διαλαμβάνοντος τότε γίνεσθαι παρὰ δώδεκα ἐπισκόπων καὶ μόνων τὰς τῶν ἐπισκόπων καθαιρέσεις, ὅτε ἀνάγκη πολλή ἐστι μὴ δύνασθαι πολλοὺς συνελθεῖν, ἐὰν καθαιρεθῇ ἐπίσκοπος παρὰ δώδεκα ἐπισκόπων, εὐχερείας οὔσης καὶ ταῦτα πολλοὺς συνελθεῖν, ἆρα λυθήσεται (1) ἡ καθαίρεσις, ἢ οὔ; Λύσις. Τινὲς μὲν λέγουσιν ἐκ τούτου τοῦ τρόπου μὴ ἀκυροῦσθαι τὴν ἀπόφασιν· τοῦ δὲ ἐπισκόπου Ἀμαθοῦντος ἐκείνου Ἰωάννου, καθαιρεθέντος ὑπὸ τοῦ ἀρχιεπισκόπου Κύπρου κυροῦ Ἰωάννου, καὶ τοῦ καθαιρετικοῦ σημειώματος ἀναγνωσθέντος ἐπὶ βήματος βασιλικοῦ, ἐπεὶ εὕρηνται ἕνδεκα ἐπίσκοποι καὶ ὁ ἀρχιεπίσκοπος τὴν καθαίρεσιν πεποιηκότες, διέγνω ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κὺρ Λουκᾶς μετὰ τῆς παρουσιασάσης συνόδου, ἀλλὰ μὴν καὶ ἡ παρεστῶσα σύγκλητος, ἄκυρον εἶναι τὴν καθαίρεσιν, διά τε τὸ μὴ μετακληθῆναι τὴν πᾶσαν σύνοδον τῆς τῶν Κυπρίων ἐκκλησίας, ἢ κἂν τὴν πλείονα, εὐχερείας καὶ ταῦτα οὔσης πρὸς τοῦτο, καὶ διὰ τὸ μὴ τὸν ἀρχιεπίσκοπον ἐπέκεινα εἶναι τῆς δωδεκάδος τῶν ἐπισκόπων, ἀλλὰ ταύτῃ τοῦτον συνυπάγεσθαι. Ἐχρήσαντο δὲ πρὸς τοῦτο καὶ τῷ κ'. κανόνι τῆς παρούσης συνόδου, καὶ τῷ ιδ', κἂν τινες δὲ εἶπον τότε εἰς μόνους πρεσβυτέρους καὶ διακόνους τοῦτο ἐκφωνηθῆναι, ἀλλ' οὐκ εἰσηκούσθησαν.

ΑΡΙΣΤ. Ἐπίσκοπον ἐγκληθέντα, ἐὰν μὴ τελεία σύνοδος, τέως δώδεκα ἐπιτηροῦσιν ἐπίσκοποι· καὶ πρεσβύτερον ἓξ καὶ ὁ ἴδιος· καὶ διάκονον τρεῖς.

Τὸν κατηγορούμενον ἐπίσκοπον, δέον ὑπὸ πάσης κρίνεσθαι τῆς συνόδου· εἰ δὲ πάντας οὐ συνελθεῖν δυνατόν, παρὰ δώδεκα τὸ ἐλάχιστον ἐπισκόπων κρίνεσθαι· τὸν δὲ πρεσβύτερον παρὰ

(1) ἀναλυθήσεται Χ. Τρ.

ἕξ, καὶ τὸν διάκονον παρὰ τριῶν· ὀφείλοντος ἐπέκεινα καὶ τοῦ ἰδίου τῶν κατηγορουμένων ἐπισκόπου συμπαρεῖναι, καὶ συνεξετάζειν τὰς κατ' αὐτῶν αἰτιάσεις.

## Κανὼν ΙΓ'. (ΙΓ'.)

*Περὶ τοῦ μὴ ἐξεῖναι ἐπίσκοπον, εἰ μὴ ἀπὸ πολλῶν χειροτονεῖσθαι· εἰ δὲ ἀνάγκη γένηται, κἂν (1) ἀπὸ τριῶν ὁ ἐπίσκοπος χειροτονηθείη.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Τί πρὸς ταῦτα λέγει ἡ ὑμετέρα ἁγιωσύνη; Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Ὀφείλει παρ' ἡμῶν τὰ ὁρισθέντα ἐκ τῶν πρὸ ἡμῶν φυλαχθῆναι, ὧν τινων ὡς ἔτυχεν ἀβούλως οἱ πρωτεύοντες τῆς οἱασδήποτε ἐπαρχίας ἀμελεῖν κατατολμῶσι (2). Πολλοὶ οὖν ἐπίσκοποι συναχθέντες, ἐπίσκοπον χειροτονήσουσιν. Εἰ δὲ ἀνάγκη γένηται, τρεῖς ἐπίσκοποι, ἐν οἱῳδήποτε ἂν τόπῳ ὦσι, τῷ τοῦ πρωτεύοντος παραγγέλματι χειροτονήσουσι τὸν ἐπίσκοπον. Καὶ ἐάν τις ἔν τινι ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ, αὐτὸς ἑαυτὸν ἀποστερήσει τῆς τιμῆς.

---

ΖΩΝΑΡ. Ὁ τέταρτος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι ὁρίζει ἐπίσκοπον· εἰ δέ τις εἴη δυσχέρεια, τρεῖς ἐπὶ τὸ αὐτὸ συνάγεσθαι, συμψήφων διὰ γραμμάτων καὶ τῶν λοιπῶν γινομένων, καὶ οὕτω τὴν χειροτονίαν γίνεσθαι· ἃ τοίνυν ὁ εἰρημένος κανὼν διατάττεται, ταῦτά φασιν οἱ τῆς συνόδου ταύτης δεῖν φυλαχθῆναι, ὡς ὁρισθέντα παρὰ τῶν πρὸ ἐκείνων. Χειροτονίαν δ' ἐνταῦθα, μὴ τὴν χειροθεσίαν καὶ καθιέρωσιν νοητέον, ἀλλὰ τὴν ψῆφον, ἵνα μὴ δοκῇ ἐναντιοῦσθαι τῷ πρώτῳ κανόνι τῶν ἁγίων Ἀποστόλων, καὶ ὑπὸ δύο ἐπισκόπων ὁρίζοντι χειροτονεῖσθαι ἐπίσκοπον. Ὅπως δὲ οὐκ ἐναντιοῦται, εἴ-

(1) Σ. Ρ. — καί, οἱ λοιποί. —(2) Σ. Ρ. — οὐ κατατολμῶσιν ἀμελεῖν Βευερ.— κατατολμῶσι Ἐ. Κ. Ιουστ. Χ. Τρ. — ἐν δὲ Π. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, Πολλοὶ ἐπίσκοποι. ἐν δὲ Χ. Τρ. ἀπὸ τοῦ, Ὀφείλει παρ' ἡμῶν κτλ.

ρηται ἐν τῇ ἐξηγήσει τοῦ δ'. κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, ἃ καὶ ἀναγνωστέον. Πρωτεύοντας δ' ἐνταῦθα τῶν ἐπαρχιῶν τοὺς μητροπολίτας φησὶν, ὧν παραγγέλματι, ἤγουν ἐντολῇ, χειροτονεῖν, τουτέστι ψηφίζεσθαι τοὺς ἐπισκόπους ἐπίσκοπον διατάττεται. Ἐὰν δέ τις, φησὶ, τῶν ψηφισαμένων, καὶ μετὰ τὴν ψῆφον ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ, ἤγουν, ἐὰν ὃν* (1) ὡμολόγησεν ἄξιον εἶναι γενέσθαι ἐπίσκοπον, ἢ ὑπέγραψεν ἐν τῷ περὶ ἐκείνου ψηφίσματι, τοῦτον μετὰ ταῦτα λέγῃ μὴ εἶναι ἄξιον, καὶ ἐναντιῶται αὐτὸς ἑαυτῷ, ἑαυτὸν ἀποστερήσει τῆς ἀρχιερατικῆς τιμῆς, τουτέστι (2) καθαιρεθήσεται, μὴ ἀποδεικνὺς τὸ κατὰ τοῦ διαβαλλομένου αἰτιάμα.

ΒΑΛΣ· Χειροτανίαν ἐνταῦθα, μὴ τὴν χειροθεσίαν καὶ καθιέρωσιν νοήσῃς (3), ἀλλὰ τὴν ψῆφον· ὅτι τε τοῦτο παρίσταται ἀπὸ τοῦ τέλους τοῦ κανόνος, διοριζομένου καθαιρεῖσθαι τὸν τῇ ἰδίᾳ ὑπογραφῇ καὶ ὁμολογίᾳ ἐναντιούμενον ἐπίσκοπον, ἥτις ὑπογραφὴ οὐ γίνεται εἰς χειροτονίαν, ἤτοι καθιέρωσιν, ἀλλὰ εἰς ψῆφον· καὶ ὅτι, τοῦ ἀποστολικοῦ πρώτου κανόνος διοριζομένου χειροτονεῖσθαι ἐπίσκοπον ὑπὸ ἐπισκόπων δύο, εἴπερ ἐκλαβώμεθα τὴν χειροτονίαν εἰς χειροθεσίαν, δόξοιμεν λέγειν ἐναντία τῷ ῥηθέντι κανόνι. Τοῦ δὲ δ'. κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου παρακελευομένου ὑπὸ πάντων τῶν ἐπαρχεωτῶν καθίστασθαι τὰς ψήφους, εἰ δὲ δυσχερὲς τοῦτό ἐστι, τρεῖς ἐπὶ τὸ αὐτὸ συνάγεσθαι, συμψήφων γινομένων διὰ γραμμάτων καὶ τῶν λοιπῶν, ὡς ἔοικε, τινὲς μητροπολῖται (τούτους γὰρ ὁ παρὼν κανὼν πρωτεύοντας ἐπαρχίας καλεῖ,) οὐκ ἐφύλαττον τὰ τοῦ κανόνος· ὅθεν καὶ ὡρίσθη παρὰ τῶν Πατέρων, ὑπὸ πολλῶν ἐπισκόπων γίνεσθαι τὰς ψήφους. Εἰ δὲ οὐκ ἔστι τοῦτο εὐχερὲς, ἐξ ἀνάγκης ὑπὸ τριῶν, ὀφειλόντων μετὰ εἰδήσεως καὶ ἐπιτροπῆς τοῦ πρώτου, ἤγουν τοῦ μητροπολίτου, συνέρχεσθαι ἐν οἱῳδήτινι τόπῳ· ἐὰν δέ τις τῶν ψηφισαμένων ἐναντιωθῇ τῇ ἰδίᾳ ὑπογραφῇ, καθαιρεθήσεται. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Τινὸς δὲ μητροπολίτου αἰτιαθέντος

(1) Χ. Τρ. — τὸ, ὃν, οὐ κεῖται παρὰ Βευερ. οὐδὲ παρὰ Κ. εἰμὴ λατινιστί.
(2) ἑαυτόν . . . τουτέστι, οὐ κεῖται ἐν Χ. Τρ. — (3) νομίσῃς 'Ε.

ποτὲ, ὡς μὴ μετὰ ἐπαρχεωτῶν αὐτοῦ ψηφισαμένου ἐπίσκοπον, ἀλλὰ μετὰ μητροπολιτῶν διαγόντων εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ἐχρήσαντό τινες, ὑπὲρ αὐτοῦ λέγοντες, τῷ παρόντι κανόνι, καὶ εἶπον, ὡς, εἰ καὶ ἀπὸ τοῦ δ'. κανόνος τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ἀνάγκη ἐστὶν ὑπὸ ἐπαρχεωτῶν τὸ ἐλάχιστον τριῶν τὰς ψήφους γίνεσθαι, ἀλλ' ἀπὸ τοῦ παρόντος κανόνος μεταγενεστέρου ὄντος (1) ἐνεδόθη τῷ μητροπολίτῃ μετακαλεῖσθαι τρεῖς ἐπισκόπους τοὺς αὐτῷ βουλητέους, καὶ ποιεῖν τὴν ψῆφον δι' αὐτῶν ἐν οἵῳ ἂν τόπῳ θελήσῃ· καὶ ἤθελον ἀπὸ τούτου τοῦ κανόνος ἀκαταιτίατον τὸν μητροπολίτην συντηρηθῆναι. Ἤκουσε δὲ, ὡς, ἐπεὶ ὁ παρὼν κανὼν οὐ νέον τι θεσμοθετεῖ, ἀλλὰ τὰ προσδιορισθέντα παρὰ τῶν Πατέρων καὶ ἐφεξῆς διορίζεται φυλάττεσθαι, ὀφείλουσι πάντως τὰ περὶ τῶν συγκαλουμένων ἐπισκόπων νοεῖσθαι κατ' ἐκεῖνον τὸν κανόνα (2), καὶ ἐξ ἀνάγκης μετὰ ἐπαρχεωτῶν τὰς ψήφους γίνεσθαι. Τὸ δὲ, ἐν οἱῳδήποτε τόπῳ προβῆναι, οὐ προκριματίζει τὴν ψῆφον· μόνον γινέσθω μετὰ ἐπαρχεωτῶν (3) τὸ ἐλάχιστον τριῶν, * συμψήφων γινομένων καὶ τῶν λοιπῶν διὰ γραμμάτων * (4). Τοῦ δὲ κανόνος διοριζομένου ὑπὸ τριῶν ἐπισκόπων τὰς ψήφους γίνεσθαι, εἴπερ ἐστὶ δυσχερὲς πολλοὺς συνελθεῖν, ἐρωτήσει τις, ἐὰν εὐχέρειά ἐστι πολλοὺς συνελθεῖν, ἀκυρωθήσεται ἡ ψῆφος, ἢ οὔ; Λύσις. Τὰ ἄνωθεν γραφέντα περὶ καθαιρέσεως ἐπισκόπου γενομένης παρὰ δώδεκα ἐπισκόπων, ὅταν ὑπῆρχεν εὐχερὲς καὶ πλείους συνελθεῖν, ἀρκοῦσιν εἰς λύσιν (5) τοῦ παρόντος ζητήματος· τὸ δὲ, ἐν οἱῳδήποτε τόπῳ, γέγραπται διὰ τοὺς λέγοντας, ὀφείλειν τὰς ψήφους τῶν ἐκκλησιῶν γίνεσθαι παρὰ τοῦ μητροπολίτου εἰς τὴν κατ' αὐτὸν μητρόπολιν, ὅπερ οὐκ ἐδέχθη· οὐδὲ γὰρ ὁ τόπος καθιστᾷ τὸν ἐπίσκοπον, ἀλλ' ἡ ψῆφος, καὶ ἡ ἐπιλογὴ τῶν ἀρχιερέων. Σημείωσαι δὲ καὶ ἀπὸ τοῦ παρόντος κανόνος,

---

(1) μεταγενεστέρου ὄντος, οὐ κεῖται ἐν Χ. Τρ. — (2) ἐλογίσθησαν ματαιάζοντες ὡς ὁ Ἀράβιος ἀθλητὴς Ἑ. ὅπου οὐ κεῖται τὸ, καὶ ἐξ ἀνάγκης... γίνεσθαι — (3) Χ. Τρ. καὶ Ἑ. λατινιστί. — μετὰ ἐπισκόπων Βευερ. — (4) τὰ μεταξὺ * κεῖται ἐν Χ. Τρ. μόνον καὶ λατιν. παρὰ Ἑ. προστιθέασι δὲ ὁ Ἑ. καὶ ὁ Βευερ. κατὰ τὸν παρόντα κανόνα καὶ τὴν ἀκολούθως τούτου κρατοῦσαν συνήθειαν. — (5) Χ. Τρ. — εἰς ἀπολογίαν Ἑ. Βευερ.

ὅτι ὁ πρωτεύων, ἤγουν ὁ μητροπολίτης, οὐκ ὀφείλει παρουσιάζειν εἰς τὰς ψήφους, ἀλλὰ μόνοι οἱ ἐπίσκοποι. Τί δέ; ἐάν τις τῶν ψηφισαμένων ἐναντιωθῇ τῇ οἰκείᾳ ὑπογραφῇ, ἀπεντεῦθεν καθαιρεθήσεται, ἢ μετὰ δοκιμασίαν καὶ ἀποτυχίαν ὧν προτίθησι; Λύσις. Εἰ μὲν ἐκληφθῶσι τὰ ῥήματα τοῦ κανόνος εἰς τὸ ἐπιγινώσκειν μὲν τὸν ψηφισάμενον τὴν οἰκείαν ὑπογραφὴν, λέγειν δὲ μετὰ ταῦτα μαθεῖν τι κωλύον τὸν ψηφισθέντα εἰς ἐπισκοπικὸν προελθεῖν ἀξίωμα, ἄλλως οὐ καθαιρεθήσεται, εἰ μὴ περὶ τὰς ἀποδείξεις ἀτονήσει. Εἰ δὲ ἐκληφθῇ ἡ ἐναντίωσις τῆς ὑπογραφῆς εἰς ἄρνησιν ταύτης, ἐλεγχομένου τοῦ πράγματος διὰ συγκρίσεως τῶν γραμμάτων, ἢ ἄλλως πως, ἀπεντεῦθεν καθαιρεθήσεται. Σημείωσαι οὖν τὸν παρόντα κανόνα περὶ ἀρνήσεως ὑπογραφῆς διαλεγόμενον, ὡς ἐμοὶ δοκεῖ. Ἀνάγνωθι καὶ κεφάλ. οέ. τοῦ ά. τίτλου τοῦ κϐ'. βιϐλίου τῶν βασιλικῶν, καὶ κεφ. ά. τοῦ γ'. τίτλου τοῦ αὐτοῦ βιϐλίου, καὶ τὸν ὅλον δ'. τίτλον τοῦ αὐτοῦ βιϐλίου, καὶ τὸ ζ'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ κγ'. βιϐλίου, καὶ μάθῃς ὅπως ποτὲ μὲν δι' ἀντισυγγράφων, ποτὲ δὲ διὰ μαρτύρων ὀμνυόντων, ἐλέγχεται ὁ ἀρνούμενος τὴν οἰκείαν ὑπογραφήν· καὶ ὅτι μετὰ ἔλεγχον ὁ κατακριθεὶς ἀναγκάζεται ποιῆσαι τῷ ἀντιδίκῳ μὴ μόνον τὸ ἱκανὸν τοῦ περιεχομένου ἐν τῷ ἐγγράφῳ ποσοῦ, ἀλλὰ καὶ ἕτερον τοσοῦτον. Ἡ δὲ οϐ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου διορίζεται πᾶν ἔγγραφον, ἐν ᾧ ἐπιγέγραπται ὁ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ τύπος διὰ χειρὸς τοῦ συνθεμένου αὐτὸ, ἔχειν τὸ ἰσχυρὸν καὶ ἀμετάπτωτον, κἂν οὐκ ἔστι κατησφαλισμένον διὰ προστίμου· καὶ ἀνάγνωθι τὴν τοιαύτην νεαράν· καὶ συναγαγὼν εἰπὲ, ὅτι τὸ καθαιρεῖσθαι τοὺς ἀρχιερεῖς ἀρνουμένους τὰς ἐν ταῖς ψήφοις ὑπογραφὰς αὐτῶν, ἰδικόν ἐστι, καὶ ὀφείλει κρατεῖν εἰς τοῦτο καὶ μόνον τὸ φάκτον. Ἐὰν γὰρ ἕτερον ἔγγραφον αὐτοῦ ἀρνήσηται ἐπίσκοπος, ἢ κληρικὸς, ὡς ἐμοὶ δοκεῖ, οὐ καθαιρεθήσεται, καθά τινες λέγουσιν, ἀλλὰ κατὰ τοὺς ἄνωθεν καταστρωθέντας νόμους κολασθήσεται.

ΑΡΙΣΤ. Τοῦ πρωτεύοντος ἐπιτάττοντος, καὶ τρεῖς ἐπίσκοποι καθιστῶσιν ἐπίσκοπον· καὶ ὁ τῇ οἰκείᾳ ὁμολογίᾳ ἢ ὑπογραφῇ ἐναντιούμενος, οἴκοθεν ἕξει τὸ ἄτιμον.

Πάντας μὲν χρὴ παρεῖναι, εἰ δυνατὸν, τῆς ἐπαρχίας τοὺς ἐπισκόπους, ὅτε μέλλει γενέσθαι ψῆφος ἐπισκόπου ἐν ταῖς χηρευούσαις ἐπισκοπαῖς, καθὼς καὶ τῷ τετάρτῳ κανόνι τῆς ἐν Νικαίᾳ συνόδου δοκεῖ, καὶ τῷ ἐννεακαιδεκάτῳ τῆς ἐν Ἀντιοχείᾳ. Εἰ δὲ δυσχερὲς τοῦτο, ἢ διὰ μῆκος ὁδοῦ, ἢ δι' ἑτέραν τινὰ ἀνάγκην, τρεῖς κἂν τὸ ἐλάχιστον, ἐπιταγῇ καὶ γνώμῃ τοῦ μητροπολίτου αὐτῶν, τὴν ψῆφον ποιήσουσι, συμψήφων γινομένων καὶ τῶν ἀπόντων διὰ γραμμάτων. Εἴ τις δὲ τῶν ἐπισκόπων ὁμολογήσει καὶ διαβεβαιώσεταί τινα ἄξιον εἶναι τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς, εἶτα διά τι πάθος ἐναντίως τῇ ὁμολογίᾳ αὐτοῦ, ἢ τῇ ὑπογραφῇ χωρήσει, καὶ ἀνάξιον τοῦτον τὸν παρ' αὐτοῦ ἐπιλεγέντα καλοίη, μὴ ἀγνοούμενον παρ' αὐτοῦ καὶ πρώην, ὁποῖος ἦν, τῆς οἰκείας τιμῆς ἀποστερηθήσεται. Καὶ γὰρ καὶ ὁ νόμος τοὺς ψευδῶς ἢ ἐναντίως ἑαυτοῖς μαρτυρήσαντας, διὰ τῶν προσφόρων ἀρχόντων τιμωρεῖ· καθὼς τὸ τεσσαρεσκαιδέκατον κεφάλαιον τοῦ ά. τίτλου τοῦ κά. βιβλίου διαλαμβάνει(1).

## Κανὼν ΙΔ'.(2)

*Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν· καὶ ὥστε τὸν πρεσβύτερον ἐκεῖσε ἀπὸ πέντε ἀκούεσθαι ἐπισκόπων.*

**Ὁμοίως ἤρεσεν ἀπὸ Τριπόλεως, διὰ τὴν τῆς χώρας ἔνδειαν, ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν, καὶ ἵνα ὁ πρεσβύτερος ἐκεῖσε ἀπὸ πέντε ἀκούηται ἐπισκόπων, καὶ ὁ διάκονος ἀπὸ τριῶν, ὡς ἀνωτέρω εἴρηται, τοῦ ἰδίου αὐτοῦ δηλονότι ἐπισκόπου προκαθημένου.**

---

**ΖΩΝΑΡ.** Τρίπολιν τὴν ἐν Ἀφρικῇ λέγει· ἦν γὰρ κἀκεῖ Τρίπολις, ἔνθα ὀλίγοι ἦσαν ἐπίσκοποι· διὸ καὶ ἕνα τοποτηρητὴν ὥρισεν ἡ σύνοδος ἐκεῖθεν πέμπεσθαι· διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ πέντε ἐπισκόπους ἀρκεῖν διετυπώσατο εἰς

(1) ἴσως, οέ, Βασιλικ. κϐ', 1. — (2) ὁ Κανὼν οὗτος παρελείφθη ὑπὸ τῶν ἐκδοτῶν τοῦ Πηδαλίου, ὡς ἐν σημειώσει αὐτῶν εἰς τὸν Καν. ιγ'. φαίνεται.

τὸ δικάσαι πρεσβύτερον, προκαθημένου τοῦ ἐπισκόπου, ὑφ' ὃν τέτακται ὁ δικαζόμενος πρεσβύτερος, ὥστε ἓξ πάλιν εἶναι τοὺς διαγνώμονας.

ΒΑΛΣ. Ἔστι καὶ ἐν τῇ Ἀφρικῇ Τρίπολις· καὶ ἐπεὶ ἦσαν ἐν αὐτῇ ὀλίγοι ἐπίσκοποι, ὥρισεν ἡ σύνοδος, ἕνα μὲν πέμπεσθαι ἐκεῖθεν τοποτηρητὴν εἰς τὰς ἐτησίους συνόδους, ὑπὸ πέντε δὲ ἐπισκόπων, διὰ τὴν ὀλιγότητα τῶν ἀρχιερέων, τηρεῖσθαι τὰς ἐγκληματικὰς τῶν ἱερέων ὑποθέσεις, καὶ ὑπὸ τριῶν τὰς τῶν διακόνων, ὀφειλόντων ἐπέκεινα τούτων προκαθῆσθαι καὶ τῶν ἐπισκόπων, ὑφ' οὓς οἱ δικαζόμενοι τάττονται. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, ὅτι οἱ ἐπίσκοποι, οἱ ἔχοντες ὑφ' ἑαυτοὺς τοὺς δικαζομένους, ἐπέκεινα ὀφείλουσιν εἶναι τῆς δωδεκάδος, τῆς ἑξάδος, καὶ τῆς τριάδος τῶν συνδικαστῶν, καὶ ὅτι, ἐνδείας μὴ οὔσης ἐπισκόπων, πλείονες τούτων ἐπίσκοποι ὀφείλουσι τηρεῖν τὰς ὑποθέσεις τῶν ἱερωμένων.

ΑΡΙΣΤ. Διὰ τὴν εἰς Τρίπολιν τῶν ἐπισκόπων ἔνδειαν, καὶ εἷς ἐπίσκοπος εἰς τοποτηρησίαν ἐπάρκιος.

Οἱ μὲν ἄλλοι τῶν ἐπαρχιῶν πρόεδροι, δύο ἢ καὶ πλείονας ἐπισκόπους τοποτηρητὰς ἐπιλέγεσθαι ὡρίσθησαν, καὶ ἀποστέλλειν αὐτοὺς ἐν τῇ κατ' ἐνιαυτὸν συνόδῳ ἐν Καρχηδόνι· ἀπὸ δὲ Τριπόλεως καὶ ἕνα ἐπίσκοπον ἐπαρκεῖν εἰς τοποτηρησίαν, διὰ τὴν τῶν ἐπισκόπων ἔνδειαν.

## Κανὼν ΙΕ'. (ΙΔ'.)

*Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε, ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.*

Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τῶν ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἢ κληρικῶν, πράγματος αὐτῷ ἐγκληματικοῦ ἢ πολιτικοῦ ἐν τῇ ἐκκλησίᾳ κινουμένου, ἐὰν παραιτούμενος τὸ ἐκκλησιαστικὸν δικαστήριον, δη-

μοσίοις θελήσῃ καθαρθῆναι δικαστηρίοις, κἂν ὑπὲρ αὐτοῦ ἡ ψῆφος ἐκφωνηθῇ, ὅμως τὸν ἴδιον τόπον ἀπολέσῃ· καὶ τοῦτο μὲν ἐπὶ τοῦ ἐγκληματικοῦ· ἐπὶ δὲ τοῦ πολιτικοῦ, ἀπολέσῃ τὸ εἰς ὃ ἐνίκησεν, ἐὰν τὸν ἴδιον τόπον θελήσῃ κατέχειν. Καὶ τοῦτό γε (1) μὴν ἤρεσεν, ὥστε, ἐὰν ἀπὸ οἱωνδήποτε δικαστῶν ἐκκλησιαστικῶν ἐπὶ ἄλλους δικαστὰς ἐκκλησιαστικοὺς ἔχοντας μείζονα τὴν αὐθεντίαν, ἔκκλητος γένηται, μηδὲν βλάπτειν τούτους ὧν ἡ ψῆφος λύεται· ἐὰν ἐλεγχθῆναι μὴ δυνηθῶσιν, ἢ κατ' ἔχθραν, ἢ κατὰ προσπάθειαν δεδικακέναι, ἤ τινι χάριτι ὑποφθαρῆναι· ἐὰν δὲ κατὰ συναίνεσιν τῶν μερῶν ἐπιλεγέντες ὦσι δικασταί, εἰ καὶ ὀλιγώτεροι ἔσονται τῶν ὁρισθέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. Καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων θεώρια κοσμικὰ μὴ ἐκτελεῖν, μηδὲ θεωρεῖν· τοῦτο δὲ καὶ πᾶσι τοῖς Χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε τούτων ἀπέχεσθαι (2), καὶ ὅπου βλασφημίαι εἰσὶ μὴ προσιέναι.

---

ΖΩΝΑΡ. Τοῖς ἱερωμένοις ἅπασιν, ἀλλὰ μέντοι καὶ μοναχοῖς, πρόσφορά εἰσι δικαστήρια τὰ τῶν ἐπισκόπων, οἷς ὑπόκεινται. Εἴτε οὖν ἐνάγεταί τις τούτων, εἴτε ἐνάγει κατὰ συγκληρικοῦ, παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ καὶ ἐνάγεσθαι καὶ ἐνάγειν ὀφείλει, κἂν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, κἂν πολιτικὸν, ἤτοι χρηματικόν. Ἐὰν δὲ παραιτήσηταί τις τῶν τοιούτων τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ δημοσίοις δικαστηρίοις, ἤγουν δημοτικῶν ἀρχόντων (3), τουτέστι πολιτικῶν, θελήσῃ καθαρθῆναι, ἀντὶ τοῦ, καθαρὸς φανῆναι τοῦ αἰτιάματος, κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ, καὶ ὑπὲρ αὐτοῦ γένηται ἡ ἀπόφασις, ἀθῷον αὐτὸν ἀποφαινομένη (4) τοῦ ἐγκλήματος ἐφ' ᾧ κατηγορεῖτο, ὅμως τὸν ἴδιον τόπον, τὸν βαθμὸν (5) δηλαδὴ, καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει,

---

(1) ἐν Π. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, Καὶ τοῦτό γε μὴν ἤρεσεν.—(2) Σ. Ρ. Βευερ.— τὸ, ὥστε τούτων ἀπέχεσθαι, οὐ κεῖται ἐν Π. Χ. Τρ. παρὰ Ε. Κ. (3) καὶ δικαστηρίοις δημοτικῶν ἀρχόντων Χ. Τρ.—(4) ἀθωοῦσα αὐτὸν τοῦ ἐγκλήματος Χ. Τρ.—(5) ὅμως τὸν βαθμὸν αὐτοῦ Χ. Τρ.

διὰ τοῦτο αὐτὸ καθαιρούμενος διότι παρῃτήσατο τὸ ἐκκλησιαστικὸν δικαστήριον. Ὅτε οὖν, φησιν, ἔγκλημα εἴη τὸ κινηθὲν κατὰ τοῦ ἱερωμένου, τὰ εἰρημένα γενήσονται· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον, ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰμὴ καταφρονήσει τοῦ πράγματος, ἐφ' ᾧ ἐδικαιώθη, καὶ τῆς δικαιούσης αὐτὸν ἀποφάσεως. Ἐὰν δὲ ἔκκλητος γένηται, ἢ ἐπισκόπων δικασάντων, ἢ δικαστῶν ἑτέρων, ἐπὶ ἄλλους ἐκκλησιαστικοὺς δικαστὰς, ἤγουν ἐπὶ μητροπολίτας ἢ πατριάρχας, καὶ ἐξεταζομένη ἐν τῇ ἐκκλήτῳ ἡ ἀπόφασις λυθῇ, ἀντὶ τοῦ, ἀνατραπῇ, μηδέν, φησι, βλαπτέσθωσαν οἱ πρώην ἀποφηνάμενοι, εἰ μή που ἐλεγχθῶσιν ἢ κατὰ ἔχθραν δικάσαι, ὡς ἐχθρωδῶς ἔχοντες κατὰ τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν, ὡς φιλίως διακείμενοι πρὸς τὸν δικαιωθέντα, ἢ δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι· δωροδοκεῖται δέ τις, ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτῷ πληροῦντος τοῦ αὐτὸν ὑποφθείροντος. Εἰ γὰρ δι' ἔχθραν, ἢ προσπάθειαν, ἢ δωροδοκίαν φανεῖεν μὴ καλῶς ψηφισάμενοι, βλαβήσονται περὶ τὴν οἰκείαν ἐπιτιμίαν. Ἐὰν δὲ αἱρετίσωνται οἱ τὴν ὑπόθεσιν ἔχοντες, ὅ,τε κατήγορος καὶ ὁ κατηγορούμενος, δικαστὰς, εἰ καὶ ὀλιγώτεροί, φησιν, εἶεν τῶν ὁρισθέντων, τῶν ιβ'. ἐπὶ ἐπισκόπων, καὶ τῶν ἓξ ἐπὶ πρεσβυτέρων, καὶ τῶν τριῶν ἐπὶ διακόνων, ὁ καταδικασθεὶς ὑπ' ἐκείνων οὐ δυνήσεται ζητεῖν ἔκκλητον. Τοῦτο δὲ καὶ νόμοι πολιτικοὶ διατάττονται· καὶ ζήτει βιβλίον τῶν βασιλικῶν γ'. τίτλον ά. κεφ. μδ'. καὶ βιβλίον θ'. Ἐπὶ τούτοις ὁ κανὼν περὶ τέκνων τῶν ἱερέων φησὶν, ἵνα μήτε θεώρια ἐκτελῶσιν αὐτὰ, (1), μήτε, ἄλλων ποιούντων, παραγίνωνται καὶ θεωρῶσι. Τὸ δὲ θεώρια ἐκτελεῖν τοιοῦτον ἐστίν· Ἐν ταῖς μεγίσταις πόλεσι θέατρα ἦν, καὶ ἵπποι ἐτρέφοντο ἁμιλλητήριοι, καὶ θηρία εἰς θηριομαχίαν, καὶ ἀνετίθετο ἡ ἱπποτροφία, καὶ ἡ τῶν θηρῶν ἐπιμέλεια, καὶ ἡ φροντὶς τοῦ τὰς θεωρίας ἐν τοῖς θεάτροις ἐπιτελεῖσθαι ἐνίοις τῶν πολιτικῶν· κἀκείνοις ἔμελλε περὶ

(1) Χ. Τρ.—αὐτοὶ Βασιρ. Κ.

τε τῆς τῶν ἵππων ἁμίλλης, καὶ τῆς θηριομαχίας, καὶ τῶν ἄλλων, ὅσα ἐν τοῖς θεάτροις εἴωθε γίνεσθαι· ταῦτα οὖν γίνεσθαι παρὰ παίδων τῶν ἱερέων ἐκώλυσεν ὁ κανών. Δεῖ γὰρ τοὺς ἱερεῖς τὰ οἰκεῖα τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνάγειν, κατὰ τὸν μέγαν Παῦλον, ὃς, καὶ πρὸς Τίτον γράφων, οἵους δεῖ καθιστᾷν πρεσβυτέρους, πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔγραψεν· Εἴ τις ἐστὶ τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα (1)· καὶ Τιμοθέῳ ἐπιστέλλων, οἷον δεῖ τὸν ἐπισκοπῆς ὀρεγόμενον εἶναι, τοῖς λοιποῖς καὶ τοῦτο προσέθετο, Τὰ τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος (2)· τὰ θεωρίαις δὲ μίμων προσέχοντα, καὶ ἱπποδρομίαις σχολάζοντα, καὶ τοιούτοις ἄλλοις, οὔτε ἀσωτίας ὑπόληψιν ἐκφεύξονται, οὔτε σεμνότης αὐτοῖς προσμαρτυρηθήσεται. Καὶ οὐ θαυμαστὸν, εἰ τὰ τῶν ἱερέων τέκνα τοιαύτην διαγωγὴν ἀπαιτοῦνται, ἐπεὶ καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται μὴ προσιέναι, ὅπου βλασφημίαι εἰσί· βλασφημίας δὲ, τὰ ἀσέμνως γινόμενα ἐκάλεσεν, ὡς βλασφημεῖσθαι ποιοῦντα τοὺς πιστοὺς παρὰ τῶν ἀπίστων, οἷα μὴ ἐν σωφροσύνῃ ζῶντας ἢ σεμνότητι.

ΒΑΛΣ. Καὶ ἀπὸ τῶν νόμων, καὶ ἀπὸ τῶν κανόνων δέδοται, μὴ ἔχειν ἐπ' ἀδείας ἕκαστον παρ' οἵῳ βούλεται δικαστηρίῳ ἀπροκριματίστως ἐνάγειν· ἀλλὰ τοῖς μὲν λαϊκοῖς ἀπενεμήθησαν τὰ πολιτικὰ δικαστήρια, τοῖς δὲ ἱερωμένοις καὶ τοῖς μοναχοῖς τὰ ἐκκλησιαστικά. Εἴ τις οὖν ἱερωμένος, φησὶν ὁ κανὼν, καταφρονήσας τῆς τοιαύτης θεσμοθεσίας, ἐναγάγῃ παρὰ πολιτικῷ δικαστηρίῳ κατὰ ἱερωμένου, ἢ κατὰ μοναχοῦ, περὶ ἐγκληματικῆς ὑποθέσεως, ἢ εἴ τις αὐτῶν παρὰ τῷ προσφόρῳ ἐκκλησιαστικῷ δικαστηρίῳ ἑλκυσθεὶς, παραιτήσεται τοῦτο καὶ ἐπιλέξεται δικαστήριον δημοτικὸν (3), ἤτοι πολιτικὸν, (τοῦτο γάρ ἐστι τὸ θέλειν καθαρθῆναι, ἤτοι ἀθωωθῆναι, τοῦ αἰτιάματος διὰ δημοσίου δικαστηρίου,) κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ τῷ πολιτικῷ εἴτε ὡς ἐνάγων, εἴτε ὡς εναγόμενος, ὅμως τὸν ἴδιον τόπον, ἤτοι βαθμὸν, καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει· διὰ τοῦτο αὐτὸ καὶ μόνον καθαιρού-

(1) Τίτ. Α', 6.—(2) ά, Τιμόθ. Γ', 4. — (3) δημοσιακὸν Ἑ.

μένος, διὰ τὸ παραιτήσασθαι τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ἐπιλέξασθαι τὸ πολιτικόν. Καὶ ὅτε μὲν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, γενήσεται τοῦτο· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον, ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰ μὴ καταφρονήσει τοῦ πράγματος ἐφ' ᾧ ἐδικαιώθη, καὶ παραχωρήσει εἶναι αὐτὸ παρὰ τῷ ἀντιδίκῳ αὐτοῦ τῷ ἡττηθέντι. Πρὸς τούτοις ὥρισαν οἱ Πατέρες, ἵνα, ἐὰν ἐκκαλέσηταί τις κατ' ἀποφάσεως ἐπισκόπων, ἢ ἑτέρων δικαστῶν ἐκκλησιαστικῶν, καὶ ἡ ἔκκλητος ἐπαναδράμῃ εἰς μείζονα δικαστὴν, πάντως ἐκκλησιαστικὸν, κατὰ τὴν καθόλου νομικὴν διδασκαλίαν, τὴν διοριζομένην τοὺς ἐκκληταρίους (1) δικαστὰς ὀφείλειν εἶναι μείζονας τῶν πρώτως δικασάντων, καὶ συμβῇ ἀνατραπῆναι τὴν πρώτην ἀπόφασιν παρὰ τῶν ἐκκληταρίων δικαστῶν, κατὰ μηδὲν βλάπτεσθαι τοὺς πρώτως ἀποφηναμένους, κἂν ἐγκληματικὴ ἐστι, κἂν χρηματικὴ ὑπόθεσις, εἰ μή πω ἐλεγχθῶσιν οὗτοι ἀποφηνάμενοι κατὰ ἔχθραν τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν τοῦ δικαιωθέντος, ἢ ὡς δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι· ὅτι δωροδοκεῖταί τις ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτῷ πληροῦντος τοῦ αὐτὸν ὑποφθείραντος. Σημείωσαι οὖν τὸν παρόντα κανόνα μεγάλως κολάζοντα τοὺς ἱερατικοὺς δικαζομένους ὁπωσδήποτε εἰς δικαστήρια πολιτικά· καὶ μὴ ἐναντιωθῇ σοι τὸ κεφ. ϟ'. τοῦ ά. τίτλου τοῦ ιά. βιβλίου τῶν βασιλικῶν, καὶ τὸ θ'. κεφ. τοῦ γ'. τίτλου τοῦ γ'. βιβλίου λέγοντα, δύνασθαι τοὺς ἱερωμένους ἀποτάττεσθαι τῇ τῆς ἱερωσύνης παραγραφῇ. Ὅσον γὰρ πρὸς τὸν ἀντίδικον ἔρρωται τὸ σύμφωνον τοῦτο· ἑτέρου δὲ λόγου ἐστὶν, ὅτι βλάπτεται κατὰ τὸν παρόντα κανόνα ὁ καταφρονήσας τούτου ἱερωμένος· καὶ ἀνάγνωθι τὸν ρδ'. κανόνα τῆς παρούσης συνόδου, καὶ τῆς ἐν Χαλκηδόνι κανόνα θ' (2). Τοῦ δὲ κανόνος ἄνωθεν διορισαμένου, ὑπὸ δώδεκα ἐπισκόπων κρίνεσθαι τοὺς ἐπισκόπους, ὑπὸ ἓξ τοὺς ἱερεῖς, καὶ τοὺς διακόνους ὑπὸ τριῶν, ἐπήγαγον οἱ Πατέρες, ὡς τὰ περὶ τῶν ἐκκλήτων

(1) ἐκκλήτους Βευερ. — (2) τὰ ἀπὸ τοῦ, Σημείωσαι ἕως τοῦ, κανόνα θ'. οὐ κεῖται παρὰ Β. εἰμὴ λατίν. ἐν παραρτ. σελ. 1128.

καὶ τὰ λοιπὰ χώραν ἔχουσιν ὅτε τὰ ἐκκλησιαστικὰ δικαστήρια παρὰ τοσούτοις προσφόροις δικασταῖς γένωνται· οὐ μὴν ὅτε κατὰ θέλησιν τοῦ κατηγόρου καὶ τοῦ κατηγορουμένου παρά τισιν ἐπιλεγεῖσιν ὡς αἱρετοῖς δικασταῖς, πολλάκις καὶ ὀλιγωτέροις οὖσι τῶν ὁρισθέντων παρὰ τῶν κανόνων, δικασθῶσι τινές· τηνικαῦτα γὰρ οὐδὲ ἐκκλήτῳ ὑποπεσεῖται ἡ τούτων ἀπόφασις, ὥς φησιν ὁ νόμος ἐν βιβλίῳ ζ'. τίτλῳ β'. κεφ. κζ'. θέματι γ'. οὕτως ἔχοντι· Εἴτε δικαία, εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμένειν δεῖ· καὶ τὸ γ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Μὴ χρείαν ἐκκλήτου ἐχέτω ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις. Ἐπὶ τούτοις ὁ κανὼν περὶ τῶν τέκνων τῶν ἱερέων φησὶν, ἵνα μήτε θεώρια ἐκτελῶσιν, μήτε ἄλλων ποιούντων (1) παραγίνωνται καὶ θεωρῶσιν· ὅτι καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται μὴ προσιέναι ὅπου βλασφημίαι εἰσί. Θεώρια δὲ λέγονται οὐ μόνον τὰ ἱπποδρόμια, ἀλλὰ καὶ πᾶσα θέα, θηριομαχία δηλαδὴ, παίγνια μίμων, ὀρχήσεις, καὶ ἄλλα τοιαῦτα δαιμονιώδη ἔργα. Ταῦτα τοῦ κανόνος διοριζομένου, εἰπὲ, ὅτι τὸ, κἂν ἡ ψῆφος ὑπὲρ αὐτοῦ ἐκφωνηθῇ, προσετέθη διὰ τοὺς λέγοντας ὀφείλειν καθαιρεῖσθαι μόνον τὸν οὕτω δικασάμενον ἱερωμένον χάριν ἐγκληματικῆς ὑποθέσεως καὶ ἡττηθέντα, οὐ μὴν καὶ τὸν νικήσαντα ὡς δικαίαν ἔχοντα ὑπόθεσιν· καὶ ἄμφω γὰρ καθαιρεθήσονται, ὡς ὑβρισταὶ τῆς ἐκκλησίας, καὶ τοῦ κανόνος ἀθετηταί. Ὁ μέντοι τὸν ἐκκλησιαστικὸν ἑλκύσας ἱερωμένον εἰς κοσμικὸν δικαστήριον χάριν χρηματικῆς αἰτιάσεως, καὶ νικήσας, καθαιρεῖται, ἐὰν στοιχῇ τῇ ὑπὲρ αὐτοῦ ἀποφάσει, καὶ θέλῃ ἔχειν τὸ πρᾶγμα ὃ ἐνίκησεν· ὥσπερ καὶ ὁ ἐναχθεὶς, ἐὰν παρῃτήσατο τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ἐζήτησε τὸ πολιτικὸν, καὶ ἐνίκησεν. Εἰ γὰρ ἀφίσταται τοῦ πράγματος, περὶ οὗ ἐδικάσατο, μένει ἔχων τὴν οἰκείαν ἐπιτιμίαν. Καὶ ταῦτα μὲν ὁ κανὼν διορίζεται. Σήμερον δὲ παρορῶνται ταῦτα, δι' ἣν αἰτίαν οὐ γινώσκω· πολλοὶ γὰρ οὐ μόνον λαϊκοὶ, ἀλλὰ καὶ ἱερωμένοι ἕλκουσιν εἰς πολιτικὰ δικα-

(1) Χ. Γρ. — ἄλλων τοιούτων Ἐ. Βευερ.

στήρια ἐπισκόπους, κληρικούς τε, καὶ μοναχούς, μηδὲ πρόσταξιν βασιλικὴν περὶ τούτου πορισάμενοι, καὶ οὔτε ἡ τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφὴ λυσιτελεῖ τοῖς ἐναγομένοις· καταναγκάζουσι γὰρ τούτους καὶ ἄκοντας δικάζεσθαι· οὔτε οἱ ἑλκύσαντες αὐτοὺς ἱερωμένοι ἐβλάβησαν ὁπωσδήποτε, ἀλλ' οὐδὲ οἱ ἐναγόμενοι μοναχοὶ ἢ κληρικοὶ εἰς δικαστήριον ἐκκλησιαστικὸν, καὶ παραιτησάμενοι μὲν τοῦτο, πολιτικὴν δὲ ζητήσαντες κατεξέτασιν, κατά τι ἐτιμωρήθησαν· ὥσπερ οὐδὲ οἱ ἑλκυσθέντες κληρικοὶ ἢ μοναχοὶ εἰς κοσμικὸν δικαστήριον, καὶ καταδεξάμενοι εἰς τοῦτο δικάσασθαι. Τοῦ δὲ χρηματίσαντος καθηγουμένου τῆς μονῆς τοῦ Παντεπόπτου μοναχοῦ ἐκείνου Μελετίου, ἑλκυσθέντος εἰς τὸ συνοδικὸν δικαστήριον, καὶ παραιτησαμένου αὐτὸ ὡς ἀκαταθύμιον (1), καὶ μεταγαγόντος τὴν ὑπόθεσιν εἰς κοσμικὸν δικαστήριον διὰ προστάξεως βασιλικῆς, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κὺρ Λουκᾶς, ὑβριοπαθήσας ἐπὶ τῷ γεγονότι, πολλὴν ἔθετο σπουδὴν διορθώσασθαι τὸ γενόμενον. Ἤκουσε δὲ ἀπὸ τῶν πολιτικῶν δικαστῶν, ὡς ἡ βασιλικὴ ἐξουσία πάντα δύναται ποιεῖν· καὶ ὥσπερ ἠδύνατο πρωτοτύπως δοῦναι πολιτικὸν δικαστὴν χάριν τοῦ δικάσαι ἐπίσκοπον, ἢ ἕτερον ἱερωμένον ἐναγόμενον, οὕτω καὶ κατὰ μετάθεσιν τὸ ἐκκλησιαστικὸν δικαστήριον μεταγάγῃ κατὰ νόμιμον παρατήρησιν (2) εἰς πολιτικόν· πλὴν ὁ ἐντὸς δηλούμενος καθηγούμενος, κἂν εἰσηκούσθη τὸ συνοδικὸν παραιτησάμενος δικαστήριον, καὶ διετηρήθη ἀπροκριμάτιστος, ἀλλὰ ἀπὸ τοῦ ρδ'. κανόνος τῆς παρούσης συνόδου, ὃν καὶ ἀνάγνωθι, ὤφειλε καθαιρεθῆναι. Τὸ γὰρ ιζ'. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου, κἂν διορίζεται μετὰ βασιλικῆς κελεύσεως διάγεσθαι καὶ παρίστασθαι τοὺς ἐπισκόπους παρὰ πολιτικοῖς ἄρχουσιν, ἀλλὰ τοῦτο οὐ προσίσταται, ὡς ἐμοὶ δοκεῖ, τῇ κανονικῇ διδασκαλίᾳ· ὀφείλομεν γὰρ εἰπεῖν, τὸν ἐπίσκοπον τηνικαῦτα ἕλκεσθαι περὶ πράγματος ἰδικῶς αὐτῷ διαφέροντος, οὐ μὴν περὶ ἐκκλησιαστικοῦ ζητήματος· τοιούτου γὰρ προκειμένου τινὸς, ἀμέτοχοι εἶναι ὀφείλουσιν οἱ πολιτικοὶ δικασταί.

(1) Χ. Τρ. Ἐ —καταθύμιον Βιυερ.—(2) Χ. Τρ. Ἐ. — παραίτησιν, Βιυερ.

Τέως δὲ καὶ μεγάλη ἐστὶ διαφορὰ τοῦ αὐθαιρέτως παραιτουμένου τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ζητοῦντος τὸ πολιτικὸν δικαστήριον διὰ προστάξεως βασιλικῆς, καὶ τοῦ ἑλκυσθέντος ἀκουσίως κατὰ κέλευσιν βασιλικὴν εἰς κοσμικὸν δικαστήριον. Ἀνάγνωθι καὶ κεφ. ά. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. Τὸ μέντοι ζητῆσαι συνδικαστὴν πολιτικὸν διὰ προστάξεως βασιλικῆς, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι κεκωλυμένον, καὶ μᾶλλον ὅταν χρηματική ἐστιν ἡ ὑπόθεσις, ἡ μέλλουσα λαληθῆναι συνοδικῶς. Ἐρωτήσει δέ τις, ὡς, τοῦ νόμου λέγοντος ἐκπίπτειν τῆς οἰκείας ἐναγωγῆς τὸν εἰς ἀπρόσφορον δικαστήριον ἑλκύσαντα τὸν ἴδιον ἀντίδικον, οὐκ ἔμελλε καὶ πρὸ τοῦ κανόνος τούτου ὁ τὸν ἱερωμένον ἑλκύσας εἰς πολιτικὸν δικαστήριον, ἐκπεσεῖν τοῦ δικαίου αὐτοῦ; Λύσις. Ἡ τοῦ ἀπροσφόρου παραγραφὴ κατὰ τὴν ἀρχὴν τοῦ δικαστηρίου προτίθεται καὶ μόνον, οὐ μὴν καὶ μετὰ ταῦτα· θεμάτισον οὖν, ὅτι οὐ προετέθη αὕτη παρὰ τοῦ ἐναγομένου, ἢ προτεθεῖσα, οὐκ ἐδέχθη παρὰ τοῦ δικαστοῦ· καὶ διὰ τοῦτο ὥρισαν οἱ Πατέρες, ὡς, κἂν νικήσῃ ὁ ἐναγαγὼν, διὰ τὸ ἀπρακτῆσαι ὁπωσδήποτε τὴν τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφὴν, ἀλλὰ καὶ οὕτω διὰ τὴν τιμὴν τῆς ἐκκλησίας εἰς οὐδὲν αὐτῷ ἡ νίκη λυσιτελήσει, ἀλλὰ καθαιρεθήσεται, εἴπερ ἀντέχεται ταύτης. Ἔτι ἐρωτήσει τις, ποίαν βλάβην ὑποστήσονται οἱ ἐκκλησιαστικοὶ(1) δικασταὶ, εἴπερ ἐλεγχθῶσι κατὰ ἔχθραν, ἢ κατὰ προσπάθειαν, ἢ διὰ χάριν ἀποφηνάμενοι, τοῦ κανόνος μηδὲν περὶ τούτου παρακελευομένου; Λύσις. Τὸ εἶδος τῆς βλάβης κἂν ἀπὸ τοῦ κανόνος οὐκ ἀναφαίνηται, ἀλλ' ἀπὸ τῶν νόμων δηλοῦται. Αὐτίκα γὰρ, περὶ τοῦ δωροδοκηθέντος δικαστοῦ φησὶ τὸ γ'. κεφ. τοῦ μγ'. τίτλου τοῦ ξ'. βιβλίου· Ὁ ἄρχων λαμβάνων χρήματα ἐπὶ τῷ δικάσαι (2), ἢ ψηφίσασθαι, ἢ ἐπὶ τῷ ποιῆσαί τι πλέον, ἢ ἧττον τοῦ ἰδίου ὀφφικίου, καὶ οἱ σύνεδροι τῶν ἀρχόντων ὑπόκεινται τῷ νόμῳ· καὶ τὸ γ'. θέμα τοῦ ζ'. κεφ. Ἡ ποινὴ τοῦ νόμου ἐξτραορδιναρία ἐστὶ, καὶ ὡς ἐπίπαν εἰς ἐξορίαν καταδικάζει, ἐσθ' ὅτε δὲ καὶ σφοδρότερον· καὶ

(1) Χ. Τρ. — πολιτικοὶ 'Ε., λατινιστὶ δὲ ὀρθῶς. — (2) δοκιμάσαι Χ. Τρ.

τὸ β'. θέμα τοῦ θ'. κεφ. Ὁ τῷ νόμῳ τούτῳ καταδικαζόμενος οὔτε μαρτυρεῖν δημοσίᾳ δύναται, οὔτε δικάζειν, οὔτε συνηγορεῖν. Ἀνάγνωθι καὶ τὸ β'. θέμα τοῦ ς'. κεφ. τοῦ δ'. τίτλου τοῦ ζ'. βιβλίου, ὅπερ ἐστὶ μέρος τῆς ρκδ'. Ἰουστινιανείου νεαρᾶς, λέγον οὕτως· Εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴπῃ δεδωκέναι τι, ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείπῃ, καὶ τοῦτο ἀποδείξῃ, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω· ὁ δὲ ἢ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν παρὰ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν, ἤτοι ἀρχήν, ἣν ἔχει, ἐφ' ἑκατέρου θέματος ἀπολλύτω· εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς οἰκείας ὑπομενέτω περιουσίας, καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. Εἰ δὲ τὴν δόσιν, ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον, τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι' ἑαυτοῦ, οὐδὲ δι' ἄλλου προσώπου ἢ ἔλαβέ τι, ἢ ὑπόσχεσιν ἔσχε· καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου, αὐτὸς μὲν ἐλεύθερος ἔστω· ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι, ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις, τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν οἰκείαν ἔκβασιν ἀναμενούσης· ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω· εἰ δὲ τὸ παρὰ τοῦ δικαζομένου φανερωθὲν πρόσωπον, τὸν μνημονευθέντα παραιτήσεται ὅρκον, τοῦτο μὲν ἐπὶ ταῖς ἐγκληματικαῖς, τοῦτο δὲ ἐπὶ ταῖς χρηματικαῖς αἰτίαις, ταῖς μνημονευθείσαις ὑποκείσθω ποιναῖς. Εἰ δέ τις τῶν δικαζομένων ὀμόσει μὴ δεδωκέναι, ἢ ἐπαγγείλασθαι, ἐντὸς δὲ τεσσάρων μηνῶν μετὰ τὸ προενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων δειχθῇ δοθέν τι ἢ ὑποσχεθέν, αἱ εἰρημέναι ποιναὶ κατά τε τῶν διδόντων, κατά τε τῶν λαμβανόντων χώραν ἕξουσι. Καὶ ταῦτα μέν, ἐὰν κατὰ χάριν, ἢ διὰ λῆψιν νομισμάτων, ἢ προσπάθειαν, ἢ ἔχθραν, ἡ ψῆφος ἐξενεχθῇ· τῆς γὰρ αὐτῆς δυνάμεώς εἰσι τὰ τρία. Ἐὰν

δὲ μὴ διὰ τοιαύτην αἰτίαν, ἀλλὰ κατὰ ἀπειρίαν ἀποφαίνηται ἐπίσκοπος κατά τινος, τί γενήσεται; Λύσις. Οἱ ἄρχοντες, ἤτοι οἱ προκαθήμενοι τῶν δικαστηρίων, οὐκ ἀναγκάζονται ἀκριβῶς εἰδέναι τοὺς νόμους, ὡς ἐφ' ἑτέραις μεγάλαις δουλείαις ἐνασχολούμενοι· καὶ διὰ τοῦτο ἐξ ἀπειρίας ἀποφαινόμενοι, συγγινώσκονται· οἱ δὲ σύνεδροι τούτων παρανόμως ψηφιζόμενοι, κολάζονται. Φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ζ'. τίτ. γ'. κεφ. κδ'. Τὸν δόλον ἐπιζητοῦμεν τοῦ ἄρχοντος· ἐὰν γὰρ ἀπειρίᾳ τοῦ συνέδρου ἄλλως ψηφισθῇ, ὁ ἄρχων οὐκ ἀδικεῖται, ἀλλ' ὁ σύμπονος (1). Καὶ ὁ λογισμὸς εὔλογος· οἱ μὲν γὰρ ἄρχοντες, δι' ἣν εἴρηται αἰτίαν, οὐκ αἰτιῶνται· οἱ δὲ κριταὶ, τὸ δικάζειν καὶ μόνον ἔργον ἔχοντες, ἐὰν παρανομήσωσιν, ἐνέχονται ὡς δόλον ποιήσαντες, κατὰ τὸν νόμον τὸν λέγοντα, Ἡ ἀπειρία ἔοικε τῇ ἀμελείᾳ· καὶ πάλιν· Δόλον τις ποιεῖ, μὴ εἰδὼς ἀκριβῶς ὃ ἐπαγγέλλεται εἰδέναι· καὶ τοῦτο μὲν ἐξεφωνήθη περὶ τῶν πολιτικῶν δικαστῶν. Εἰς δὲ τοὺς ἐκκλησιαστικοὺς δικαστὰς ἄλλη τις κρατήσει ἀκολουθία, ὡς ἐμοὶ δοκεῖ· καὶ αὕτη μέντοι κατὰ τὴν παροῦσαν θεσμοθεσίαν. Εἰ μὲν γὰρ ἐναντίαν τοῖς κανόσιν ἐπίσκοπος ἐνέγκῃ ψῆφον, τιμωρηθήσεται, ἤγουν καθαιρεθήσεται, μὴ δυνάμενος ἀμαθίαν ἢ ἀπειρίαν προβαλέσθαι· οὐ γὰρ συγγνωστέος ἔσεται λέγων μὴ εἰδέναι τοὺς κανόνας, οὓς ἀναγκάζεται διὰ γλώττης ἔχειν σχεδὸν ἀεί. Εἰ δὲ ἀποφήνηταί τι νόμοις ἀνένδεκτον, ἢ δικαστικῆς ἀκολουθίας ἔξωθεν, συγγνωσθήσεται διὰ τὴν ἀπειρίαν, ὡς μηδὲ ὀφείλων εἰδέναι νόμους ἀκριβῶς. Ταῦτα δὲ κρατήσουσιν, ὅταν ἐγκληματικὴν ὑπόθεσιν δικάσῃ ἐπίσκοπος, ἢ ἄλλην ἐκκλησιαστικὴν ζήτησιν ἐπάγουσαν καθαίρεσιν· εἰ γὰρ χρηματικὴν παράνομον ἐξενέγκῃ ἀπόφασιν ἐξ ἀπειρίας, οὐ προκριματισθήσεται. Ἔτι ἐρωτήσει τις, ὡς, τοῦ κανόνος ἐνδιδόντος τοῖς ἱερωμένοις, ἐπιλέγεσθαι δικαστὰς αἱρετοὺς, ἐξέσται αὐτοῖς ἐπιλέγεσθαι πολιτικούς; Λύσις. Ἐπεὶ ὁ κανὼν διορίζεται κρατεῖν τὴν ψῆφον τῶν αἱρετῶν δικαστῶν, καὶ μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, κἂν ἥττονες ὦσιν οὗτοι τῶν δώδεκα, τῶν ἕξ, καὶ τῶν τριῶν, φαίνεται ἐναργῶς ἀνένδεκτον

(1) Χ. Τρ. — ἀλλ' ὁ συμπονῶν Βιυιρ. Ἑ.

εἶναι τοῖς κανόσι τὴν ἐπιλογὴν τῶν πολιτικῶν δικαστῶν. Ὅθεν, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται κατὰ τὸν παρόντα κανόνα οἱ παρὰ πολιτικῶν δικαστῶν αἱρετισάμενοι δικασθῆναι ἱερωμένοι. Ἔοικε δὲ ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος, τῶν λεγόντων καθαιρεῖσθαι τοὺς ἱερωμένους δικασαμένους παρὰ πολιτικῷ δικαστηρίῳ χάριν χρηματικῆς αἰτιάσεως, καὶ νικήσαντας, ἐὰν μὴ ἀποστῶσι τῆς ὑπὲρ αὐτῶν ἀποφάσεως, ὡς ἡ μὲν γενομένη κρίσις παρὰ ἀπροσφόρου δικαστοῦ κατὰ θέλησιν τοῦ ἱερωμένου, στερκτέα ἔσται καὶ ἀκατάσειστος· ὁ δὲ τὸ ἐκκλησιαστικὸν παραιτησάμενος δικαστήριον, καὶ μὴ χρησάμενος τῇ τοῦ φόρου παραγραφῇ ἱερωμένος, κολασθήσεται, καθὼς ἄνωθεν εἴρηται. Αἱρετοὺς δὲ δικαστὰς ἐνταῦθα μὴ εἴπῃς οἵους ὁ β'. τίτ. τοῦ ζ'. βιβλίου φησὶ, μετὰ ἐπερωτήσεως δηλονότι ποινῆς δικάζοντας· ἀλλὰ ἐκκλησιαστικοὺς ἐνορδίνους· ἐκεῖνοι γὰρ ἐγκληματικὴν ὑπόθεσιν οὐ δύνανται δικάζειν, οὗτοι δὲ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, πᾶσαν ὑπόθεσιν κρίνουσι. Περὶ μέντοι τῶν θεωρίων, καὶ τῶν ἱπποδρομίων, καὶ τῶν κυνηγεσίων, καὶ τῶν ἐπὶ σκηνῆς ὀρχήσεων, ἱκανῶς ἐγράψαμεν ἐν τῷ κδ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τῷ νά, ὅπου καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν· καὶ ἀνάγνωθι τούτους. Ζήτει καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα οδ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιδ'. καὶ ιέ, τῆς ἐν Χαλκηδόνι κανόνα θ'. ιζ', τῆς ἐν Σαρδικῇ κανόνα γ'. έ. ιδ'. καὶ ταύτης κανόνα κή. ρκ'. καὶ ρκά. περὶ δὲ τοῦ δύνασθαι τοὺς ἱερωμένους ἀποτάττεσθαι τῇ τοῦ φόρου παραγραφῇ, ζήτει κεφ. θ'. τοῦ γ'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν.

ΑΡΙΣΤ. Ἐπίσκοπος, ἢ κληρικὸς, ἐγκληματικοῦ κινουμένου πράγματος, εἰ τὴν ἐκκλησίαν ἀφεὶς, τοῖς δημοσίοις προσδράμοι, καὶ δικαιούμενος, τὸν ἴδιον ἀπολέσει βαθμόν· εἰ ὑπερέξει δὲ καὶ ἐπὶ πολιτικοῦ κεφαλαίου, εἰ τούτῳ στοιχείη, τὸν ἴδιον ἀπολέσει βαθμόν. Δικαστάς γε μὴν ἐκκλησιαστικοὺς, εἰ μὴ ἐλέγχοιντο κατὰ προσπάθειαν ἢ ἀντιπάθειαν προδεδιωκηκότες, ἔκκλητος γενομένη οὐκ ἀμύνεται. Ἐὰν δὲ τὰ μέρη ἐπιλέξωνται δικαστὰς, τούτων μὴ ἀφιστάσθωσαν.

Οὐ δεῖ παραιτεῖσθαι ἐπίσκοπον, ἢ κληρικὸν, τὸ ἐκκλησιαστι-

κὸν δικαστήριον· ὅθεν ἐάν τις τούτων κατηγορούμενος ἐγκληματικῶς, τὴν ἐκκλησιαστικὴν παραιτήσηται κρίσιν, καὶ πολιτικοῖς δικαστηρίοις προσέλθῃ, καὶ παρ' ἐκείνοις γυμνάσῃ τὰ τῆς αἰτιάσεως, κἂν ἀνεύθυνος φανῇ, καὶ ὑπὲρ αὐτοῦ ἡ ἀπόφασις ἐξενεχθῇ, τὸν ἴδιον ἀπολέσει βαθμόν. Εἰ δὲ οὐκ ἐγκληματική ἐστιν ἡ κατ' αὐτῶν αἰτίασις, ἀλλὰ χρηματικὴ, καὶ συμβῇ καὶ ἐπὶ ταύτης νικῆσαι αὐτοὺς, τὸ πρόσφορον αὐτοῖς παραιτησαμένους δικαστήριον, καὶ κοσμικοῖς δικασταῖς προσελθόντας, καὶ παρ' ἐκείνων κριθέντας, εἰ μὲν αἱροῦνται τῇ ὑπὲρ αὐτῶν ψήφῳ στοιχεῖν, καὶ τὸ πρᾶγμα εἰς ὃ ἐνίκησαν ἀπαιτῆσαι, τὸν ἴδιον βαθμὸν ἀπολέσουσιν· εἰ δὲ καταφρονοῦσι τῆς δικαιώσεως, καὶ ἀπολέσαι αἱροῦνται τὸ εἰς ὃ ἐνίκησαν, τὸν οἰκεῖον τόπον καθέξουσιν. Εἰ δέ τις παρὰ ἐπισκόπων κριθεὶς καὶ καταδικασθεὶς, πρὸς μείζονας ἐκκλησιαστικοὺς δικαστὰς ἐκκαλέσηται, καὶ ἀνατρέψαι ἰσχύσει τὴν ψῆφον αὐτῶν, οὐδεμίαν βλάβην τοῦτο ἐπάξει τοῖς ἐκκλησιαστικοῖς δικασταῖς ἐκείνοις, ὧν ἡ ἀπόφασις ἀνατρέπεται, εἰ μήπου κατ' ἔχθραν, ἢ κατὰ προσπάθειαν, ἢ κατά τινα χάριν ἀπελεγχθῶσιν ἐμπαθῶς τὴν κρίσιν ποιήσασθαι. Ὅσοι δὲ τῶν αἰτιωμένων ἐπισκόπων, ἢ κληρικῶν, ἐπιλέξονται ἐκκλησιαστικοὺς δικαστὰς, καὶ παρ' αὐτοῖς κριθῆναι θελήσουσι, κἂν ἥττονες, ἐπὶ μὲν ἐπισκόπων κατηγορουμένων, τῶν δώδεκα ἐπισκόπων ὦσιν, ἐπὶ δὲ πρεσβυτέρων, καὶ διακόνων, τῶν ἑπτὰ, ἢ καὶ τεσσάρων, καθὼς ἐν τῷ δωδεκάτῳ κανόνι τῆς παρούσης συνόδου ἐγράψαμεν, οὐκ ὀφείλουσι καταδικασθέντες ἐκκαλεῖσθαι κατὰ τῆς κρίσεως αὐτῶν· ἡ γὰρ ἔκκλητος ἀπειρίαν ἢ ἀδικίαν ἐπανορθοῦται τοῦ δικαστοῦ· πῶς γοῦν ὁ ἐπιλεξάμενος ἐκκλησιαστικοὺς δικαστὰς, οὓς καὶ κατὰ λόγον, καὶ κατὰ βίαν ἀνεπιλήπτους ἔκρινεν εἶναι, παραδεχθήσεται λέγων ἀπείρως ἢ ἀδίκως ὑπ' αὐτῶν κριθῆναι, καὶ οἱονεί τινα μέμψιν τοῖς παρ' αὐτοῦ οἱονεὶ κριθεῖσιν ἱερατικοῖς ἐπάγειν ἀνδράσιν.

## Κανὼν Ις'. (ΙΗ'.—ΚΒ'.)

*Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐκληψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν καὶ τόκων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτούς, ἢ τὰς παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν τὸν δῆμον.*

Ὁμοίως ἤρεσεν (1), ἵνα ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, ἢ προκουράτορες, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀποβλέψαι εἰς τὸ γεγραμμένον· Οὐδεὶς στρατευόμενος τῷ Θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς. Καὶ ὥστε (2) τοὺς ἀναγνώστας, εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομένους ἀναγκάζεσθαι, ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν. Ὁμοίως ἤρεσεν (3), ἵνα κληρικός, ἐὰν χρήματα δῷ ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν δὲ εἶδος, ὅσον δέδωκε λάβῃ. Καὶ ἵνα (4) πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν, μήτε διάκονοι χειροτονῶνται· ἀλλὰ καὶ οἱ ἀναγνῶσται (5) τὸν δῆμον μὴ προσκυνῶσι.

---

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ γίνεσθαί τινας τῶν ἱερωμένων ἀλλοτρίων κτημάτων ἐκλήπτορας, ἤγουν μισθωτάς, μηδὲ προκουράτωρας, τουτέστι διοικητάς, φροντιστάς, πλατύτερον περιέχει ὁ τρίτος κανὼν τῆς δ'. συνόδου· καὶ ὁ πά. δὲ κανὼν τῶν ἁγίων Ἀποστόλων, τὸν ἐμβάλλοντα ἑαυτὸν εἰς δημοσίας διοικήσεις, καθαιρεῖσθαι προστάττει. Μηδὲ ἔκ τινος αἰσχροῦ καὶ ἀτίμου πράγματος τροφὴν πορίζεσθαι βούλεται (6) ὁ κανών. Αἰσχρὸν μὲν οὖν ἂν εἴη πρᾶγμα τὸ πορνοβοσκεῖν, ἤγουν τὸ

---

(1) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, Ἤρεσεν. —(2) Ἤρεσεν ὥστε Σ. Ῥ. Ἰους.— Καν. ΙΘ'. ἐν Π. — (3) Καν. Κ'. ἐν Π — (4) Καν. ΚΑ'. ἐν Π. — (5) Καν. ΚΒ'. ἐν Π.—(6) παρακελεύεται Ἑ. Βευερ.

πόρνας τρέφειν, ὥστε κερδαίνειν ἐκ τοῦ μισθώματος ἐκείνων, καὶ τὰ ὅμοια· ἄτιμον δ' ἐστὶ τὸ προΐστασθαι καπηλείου, καὶ τὰ παραπλήσια. Ἐκ τοιούτων οὖν τροφὴν πορίζεσθαι, ὁ κανὼν ἀπαγορεύει τοῖς ἱερωμένοις· καὶ οὐκ εἶπε κέρδος, ἀλλὰ τροφήν· κἂν γὰρ εἰς τοῦτο περιστῶσι πενίας, ὥστε μηδὲ τροφῆς εὐπορεῖν, οὐδ' οὕτω χρὴ αὐτοὺς ἐκ πράγματος αἰσχροῦ ἢ ἀτίμου (1) πορίζεσθαι τροφήν· ὀφείλουσι γάρ, φησί, τὸ ἀποστολικὸν ἐννοῆσαι παράγγελμα, τὸ λέγον· Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Εἰ δὲ τοῖς κοσμικὴν στρατευομένοις στρατείαν τοῦτο εἴρηται, πολλῷ μᾶλλον ἁρμόσει τοῖς τῷ Θεῷ στρατευομένοις διὰ τῆς ἱερωσύνης (2). Τὸ δὲ τοὺς ἀναγνώστας ἐν τῷ καιρῷ τῆς ἥβης, ἤγουν μετὰ τὸν ιδ'. ἐνιαυτόν, ἀναγκάζεσθαι ἢ γάμῳ ὁμιλῆσαι, ἢ ἀγαμίαν ὑποσχέσθαι, οὐκ οἶδα εἰ παρὰ τοῖς ἐν Ἀφρικῇ ἐκράτησε· παρὰ δὲ ταῖς ἄλλαις ἐκκλησίαις οὐ κρατεῖ· οἶμαι δέ, ὅτι οὐδὲ πώποτε ἐκράτησεν, ἐναντιούμενον τῷ κϛ'. ἀποστολικῷ κανόνι ὁρίζοντι, ἀναγνώστας καὶ ψάλτας καὶ μετὰ τὸ εἰς κλῆρον προελθεῖν γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς τοῦ γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι ἀπαιτοῦντι. Τὸ δὲ δανείζειν τοὺς κληρικοὺς ἐπὶ τόκοις, πολλοῖς ἀπηγόρευται κανόσι· καὶ οὗτος δὲ τὸ αὐτὸ κελεύει· καί φησιν, ἐὰν χρήματα ἤτοι νομίσματα δῷ κληρικὸς ἐν χρήσει, ἤγουν δανείσῃ, τὰ χρήματα, τουτέστι τοσαῦτα λήψεται, καὶ οὐ πλείονα· ἐὰν δὲ εἶδος δῷ, σῖτον τυχόν, ἢ οἶνον, ἢ ἕτερόν τι τοιοῦτον, ὅσον ἔδωκε λήψεται, καὶ οὐ πλέον. Καὶ τὸ πρὸ συμπληρώσεως κέ. ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον, διαφόροις κανόσιν ὥρισται. Ἀπηγόρευται δὲ τοῖς ἀναγνώσταις ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν, στρέφεσθαι πρὸς τὸν δῆμον, καὶ προσκυνεῖν. Μόνοις γὰρ τοῖς ἀρχιερεῦσι τότε καὶ τοῖς ἱερεῦσιν ὀφείλουσι προσκυνεῖν, καὶ οὐχὶ τῷ πλήθει τῶν ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένων· οἱ μὲν γὰρ ἱέρωνται, οἱ δὲ τοῦ δήμου πόῤῥω τῆς ἱερωσύνης εἰσί, καὶ μᾶλλον τιμᾶσθαι δέον, καὶ ταῦτα ἐν τῷ καιρῷ τῆς ὑπουργίας αὐτῶν.

---

(1) ἐκ τοιούτου πράγματος Χ. Τρ. — (2) — παραλείπει τό, διὰ τῆς ἱερωσύνης, τὸ Χ. Τρ.

ΒΑΛΣ. Περὶ μὲν τῶν κληρικῶν τῶν παρεμβαλλόντων ἑαυτοὺς εἰς κοσμικὰς ἐνεργείας, ἐγράψαμεν εἰς τὸ ιγ'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, εἰς τὸν ς'. καὶ πγ'. ἀποστολικὸν κανόνα, καὶ εἰς τὸν γ'. κανόνα τῆς δ'. συνόδου, καὶ ἀνάγνωθι τούτους. Καταστρωθήσεται δὲ εἰς τὴν παροῦσαν ἑρμηνείαν καὶ ἡ κατὰ τὴν ή. τοῦ Δεκεμβρίου μηνὸς τῆς ς'. Ἰνδικτιῶνος γενομένη συνοδικὴ σημείωσις, εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, ἡ καὶ τόμου τάξιν ἐπέχουσα· ὡσαύτως καὶ ἡ σημείωσις τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Ἰωάννου, ἡ γενομένη χάριν τοῦ μὴ συνηγορεῖν τοὺς ἱερωμένους· καὶ ἡ δύναμις τοῦ σημειώματος τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ, τοῦ ὑπάτου τῶν φιλοσόφων, ἡ προβᾶσα χάριν τοῦ ἐπίσης τῷ διακόνῳ καὶ τῷ ἱερεῖ κωλύεσθαι καὶ τὸν ἀναγνώστην ἐκ τῆς ἐνεργείας τῶν κοσμικῶν ὀφφικίων. Ἐπεὶ δὲ ὁ παρὼν κανὼν διορίζεται, μὴ πορίζεσθαι τοὺς ἱερωμένους τὰ πρὸς τροφὴν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ ἀτίμων, ἐζητήθη πολλάκις ποῖα ταῦτα εἰσί. Καί τινες μὲν εἶπον εἶναι ταῦτα, τὸ πορνοβοσκεῖν, τὸ καπηλικοῦ ἐργαστηρίου προΐστασθαι, και τὰ ὅμοια. Ὁ δὲ ἁγιώτατος πατριάρχης κυρὸς Λουκᾶς, καὶ τὰ μυρεψικὰ ἐργαστήρια, καὶ τὰ βαλανεῖα, αἰσχροκερδῆ εἶναι ἔλεγεν, ὡς καὶ ψεύδους παραίτια. Ἀλλ' οὐδὲ ἀρχιητροὺς παρεχώρει γίνεσθαι τοὺς διακόνους, ἢ τοὺς ἱερεῖς, λέγων ἀνένδεκτον εἶναι τοὺς μετὰ φαινολίων καὶ στιχαρίων τὰ ἅγια μεταχειριζομένους, κοσμικὰς στολὰς ἐνδιδύσκεσθαι, καὶ μετὰ λαϊκῶν ἀνδρῶν, τῶν ἰατρῶν δηλαδὴ, προπομπεύειν. Ἐπὶ τούτοις νενομοθέτηται παρὰ τῶν ἁγίων Πατέρων, τοὺς ἀναγνώστας ἐν τῷ καιρῷ τῆς ἥβης μετὰ τὸν ιδ'. ἐνιαυτὸν ἀναγκάζεσθαι ἢ γάμῳ ὁμιλῆσαι, ἢ ἀγαμίαν ὑποσχέσθαι. Τοῦτο δὲ εἰ παρὰ τοῖς ἐν Ἀφρικῇ ἐκράτησεν, οὐκ οἶδα, παρὰ δὲ ταῖς ἄλλαις ἐκκλησίαις οὐ κρατεῖ. Νομίζω δὲ, ὅτι οὐδὲ ἔν τινι χώρᾳ τοῦτο ἐκράτησε ποτὲ, ὡς ἐναντιούμενον τῷ ἀποστολικῷ ς'. κανόνι, τῷ ὁρίζοντι, ἀναγνώστας καὶ ψάλτας, καὶ μετὰ τὸ εἰς κλῆρον προελθεῖν, γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι ἀπαιτοῦντι. Τὸ δὲ δανείζειν τοὺς

κληρικοὺς ἐπὶ τόκοις, πολλοὶ κανόνες ἀπαγορεύουσι. Καὶ ὁ παρὼν δὲ κανὼν, οὐ μόνον τοὺς τοῦ βήματος, ἀλλὰ καὶ πάντας τοὺς κληρικοὺς τοκίζειν ἐμποδίζει. Ὅτι δὲ τῶν τόκων ἐπὶ δανείῳ νομισμάτων δεδομένων, εἰκὸς ἦν εἰπεῖν τινας, τοῦτο μὲν εἶναι κεκωλυμένον, τὸ δὲ διδόναι σῖτον, ἢ ἕτερον εἶδος, καὶ λαμβάνειν πλείω τοῦ δοθέντος, μὴ ἀπαγορευθῆναι, ἐκώλυσαν οἱ Πατέρες ῥητῶς καὶ τοῦτο. Ἀλλὰ καὶ τὸ πρὸ συμπληρώσεως κέ. ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον, ἐν διαφόροις κανόσιν ὥρισται. Ἀπηγόρευται δὲ τοῖς ἀναγνώσταις, ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν, στρέφεσθαι πρὸς τὸν δῆμον καὶ προσκυνεῖν, ὡς ὀφείλουσι τότε προσκυνεῖν μόνους τοὺς ἱερεῖς καὶ τοὺς ἀρχιερεῖς, καὶ οὐχὶ τοὺς λαϊκοὺς τοὺς ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένους· οἱ μὲν γὰρ ἱέρωνται, οἱ δὲ τοῦ δήμου πόῤῥω τῆς ἱερωσύνης εἰσί· καὶ οὗτοι μᾶλλον τοὺς ἀναγνώστας προσκυνεῖν ὀφείλουσι διὰ τὴν ὑπουργίαν αὐτῶν. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ιζ'. ιή. ιθ'. κέ. κϛ', συνόδου Ἀγκύρας κανόνα ί. τῆς ἐν Χαλκηδόνι κανόνα ιδ'. ιέ, τῆς ϛ'. κανόνα γ'. δ.' ϛ'. ιδ'. ιγ'. μή. νη', καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γ'. ϛ'. ξθ'. καὶ ό. Τὸ μέντοι σημείωμα τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ ἔχει οὕτω· Μηνὶ Δεκεμβρίῳ ή. ἡμέρᾳ ά. ἰνδικτιῶνος ϛ'. Εἰ δὲ καὶ Ὀζὰν ἐκεῖνος τῆς θείας κιβωτοῦ παρατραπείσης ἁψάμενος, οὐ μικρὸν κατεκρίθη τὸ ἐπιτίμιον, (καί τοι σκοπὸς ἦν αὐτῷ πρὸς ἀνόρθωσιν ταύτης, οὐ πρὸς καθαίρεσιν,) τίς οὕτω τολμηρὸς καὶ εἰς ἐσχάτην ἀναίδειαν καὶ ὑπερηφανίαν ἐξενεχθεὶς, πνεύματι πάντως ἀγόμενος πονηρῷ, ὃς μὴ μόνον οὐκ ἐπανορθοῦν αἱρεῖται τὰ θεῖα καὶ πνευματικὰ διατάγματα, ἀλλὰ καὶ τὴν ἐναντίαν τρεπόμενος, παρασαλεύειν ταῦτα καὶ καθαιρεῖν ἀναιδεύεται, καὶ παραλύειν τὰ παγίως (1) ἡδρασμένα, καὶ παρακινεῖν τὰ ἀσάλευτα, ᾠκοδομημένα, καθὼς φασιν, ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν; Διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν, οὐκ ἀνασχε-

(1) παναγίως Ἑ.

τὸν ἡγησαμένη πονηρὰν συνήθειαν καὶ ἔτι κρατεῖν, μιγνύουσαν θεῖά τε καὶ ἀνθρώπινα, καὶ τῇ τῆς ἐκκλησίας καταστάσει, τῆς ἀμωμήτου νύμφης Χριστοῦ, σπίλους οὐ τοὺς τυχόντας προσεπιτρίβουσαν, καὶ τύφῳ, καὶ ἀσχολίᾳ ματαίᾳ, καὶ τῇ περὶ τὰ εἰκαῖα καὶ ταύτῃ ἀπᾴδοντα διαπονήσει τε καὶ σπουδῇ, ἔτι γε μὴν καὶ ἀκερδέσι κέρδεσι (1) τὸ σεμνὸν ταύτης καταῤῥυπαίνουσαν, ηὐδόκησε ῥιζόθεν ταύτην ἀποτεμεῖν, ἵνα μὴ ῥίζα πικρίας καὶ ἔτι φυῇ, κατὰ τὸν θεῖον Ἀπόστολον, διὰ τῆς παρούσης ἡμετέρας πνευματικῆς καὶ πατρικῆς διαλαλιᾶς, τῆς δηλούσης μὲν τὸν σκοπὸν φανερῶς τῆς προτεθείσης ὑποθέσεως, περὶ τῶν ἱερὰν ἀξίαν λαχόντων, καὶ κοσμικαῖς ἑαυτοὺς ἐμπλεκόντων ἀρχαῖς, καὶ ἀξίαις, καὶ φροντίσι, καὶ πράγμασιν, οὕτω δὲ κατὰ ῥῆμα ἐχούσης· Τοῖς τὴν ἱερατικὴν, φασὶν οἱ θεῖοι Πατέρες, λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰσὶν, ἃς καὶ ἀσμένως δεχόμενοι, πρὸς τὸν δεσπότην Θεὸν μετὰ Δαβὶδ τοῦ Θεοφάντορος ᾄδομεν· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ· καὶ αὖθις· Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι(2). Καὶ εἴπερ εἰς τὸν αἰῶνα φυλάττειν ἡμῖν ἐντέλλεται ἡ προφητικὴ φωνὴ τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον, ὡς ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν· ὅτι οὕτω φησὶ καὶ ὁ θεόπτης Μωσῆς· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλὰ, τοὺς θείους ἀσπασίως κανόνας ἐνστερνιζόμεθα, καὶ τὴν αὐτῶν διαταγὴν ὁλόκληρον καὶ ἀσάλευτον μένειν ὁλοψύχως αἱρούμεθα· καὶ ἐπειδὴ τῶν ἐν κλήρῳ τεταγμένων τινὰς ἔγνωμεν πράγμασι κοσμικοῖς ἐμπλέκοντας ἀκανονίστως ἑαυτοὺς, οὓς μὲν κουρατωρείας καὶ προνοήσεις οἴκων ἀρχοντικῶν ἢ κτημάτων ἀναλαμβάνοντας, οὓς δὲ καὶ δημοσίων τελῶν εἰσπράξεις, ἢ κεφαλαίων ἑτέρων, ἢ ἐξελάσεις πλωΐμων, ἢ δὴ καὶ ἀναγραφὰς, ἢ λογοποιΐας, ἢ καὶ ἑτέ-

(1) Χ. Γρ.—κέρδεσιν, οὐ κεῖται παρὰ Βευερ. Ἑ.—(2)Ψαλμ. ΡΙΗ', 14, 138, 144.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ραν ὁμοίαν ἐνέργειαν, οὐκ ἐπὶ πράγμασιν ἐκκλησιαστικοῖς, ἀλλὰ κοσμικοῖς, ἐνίους δὲ καὶ ἀξίας τε καὶ ἀρχὰς τὰς τῇ πολιτείᾳ ἀπονενεμημένας, τοῖς τοιούτοις παρεγγυώμεθα παύσασθαι τοῦ λοιποῦ τῶν εἰρημένων ἁπάντων· ταῖς ἐκκλησιαστικαῖς δὲ χρείαις προσευκαιρεῖν, εἰμὴ βούλοιντο τῇ δεδογμένῃ τοῖς θείοις καὶ ἱεροῖς κανόσι καθαιρέσει τοῦ προσόντος αὐτοῖς ἐκκλησιαστικοῦ βαθμοῦ ὑπαγαγεῖν ἑαυτούς. Εἰ γὰρ καὶ μακρᾷ συνηθείᾳ ἑδράζεσθαί τινες οἴονται τοῦ τοιαῦτα μετιέναι καὶ πρὸ αὐτῶν οὐκ ὀλίγους, πρὸς δὲ καὶ βασιλικὰς φασι προβῆναι οἰκονομίας ἀνατιθείσας ἱερωμένοις ἀξίας τε καὶ κοσμικὰς καὶ ὀφφίκια, ἢ ἐνεργείας ὁμοίας, εἴτε ἀρχάς· ἀλλ' οὐχ ἑλκυσθήσονται πρὸς ὑπόδειγμα. Ἐπειδὴ γὰρ οὔθ' ὑπὸ ἀμφιβολίαν οἱ περὶ τούτων ἱεροὶ καὶ θεῖοι κανόνες ἔπεσον, οὔτε δοκιμασία τις καὶ διάγνωσις ἔγγραφος προεβεβήκει παρά τε τοῦ κατὰ καιρὸν τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, ἔτι δὲ καὶ ἁγιωτάτων πατριαρχῶν καὶ συνόδων, τούτους αὐτοὺς παραθραύουσα, οὐ τοὺς γεγραμμένους κανόνας αἱ τοιαῦται οἰκονομίαι, καὶ ἡ μὴ δοκιμασθεῖσα συνήθεια ὅλως παρασαλεύουσιν· αὗται δὲ μᾶλλον ὑπὸ τούτων τοὐναντίον τέλεον συντριβήσονται, ὡς χύτρα, κατὰ τὸν Σολομῶντα, προσκρούσασα λέβητι· Πύλαι γάρ, φησιν, ᾅδου τῆς ἐκκλησίας οὐ κατισχύσουσιν, οἰκοδομηθείσης παρὰ Κυρίου ἐπὶ τῷ θεοκήρυκι Πέτρῳ, τῷ σὺν τοῖς λοιποῖς ἁγίοις Ἀποστόλοις νομοθετήσαντι οὕτως ἐν ἕκτῳ κανόνι αὐτῶν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω. Ὡσαύτως καὶ ἐν πά. εἴπομεν, ὅτι μὴ χρὴ ἐπίσκοπον, ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσιακὰς διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν Κυριακὴν παρακέλευσιν. Ἔτι καὶ ὁ πγ'. φησίν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω· τὰ γὰρ Καίσαρος, Καίσαρι,[1] καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Ἀλλὰ μὴν καὶ ὁ τῆς ἐν Καρθαγένῃ ις'. οὕτως ἐν μέρει δια-

γορεύει. Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, ἢ προκουράτωρες. Καὶ μετ' ὀλίγον· Οὐδεὶς γὰρ στρατευόμενος τῷ Θεῷ ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς. Σὺν τούτοις καὶ ὁ ζ' τῆς ἐν ἐν Χαλκηδόνι συνόδου, τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους, ἢ καὶ μοναστὰς, ὡρίσαμεν μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. Καὶ ὁ τῆς ἐν Κωνσταντινουπόλει Α'. καὶ Β'. συνόδου ια'. τάδε κατὰ ῥῆμα διέξεισι· Τοὺς πρεσβυτέρους, ἢ διακόνους, κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι. Τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ τῶν λοιπῶν τῶν ἐν κλήρῳ κατειλεγμένων, διοριζόμεθα, ὡς, εἴ τις αὐτῶν κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἀποδιώκεσθαι· οὐδεὶς γὰρ δύναται, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, δυσὶ κυρίοις δουλεύειν· καὶ σαφεῖς πάντως οἱ θεῖοι κανόνες οὗτοι καὶ πρόδηλοι· καὶ διὰ τοῦτο μεταποιεῖσθαι τούτους οὐ χρή. Εἰ δὲ καὶ ἐντολέα δίκης γίνεσθαι τὸν κεκληρωμένον κεκώλυται, μὴ ἀνηκούσης τῇ ἐκκλησίᾳ, ἧς ἐστι κληρικὸς, ἵνα, φησὶ, μὴ αἱ θεῖαι ὑπηρεσίαι παρεμποδίζοιντο, πόσῳ πλέον κεκώλυται μείζοσι κοσμικαῖς φροντίσιν ἐμπλέκεσθαι, παρεμποδιζούσαις αὐτῷ ταῖς ἐκκλησιαστικαῖς χρείαις προσευκαιρεῖν. Πᾶσι τοίνυν εὐλαβεστάτοις κληρικοῖς ἐν ἁγίῳ Πνεύματι παρεγγυώμεθα τῶν εἰρημένων ἀπέχεσθαι· ἢ μὴν εἰδέναι, ὡς ἔσονται μὲν ἐπιτιμίῳ ἀφορισμοῦ ὑποβεβλημένοι, καὶ τὴν μείζω δὲ κανονικὴν αὐστηρίαν οὐ διαφεύξονται, πράγμασι κοσμικοῖς τοιούτοις ἐμπλέκοντες ἑαυτούς. Ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν ἔγγραφος ὁρισμὸς τῆς ἡμῶν μετριότητος καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐπιδοθῆναι τετύπωται, ἵνα καὶ τοῖς ἁπανταχοῦ κληρικοῖς καταδηλος γένηται. Τὸ σημείωμα τοῦ πατριάρχου κυροῦ Ἰωάν-

νου ἔχει οὕτω. Μηνὶ Φεβρουαρίῳ ις'. ἡμέρᾳ τρίτῃ, Ἰνδικτιῶνος ή. Πολλοὺς τῶν ἐκκλησιαστικῶν καὶ μοναχῶν καθορῶντες ὑποθέσεις ἀλλοτρίας ὑποδυομένους, καὶ ὑπεραγωνιζομένους τῶν δικαζομένων ἐν πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς δικαστηρίοις, ἀλλότριον τῆς ἐκκλησιαστικῆς συνηθείας, καὶ τῆς τῶν νόμων ἀκριβείας τὸ πραττόμενον κρίναντες, διοριζόμεθα, μηκέτι τοῦ λοιποῦ, μήτε μοναχὸν, μήτε τῶν τινα ἐκκλησιαστικῶν, ἀλλοτρίας ἀγωγὰς ὑπεισερχόμενον ἐν δικαστηρίοις συνηγορεῖν· ἐργολαβία γὰρ ἄντικρυς τοῦτο· καὶ οὐκ ἄν τις τοιοῦτόν τι διαπραττόμενος τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ἐπιτίμησιν διαφεύξηται, πλὴν εἰ μήπω ἐκκλησιαστικῆς ὑποθέσεως οὔσης κελευσθείη παρ' ἡμῶν ὑπεραγωνίζεσθαι θατέρου μέρους τῶν δικαζομένων· τηνικαῦτα γὰρ ἕξει σὺν τῷ ἀμέμπτῳ καὶ τὸ ἀνεπιτίμητον. Τὸ δὲ παρὸν σημείωμα ὑπαναγνωσθῆναι ὡρίσθη καὶ πᾶσι τοῖς πολιτικοῖς δικασταῖς, ἵν' ἐντεῦθεν εἴδησιν λαβόντες τοῦ ἡμετέρου διορισμοῦ, μὴ προσδέχωνται τοὺς τοιούτους εἰς τὸ τισὶν ὅλως συνηγορεῖν. Ἡ δὲ δύναμις τοῦ σημειώματος τοῦ κυροῦ Μιχαὴλ ἔστιν αὕτη· Μηνὶ Ἰαννουαρίῳ ιγ'. ἡμέρᾳ δ'. Ἰνδικτιῶνος δ'. καὶ ἐφεξῆς, διατάττεται, καὶ τοὺς ἀναγνώστας ἐπίσης τοῖς διακόνοις καὶ τοῖς ἱερεῦσι μὴ ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια ἢ πρακτορικὰς ἐνεργείας ἢ κουρατωρείας διὰ τὸν ιά. κανόνα τῆς ἐν Κωνσταντινουπόλει Α'. καὶ Β'. συνόδου. Περὶ δὲ ἱερωμένων συνηγορούντων, ἱκανῶς ἐγράψαμεν εἰς τὸ ιγ'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι ταῦτα. Καὶ τὰ μὲν τῶν κανόνων καὶ τῶν συνοδικῶν σημειωμάτων ἐν τούτοις. Λέγουσι δέ τινες ταῦτα χώραν ἔχειν, ὅταν δίχα προστάξεως βασιλικῆς ἐνεργῇ τις ἱερωμένος δουλείαν κοσμικήν (1)· εἰ γὰρ κατ' οἰκονομίαν βασιλικὴν τοιαύτην τινὰ δουλείαν ἀναδέξηταί τις, ὑπὸ τῶν ῥηθέντων κανόνων οὐ κωλυθήσεται, οὐδὲ βλαβήσεται· καὶ προστιθέασιν, ὡς ὁ βασιλεὺς οὔτε νόμοις οὔτε κανόσιν ὑπόκειται, διὸ καὶ ἐπ' ἀδείας ἔχει ἐπισκοπὴν εἰς μητρόπολιν ἄγειν, καὶ ἀποξενοῦν ἐκ τῶν οἰκείων μητροπόλεων, ὡσαύτως καὶ ἐνορίας ἀρχιερέων διαιρεῖν,

(1) Χ. Τρ. — δημοσιακὴν Βευερ. Ἐ. λατινιστὶ δὲ seculare ministerium.

καὶ ἐκ νέου ἐπισκόπους καὶ μητροπολίτας καθιστᾷν, καὶ διορίζεσθαι ἐπισκόποις ἱερουργεῖν ἀπροκριματίστως εἰς ἀλλοτρίας ἐνορίας παρὰ γνώμην τῶν ἐγχωρίων ἐπισκόπων, καὶ ἄλλα τινὰ ἐνεργεῖν ἀρχιερατικὰ δίκαια. Χρῶνται δὲ καὶ τῷ ιϐʹ. καὶ ιζʹ. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῷ λήʹ. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τὰ αὐτὰ παρακελευομένοις. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἀπὸ τοῦ δʹ. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου καὶ μάλιστα ἐνεδόθη τῷ βασιλεῖ, ἀνατιθέναι κοσμικῶν δουλειῶν ἐνεργείας ἱερωμένοις καὶ μοναχοῖς, κατὰ λόγον οἰκονομίας δοκούσης αὐτῷ. Εἰ γὰρ ὁ κατὰ χώραν ἐπίσκοπος δύναται τοῦτο ποιεῖν, πολλῷ πλέον ὁ βασιλεὺς, ὁ μὴ ἀναγκαζόμενος ἀκολουθεῖν τοῖς κανόσι, τοῖς διοριζομένοις τὰς ψήφους τῶν ἐπισκόπων ὑπὸ ἐπαρχεωτῶν ἐπισκόπων γίνεσθαι, καὶ μὴ παρὰ ἀρχόντων· κἀντεῦθεν καὶ ψήφου μὴ γενομένης, καὶ πατριάρχας καὶ ἐπισκόπους προβαλλόμενος. Καὶ ἀνάγνωθι τὰ ἐν τῷ αὐτῷ δʹ. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου γραφέντα *. Τὸ δὲ καὶ ἀξιώματος κοσμικοῦ, ἢ στρατείας κοσμικῆς γενέσθαι κληρικὸν ἐγκρατῆ διὰ βασιλικοῦ ὁρισμοῦ, καὶ ὀνομάζεσθαι τυχὸν ἢ ἔπαρχον, ἢ μέγαν δομέστικον, οὐ δοκεῖ μοι· καὶ ἀνάγνωθι τὸν ζʹ. κανόνα τῆς τετάρτης συνόδου * (1).

ΑΡΙΣΤ. Ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος ἐκλήπτορες οὐ γίνονται, οὐδὲ προκουράτορες. Ὁ ἔνηϐος ἀναγνώστης, ἢ γάμον αἱρείσθω, ἢ ἐγκράτειαν ὁμολογείτω.

Κληρικὸς χρήσας, τὸ χρησθὲν λήψεται, ἢ τοσοῦτον. Πρὸ τῶν εἴκοσι καὶ πέντε χρόνων διάκονος, οὐ διάκονος. Καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνείτωσαν.

Τὸ πακτωναρίους, ἢ μισθωτὰς κτημάτων τινῶν, ἢ καὶ προνοητὰς γίνεσθαι ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὁ παρὼν κωλύει κανὼν, καὶ ἕτεροι διάφοροι. Ἀναγνώστης δὲ τὴν ἄνηϐον ὑπεραναϐὰς ἡλικίαν, καὶ ἐγγύς που τῶν εἴκοσι χρόνων γενόμενος, καὶ ϐουληθεὶς γενέσθαι ὑποδιάκονος, (οὐδὲ γὰρ ἧττων τῶν εἴκοσι χρόνων χειροτονεῖται ὑποδιάκονος,

(1) Χ. Τρ. τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. οὐδ' Ἑ.

καθὼς ὁ πεντεκαιδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει), ἢ γυναῖκα πρὸ τῆς χειροτονίας λαμβανέτω, ἢ παρθενεύειν ὁμολογείτω· μετὰ γὰρ τὴν χειροτονίαν, οὔτε πρεσβύτερος, οὔτε διάκονος, οὔτε ὑποδιάκονος, γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον ἐπ' ἀδείας ἔχει, ἀλλὰ μόνοις τοῖς ἀναγνώσταις καὶ ψάλταις τοῦτο ἐφεῖται, καθὼς ὁ ἕκτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παρίστησιν.

Πλεῖον οὗπερ δέδωκέ τινι ὁ κληρικὸς εἰς δάνειον, ἢ εἰς χρῆσιν, λαβεῖν οὐκ ὀφείλει· ἀλλ' ἐκεῖνο μόνον τὸ δοθὲν, ἢ, ἐκείνου μὴ περισωζομένου, ἕτερον τῆς αὐτῆς ὂν καλλονῆς καὶ ποιότητος καὶ ποσότητος. Ἀλλ' οὐδὲ πρὸ τῶν εἴκοσι πέντε χρόνων χειροτονεῖται διάκονος. Οὐδὲ οἱ ἀναγνῶσται τῷ δήμῳ συγχωροῦνται συντάττεσθαι καὶ ὑπὸ τὴν ἐκείνου γενέσθαι ἐξουσίαν, τὰ ἐπιτεταγμένα πληροῦντες, καὶ τὴν μετ' αὐτοῦ τιμῶντες ἀναστροφήν.

## Κανὼν ΙΖ'. (ΚΓ'.)

*Ὥστε ἑκάστην ἐπαρχίαν διὰ τὸ μακροδαπὲς πρωτεύοντα ἔχειν ἴδιον.*

Ἤρεσεν, ἵνα ἡ Μαυριτανία Σιτιφένσης, ὡς ᾔτησε, τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας, ἧς τινος ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ πρωτεύοντα. Συναινέσει οὖν (1) πάντων τῶν πρωτευόντων τῶν Ἀφρικανῶν ἐπαρχιῶν, καὶ πάντων τῶν ἐπισκόπων, διὰ τὸ μακροδαπὲς, ἔχειν ἐπετράπη.

---

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τοπικός ἐστι, περὶ ἐκείνης μόνης τῆς χώρας διαταττόμενος, περὶ ἧς ἐξεφωνήθη, ἀλλαχοῦ δὲ μὴ ἐξακουόμενος.

ΒΑΛΣ. Τοπικός ἐστιν ὁ κανών.

ΑΡΙΣΤ. Ἡ Μαυριτανία Σιτιφένσης ἴδιον πρωτεύοντα, διὰ τὸ μακροδαπὲς, ἔχειν ἐπετράπη.

Οὐκ ἔσται ὑπὸ τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας καὶ ἡ Μαυριτανία Σιτιφένσης, διὰ τὸ πόρρω ταύτην κεῖσθαι,

(1) Σ. Ρ.—ἄνευ τοῦ, οὖν, Π. Ἰουστ. Βευερ. Χ. Τρ.

ἀλλ' ἀρχιερέα ἴδιον πρωτεύοντα καὶ ἡ ἐπαρχία αὕτη ἔχειν ἐπετράπη.

### Κανὼν ΙΗ'. (ΚΔ'.—Κϛ'.) (1)

*Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι (2) τοὺς ὅρους φυλάττειν. Καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ δίδωται, μηδὲ βάπτισμα. Καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολῖται συνέρχωνται (3).*

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ὅτε χειροτονεῖται κληρικὸς, (κληρικὸν δ' ἐνταῦθα πρεσβύτερον καὶ διάκονον νοητέον· οὗτοι γὰρ κυρίως χειροτονοῦνται, καὶ οὗτοι μόνοι τῶν κληρικῶν (4) μεταδιδόασι τῆς εὐχαριστίας) δέον, φησὶν, ὑπομιμνήσκεσθαι αὐτὸν τοὺς ὅρους φυλάττειν. Ὅρους δὲ, ἢ τοὺς τῆς πίστεως ὑποληπτέον, τοὺς παρὰ τῶν ἁγίων Ἀποστόλων καὶ τῶν Πατέρων ὁρισθέντας, ἢ τοὺς κανόνας, μᾶλλον δὲ καὶ ἀμφότερα. Καὶ ἵνα μὴ νεκροῖς σώμασι διδῶται εὐχαριστία, ἤγουν ἅγια δῶρα· ἐπράττετο γὰρ τοῦτο· ὃ καὶ ὁ πγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἐκώλυσεν· ἀλλὰ μηδὲ βαπτίζωνται τελευτήσαντες. Καὶ τοῦτο γὰρ ἐγίνετο, τινῶν μὲν αὐτοὺς τοὺς νεκροὺς βαπτιζόντων, τινῶν δὲ καὶ ἄλλους ὑπὲρ τῶν νεκρῶν, τῶν τοῦτο ποιούντων τὰ ῥήματα προβαλλομένων τῆς πρὸς Κορινθίους ἐπιστολῆς τοῦ μεγάλου Παύλου, τὰ λέγοντα· Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν (5); Οἱ δὲ ταῦτα προβαλλόμενοι καὶ βαπτίζοντες τοὺς νεκροὺς, οὐ καλῶς ἐξελαμβάνοντο τῶν ἀποστολικῶν ῥημάτων τὴν ἔννοιαν· οὐ γὰρ βαπτίζεσθαι τοὺς ἀποθανόντας ὁ Ἀπόστολος λέγει, ἢ ἄλλους ἀντ' ἐκείνων· ἀλλ' ἐπεὶ οἱ βαπτιζόμενοι, μανθάνοντες

---

(1) Σ. Ῥ. Ἰουστ. Χ. Τρ. — προμιμνήσκεσθαι Βευερ. — (2) Ἡ ἐπιγραφὴ αὕτη ἐσχολιάσθη ὑπὸ τῶν ἐξηγητῶν ὡς μέρος τοῦ Κανόνος, ὅθεν καὶ παρὰ Βευερ. καὶ Ἑ. ἐν τάξει ἰδίου Κανόνος φέρεται· ἀλλ' ἐνταῦθα ἠκολουθήσαμεν τῇ γραφῇ τοῦ Ἰουστέλλου, συμφωνούσῃ τῇ τε ἐν τῷ Νομοκάνονι τοῦ Φωτίου, καὶ τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ, καὶ τῇ ἐν τῷ Χ. Τρ. ἀπαντωμένῃ διαιρέσει. — (3) ἔρχωνται Σ. Ῥ. Χ. Τρ. Ἰουστ. — (4) Χ. Τρ. Κ. — τῶν κληρικῶν, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (5) α', Κορ. ΙΕ', 29.

τοῦ καθ' ἡμᾶς μυστηρίου τὴν δύναμιν, μετὰ τῶν ἄλλων, καὶ ἀνάστασιν νεκρῶν ἐλπίζειν διδάσκονται, καὶ τὴν ἐν τῇ κολυμβήθρᾳ κατάδυσιν τὸν θάνατον παραδηλοῦν, τὴν δ' ἀνάστασιν αὖθις διὰ τῆς ἀναδύσεως ὑπεμφαίνεσθαι, φησὶν ὁ Ἀπόστολος πρὸς τοὺς ἀμφιβάλλοντας (1) περὶ τῆς ἀναστάσεως, ὅτι εἰ μὴ ἀνάστασίς ἐστι, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ἐπ' ἐλπίδι τοῦ ἀναστῆναι τοὺς νεκρούς; καὶ τί βαπτίζονται, ὡς προσδοκῶντες νεκρῶν ἀναζώωσιν; Λοιπὸν ματαιοπονοῦσιν οἱ βαπτιζόμενοι, εἴγε περὶ τῆς ἀναστάσεως ἀμφιβάλλουσι, διὰ μὲν τοῦ βαπτίζεσθαι καὶ καταδύεσθαι εἰς τὸ τῆς κολυμβήθρας ὕδωρ, καὶ ἀναδύεσθαι, τὸν θάνατον καὶ τὴν ἀνάστασιν καταγγέλλοντες, δι' ὧν δὲ λέγουσιν, ἀπιστοῦντες αὐτῇ. Τῷ μὲν οὖν Ἀποστόλῳ οὕτως εἴρηται ταῦτα· οἱ δὲ, μὴ συνιέντες τὴν δύναμιν τῶν ῥημάτων, ἢ τοὺς νεκροὺς ἐβάπτιζον, ἢ ἄλλους ὑπὲρ τῶν νεκρῶν· ὃ μὴ γίνεσθαι ὁ κανὼν διορίζεται. Καὶ σύνοδον τοὺς ἐπισκόπους κατ' ἐνιαυτὸν κελεύει ποιεῖν· τοῦτο καὶ ἄλλων συνόδων διαταξαμένων καὶ πρὸ ταύτης τῆς συνόδου, καὶ μετὰ ταύτην (2). Ἀνάγνωθι τῆς ϛ'. συνόδου κανόνα πγ'. τῶν ἁγίων Ἀποστόλων λζ'. τῆς ἐν Νικαίᾳ συνόδου ε'. τῆς ἐν Ἀντιοχείᾳ κ'. τῆς ἐν Χαλκηδόνι ιθ'. καὶ τῆς ἐν Νικαίᾳ τὸ β'. ϛ'.

**Ὁμοίως (3) ἤρεσεν, ὥστε, χειροτονουμένου ἐπισκόπου, ἢ κληρικοῦ, πρότερον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς τὰ δεδογμένα ταῖς συνόδοις εἰς τὰς ἀκοὰς αὐτῶν ἐντίθεσθαι, ἵνα μὴ ποιοῦντες κατὰ τῶν ὅρων (4) τῆς συνόδου μεταμεληθῶσιν.**

---

ΖΩΝΑΡ. Τοὺς χειροτονοῦντας ἐπίσκοπον, ἢ κληρικὸν, δεῖ, φησὶν ὁ κανὼν, λέγειν τοῖς χειροτονουμένοις τὰ δόξαντα ταῖς συνόδοις περί τε πίστεως, καὶ περὶ τοῦ, πῶς χρὴ βιοῦν, καὶ τὰ ἐκκλησιαστικὰ οἰκονομεῖν (5), ἵνα εἰδότες τὰς διατάξεις τῶν

---

(1) Χ. Τρ.—ἀμφιβαλόντας 'Ε. Κ—(2) ἐν Χ. Τρ. ἀναγινώσκεται ἐνταῦθα τὰ ἑξῆς· Ἡ αὐτὴ ἑρμηνεία ἐστὶ καὶ τῷ Βαλσαμῷ· ἐπέκεινα δὲ τούτων, εἶχε ταῦτα. — (3) ἐνταῦθα ἄρχεται ὁ Καν. ΚΔ'. ἐν Π. — (4) Σ. Ρ. Κ. Ε. —ἵνα μὴ οὐ ποιοῦντες κατὰ τοὺς ὅρους, Χ. Τρ. — ἵνα μὴ ποιοῦντες κατὰ τοὺς ὅρους Π. — κατὰ τὸν ὅρον Βευερ.— (5) Χ. Τρ. — οἰκοδομεῖν Κ. Βευερ.

Πατέρων, κατ' αὐτὰς ποιῶσι, καὶ μὴ μεταμεληθῶσι παρ' ἐκείνας ποιοῦντες· μεταμεληθήσονται δὲ εὐθυνόμενοι ἢ καὶ ἐν τῇ παρούσῃ ζωῇ, ἢ τέως ἀπαραιτήτως κατὰ τὴν μέλλουσαν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν παρομοίως διορίζεται, τοὺς χειροτονουμένους διδάσκεσθαι τὰ παρὰ τῶν ἁγίων Πατέρων ὁροθετηθέντα, καὶ προστίθησιν, ὅτι μεταμεληθήσονται οἱ οὕτω μὴ ποιοῦντες. Ποῖον δ' ἐστὶ τὸ εἶδος τοῦ μεταμέλου, καὶ ἡ ἐντεῦθεν εὐθύνη, ἐκ μὲν τοῦ κανόνος οὐκ ἀναφαίνεται. Νομίζω δὲ, ὅτι, ἐὰν μὴ ἀκριβῆ κατάληψιν ἔχωσιν οὗτοι τῶν δογματικῶν ὅρων καὶ τῶν κανονικῶν παραγγελιῶν, καὶ ἢ διδάσκοντες, ἢ ἀποφαινόμενοι ἐκτραπῶσιν ἐκ τῆς εὐθείας καὶ βασιλικῆς ὁδοῦ πρὸς διδασκαλίας ἀσεβεῖς καὶ ἀκανονίστους ἀποφάσεις, κανονικῶς καθαιρεθήσονται, καὶ εἰς οὐδὲν ἀνύσιμον ἔσται αὐτοῖς ὁ μετάμελος. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιέ. κανόνα περὶ ἀκανονίστων ἀποφάσεων.

## *Ἑτέρα ἑρμηνεία.*

Ὡς ἔοικεν, ἀπὸ τοῦ παρόντος κανόνος ἐτυπώθη, τὸ ἐξ ἀνάγκης τοὺς μέλλοντας χειροτονεῖσθαι ἀρχιερεῖς ἐγγράφεσθαι πρὸ τῆς χειροτονίας εἰς τὸν κώδικα τοῦ χειροτονοῦντος αὐτοὺς τὸ τῆς πίστεως ἅγιον σύμβολον, καὶ τὰ λοιπὰ θεῖα δόγματα. Εἶδον γὰρ καὶ ἀρχιερέα μεγάλως κινδυνεύσαντα, διὰ τὸ μὴ ἐγγράψασθαι συντετηρημένως καὶ κατὰ τὴν συνήθειαν. Τὸ δὲ τοὺς κληρικοὺς διδάσκεσθαι μὲν τὰ ἱερὰ δόγματα, κανονικόν ἐστι καὶ δίκαιον, ἐγγράφεσθαι δὲ τέως (1) μέχρι τοῦ νῦν οὐκ εἴδομεν.

ΑΡΙΣΤ. Τὰ ταῖς συνόδοις δόξαντα ὁ χειροτονηθησόμενος ἐνωτισθήσεται.

Ὁ χειροτονούμενος ἐπίσκοπος, ἢ κληρικὸς, ὀφείλει τὰ δεδογμένα ταῖς συνόδοις εἰς ἀκοὰς αὐτοῦ παραδέχεσθαι παρὰ τοῦ χειροτονοῦντος αὐτὸν, καὶ ὑπομιμνήσκεσθαι ταῦτα φυλάττειν.

Ὁμοίως (2) ἤρεσεν, ἵνα τοῖς σώμασι τῶν τελευτώντων εὐχαριστία μὴ δοθῇ. Γέγραπται γάρ· Λάβετε, φάγετε·

(1) Χ. Τρ. — ἐγγράφεσθαι δὲ αὐτοὺς Βευερ. — ἡ 6'. αὕτη ἑρμηνεία οὐ κεῖται παρὰ Ἑ. εἰμὴ λατινιστὶ ἐν τῷ παραρτ. σελ. 1124. — (2) Καν. ΚΕ'. ἐν Π.

τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ λαβεῖν δύναται, οὐδὲ φαγεῖν. Καὶ, ἵνα μὴ τοὺς ἤδη τελευτῶντας βαπτισθῆναι ποιήσῃ ἡ τῶν πρεσβυτέρων ἄγνοια.

---

ΖΩΝΑΡ. Καὶ πάλιν περὶ τοῦ μὴ τοὺς νεκροὺς τῆς τῶν θείων μυστηρίων μεταλήψεως ἀξιοῦν ἡ σύνοδος διαλέγεται. Εἰ γὰρ καὶ ἡ λέξις, τῶν τελευτώντων, τοὺς μήπω θανόντας ἐμφαίνει κατὰ τὸ ἀκριβὲς, τοὺς δὲ ἔτι θνήσκοντας, ἀλλὰ τὰ ἑξῆς σαφῶς δηλοῦσιν, ὅτι περὶ θανόντων ἤδη ὁ λόγος ἐστὶ, τὸ εἰπεῖν, δηλονότι, ὅτι τὰ τῶν νεκρῶν σώματα οὔτε λαβεῖν δύναται, οὔτε φαγεῖν· τοὺς δὲ ἔτι ζῶντας, κἂν ἀπέγνωσται αὐτοῖς ἡ ζωὴ, κἂν μετὰ βραχὺ μέλλωσιν ἐκπνεῖν, τῶν ἁγίων μυστηρίων ἀξιοῦσθαι χρεών. Ἀλλὰ μηδὲ βαπτίζεσθαι τοὺς νεκροὺς, καὶ οὗτος ὁ κανὼν διατάττεται, ἐξ ἀγνοίας τῶν πρεσβυτέρων· κἀνταῦθα γὰρ τὴν λέξιν, τῶν τελευτώντων, οὕτω νοητέον, ὡς ἤδη εἴρηται· ἕως γὰρ ἂν ἐμπνέῃ τις, τοῦ θείου βαπτίσματος ἀξιωθήσεται (1).

ΒΑΛΣ. Καὶ αὖθις ὁ κανὼν παρακελεύεται τοὺς νεκροὺς μήτε βαπτίζεσθαι, μήτε τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι. Τελευτῶντας δὲ καλεῖ τοὺς ἤδη τελευτήσαντας, οὐχὶ τοὺς τὰ ἔσχατα πνέοντας· οὗτοι γὰρ μᾶλλον ἐφοδιάζεσθαι ὀφείλουσι διὰ τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως, καὶ διὰ τοῦ θείου βαπτίσματος, ἐὰν ὦσιν ἀβάπτιστοι.

ΑΡΙΣΤ. Τῷ τοῦ τετελευτηκότος σώματι εὐχαριστία οὐ δίδοται· οὐ γὰρ ἐσθίει, ἢ πίνει. Καὶ ἄγνοια πρεσβυτέρου οὐ βαπτίσει τὸν τελευτήσαντα.

Τοῦ Κυρίου εἰπόντος, Λάβετε, φάγετε, πῶς ἄν τις τῷ τελευτήσαντι τοῦ θείου σώματος μεταδώσει; οὔτε γὰρ λαβεῖν, οὔτε φαγεῖν ὁ νεκρὸς δύναται. Ἀλλ' οὐδὲ βαπτίσει τις τὸν τελευτήσαντα· ἡ γὰρ τῶν πρεσβυτέρων ἄγνοια οὐκ ὠφελήσει τοὺς τελευτήσαντας, ὥστε βεβαπτισμένους λογίζεσθαι.

---

(1) Βευεր. Κ. — Τὰ ἀπὸ τοῦ, ἀλλὰ μηδὲ βαπτίζεσθαι, ἕως τοῦ, ἀξιωθήσεται, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ μόνον τὰ ἑξῆς· τὰ αὐτὰ καὶ περὶ τοῦ βαπτίσματος.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Διὸ βεβαιωτέον (1) ἐστὶν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ὥστε κατὰ τοὺς ἐν Νικαίᾳ ὅρους (2), διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας, αἵτινες πολλάκις πρὸς ὄλεθρον τοῦ λαοῦ παλαιοῦνται, καθ' ἕκαστον ἐνιαυτὸν σύνοδον συγκαλεῖσθαι (3), πρὸς ἣν πάντες οἱ τῶν ἐπαρχιῶν τὰς πρώτας καθέδρας ἐπέχοντες, ἐκ τῶν οἰκείων συνόδων δύο, ἢ καὶ ὅσους ἐπιλέξωνται, ἐπισκόπους τοποτηρητὰς ἀποστείλωσιν· ἵνα ἐν τῇ συναχθείσῃ συνελεύσει πλήρης εἶναι δυνηθῇ ἡ αὐθεντία.

---

ΖΩΝΑΡ. Κἀνταῦθα πάλιν, περὶ ἐνιαυσιαίας συνόδου φασὶν οἱ Πατέρες, ὥστε γίνεσθαι ἀπαραιτήτως. Δεῖ οὖν, λέγουσι, βεβαιῶσαι, ἵνα κατὰ τὰ ἐν Νικαίᾳ ὁρισθέντα, γίνηται κατ' ἐνιαυτὸν σύνοδος διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας. Μετὰ γὰρ τοὺς ἁγίους Ἀποστόλους, ἡ ἐν Νικαίᾳ σύνοδος ὥρισεν ἐν πέμπτῳ κανόνι κατ' ἐνιαυτὸν γίνεσθαι συνόδους· ἐκκλησιαστικαὶ δὲ αἰτίαι εἰσὶν αἱ ἀνακύπτουσαι ὑποθέσεις πρὸς οἰκονομίαν ἐκκλησιαστικήν, αἵτινες αἰτίαι μὴ ἀνακοπτόμεναι παλαιοῦνται, ἀντὶ τοῦ, τῷ χρόνῳ βεβαιοῦνται πρὸς ὄλεθρον τοῦ λαοῦ· πρὸς ἣν σύνοδον, οἱ τοὺς πρώτους θρόνους τῶν ἐπαρχιῶν ἐπέχοντες στελοῦσιν οὓς ἂν ἐπιλέξωνται ἐπισκόπους δύο ἢ καὶ πλείους, τοποτηρητάς· ἵνα τελεία εἴη ἡ αὐθεντία, ἤγουν ἡ ἐξουσία ἐν τῇ συνελεύσει, τουτέστιν, ἵνα τὰ ὁριζόμενα καὶ τυπούμενα (4) ἐν τῇ συνόδῳ, μετὰ αὐθεντίας τελείας ὁρίζωνται, ὡς καὶ τῶν πρωτευόντων ἐν ταῖς ἐπαρχίαις ἀρχιερέων συμψήφων γινομένων διὰ τῶν παρ' αὐτῶν στελλομένων τοποτηρητῶν. Τοποτηρηταὶ δὲ λέγονται, διὰ τὸ τὸν τόπον τηρεῖν, ἤγουν ἐπέχειν, ἀναπληροῦν, τῶν στειλάντων αὐτούς.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίων συνόδων, ἐν τῷ ε. κανόνι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ ἐν ἑτέροις πλατύτερον διελήφθη. Ὁ δὲ παρὼν κανών φησι τὰς συνόδους γίνεσθαι ἐτησίως, ἵνα

---

(1) βεβαιότερόν ἐστι Ἰουστ. — (2) Καν. Κϛ'. ἐν Π. — (3) Π. Χ. Τρ. Ἐ. Γ. Ἰουστ. Σ. Ῥ.—γίνεσθαι Βευερ. — (4) τὸ, καὶ τυπούμενα, οὐ κεῖται ἐν Χ. Τρ.

μὴ σβεννύωνται τῷ χρόνῳ τὰ παρὰ τῶν ἁγίων Πατέρων ὁρισθέντα, ἀλλὰ κατὰ τὴν τούτων περίληψιν λύωνται τὰ ἀνακύπτοντα ἐκκλησιαστικὰ ζητήματα. Γογγυζόντων δέ τινων, ὡς ἔοικε, διὰ τὴν τοιουτότροπον ἐτησίαν συνέλευσιν, ἴσως οὖσαν δυσχερῆ διὰ τὸ μῆκος τῆς ὁδοῦ, ὥρισαν οἱ Πατέρες, παρὰ τῶν πρωτευόντων ἐν ταῖς ἐπαρχίαις, ἤγουν τῶν μητροπολιτῶν, ἀποστέλλεσθαι τοποτηρητὰς, ὅτε δεήσοι, ἤγουν ὅτε μετάκλησις τούτων* γένηται, ἐξ ἀνάγκης δύο ἐπισκόπους, ἢ καὶ πλείους ὅσους ἐπιλέξωνται, ἵνα δι' αὐτῶν καὶ οὗτοι δόξωσι παρουσιάζειν, καὶ ὦσι τέλεια τὰ ὁρισθησόμενα, ὡς καὶ δοκοῦντα παρὰ πάντων γίνεσθαι. Τοποτηρηταὶ δὲ οὗτοι λέγονται, διὰ τὸ τὸν τόπον τηρεῖν, ἤγουν ἐπέχειν, καὶ ἀναπληροῦν, τῶν ἀποστειλάντων αὐτούς. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἐπεὶ εἰκός ἐστιν εἰπεῖν τινας, ὡς, ἐὰν οἱ μητροπολῖται, οἵτινες λέγονται καὶ πρῶται τῶν ἐπαρχιῶν, ἀναγκάζωνται παρὰ τοῖς πατριάρχαις ἐτησίως συνέρχεσθαι, καὶ οἱ ἐπίσκοποι πάλιν παρὰ τοῖς μητροπολίταις, συμβαίνει ἓν ἐξ αὐτῶν μὴ γενέσθαι, διὰ τὸ ἀδύνατον εἶναι τὸν μητροπολίτην Δυῤῥαχίου τυχὸν, παρὰ τῷ πατριάρχῃ συνελθεῖν, καὶ κατὰ ταυτὸ ποιῆσαι τὸν αὐτὸν καὶ εἰς τὴν οἰκείαν ἐπαρχίαν σύνοδον, εἰπὲ, ὅτι εὐχερές ἐστι καὶ ἄμφω γενέσθαι. Οἱ μὲν γὰρ ἐπαρχεῶται παρὰ τῷ πρώτῳ αὐτῶν συναχθήσονται· αὐτὸς δὲ παρὰ τῷ πατριάρχῃ συνέλθῃ διὰ ἐντολέων, ἤτοι τοποτηρητῶν, καθὼς καὶ ὁ παρὼν κανὼν διορίζεται, θεραπεύων τὴν δυσχέρειαν τῆς εἰς τὰς δύο συνόδους παρουσίας τῶν μητροπολιτῶν. Τὸ δὲ τοποτηρητὰς ἀποστέλλεσθαι διὰ ἐπισκόπων, οἴομαι μὴ εἶναι ἀναγκαῖον· καὶ ἱερεῖς γὰρ, ἀλλὰ μὴν καὶ διάκονοι σταλήσονται ὡς τοποτηρηταί· ἐν ταῖς πλείοσι γὰρ τῶν οἰκουμενικῶν συνόδων, καὶ ἐπίσκοποι τοποτηρηταὶ παρέστησαν, καὶ ἱερεῖς, καὶ διάκονοι, ἔκ τε τῶν ἄλλων ἐπαρχιῶν, ἀλλὰ μὴν καὶ ἐξ αὐτῆς τῆς Ῥώμης.

**ΑΡΙΣΤ.** °Κατὰ τοὺς ὅρους τῶν ἐν Νικαίᾳ, σύνοδος κατ' ἐνιαυτὸν συγκαλείσθω· καὶ πεμπέσθωσαν ὑπὸ τῶν πρωτευόντων ἐν τῇ ἐπαρχίᾳ δύο, ἢ καὶ ὅσοι ἐπιλεχθεῖεν τοποτηρηταί.

Οἱ Πατέρες οὗτοι, τῇ ἐν Νικαίᾳ κατακολουθοῦντες συνόδῳ, κατ' ἐνιαυτὸν ἐν Καρχηδόνι προστάττουσι σύνοδον γίνεσθαι,

καὶ πέμπεσθαι ἀφ' ἑκάστης ἐπαρχίας ὑπὸ τῶν μητροπολιτῶν τῶν ἐπαρχιῶν δύο, ἢ καὶ ὅσους ἐπιλέξωνται οὗτοι, τοποτηρητάς.

## Κανὼν ΙΘ'. (ΚΖ'.)

*Ὥστε ἐπισκόπου κατηγορουμένου, πρὸς τὸν πρωτεύοντα τῆς αὐτοῦ ἐπαρχίας τὸ πρᾶγμα ἀνενεχθῆναι.*

Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐάν τις τῶν ἐπισκόπων κατηγορῆται (1), παρὰ τοῖς τῆς αὐτοῦ χώρας πρωτεύουσιν ὁ κατήγορος ἀναγάγῃ (2) τὸ πρᾶγμα· καὶ μηδὲ ἀπὸ τῆς κοινωνίας κωλυθῇ ὁ κατηγορούμενος, εἰ μὴ δ' ἂν πρὸς ἀπολογίαν ἐν τῷ δικαστηρίῳ τῶν ἐπιλεγέντων δικάζειν γράμμασι προσκληθείς, τῇ ὡρισμένῃ ἡμέρᾳ οὐδαμῶς ἀπαντήσοι, τουτέστιν, ἐντὸς προθεσμίας μηνός, ἀφ' ἧς ἡμέρας φανείη τὰ γράμματα δεξάμενος. Ἐὰν δὲ ἀληθεῖς τινας καὶ ἀναγκαστικὰς αἰτίας ἀποδείξῃ, τὰς αὐτὸν κωλυσάσας (3) ἀπαντῆσαι πρὸς ἀπολογίαν τῶν κατ' αὐτοῦ προτεθέντων, ἐντὸς ἑτέρου μηνὸς ἀκεραίαν ἐχέτω εὐχέρειαν· μετὰ δὲ τὸν δεύτερον μῆνα μὴ κοινωνήσῃ, ἕως οὗ καθαρὸς ἀποδειχθείη. Εἰ δὲ πρὸς σύμπασαν τὴν ἐτησίαν σύνοδον ἀπαντῆσαι μὴ βουληθείη, ἵνα κἂν ἐκεῖ τὸ πρᾶγμα αὐτοῦ περαιωθῇ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐκπεφωνηκέναι κριθήσεται. Ἐν δὲ τῷ καιρῷ, ᾧ οὐ κοινωνεῖ, μηδὲ ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, μηδὲ ἐν παροικίᾳ κοινωνήσῃ. Ὁ δὲ τούτου κατήγορος, ἐὰν μηδαμοῦ ἀπολειφθείη, ἐν αἷς ἡμέραις γυμνάζεται τὰ τοῦ πράγματος, μηδαμῶς κωλυθῇ ἀπὸ τῆς κοινωνίας· ἐὰν δέ ποτε ἐλλείψῃ ἑαυτὸν ὑποσύρας, ἀποκαθισταμένου τῇ κοινωνίᾳ τοῦ ἐπισκόπου, αὐτὸς ἀπὸ τῆς κοινωνίας ἐκβληθῇ ὁ κατήγορος, οὕτω μέντοι, ὡς μηδὲ τὴν εὐχέρειαν αὐτῷ ἀφαιρεῖσθαι τῆς κατηγορίας τοῦ πράγματος, ἐὰν δυνηθῇ ἀποδεῖξαι κατὰ τὴν προθεσμίαν, οὐχὶ

---

(1) ἐν Π. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, ἐάν τις. — (2) ἀγάγῃ Π. — (3) Σ. Ῥ. Ιουστ. Κ. Ἑ. — κωλυούσας Π. Βευερ. Χ. Τρ.

μὴ τεθεληκέναι, ἀλλὰ μὴ δεδυνῆσθαι ἀπαντῆσαι· ἐκείνου δήλου ὄντος, ὡς ἐν τῷ κινεῖσθαι τὰ τοῦ πράγματος (1) ἐν τῷ τῶν ἐπισκόπων δικαστηρίῳ, ἐὰν διαβέβληται τὸ πρόσωπον τοῦ κατηγόρου, μὴ προσδεχθῇ εἰς κατηγορίαν, εἰ μηδ' ἂν ὑπὲρ ἰδίου πράγματος, μὴ μέντοι περὶ ἐκκλησιαστικοῦ θελήσῃ ἐπιβαλέσθαι.

---

ΖΩΝΑΡ. Κατηγορουμένου ἐπισκόπου ὁ κατήγορος παρὰ τοῖς πρωτεύουσι τῶν χωρῶν ὀφείλει τὴν κατηγορίαν ἐνιστᾷν. Οὐχ ἅμα δὲ τῇ κατηγορίᾳ παύεται τῶν οἰκείων δικαίων ὁ κατηγορούμενος ἐπίσκοπος, ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ καὶ καταστάσει ἐστὶ μέχρις ἀποφάσεως, εἰ μή που κληθεὶς εἰς τὸ δικαστήριον, οὐκ ἀπαντήσει ἐντὸς μηνός, ψηφίζεσθαι ὀφείλοντος, ἐξότου τὰ καλοῦντα αὐτὸν εἰς τὸ δικαστήριον ἐδέξατο γράμματα· τότε γὰρ εἰς ποινὴν τῆς ἀπειθείας, ἀκοινώνητος γίνεται, τουτέστιν ἀφορίζεται. Ἐὰν δὲ ἔκ τινων συμβεβηκυιῶν αἰτιῶν ἀληθῶν καὶ οὐ πεπλασμένων, καὶ ἐξ ἀνάγκης αὐτὸν κωλυουσῶν, φανῇ κωλυθεὶς μὴ ἀπαντῆσαι εἰς τὸ δικαστήριον καὶ ἀπολογήσασθαι, ἕτερος αὖθις αὐτῷ δίδοται μὴν εἰς προθεσμίαν τοῦ προσελθεῖν τῷ δικαστηρίῳ· ἐὰν δὲ καὶ ὁ δεύτερος μὴν παρέλθῃ ἐπὶ κενοῖς, ἐκείνου μὴ ἀπαντήσαντος, ἔκτοτε ἀκοινώνητον εἶναι αὐτὸν ὁ κανὼν διατάττεται, ἕως διαγνωσθῇ, ὅτι καθαρός ἐστι τῆς κατ' αὐτοῦ γενομένης κατηγορίας. Ἐὰν δὲ οὔτε πρὸς τὸν πρωτεύοντα τῆς ἐπαρχίας παραγένηται, οὔτε πρὸς τὴν τῶν ἐπισκόπων σύνοδον τὴν ἐτησίως γινομένην, ἵνα ἐκεῖ ἐξετασθῇ τὰ κατ' αὐτοῦ λεγόμενα καὶ πέρας δέξηται, αὐτὸς καθ' ἑαυτοῦ ἐψηφίσατο, ἤγουν αὐτὸς ἑαυτὸν κατεδίκασεν. Ἐν δὲ τῷ καιρῷ τοῦ ἐπιτιμίου τῆς ἀκοινωνησίας, οὔτε ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ ἔξεστιν αὐτῷ κοινωνῆσαι, οὔτε ἀλλαχοῦ, οἷον ἐν παροικίᾳ ὑποκειμένῃ αὐτῷ. Ὁ δὲ κατήγορος, ἐὰν προσεδρεύῃ τῷ δικαστηρίῳ, οὐ κωλυθήσεται κοινωνεῖν· ἐὰν δὲ ἀπολειφθῇ ἑαυτὸν ὑποσύρας, ἤγουν ἑκουσίως, οὐκ ἐξ ἀνάγκης τινός, ἑαυτὸν ὑποκλέψας, καὶ ἀποκρύψας, ὥστε μὴ εὑρίσκεσθαι, ὁ

(1) Σ. 'Ρ. Ἰουστ. Π. — τὰ πράγματα Βιυερ.

μὲν ἐπίσκοπος ὁ κατηγορούμενος λυθήσεται τοῦ ἐπιτιμίου, ἀποκαθιστάμενος εἰς τὴν κοινωνίαν, ὁ δὲ κατήγορος ἐπιτιμηθήσεται, οὐ μέντοι κωλυθήσεται γυμνάζειν τὴν κατηγορίαν, καὶ δικάζεσθαι, ἐὰν μὴ φανῇ ἐξ οἰκείου θελήματος καταφρονῆσαι, ὥστε μὴ ἐμπροθέσμως ἀπαντῆσαι, ἀλλὰ μὴ δυνηθῆναι ἐξ αἰτίας εὐλόγου καὶ ἀπαραιτήτου. Ἔστω δέ, φησι, δῆλον, ὅτι τότε δεχθήσεται ὁ κατήγορος τοῦ ἐπισκόπου, ἐὰν μὴ διαβέβληται· εἰ γὰρ διαβεβλημένος εἴη, ἢ ἀμφίβολός ἐστιν ἡ ὑπόληψις αὐτοῦ, ἀπρόσδεκτος ἔσται, εἰ μὴ οἰκείαν προτίθησιν ὑπόθεσιν κατὰ τοῦ ἐπισκόπου, χρηματικὴν δηλαδή, οὐ μέντοι ἐκκλησιαστικήν, τουτέστιν εἰς ἔκπτωσιν τῆς ἐπισκοπῆς καταδικάζουσαν τὸν κατηγορούμενον. Περὶ τούτου δὲ καὶ ὁ ϛ'. κανὼν τῆς β'. οἰκουμενικῆς συνόδου διατάττεται, καὶ ζητητέον τὰ ἐκεῖ γεγραμμένα. Ὁ δὲ οδ'. τῶν Ἀποστόλων κανὼν τὸν ἐπίσκοπον κατηγορηθέντα, τρισσάκις καλεῖσθαι κελεύει, καὶ εἰ μὴ ἀπαντήσει, τότε τοὺς ἐπισκόπους ψηφίζεσθαι κατ' αὐτοῦ.

**ΒΑΛΣ.** Ἐπεὶ πρόσφορόν ἐστι δικαστήριον τοῖς ἐπισκόποις τὸ τοῦ μητροπολίτου, φησὶν ὁ κανών, ὅτι, ἐὰν κατηγορῆται ἐπίσκοπος παρά τινος, ὀφείλει δικάζεσθαι παρὰ τῷ πρώτῳ αὐτοῦ, ἤγουν τῷ μητροπολίτῃ· πρὸ δὲ καταδίκης, ἐχέτω ὁ κατηγορούμενος τὴν οἰκείαν τιμὴν ἀπαρασάλευτον, καὶ ἱερουργείτω, εἰ μήπω μετακληθεὶς οὐκ ἀπαντήσει εἰς τὸ δικαστήριον ἐντὸς μηνός, ψηφίζεσθαι ὀφείλοντος, ἐξότου τὰ καλούμενα αὐτὸν εἰς τὸ δικαστήριον ἐδέξατο γράμματα· τότε γὰρ εἰς ποινὴν τῆς ἀπειθείας ἀκοινώνητος γίνεται, τουτέστιν, ἀφορίζεται. Ἐὰν δὲ ἔκ τινων συμβεβηκυιῶν αἰτιῶν ἀληθῶν, φανῇ ἐξ ἀνάγκης τινὸς μὴ ἀπαντῆσαι εἰς τὸ δικαστήριον καὶ ἀπολογήσασθαι, ἕτερος αὖθις αὐτῷ δίδοται μὴν εἰς προθεσμίαν, χάριν τοῦ προσελθεῖν τῷ δικαστηρίῳ· καὶ εἰ μηδὲ οὕτως ἀπαντήσει, ἀφορίζεται, μέχρις ἂν τὰ τῆς κατηγορίας διευλυτωθῶσιν. Ἐὰν δὲ οὔτε πρὸς τὸν πρωτεύοντα τῆς ἐπαρχίας παραγένηται, οὔτε πρὸς τὴν ἐτησίως γινομένην σύνοδον, ἔστω, φασί, καταδεδικασμένος· ἐν δὲ τῷ καιρῷ τῆς ἀκοινωνησίας, οὐκ ἔξεστιν αὐτῷ ὁπουδήποτε ἱερουργῆσαι. Ὁ δὲ κατήγορος, εἰ μὲν

παρουσιάζει, ἔσται κοινωνικός· εἰ δὲ ἀπολειφθῇ κατὰ σκῆψιν, αὐτὸς μὲν ἀφορισθήσεται, ὁ δὲ ἐπίσκοπος ἀπολυθήσεται τοῦ ἀφορισμοῦ. Πλὴν καὶ μετὰ τὸν ἀφορισμὸν ὁ κατήγορος οὐ κωλυθήσεται λέγειν τὴν ὑπόθεσιν, καὶ ὅτι οὐ κατὰ περιεργίαν ἀπελείφθη. Ἐπὶ τούτοις θέλει ὁ κανὼν, ἀκολούθως τῷ ϛ'. κανόνι τῆς δευτέρας συνόδου, ἀδιάβλητον εἶναι τὸν κατήγορον· εἰ γὰρ διαβεβλημένη εἴη ἡ ἀμφίβολος ἡ ὑπόληψις αὐτοῦ, ἀπρόσδεκτος ἔσται, εἰ μὴ οἰκείαν προτίθησιν ὑπόθεσιν κατὰ τοῦ ἐπισκόπου, χρηματικὴν δηλαδὴ, οὐ μέν τοι ἐκκλησιαστικὴν, καθαιρέσει καθυποβάλλουσαν· καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ γίνωσκε, ὅτι σήμερον αἱ περιεχόμεναι προθεσμίαι ἐν τούτῳ σχολάζουσι, καὶ διὰ τριῶν ἐπιφωνημάτων τριακονθημέρων μετακαλοῦνται πάντες ἐνάγοντές τε καὶ ἐναγόμενοι, κἂν οἵας ὦσι καταστάσεως, καὶ κἂν οἵας ἐστὶν ὑποθέσεως τὸ αἰτίαμα, κατὰ τὴν προσκυνητὴν νεαρὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τὴν ἀπολυθεῖσαν κατὰ μῆνα Ἰούλιον, Ἰνδικτιῶνος ιδ'. τοῦ ,ϛχοδ'. ἔτους· πλὴν τοῦτο κρατεῖ, ὅτε διὰ λιβέλλου καὶ λοιπῆς δικαστικῆς ἀκολουθίας χρηματικὴ ἢ ἐγκληματικὴ κατὰ ἐπισκόπου καταχθῇ ὑπόθεσις· εἰ γὰρ διὰ τῆς τάξεως προσαγγελθῇ τι κατὰ ἐπισκόπου ἢ κληρικοῦ ἐκκλησιαστικὸν ζήτημα, ὅτε οὐδὲ χρεία ἐστὶ λιβέλλου ἢ ἄλλης τινὸς δικαστικῆς ἀκολουθίας, καὶ ὁ διεγκαλούμενος μηνυόμενος οὐ παρουσιάζει, κατὰ τὸν οδ'. ἀποστολικὸν κανόνα κολασθήσεται, ὥσπερ κολάζεται, ἤγουν καταδικάζεται καὶ ἀπὸ τῶν νόμων καὶ ὁ ἀναίσχυντος ἀπειθής. Ἔτι σημείωσαι, ὅτι ὁ ἀφορισθεὶς οὐκ ἐμποδίζεται διὰ τὸν ἀφορισμὸν γυμνάζειν ἣν προέθετο κατηγορίαν· καὶ ὅτι οἱ διαβληθέντες καὶ ἀμφίβολοι περὶ τὴν οἰκείαν ἐπιτιμίαν, πολλῷ δὲ πλέον οἱ ἄτιμοι, ἐγκληματικὴν μὲν κατηγορίαν οὐ συνιστῶσι, χρηματικὰς δὲ ἰδίας ὑποθέσεις γυμνάζουσιν.

ΑΡΙΣΤ. Κατηγορούμενος ἐπίσκοπος, καὶ ἀγόμενος, ἐχέτω δύο μηνῶν ἔνδοσιν, εἴπερ ἑτέρωθέν ἐστι τῆς βραδυτῆτος βοήθεια· ἑξῆς δὲ τὸ ἀκοινώνητον ἕξει, μὴ ὑπαντήσας. Ἐὰν δὲ παρουσιάζοντος τοῦ κατηγορουμένου, ὁ κατήγορος ἀποφεύγῃ, ἕξει τὸ ἀκοινώνητον. Διαβαλλόμενος δὲ κατήγορος, οὐ κατήγορος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐπί σκοπος ὑπό τινος κατηγορούμενος, παρὰ τῇ συνόδῳ, ᾗ ὑπόκειται, διὰ γραμμάτων προσκαλείσθω πρὸς ἀπολογίαν ἐλθεῖν· εἰ δὲ, μεθ' ὃ τὰ γράμματα δέξεται, οὐκ ἀπαντήσει εἰς τὸ δικαστήριον, μέχρις ὅλου μηνὸς ἑνὸς, κωλυθεὶς ἴσως ὑπό τινων ἀναγκαστικῶν αἰτιῶν, ἐχέτω εἰς ὑπέρθεσιν καὶ ἑτέρου μηνὸς ἑνὸς προθεσμίαν· εἰ δὲ καὶ ὁ δεύτερος μὴν παρέλθοι διακενῆς, καὶ εἰς τὸ δικαστήριον οὐ παρουσιάσοι, ἀφωρισμένος ἔστω, μέχρις ἂν ἀνεύθυνος φανῇ. Ἐὰν δὲ τοὐναντίον, ὁ μὲν κατηγορούμενος ἐπίσκοπος πάρεστι, καὶ τὴν ἐπεξέλευσιν τῆς κατ' αὐτοῦ κατηγορίας γενέσθαι ἐπιζητῇ, ὁ δὲ κατήγορος οὐδαμοῦ φαίνηται, ἀλλ' ἀποφεύγῃ, αὐτὸς ἕξει τὸ ἀκοινώνητον ὁ κατήγορος. Διὰ τοῦτο γοῦν ὀφείλουσιν οἱ κατηγοροῦντες ἐξετάζεσθαι καὶ τὴν θρησκείαν, καὶ τὴν ὑπόληψιν καὶ ἐὰν διαβεβλημένοι εἰσὶν, εἰς κατηγορίαν ἐκκλησιαστικοῦ πράγματος οὐ παραδέχονται·

## Κανὼν Κ'. (ΚΗ'.)

*Περὶ πρεσβυτέρων καὶ κληρικῶν κατηγορουμένων.*

Ἐὰν δὲ πρεσβύτεροι, ἢ διάκονοι κατηγορηθῶσι, προσζευγνυμένου τοῦ νομίμου ἀριθμοῦ τῶν ἐκ τῆς πλησιαζούσης τοποθεσίας αἱρετικῶν (1) ἐπισκόπων, οὓς οἱ κατηγορούμενοι αἰτήσονται, τουτέστιν, ἐπ' ὀνόματι τοῦ πρεσβυτέρου ἓξ, καὶ τοῦ διακόνου τριῶν, σὺν τούτοις αὐτὸς ὁ ἴδιος τῶν κατηγορουμένων ἐπίσκοπος τὰς αἰτίας αὐτῶν ἐξετάσει, τοῦ αὐτοῦ τῶν ἡμερῶν, καὶ ὑπερθέσεων, καὶ ἐξετάσεων, καὶ προσώπων, μεταξὺ τῶν κατηγορούντων καὶ κατηγορουμένων τύπου (2) φυλαττομένου· τῶν δὲ λοιπῶν κληρικῶν τὰς αἰτίας, καὶ μόνος ὁ ἐντόπιος ἐπίσκοπος διαγνῷ καὶ περατώσῃ.

---

ΖΩΝΑΡ. Ὁ μὲν ἀνωτέρω κανὼν περὶ ἐπισκόπων διετάξατο κατηγορουμένων, οὗτος δὲ περὶ πρεσβυτέρων καὶ διακόνων

(1) Χ. Τρ. Ἰουστ. Βευερ. Κ. Ἑ. — αἱρετῶν Π. Σ. Ῥ. — (2) τρόπου Βευερ.

ὁρίζει, καὶ φησίν· ἐὰν πρεσβύτεροι ἢ διάκονοι κατηγορῶνται, ὁ ἐπίσκοπος αὐτῶν, συνερχομένων αὐτῷ καὶ ἑτέρων ἐπισκόπων ἐκ τῆς αὐτῆς ἐπαρχίας, ἓξ μὲν ἐπὶ πρεσβυτέρων, τριῶν δὲ ἐπὶ διακόνων, ἐξετάσει τὴν κατηγορίαν· οἱ δὲ ἐπίσκοποι εἶεν ἂν, οὓς αἱρετίσονται οἱ κατηγορούμενοι· τοὺς γὰρ τοιούτους φησὶν ὁ κανὼν αἱρετικοὺς, τουτέστι τοὺς αἱρετούς· τὰ δὲ ἄλλα, τὰς προθεσμίας, φημὶ, καὶ τὰς ἐπιτιμήσεις, καὶ ὅσα ἐν τῇ κατὰ τοῦ ἐπισκόπου ζητήσει εἴρηται, φυλαχθήσονται, καθὼς ἐκεῖ διατέτακται· τὰ δὲ τῶν λοιπῶν κληρικῶν αἰτιάματα, καὶ μόνος ὁ ἐπίσκοπος αὐτῶν ἐξετάσει, καὶ περατώσει.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν παρομοίως τῷ πρὸ αὐτοῦ, ἤγουν κατὰ τὰς αὐτὰς διαστίξεις, διορίζεται δικάζεσθαι τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους. Τοῦ δὲ ιβʹ. κανόνος διοριζομένου, παρὰ πόσοις ἐπισκόποις ὀφείλουσι δικάζεσθαι οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, ἄρτι παρακελεύονται οἱ Πατέρες, ἐπέκεινα τῆς δωδεκάδος, τῆς ἑξάδος, καὶ τῆς τριάδος εἶναι τὸν πρόσφορον ἐγχώριον ἐπίσκοπον· τοὺς δὲ παρὰ τούτους, ἤγουν τοὺς ἀναγνώστας, καὶ τοὺς λοιποὺς, παρ᾽ ἑνὸς καὶ μόνου τοῦ προσφόρου ἐπισκόπου δικάζεσθαι. Αἱρετικοὶ δὲ λέγονται ἐπίσκοποι, οὐχὶ οἱ περιεχόμενοι ἐν τῷ βʹ. τίτλῳ τοῦ ζʹ. βιβλίου τῶν βασιλικῶν, οἱ μετὰ δόσεως προστίμου δικάζοντες, ἀλλὰ οὓς αἱρετίσεται, ἤγουν ἐπιλέξεται ὁ κατηγορούμενος ἐκ τῶν πλησιοχώρων ἐπισκόπων.

ΑΡΙΣΤ. Πρεσβυτέρου κατηγορουμένου, ἓξ τῶν ἐγγυτέρων ἐπισκόπων τῷ ἐγχωρίῳ συνδιαγνώσονται· διακόνου δὲ, τρεῖς. Τὰ δέ γε τῶν λοιπῶν κληρικῶν, καὶ μόνος ἐξετάσει ὁ ἐπίσκοπος.

Τοῦτο εἴρηται καὶ ἐν τῷ δωδεκάτῳ κανόνι, ὡς, πρεσβυτέρου μὲν κατηγορουμένου, ἓξ ἐπίσκοποι δικάσουσιν αὐτὸν, καὶ ἐπέκεινα τούτων καὶ ὁ ἴδιος αὐτοῦ συνδιαγνώμων ἔσται ἐπίσκοπος· διακόνου δὲ, τρεῖς καὶ ὁ ἴδιος· οἱ δὲ λοιποὶ πάντες κληρικοὶ, οἱ κάτωθεν ὄντες τῶν διακόνων, καὶ παρὰ μόνου τοῦ ἰδίου αὐτῶν ἐπισκόπου κριθήσονται, ἐφ᾽ οἷς ἂν αἰτιῶνται ἐγκλήμασι.

## Κανὼν ΚΑ'. (ΚΘ'.)

*Ὥστε τὰ τέκνα τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ συνάπτεσθαι αἱρετικοῖς.*

Ὁμοίως ἤρεσεν, ὥστε τέκνα τῶν κληρικῶν, ἐθνικοῖς, ἢ αἱρετικοῖς, γαμικῶς μὴ συνάπτεσθαι.

---

ΖΩΝΑΡ. Ἐθνικοὺς ἐνταῦθα, τοὺς ἀπίστους νοεῖν δεῖ. Εἰ γὰρ ἐθνικός τις πιστὸς ᾖ, οὐ κωλυθήσεται συναφθῆναι κληρικοῦ θυγατρί. Ἀνάγνωθι καὶ τῆς ἐν Λαοδικείᾳ κανόνα λά. καὶ τῆς ἐν Χαλκηδόνι ιδ'. καὶ τῆς ἐν τῷ Τρούλλῳ οβ'. καὶ ὅσα ἐν αὐτοῖς ἐγράφησαν.

ΒΑΛΣ. Ἐθνικοὺς ἐνταῦθα, τοὺς ἀπίστους νοεῖν δεῖ· εἰ γάρ τις ἐθνικὸς πιστὸς ᾖ, οὐ κωλυθήσεται συναφθῆναι κληρικοῦ θυγατρί. Ἀνάγνωθι τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα λά. καὶ τῆς ἐν Χαλκηδόνι ιδ'. καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα οβ'. καὶ τὰ ἐν αὐτοῖς γραφέντα.

ΑΡΙΣΤ. Αἱρετικοῖς καὶ ἐθνικοῖς τέκνα κληρικῶν οὐ συνάπτονται.

Ἀλλ' οὐδὲ λαϊκῶν παῖδες αἱρετικοῖς εἰς γάμου κοινωνίαν συνάπτονται.

## Κανὼν ΚΒ'. (Λ'.)

*Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδένα συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις Χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.*

Μηδὲ διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, τοὺς ἐπισκόπους, ἢ κληρικούς, τούτοις συνεισάγειν.

---

ΖΩΝΑΡ. Μηδὲ κατὰ κληρονομίαν, ἢ ληγάτον, ἢ ἄλλως πως καταλιμπάνειν τι τοῖς αἱρετικοῖς ἢ ἀπίστοις ὀρθοδόξους Χριστιανούς, καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. Τοῦτο οὖν καὶ ὁ παρὼν κελεύει κανών, λέγων τοὺς ἐπισκόπους ἢ κληρικούς, μηδένα αἱρετικὸν ἢ ἄπιστον συνεισάγειν εἰς κλη-

ρονομίαν, ἢ ληγάτον, Χριστιανῷ, κἂν εἶεν ἴσως συγγενεῖς ἢ τοῦ διαθεμένου, ἢ τοῦ κληρονόμου οἱ αἱρετικοὶ ἢ οἱ ἄπιστοι· ἀλλὰ μὴν μηδὲ δωρεῖσθαι αὐτοῖς τινα ἐκ τῶν οἰκείων πραγμάτων· τοῦτο δὲ καὶ ὁ πά. κανὼν τῆς συνόδου ταύτης πλατύτερον διατάττεται. Ἐν δὲ τῷ λέ. βιβλίῳ τῶν βασιλικῶν τίτλῳ ή. κεφ. λή. εὑρήσεις, ὅτι οὐδὲ παῖδες αἱρετικοὶ δύνανται κληρονομεῖν τοὺς οἰκείους γονεῖς, οὐδὲ γονεῖς αὖθις αἱρετικοὶ δύνανται ἄλλους καταλιμπάνειν κληρονόμους, εἰ μὴ τοὺς οἰκείους παῖδας, Χριστιανοὺς ὄντας· κἂν ἄλλους δὲ παῖδας ἔχοιεν αἱρετικούς, ἀπόκληροι ἔσονται ἐκεῖνοι· κἂν ἴσως παρὰ τῶν γονέων κληρονόμοι ἐγράφησαν, εἰ μὴ ἔχουσι παῖδας ὀρθοδόξους, εἰς συγγενεῖς αὐτῶν ὀρθοδόξους περιελεύσεται ἡ περιουσία αὐτῶν. Εἰ δὲ μήτε παῖδες ὀρθόδοξοι εἶεν αὐτοῖς, μήτε συγγενεῖς τοιοῦτοι, κληρικῶν δὲ σχῆμα εἶχον οἱ τελευτήσαντες, ἵνα ἐντὸς ἐνιαυτοῦ μετὰ τὸν θάνατον αὐτοῦ ψηφιζομένου, ἐκνικῶσιν αὐτὰ οἱ τῆς ἐκκλησίας τῆς πόλεως, ἐν ᾗ κατῴκουν ἐκεῖνοι. Καὶ ἐν τῷ ά. βιβλίῳ τῶν βασιλικῶν (1) γέγραπται, μὴ κληρονομεῖν Σαμαρείτας, ἢ ὅλως αἱρετικούς, μηδὲ δωρεὰν λαμβάνειν, καὶ ὅσα ἑξῆς τὸ νγ'. κεφ. τοῦ ῥηθέντος βιβλίου διέξεισι, περί τε τῶν ἄλλων καὶ Σαμαρειτῶν γεωργῶν. Τὸ δὲ τοῦ γ'. τίτλου τοῦ έ. βιβλίου ιά. κεφάλαιον (2), λέγει, μήτε κατὰ μίσθωσιν, μήτε κατ' ἐμφύτευσιν, μήτε κατ' ἐξώνησιν, ἢ ἄλλον τινὰ τρόπον, ἀκίνητον λαμβάνειν αἱρετικὸν οἱονδήτινα ἐξ ἐκκλησίας τινός, ἢ ἄλλου σεβασμίου οἴκου· καὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου καὶ κεφαλαίου θέμα γ'. φησίν· Ἐὰν ὀρθόδοξος ἔχων κτῆσιν, ἐν ᾗ ἐστιν ἁγία ἐκκλησία, παραπέμψῃ ταύτην καθ' οἱονδήτινα τρόπον ἀπίστῳ ἢ ἁπλῶς αἱρετικῷ, ἡ ἐκκλησία τῆς αὐτῆς κώμης τὴν αὐτοῦ δεσποτείαν ἐκδικείτω.

ΒΑΛΣ. Αἱρετικοὶ μὲν λέγονται, οἱ μὴ δοξάζοντες ὀρθῶς τὰ τῶν Χριστιανῶν· ἄπιστοι δέ, οἱ μηδὲ ὅλως πιστεύοντες τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ Λόγου. Φησὶ γοῦν ὁ κανών,

(1) Βιβλ. Α', τίτλ. ά, κεφ. ϛ'. ἐκδ. Αἰμβαχίου. — (2) ιϛ', ἐκδ. Αἰμβαχίου.

μηδένα ἐπίσκοπον ἢ κληρικὸν, κατὰ νόμον ληγάτου ἢ κληρονομίας, καταλιμπάνειν τοῖς τοιούτοις τὸ ὁτιοῦν, κἂν συγγενεῖς αὐτοῦ ὦσιν· ἀλλὰ μηδὲ δωρεῖσθαι αὐτοῖς ἐν ζωῇ οἰκεῖον πρᾶγμα. Ἀνάγνωθι τὸν πγ'. κανόνα τῆς παρούσης συνόδου, καὶ βιβλίον τῶν βασιλικῶν λέ. τίτ. ή κεφ. λή. διδάσκον, μὴ ὀφείλειν κληρονομεῖσθαι τοὺς γονεῖς παρὰ αἱρετικῶν παίδων, ἢ τοὐναντίον· καὶ βιβλίου ά. τίτ. ά. κεφάλαια διάφορα λέγοντα, μὴ μόνον κληρικοὺς, ἀλλὰ καὶ λαϊκοὺς ἐμποδίζεσθαι πρὸς αἱρετικοὺς ἢ ἀπίστους ὁπωσδήποτε παραπέμπειν τὰ τούτοις διαφέροντα. Τὸ δὲ ιά. κεφάλαιον τοῦ γ'. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν λέγει, μήτε κατὰ μίσθωσιν, μήτε κατ' ἐμφύτευσιν, μήτε κατ' ἐξώνησιν, ἢ ἄλλον τρόπον τινὰ, λαμβάνειν τοὺς αἱρετικοὺς ἀκίνητα οἱαδήτινα ἐξ ἐκκλησίας τινὸς, ἢ ἄλλου σεβασμίου οἴκου· καὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου καὶ κεφαλαίου θέμα γ'. Ἐὰν ὀρθόδοξος, ἔχων κτῆσιν ἐν ᾗ ἐστιν ἁγία ἐκκλησία, παραπέμψῃ ταύτην καθ' οἱονδήτινα τρόπον ἀπίστῳ, ἢ ἁπλῶς αἱρετικῷ, ἡ ἐκκλησία τῆς αὐτῆς κώμης τὴν αὐτὴν ἐκκλησίαν ἐκδικείτω. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ ἔχειν ἐπ' ἀδείας τοὺς ἐπισκόπους ἢ τοὺς κληρικοὺς γράφειν κληρονόμους αἱρετικοὺς ἢ ἀπίστους, λέγε γενέσθαι παρὰ τῶν ἐπισκόπων τὰ ἐν τῷ μ'. ἀποστολικῷ κανόνι περιεχόμενα, καὶ τὰ δηλούμενα ἐν τῷ κδ'. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου· οὕτω γὰρ ἐπ' ἐξουσίας ἔσται αὐτοῖς παραπέμπειν πρὸς ὀρθοδόξους τὰ οἰκεῖα κατὰ λόγον κληρονομίας, ληγάτου, καὶ δωρεᾶς· εἰ δὲ μὴ, οὐδὲ πρὸς ὀρθοδόξους δύνανται παραπέμπειν ταῦτα.

**ΑΡΙΣΤ.** Ἐπίσκοποι, καὶ κληρικοὶ, αἱρετικοῖς, οὐδ' ἂν ὦσι συγγενεῖς, δωρήσονταί τι τῶν οἰκείων, ἢ συνεισάξουσιν.

## Κανὼν ΚΓ'. (ΛΑ'.)

*Ὥστε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.*

Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης μὴ ἀποδημείτωσαν, εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου, τουτέστιν, εἰμὴ

ἀπ' αὐτοῦ τοῦ πρωτεύοντος κατ' ἐξαίρετον λάβῃ τὴν, ἥτις λέγεται ἀπολυτικὴ, τετυπωμένην, ἤτοι παράθεσιν.

—

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους καὶ τοὺς προεστῶτας λογικοῦ ποιμνίου πάντας ἁπλῶς, καὶ αὐτὸ τὸ δίκαιον, καὶ οἱ κανόνες τῷ δικαίῳ ἑπόμενοι, ἀπαιτοῦσι προσμένειν ταῖς ἐκκλησίαις αὐτῶν, καὶ ποιμαίνειν, καὶ καταρτίζειν τοὺς ἐμπιστευομένους αὐτοῖς λαούς· διὸ καὶ ὁ κανὼν οὗτος, πέραν θαλάσσης, ἤγουν μακρὰν ὁδὸν μὴ ἀποδημεῖν ἐπίσκοπον ἐκκελεύεται· εἰ δέ ποτε ἀνάγκη ἐπείγει τοῦτο γενέσθαι, μὴ ἄλλως ἀπιέναι αὐτὸν, εἰμὴ μετὰ ψηφίσματος τοῦ τῆς πρώτης καθέδρας τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπου. Ψηφίσματος δ' ἐμνήσθη, ἵνα δείξῃ, ὅτι, εἰ μὴ ὁ τῆς χώρας ἐκείνης πατριάρχης ἢ μητροπολίτης ἐξετάσει τὴν αἰτίαν, δι' ἣν ἀποδημῆσαι μέλλει ὁ ἐπίσκοπος, καὶ διαγνῷ ἀναγκαίαν εἶναι, καὶ δώσῃ αὐτῷ τὴν λεγομένην ἀπολυτικὴν ἐπιστολὴν, οὐ δύναται κανονικῶς ἀποδημῆσαι· ψήφισμα δὲ, ἡ διάγνωσις καὶ ἡ ἀπόφασις λέγεται. Κατ' ἐξαίρετον δὲ τοῦ πρωτεύοντός φησιν, ἐπεὶ ἐν ἑτέρῳ κανόνι εἴρηται, ὅτι καὶ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐκείνης δεῖ κομίζεσθαι τὸν ἀποδημοῦντα ἐπιστολάς· διὰ τοῦτον οὖν τὸν λόγον εἶπεν ἐπὶ τοῦ πρωτεύοντος τῆς ἐπαρχίας τὸ, κατ' ἐξαίρετον, τουτέστι, καλὸν μὲν καὶ πάντων τῶν ἐπισκόπων τῆς χώρας ἔχειν ἐπιστολὰς, κατ' ἐξαίρετον δὲ, ἀντὶ τοῦ, κυρίως δὲ, τοῦ πρωτεύοντος ἔχειν ἀπολυτικὴν τετυπωμένην, ἤτοι παράθεσιν, τυποῦσαν δηλονότι ἀναγκαίαν εἶναι τὴν ἀποδημίαν αὐτοῦ· ἢ τετυπωμένην, ἀντὶ τοῦ, ἐνσεσημασμένην, ὑπογεγραμμένην· τὸ δὲ, ἤτοι παράθεσιν, ἀντὶ τοῦ, παρατιθεῖσαν αὐτὸν τοῖς πρὸς οὓς ἄπεισιν, ἤγουν γνωρίζουσαν, ἀξιοῦσαν περὶ αὐτοῦ, παριστῶσαν αὐτόν.

ΒΑΛΣ. Περὶ τοῦ πῶς ὀφείλουσιν ἀποδημεῖν οἱ ἐπίσκοποι ἐκ τῶν λαχουσῶν αὐτοῖς ἐκκλησιῶν, εἴρηται ἐν τῷ ιδ'. ιε'. καὶ λγ'. ἀποστολικῷ κανόνι, ἐν ζ'. η'. καὶ ια'. τῆς ἐν Ἀντιοχείᾳ, ἐν μα'. καὶ μβ'. τῆς ἐν Λαοδικείᾳ, ἐν ιγ'. τῆς ἐν Χαλκηδόνι, ἐν ε'. ις'. καὶ ιζ'. τῆς ἐν Σαρδικῇ, καὶ ἀρκοῦσι τὰ ἐν ἐκείνοις γραφέντα. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μετὰ

ψηφίσματος, ἤτοι διαγνώσεως τοῦ πρώτου, δηλονότι τοῦ μητροπολίτου, ὀφείλειν ἀποδημεῖν τὸν ἐπίσκοπον, μὴ εἴπῃς ἀρκεῖν τὴν διάγνωσιν τούτου καὶ μόνην, ἀλλ' ἀναγκαίαν μὲν εἶναι τὴν γνώμην εἰς τοῦτο καὶ πάσης τῆς κατ' αὐτὸν συνόδου, κατὰ τὸν ιά· κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου· διὰ γὰρ τοῦτο πρόσκειται τῷ κανόνι, τὸ ἀναγκαίαν μὲν εἶναι καὶ τὴν τῶν λοιπῶν ἐπισκόπων ψῆφον, κατ' ἐξαίρετον δὲ τοῦ πρωτεύοντος. Τετυπωμένη δὲ ἐκλήθη ἡ ἀπολυτικὴ ἐπιστολὴ, ἢ ὡς ὑποτυποῦσα τὴν ἀναγκαίαν αἰτίαν τῆς ἀποδημίας τοῦ ἐπισκόπου, ἢ ὡς ὀφείλουσα ἔχειν σημασίαν καὶ ὑπογραφὴν τοῦ πρωτεύοντος τῆς συνόδου· ἡ αὐτὴ δὲ ὠνομάσθη καὶ παράθεσις, ὡς παρατιθεῖσα τὸν ἀποδημήσαντα ἐπίσκοπον τοῖς πρὸς οὓς ἄπεισιν, ἤγουν γνωρίζουσα τὰ κατὰ τοῦτον καὶ παριστῶσα.

ΑΡΙΣΤ. Ἐπίσκοπος οὐκ ἀποδημήσει πέραν θαλάσσης, εἰ μὴ τοῦ πρωτεύοντος τῆς χώρας ἀπολυτικὴν λάβῃ παράθεσιν.

Οὔτε ἐπίσκοπος, οὔτε κληρικὸς, μακρὰν ἀποδημεῖν ὀφείλει, ἄνευ γνώμης καὶ γραμμάτων τοῦ πρωτεύοντος ἐν αὐτῇ· καθὼς καὶ τῇ ἐν Σαρδικῇ συνόδῳ καὶ τῇ ἐν Λαοδικείᾳ δοκεῖ.

## Κανὼν ΚΔ'. (ΛΒ'.)

*Ὥστε ἐκτὸς τῶν κανονικῶν Γραφῶν μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι.*

Ὁμοίως ἤρεσεν, ἵνα ἐκτὸς τῶν κανονικῶν Γραφῶν, μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκηται ἐπ' ὀνόματι θείων Γραφῶν. Εἰσὶ δὲ αἱ κανονικαὶ Γραφαὶ αὗται· Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοί, Δευτερονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, Κριταὶ, Ῥοὺθ, τῶν Βασιλειῶν βίβλοι τέσσαρες, τῶν Παραλειπομένων βίβλοι δύο, Ἰὼβ, Ψαλτήριον, Σολομῶντος βίβλοι πέντε (1), τῶν Προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδὴθ, Ἐσθὴρ, Ἔσδρα βίβλοι δύο· τῆς Νέας Διαθήκης· Εὐαγγέλια τέσσαρα, Πράξεων τῶν Ἀποστόλων βίβλος μία, ἐπιστολαὶ Παύλου δεκατέσσαρες, Πέτρου Ἀποστόλου δύο,

(1) Βίβλοι δ'. Π.

Ἰωάννου Ἀποστόλου τρεῖς, Ἰακώβου Ἀποστόλου μία, Ἰούδα Ἀποστόλου μία, Ἀποκαλύψεως Ἰωάννου βίβλος μία. Τοῦτο δὲ τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονιφατίῳ, καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις, πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνωρισθῇ, ἐπειδὴ παρὰ τῶν Πατέρων ἐν τῇ ἐκκλησίᾳ ταῦτα ἀναγνωστέα παρελάβομεν (1).

---

ΖΩΝΑΡ. Περὶ τοῦ, τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία ἐπ' ἐκκλησίας, καὶ ὁ τελευταῖος τῶν ἀποστολικῶν κανόνων διαλαμβάνει, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ συνόδου νθ'. κανὼν, καὶ ὁ μέγας Ἀθανάσιος ἀπαριθμεῖται ὅσα χρὴ ἀναγινώσκεσθαι βιβλία, καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος, καὶ ὁ ἅγιος Ἀμφιλόχιος.

ΒΑΛΣ. Περὶ τοῦ, τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία ἐπ' ἐκκλησίας, ζήτει τῶν ἁγίων Ἀποστόλων κανόνα ξ'. καὶ πέ, τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα ξ', τὰ ἔμμετρα τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, καὶ τὰ κανονικὰ τοῦ ἁγίου Ἀθανασίου, καὶ τοῦ ἁγίου Ἀμφιλοχίου.

ΑΡΙΣΤ. Μηδὲν ἔξω τῶν κεκανονισμένων Γραφῶν ἐν ἐκκλησίᾳ ἀναγινωσκέσθω.

Παρὰ τὰ κεκανονισμένα βιβλία τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ἕτερα ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία ἐπ' ἐκκλησίας, ὡς ἅγια, οὐκ ἀναγνωσθήσονται· ἀλλ' ὁ τοῦτο ποιῶν κληρικὸς καθαιρεθήσεται· ὡς καὶ ὁ ξ'. κανὼν τῶν ἁγίων Ἀποστόλων διαλαμβάνει, καὶ ἕτεροι πολλοί.

## Κανὼν ΚΕ'. (ΛΓ'.)

*Περὶ ἐπισκόπων καὶ τῶν ἑπομένων τάξεων τῶν τὰ ἅγια μυστήρια ψηλαφωσῶν, ἤρεσεν ἀπὸ γυναικῶν ἐγκρατεύεσθαι.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Προστίθημι, ἀδελφοὶ τιμιώτατοι, πρὸς τούτοις(2), ἐν τῷ ἀναφέρεσθαι ἕνεκεν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας γυναῖκάς τινων τῶν κληρικῶν,

---

(1) τὰ ἀπὸ τοῦ, τοῦτο δὲ τῷ ἀδελφῷ, οὐ κεῖται ἐν Π. — (2) προσεπιτεύτοις Σ. Ρ. Χ. Τρ.

ἐξαιρέτως ἀναγνωστῶν, τὸ ἐν διαφόροις συνόδοις βεβαιωθὲν, ὥστε (1) τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους, καὶ πρεσβυτέρους, ἀλλὰ καὶ ἐπισκόπους (2), κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα ὡς μὴ ἔχοντες ὦσιν· ὅπερ εἰ μὴ ποιήσωσι, τοῦ ἐκκλησιαστικοῦ ἀποκινηθῶσι καθήκοντος· τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰμὴ ἐν προβεβηκυίᾳ κείρᾳ. Ἀπὸ πάσης ἐλέχθη τῆς συνόδου· Ἅπερ ἡ ὑμετέρα ἁγιωσύνη δικαίως ἐῤῥύθμισεν, ἱεροπρεπῆ ὄντα καὶ θεάρεστα, βεβαιοῦμεν.

---

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τοῦ ἐγκρατεύεσθαι τοὺς ψηλαφῶντας τὰ ἅγια ἐκ τῶν γυναικῶν αὐτῶν διατάττεται· καί φησι, τοὺς ὑποδιακόνους, καὶ διακόνους, καὶ πρεσβυτέρους ἀπέχεσθαι τῶν ἰδίων γαμετῶν, ψηλαφῶντας τὰ θεῖα μυστήρια· καὶ τὰ ἀποστολικὰ ῥήματα παράγει, λέγων, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν(3), ἤγουν καθ' ὃν καιρὸν μεταχειρίζονται τὰ ἅγια· ἐὰν δὲ μὴ οὕτω ποιῶσι, φησὶν, ἀποκινηθήσονται τῆς ἐκκλησιαστικῆς τάξεως· καθῆκον γὰρ ἐνταῦθα τὴν τάξιν καὶ τὴν τιμὴν φησί. Τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰμὴ ἐν προβεβηκυίᾳ κείρᾳ, εἰ μὴ πάνυ εἶεν προβεβηκότες ἐν ἡλικίᾳ, κείρα γὰρ ἡλικία ἐστι, τουτέστιν, εἰ μὴ πάνυ εἶεν γεγηρακότες· τοὺς γὰρ ἐν γήρᾳ βαθεῖ καταντήσαντας δεῖ σωφρονεῖν· μᾶλλον δὲ, κατὰ τὸν μέγαν Βασίλειον, οὐδὲ σωφροσύνη ἂν λεχθείη τῶν γερόντων ἡ ἀποχή· φησὶ γὰρ ἐκεῖνος, ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία· ὃς δὲ οὐδὲ ἐν γήρᾳ σωφρονεῖ, οὗτος λίαν ἀκόλαστος· κληρικὸν δὲ τοιοῦτον εἶναι οὐ δεῖ. Εἰ μὲν οὕτω νοοῖτο ὁ κανὼν οὗτος, ὥστε κατὰ τὸν καιρὸν τῆς μεταχειρίσεως τῶν ἁγίων ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν τοὺς ἱερωμένους, ἐνεργήσει καὶ παρ' ἡμῖν· εἰ δὲ τελείως χωρίζεσθαι λέγει τῶν ἰδίων συμβίων αὐτοὺς, χωρι-

---

(1) ἐν Π. ὁ Καν. ἄρχεται ἀπὸ τοῦ, Ὥστε τοὺς ὑποδιακόνους. —(2) καὶ ἐπισκόπους, οὐ κεῖται ἐν Χ. Τρ. — (3) α', Κορ. Ζ', 29.

σθήσεται τῶν ἱερῶν κανόνων, ἀποστολικοῖς τε καὶ συνοδικοῖς κανόσιν ἐναντιούμενος. Ἐναντιοῦται δὲ καὶ κατ' ἄλλο κανόνι ἑτέρῳ· ὁ γὰρ κά. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῷ διακονικῷ κελεύει, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν· οὗτος δὲ καὶ τοὺς ὑποδιακόνους ἐκ τῶν τὰ ἱερὰ ψηλαφώντων εἶναι φησίν· εἴποι οὖν τις, ὅτι ἐν τοῖς τόποις ἐκείνοις, τῇ Ἀφρικῇ δηλονότι καὶ τῇ Καρχηδόνι, ἔθος τοιοῦτον ἦν ἴσως, ὥστε καὶ τοὺς ὑποδιακόνους ἅπτεσθαι τῶν ἱερῶν μυστηρίων.

ΒΑΛΣ. Τὰ εἰς τὸν δ'. κανόνα τῆς παρούσης συνόδου γραφέντα, τὸν διοριζόμενον ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν τοὺς πρεσβυτέρους, τοὺς διακόνους, καὶ τοὺς ὑποδιακόνους, πάντως κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, ἤγουν καθ' οὓς καιροὺς μεταχειρίζονται τὰ ἅγια, ἀρκοῦσι καὶ εἰς τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν. Τοῖς μέντοι ἀναγνώσταις ἐνέδωκαν οἱ Πατέρες μὴ ἐγκρατεύεσθαι ἐκ τῶν συμβίων αὐτῶν πάντως κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας, εἰ μήπω, φασίν, ὦσι προβεβηκότες· τοῦτο γάρ ἐστιν ἡ χείρα, τουτέστιν ἡ ἡλικία. Σημείωσαι οὖν, ὅτι καὶ οἱ ὑποδιάκονοι τὰ ἅγια μεταχειρίζονται· καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι τὸν παρόντα κανόνα τῷ κα'. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου, διοριζομένῳ τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῷ διακονικῷ, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν, ἀλλ' εἰπὲ, ὅτι ἕτερόν ἐστι τὸ ψηλαφᾷν, καὶ ἕτερον τὸ ἅπτεσθαι· τὸ μὲν γὰρ ψηλαφᾷν, ἤγουν τὸ μετακινεῖν ἀπὸ τόπου εἰς τόπον, ὑπηρεσία ἐστὶ, καὶ οὐδὲ ὁ διάκονος τοῦτο ποιεῖν ἐμποδισθήσεται· τὸ δὲ ἅπτεσθαι, μόνοις ἐνεδόθη τοῖς ἱερεῦσι καὶ τοῖς ὑπουργοῦσιν ἐν τῇ θυσίᾳ, ἤγουν τοῖς διακόνοις. Ὀφείλουσι δὲ κατὰ τὸν παρόντα κανόνα, οὐ μόνον οἱ ἁπτόμενοι τῶν ἱερῶν, ἀλλὰ καὶ οἱ ψηλαφῶντες αὐτὰ, ἐγκρατεύεσθαι κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας. Τὸ δὲ ἀπέχεσθαι ἀπὸ τῶν ἰδίων γυναικῶν τοὺς ἔξω τοῦ βήματος κληρικοὺς ἐν προβεβηκυίᾳ ἡλικίᾳ, καλὸν μὲν ἐστί· κολάζεσθαι δὲ τούτους ὑπὸ τῆς φύσεως ἀναγκαζομένους, οὐκ ἔστι τῆς τῶν ἁγίων Πατέρων, ὡς οἴομαι, διακρίσεως· καὶ διὰ τοῦτο, ὡς ἔοικεν, οὐδὲ ὁ κανὼν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

διορίζεται τιμωρεῖσθαι τούτους. Ἀνάγνωθι τῆς παρούσης συνόδου κανόνα γ'. καὶ τῆς ς'. κανόνα ιϐ'. καὶ ιγ'.

ΑΡΙΣΤ. Οἱ τὰ ἱερὰ χειριζόμενοι, καὶ ἀπὸ τῶν συμϐίων κατὰ τοὺς ἰδίους ὅρους ἐγκρατευέσθωσαν.

Χρὴ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρίσεως, καὶ ἀπὸ τῶν ἰδίων γυναικῶν ἐγκρατεύεσθαι, ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ Θεοῦ αἰτοῦσιν ἁπλῶς ἐπιτυχεῖν.

## Κανὼν Κς'. (ΛΔ'.)

*Ὥστε μὴ ὑπό τινος διασπᾶσθαι τὰ τῆς ἐκκλησίας πράγματα.*

Ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησιαστικὸν μηδεὶς πιπράσκῃ. Ὅπερ πρᾶγμα, ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγῃ ἀνάγκη, τοῦτο ἐμφανίζεσθαι τῷ πρωτεύοντι τῆς αὐτῆς ἐπαρχίας(1), καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. Εἰ δὲ τοσαύτη ἐπείγοι ἀνάγκη τῆς ἐκκλησίας, ὡς μὴ δύνασθαι πρὸ τοῦ πωλεῖν βουλεύεσθαι, κἂν (2) τοὺς γειτνιῶντας πρὸς μαρτυρίαν καλέσῃ ὁ ἐπίσκοπος, φροντίδα ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμϐάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις· ὅπερ εἰ μὴ ποιήσει, ὑπεύθυνος τῷ Θεῷ καὶ τῇ συνόδῳ φανῇ ὁ πιπράσκων (3), καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς.

---

ΖΩΝΑΡ. Τὰ ἐκκλησιαστικὰ πράγματα ἀνεκποίητα εἶναι δεῖ· ἐὰν δὲ πολλή τις ἀνάγκη κατεπείγῃ, καὶ τὸ μέλλον δι' ἐκείνην ἐκποιεῖσθαι ἀπρόσοδον ᾖ, χρὴ ταῦτα, τὸ εἶναί τε ἀπρόσοδον τὸ πρᾶγμα, καὶ τὸ κατεπείγεσθαι ὑπὸ ἀνάγκης πολλῆς, ἐμφανίζειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, δηλαδὴ τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι· ὡρισμένον δὲ, οἶμαι, ἀριθμὸν, τοὺς ιϐ'. λέγει, οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ ἐπι-

---

(1) τῷ πρωτεύοντι τῆς ἐκκλησίας Χ. Τρ. — (2) καὶ τοὺς γειτνιῶντας Ἰουστ. Κ. — (3) ὁ πιπράσκων, οὐ κεῖται παρὰ Κ. καὶ Π.

σκόπων αἰτιαμάτων. Εἰ δὲ σφοδρά τις εἴη ἀνάγκη, ὡς μὴ δυνατὸν εἶναι προσελθεῖν τὸν ἐπίσκοπον τῷ μητροπολίτῃ, καὶ τοῖς ἐπισκόποις βουλεύσασθαι, τότε χρὴ τὸν ἐπίσκοπον κἂν τοὺς γείτονας ἐπισκόπους εἰς μαρτυρίαν καλέσαι τῆς τε ὀξύτητος τῆς ἀνάγκης, καὶ περιστάσεως, καὶ ἐκποιήσεως τοῦ πράγματος· εἰ δὲ μὴ οὕτω ποιήσει, ὑπεύθυνος ἔσται τῷ Θεῷ, τουτέστι, καὶ τῷ Θεῷ ὑφέξει λόγους, καὶ ὑπὸ τῆς συνόδου ἀλλοτριωθήσεται τῆς οἰκείας τιμῆς, ἤτοι τῆς ἀρχιερατικῆς. Καὶ ὁ μέγας δὲ Κύριλλος, ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ αὐτοῦ, φησί· Κειμήλια καὶ κτήσεις ἀκινήτους, ἀνεκποίητα ταῖς ἐκκλησίαις σώζεσθαι χρή. Ἀνάγνωθι καὶ τὸν ιϐʹ. κανόνα τῆς οἰκουμενικῆς ζʹ. συνόδου.

ΒΑΛΣ. Ὁ δωδέκατος κανὼν τῆς οἰκουμενικῆς ἑϐδόμης συνόδου, περὶ ἐκποιήσεως αὐτουργίων ἐπισκοπείου ἢ μοναστηρίου διαλαμϐάνει, ἀλλὰ μὴν καὶ περὶ ἐκδόσεως· καὶ ἀνάγνωθι τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. Ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ πιπράσκεσθαι πρᾶγμα ἐκκλησιαστικὸν πρόσοδον ἔχον, καὶ ὂν δηλονότι ἀκίνητον. Ἐὰν δέ, φησιν, ἀνάγκη κατεπείγῃ πολλὴ τὴν ἐκκλησίαν, καὶ διὰ τοῦτο δεήσῃ ἐκποιηθῆναι ἀκίνητον ἐκκλησιαστικὸν πάντως ἀπρόσοδον, (τὸ γὰρ ἔχον πρόσοδον ὁπωσδήποτε οὐκ ἐκποιεῖται,) χρὴ τὰ περὶ τούτου ἀναφέρειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, ἤγουν τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων, ἤγουν τῶν δώδεκα ἀρχιερέων, οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ τοῦ ἐπισκόπου αἰτιαμάτων, καθὼς πολλάκις εἴρηται, βουλεύεσθαι τί δεῖ πρᾶξαι. Εἰ δὲ μεγάλη ἀνάγκη βιάζει τὴν ἐκκλησίαν εἰς τὴν ἐκποίησιν, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὰ περὶ τούτου ἀναφέρειν τῷ μητροπολίτῃ καὶ τοῖς προσφόροις ἐπισκόποις, ὀφείλει μετακαλεῖσθαι τοὺς γειτνιάζοντας ἐπισκόπους εἰς μαρτυρίαν τῆς τε ὀξύτητος τῆς ἀνάγκης, καὶ τῆς περιστατικῆς ἐκποιήσεως τοῦ πράγματος· εἰ δὲ μὴ οὕτω ποιήσει, καὶ τῷ Θεῷ ὑπεύθυνος ἔσται, καὶ καθαιρεθήσεται. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸν ὅλον ϐʹ. τίτλον τοῦ εʹ. βιϐλίου τῶν βασιλικῶν, νεαρὰν ὄντα Ἰουστινιάνειαν ρκʹ, καὶ διδάσκοντα περὶ ἐμφυ-

τεύσεως, πράσεως, καὶ ἁπλῶς περὶ πάσης ἐκποιήσεως, οὐ μόνον ἐκκλησιαστικῶν, ἀλλὰ καὶ ἐπισκοπικῶν πραγμάτων, καὶ μοναστηριακῶν, καὶ τῶν ἀνηκόντων εὐαγέσιν οἴκοις, ὡσαύτως καὶ περὶ ἐκποιήσεως (1) ἱερῶν σκευῶν. Καὶ κατὰ τὴν τοιαύτην νεαρὰν, μεταγενεστέραν οὖσαν κατὰ πολὺ τοῦ παρόντος κανόνος, ἀλλὰ καὶ μετὰ τὴν σύνθεσιν τοῦ νομοκανόνου δεχθεῖσαν καὶ καταστρωθεῖσαν εἰς τὰ βασιλικὰ, λέγε, ποτὲ μὲν μὴ κωλύεσθαι τὰς ἐκποιήσεις τῶν ἐκκλησιαστικῶν καὶ μοναστηριακῶν κινητῶν καὶ ἀκινήτων πραγμάτων, ποτὲ δὲ ἐμποδίζεσθαι· καὶ ἀνάγνωθι καὶ τὸ β΄. κεφάλαιον τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὰ συνοδικῶς γινόμενα σημειώματα, χάριν ἐκκλησιαστικῶν τινων ὑποθέσεων, καὶ δεκρέτου τόπον ἐπέχοντα, ἐξ ἀνάγκης ὀφείλουσι γίνεσθαι παρὰ τοῦ κατὰ χώραν πρώτου καὶ ιβ΄. ἀρχιερέων, καὶ τὰ ἄλλως πως γινόμενα, ὡς ἀνυπόστατα, οὐχ ἕξουσι τὸ ἐνεργὸν, ὡς ἐμοὶ δοκεῖ. Ἔτι σημείωσαι, ὅτι καθαιρεῖται ὁ ἐπίσκοπος, μὴ κατὰ τὴν ῥηθεῖσαν Ἰουστινιάνειον νεαρὰν ἐκποιούμενος ἐκκλησιαστικὸν ἱερὸν, ἢ ἀκίνητον, κἂν τοῦτο οὐ πρόσκειται τῇ ῥηθείσῃ νεαρᾷ. Ἱεροσυλία γὰρ ἄντικρύς ἐστιν ἡ μὴ κατὰ τὴν νεαρὰν γινομένη ἐκποίησις.

ΑΡΙΣΤ. Ἄπρατα τὰ ἐκκλησιαστικὰ πράγματα· εἰ δὲ μὴ πρόσοδον ἔχει, γνώμῃ τῶν ἐπισκόπων πιπράσκεται. Εἰ δὲ ἡ ἀνάγκη οὐχ ὑπομένει βουλεύσασθαι, τοὺς γείτονας ὁ πιπράσκων συγκαλέσει· εἰ δ' οὐχ οὕτω, Θεῷ καὶ τῇ συνόδῳ ὑπεύθυνος.

Οὐκ ὀφείλουσιν οἱ ἐπίσκοποι τὰ τῶν ἐκκλησιῶν ἐκποιεῖσθαι πράγματα· θείου γάρ εἰσι ταῦτα δικαίου, καὶ διὰ τοῦτο ἄπρατα. Εἰ δέ τις κτῆμα ἔχων ἀπρόσοδον, καὶ τὴν ἐκκλησίαν αὐτοῦ βαρυνομένην χρέεσιν, ἢ περιστάσεσιν ἄλλαις πιεζομένην, καὶ βουληθῇ τοῦτο διαπράσαι, ὥστε τὴν τιμὴν αὐτοῦ καταβαλεῖν εἰς ἀπόφλησιν τῶν χρεῶν, ἢ εἰς ἄλλας τινὰς κατεπειγούσας ἀνάγκας, μὴ τοῦτο πωλείσθω ἄνευ

(1) οὐ μόνον . . . περὶ ἐκποιήσεως, οὐ κεῖται παρὰ Ἑ. εἰ μὴ λατινιστί· παρὰ δὲ Βευερ. οὕτως· οὐ μόνον ἐπισκοπικῶν ἤτοι ἐκκλησιαστικῶν πραγμάτων, ἀλλὰ καὶ μοναστηριακῶν.

γνώμης τοῦ μητροπολίτου τῆς αὐτῆς ἐπαρχίας, καὶ τῶν συνεπισκόπων αὐτοῦ. Εἰ δ' οὐκ ἔχει καιρὸν, διὰ τὴν ἐπικειμένην αὐτῷ ἀνάγκην, τούτοις περὶ τοῦ ἀπροσόδου ἀκινήτου βουλεύσασθαι, ὡς μέλλει τοῦτο πωλῆσαι, κἂν τοὺς γείτονας συγκαλείτω εἰς μαρτυρίαν, ἵνα τὰς ἐπισυμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις, δι' ἃς τὸ τοιοῦτο πωλεῖ ἀκίνητον, ἐπιγινώσκωσι, καὶ τῇ συνόδῳ ταῦτα καὶ μετέπειτα παραστήσωσι. Εἰ δὲ οὐ ταῦτα φυλάξει, ἀλλ' αὐτοβούλως ποιήσεται τὴν διάπρασιν, καὶ τῷ Θεῷ, καὶ τῇ συνόδῳ ἔςαι ὑπεύθυνος, καὶ ἀλλότριος τῆς τιμῆς.

## Κανὼν ΚΖ'. (ΛΕ'.)

*Πρεσβύτεροι, καὶ διάκονοι, ἐπὶ βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθέντες, χειροθεσίαν, ὡς λαϊκοὶ, μηδαμῶς ὑποδέξωνται.*

**Ὁμοίως ἐβεβαιώθη, ὡς, ἐάν ποτε πρεσβύτεροι, ἢ διάκονοι, ἐπί τινι βαρυτέρᾳ ἁμαρτίᾳ (1) ἐλεγχθῶσι, τῇ ἀναγκαίως αὐτοὺς τῆς λειτουργίας ἀποκινούσῃ, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετανοοῦσιν, ἢ ὡς πιστοῖς λαϊκοῖς· μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς, ὥστε ἀναβαπτιζομένους πρὸς τὸν τοῦ κλήρου βαθμὸν προκόπτειν.**

---

ΖΩΝΑΡ. Οἱ διά τινα ἁμαρτήματα καθαιρούμενοι, καὶ τῶν οἰκείων βαθμῶν ἐκπίπτοντες, οὐκ ἀφορίζονται, εἰ μὴ ἐπί τινων εἰδικῶν ἁμαρτημάτων· ἀρκεῖ γὰρ αὐτοῖς ἡ καθαίρεσις ἀντὶ πάσης ἄλλης τιμωρίας. Φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν λϛ'. κανόνι αὐτοῦ· Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ, τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται· Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ ταυτό. Τοῦτο οὖν καὶ ὁ παρὼν λέγει κανών· ἐὰν γὰρ πρεσβύτερος ἢ διάκονός, φησιν, ἐν βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθῇ, ἐξ ἀνάγκης καθαιροῦντι αὐτὸν, οὐ χρὴ ἀφορίζεσθαι αὐτὸν, καὶ ὡς μετανοοῦντι αὐτῷ ἐπιτίθεσθαι χεῖρας· τοῖς γὰρ προσερχομένοις τῇ ἐκκλησίᾳ, καὶ ἐξαγο-

1) ἐγκλήματι Βευερ. — ἁμαρτήματι Χ. Τρ.

ρεύουσιν ἁμαρτήματα, ἐπετίθουν τὰς χεῖρας οἱ ἀρχιερεῖς, ἢ κατὰ γνώμην αὐτῶν οἱ ἱερεῖς, καὶ εὐχόμενοι ἀφώριζον αὐτοὺς, καὶ ἵστων ἕκαστον εἰς τόπον ἐπιτιμίου πρὸς τὸ ἁμάρτημα αὐτοῦ· τοῦτο οὖν οὐ χρὴ, φησι, γίνεσθαι ἐπὶ πρεσβυτέρων καὶ διακόνων ἐκπιπτόντων τῆς λειτουργίας, μηδὲ εἰς τόπον καθίστασθαι αὐτοὺς πιστῶν λαϊκῶν ἀφορισθέντων, μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς βαπτίζεσθαι, ὡς τοῦ θείου βαπτίσματος ἅπαντα μολυσμὸν καθαίρειν πιστευομένου, ὥστε αὖθις μετὰ τὸ βάπτισμα, ὡς τοῦ ῥύπου τῆς ἁμαρτίας κεκαθαρμένους, προκόπτειν εἰς τὸν τοῦ κλήρου βαθμόν. Ἐκπλύνειν μὲν γὰρ τὸ θεῖον λουτρὸν ἅπαντα ῥύπον ἁμαρτιῶν πιστεύομεν, ἓν δὲ βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται.

ΒΑΛΣ. Τινὲς τῶν τοῦ βήματος, καθαιρεθέντες διά τινα ἐγκληματικὰ αἰτιάματα, ἤθελον, ὡς ἔοικεν, εἰς ἀναγνώστας ταχθῆναι, ἢ εἰς ἑτέρους βαθμοὺς ἔξω τοῦ βήματος ὄντας, καὶ ἔλεγον, ὡς, ἐπεὶ μετανοοῦμεν, καὶ εἰς τόπον κατηντήσαμεν λαϊκῶν, ὀφείλομεν κἂν εἰς βαθμοὺς τοιούτους προκόπτειν, εἰς οἵους καὶ οἱ λαϊκοὶ προκόπτουσι. Τοῦτο οὖν μὴ δεξάμενοι οἱ Πατέρες, ὥρισαν τοῖς καθαιρεθεῖσι μὴ ἐπιτίθεσθαι παρὰ τῶν ἀρχιερέων χεῖρας χάριν οἱασδήτινος κληρώσεως, κἂν μετανοῶσι, καὶ ὡς πιστοὶ λαϊκοὶ δέχωνται. Ἐπεὶ δὲ ἔλεγόν τινες, ὡς τὸ βάπτισμα ῥύπον πάντα ἐκπλύνει, καὶ ἐζήτουν ἐκ δευτέρου βαπτισθῆναι, ὥστε ἀποπλυθῆναι τάχα τὴν ἐγκληματικὴν ἀκαθαρσίαν, δι' ἣν καθῃρέθησαν, καὶ οὕτω κληρωθῆναι, ὥρισαν οἱ Πατέρες, μηδὲ τοῦτο γίνεσθαι, ὅτι ἓν βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται. Ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, ὅτι οἱ μετὰ τὴν καθαίρεσιν ἀναγινώσκοντες ἐπ' ἄμβωνος, ἢ εὐχὰς διδόντες καὶ εὐλογητὸν, κακῶς ποιοῦσιν.

ΑΡΙΣΤ. Πρεσβύτερος ἐλεγχόμενος καὶ μεταγινώσκων, οὐκ ἀναβαπτίζεται ὡς προκόψων· οὐδ' ὡς λαϊκὸς αὖθις χειροτονεῖται.

Ἅπαξ πρεσβύτερος καθαιρεθεὶς, ἢ διάκονος, διά τι ἁμάρτημα, καὶ μεταγνοὺς ἐπ' αὐτῷ, οὐκέτι ὡς λαϊκὸς πάλιν χειροτονηθήσεται, ἀλλ' οὐδὲ ἀναβαπτισθήσεται, ἐπὶ τῷ ἀπο-

πλῦναι τὰ ἁμαρτήματα, καὶ τοῦ βαθμοῦ τῶν ἱερέων ἢ τῶν διακόνων αὖθις τυχεῖν· ἓν γὰρ ὁμολογοῦμεν καὶ γινώσκομεν βάπτισμα.

## Κανὼν ΚΗ'. (Λϛ'.)

*Πρεσβύτεροι, καὶ διάκονοι, καὶ κληρικοί, οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔκκλητον παρέχοντες ἐπὶ τὰ πέραν τῆς θαλάσσης, εἰς κοινωνίαν* (1) *μηδαμῶς δεχθῶσι.*

Ὁμοίως ἤρεσεν, ἵνα οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοί, ἐν αἷς ἔχουσιν αἰτίαις, ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν ἰδίων ἐπισκόπων, οἱ γείτονες ἐπίσκοποι ἀκροάσωνται αὐτῶν, καὶ μετὰ συναινέσεως (2) τοῦ ἰδίου ἐπισκόπου, τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι παρ' αὐτῶν(3) ἐπίσκοποι. Διό, εἰ καὶ περὶ αὐτῶν ἔκκλητον παρέχειν νομίσωσι, μὴ ἐκκαλέσωνται εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἀλλὰ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων ἐπαρχιῶν, ὡς καὶ περὶ τῶν ἐπισκόπων πολλάκις ὥρισται. Οἱ δὲ πρὸς περαματικὰ δικαστήρια διεκκαλούμενοι, παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν.

---

**ΖΩΝΑΡ.** Τοὺς κληρικοὺς ὑπόθεσιν ἔχοντας, οἱ κανόνες παρὰ τοῖς ἐπισκόποις αὐτῶν δικάζεσθαι διωρίσαντο. Εἰ γοῦν κληρικοὶ παρὰ τῷ οἰκείῳ ἐπισκόπῳ δικασάμενοι αἰτιῶνται τὴν ἀπόφασιν αὐτοῦ, τοὺς γείτονας ἐπισκόπους χρὴ συγκαλεῖσθαι, καὶ ἀκροᾶσθαι τῆς ὑποθέσεως ἐκείνους, μετὰ συναινέσεως καὶ τοῦ κρίναντος ἐπισκόπου. Εἰ δὲ καὶ κατὰ τῆς ψήφου τῶν προσκληθέντων ἐπισκόπων ἔκκλητον αἰτοῦσι, πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας δεῖ ἀπιέναι, ὅπερ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρίσθη. Εἰ δὲ πέραν τῆς θαλάσσης, ἤτοι εἰς ἄλλας ἐπαρχίας πόῤῥω κειμένας ἀπίοιεν οἱ ζητοῦντες τὴν ἔκκλητον, ἵνα ἐκεῖ ταύτην γυμνάσωσιν, ἀφωρισμένοι, φησίν, ἔστωσαν, ἐν Ἀφρικῇ πρὸς κοινωνίαν μὴ δεχόμενοι. Ἐντεῦθεν ὁ τῦφος τῆς τῶν Ῥωμαίων ἐκκλησίας καταβάλλεται,

---

(1) Σ. Ρ. — ἐκ κοινωνίας Ἰουστ. Κ. — (2) συναιρέσεως Ἰουστ. — (3) δι' αὐτῶν Ἰουστ. Χ, Τρ. Κ.

αὐχούντων αὐτοῖς δεδόσθαι πάσας τὰς ἐκκλήτους τηρεῖν. Εἰ γὰρ τὰς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ οὐ συγχωροῦνται τηρεῖν, καὶ ἡ Ῥώμη γὰρ πέραν θαλάσσης διάκειται πρὸς τὴν Ἀφρικὴν, πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξουσι τοιοῦτον δίκαιον.

ΒΑΛΣ. Εἰς τὸν ιε. κανόνα τῆς παρούσης συνόδου ἀρκούντως ἐγράψαμεν περὶ δικαστηρίων ἐκκλησιαστικῶν· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα. Ὁ δὲ παρὼν κανών φησιν, ὡς, ἐπεὶ τῶν εἰκότων ἐστί τινας κληρικοὺς ἀπαρέσκεσθαι ἐπὶ ταῖς κρίσεσι τῶν ἰδίων ἐπισκόπων, δέον ἐστὶ μετὰ θελήσεως τούτων μετακαλεῖσθαι αὐτοὺς γειτνιάζοντας ἐπισκόπους πάντως ἀρκοῦντας, καὶ ἀξιοῦν παρὰ τούτων λυθῆναι τὴν κατ' αὐτῶν ἀπόφασιν. Εἰ δέ, φησι, καὶ κατὰ τῆς ἀποφάσεως τούτων τῶν γειτνιαζόντων ἀπαρέσκονται, οὐκ ὀφείλουσιν ἐκκαλεῖσθαι εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἤγουν εἰς μητροπολίτας ἑτέρων ἐπαρχιῶν, ἀλλ' εἰς τὸν πρῶτον τῆς προσφόρου ἐπαρχίας· τοῦτο γὰρ καὶ εἰς τὰ δικαστήρια τῶν ἐπισκόπων προωρίσθη· οἱ δὲ παρὰ ταῦτα ποιοῦντες, ἀφοριζέσθωσαν. Σημείωσαι οὖν, ὅτι οὐκ ὀφείλουσιν ὑβριοπαθεῖν οἱ ἐπίσκοποι κατὰ τῶν κληρικῶν αὐτῶν ἀπαρεσκομένων ἐπὶ ταῖς ἐκείνων ἀποφάσεσιν, ἀλλὰ μᾶλλον προσδέχεσθαι αὐτοὺς, καὶ συναινεῖν εἰς τὸ παρὰ γειτνιαζόντων ἐπισκόπων τηρηθῆναι τὴν τούτων ἀπόφασιν. Τινὲς δ' ἀκούοντες τοῦ κανόνος λέγοντος, ὡς οἱ γείτονες ἐπίσκοποι ἀκροάσονται αὐτῶν, καὶ μετὰ συναινέσεως τοῦ ἰδίου ἐπισκόπου τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι δι' αὐτῶν ἐπίσκοποι, λέγουσιν ἐπ' ἀδείας ἔχειν τὸν πρώτως δικάσαντα ἐπίσκοπον παρουσιάζειν εἰς τὸ τῶν γειτνιαζόντων ἐπισκόπων δικαστήριον. Ἐμοὶ δὲ οὐ δοκεῖ· ὁ γὰρ ἅπαξ ἀποφηνάμενος πέπαυται τοῦ εἶναι δικαστής· τὸ δὲ, μετὰ συναινέσεως, εἴρηται, ἵνα μὴ κατὰ ἀναισχυντίαν καὶ χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου, τὴν ἔκκλητον ζητῶσιν οἱ κληρικοὶ, ἀλλὰ μετὰ ὁρισμοῦ τούτου. Ἐπειδὴ δὲ οἱ παρόντες κανόνες ἐτέθησαν ἐν Καρθαγένῃ, ἤγουν ἐν Ἀφρικῇ, περαματικὰ πάντως δικαστήρια κληθήσονται τὰ τῆς Ῥώμης· καὶ σημείωσαι ἀπὸ τούτου, ὅτι

μάτην καυχῶνται οἱ περὶ τὴν ἐκκλησίαν τῆς Ῥώμης, λέγοντες πασῶν τῶν ἐκκλησιῶν τὰ ζητήματα ὀφείλειν διευλυτοῦσθαι παρ' αὐτοῖς κατὰ λόγον ἐκκλήτου. Εἰ γὰρ τὰς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ οὐ συγχωρεῖται τηρεῖν, πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξει τὸ τοιοῦτον δίκαιον.

ΑΡΙΣΤ. Κληρικοὶ καταγνωσθέντες, ἂν αἰτιῶνται τὸν διαγνόντα, μὴ πέραν θαλάσσης ἐκκαλείσθωσαν, ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους καὶ τὸν ἴδιον· εἰ δὲ μή, ἐν Ἀφρικῇ ἀκοινώνητοι ἔσονται.

Τὸ εὐπρεπὲς ἐν πᾶσιν οἱ Πατέρες συντηροῦντες, καὶ τὸ μὴ σκύλλεσθαι τοὺς ἐπισκόπους, ὡς ἔτυχεν, ὥρισεν ἡ ἐν Ἀφρικῇ αὕτη σύνοδος, τοὺς ἐπί τισιν αἰτίαις παρὰ τῶν ἰδίων ἐπισκόπων καταδικασθέντας κληρικούς, καὶ οἰομένους ἀδικεῖσθαι, μὴ πέραν θαλάσσης, πρὸς τὸν Ῥώμης τυχὸν ἐπίσκοπον, ἢ τοὺς λοιπούς, ἐκκαλεῖσθαι· ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους, καὶ μετὰ γνώμης τοῦ ἰδίου ἐπισκόπου, τὰ μεταξὺ αὐτῶν τηρεῖσθαι καὶ διαλύεσθαι· εἰ δὲ μή, ἀπροσδέκτους εἶναι εἰς κοινωνίαν ἐν πάσῃ τῇ Ἀφρικῇ.

## Κανὼν ΚΘ'. (ΛΖ'.)

*Εἴ τις ἀπὸ κοινωνίας ὤν, πρὸ τοῦ ἀκουσθῆναι κοινωνῆσαι τολμήσοι, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην προήγαγεν.*

Ὁμοίως ἤρεσε συμπάσῃ τῇ συνόδῳ, ἵνα, ὁ διὰ ῥαθυμίαν αὐτοῦ ἀπὸ κοινωνίας γενόμενος (1), εἴτε ἐπίσκοπος, εἴτε οἱοσδήποτε κληρικός, ἐὰν ἐν τῷ καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ, πρὸ τοῦ ἀκουσθῆναι, εἰς κοινωνίαν τολμήσῃ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐξενηνοχέναι κριθῇ.

—

ΖΩΝΑΡ. Τοὺς ἐπιτιμωμένους, ἤτοι ἀφοριζομένους, χρή, κἂν μὴ δικαίως λέγωσιν ἐπιτιμηθῆναι, ἐμμένειν τῷ ἐπιτιμίῳ,

(1) ὑπὸ κοινωνίας γενόμενος Βευερ.

ἕως ἂν ἀκουσθῶσι παρὰ τοῦ ἔχοντος δίκαιον ἀνακρίνειν τὰ τοιαῦτα. Εἰ δὲ ὁ ἐξ ἐπιτιμίου γενόμενος ἀκοινώνητος τολμήσει εἰς κοινωνίαν ἐλθεῖν πρὸ τοῦ ἐξετασθῆναι, εἰ εὐλόγως γέγονεν ἀκοινώνητος ἢ μὴ, αὐτὸς ἑαυτόν, φησι, κατεδίκασε. Καὶ ὁ ιδ'. δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου περὶ τούτου διαλαμβάνει.

ΒΑΛΣ. Ἀπὸ τοῦ ιδ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, καὶ ἀπὸ τοῦ παρόντος κανόνος, λέγουσί τινες, ὀφείλειν πάντας τοὺς ὁπωσδήποτε παρὰ τῶν ἐπισκόπων ἀφοριζομένους, δέχεσθαι εὐπειθῶς τὸν ἀφορισμὸν, καὶ φυλάττειν αὐτὸν, μέχρις ἂν διαγνωσθῇ, εἰ ἄρα καλῶς εἴτε κακῶς ἐπηνέχθη. Φησὶ γὰρ οὗτος ὁ κανὼν τὸν ἀφορισθέντα κληρικὸν διὰ ῥᾳθυμίαν, ἤτοι ἁμάρτημα, μὴ αὐτεκδίκητον γίνεσθαι, καὶ καταφρονεῖν τοῦ ἀφορισμοῦ πρὸ ἐξετάσεως, εἰ δὲ τοῦτο ποιήσει, καταδίκῃ καθυποβάλλεσθαι. Καὶ πολλοὶ μὲν οὕτω τούτους τοὺς κανόνας ἐκλαμβάνονται. Ἕτεροι δὲ εὑρίσκοντες τὸ ιά. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, λέγον, ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος, ἢ κληρικὸς, ἢ λαϊκὸς, καὶ τὸ ιέ. κεφάλαιον τοῦ αὐτοῦ τίτλου, λέγον, ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ καὶ ἀφορίζεται, καὶ καθαιρεῖται, καὶ τὸ ις'. κεφάλαιον τοῦ αὐτοῦ τίτλου λέγον, ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται, λέγουσιν, ὅτι, ἐὰν μὲν ἐξ αἰτιῶν δηλουμένων ἐν τοῖς διαληφθεῖσι κεφαλαίοις ἀφορισθῇ παρὰ ἐπισκόπου κληρικὸς ἢ λαϊκὸς, ὀφείλει φυλάττειν τὸν ἀφορισμὸν, κἂν ὅπως ἂν καὶ ἐπηνέχθη, καὶ μὴ καταφρονεῖν αὐτοῦ, μέχρις ἂν δοκιμασθῇ ἡ τούτου αἰτία· εἰ δὲ διά τι ἕτερον αἴτιον ἀμετόχως οὕτως ἀφορίσῃ ἐπίσκοπος λαϊκὸν ἢ κληρικὸν, τυχὸν ὅτι οὐ στασιάζει κατὰ τοῦ οἰκείου πραίτορος (1), ὅτι οὐ δίδωσιν αὐτῷ πρᾶγμά τι οἰκεῖον, ἢ ὅτι οὐ συναινεῖ τῷ ἀδίκῳ ἢ τολμηρῷ τούτῳ θελήματι, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας κολασθήσεται. Εἰ γὰρ δοθῇ, εὐκαίρως ἢ ἀκαίρως ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον ἀφορίζειν λαϊκούς τε καὶ κληρικοὺς, καὶ ἔχειν πρὸς ἀνάγκης τοὺς ἀφοριζομένους φυλάττειν τὸν ἀφορισμὸν, κατατολμήσουσι τυραννίδος οἱ ἐπίσκοποι, καὶ παντὸς πράγματος κα-

(1) Χ. Τρ. — πραιτωρείου Ἑ. — πράκτορες Βευερ.

τακυριεύσουσι, καὶ οὐδεὶς ἔσται ὁ ἀντιπίπτων αὐτοῖς διὰ τὸν φόβον τοῦ ἀφορισμοῦ· ἴσως δὲ καὶ τῆς εὐσεβείας αὐτῆς κατορχήσονται, καὶ πολλῶν κακῶν παραίτιοι οἱ θεῖοι κανόνες γενήσονται, ὅπερ ἄτοπον. Ὅρα γάρ μοι καὶ τὸν παρόντα κανόνα λέγοντα, τότε ὀφείλειν τὸν ἀφορισμὸν φυλάττεσθαι, ὅτε διὰ ῥαθυμίαν ἐπενεχθῇ, ἤγουν διὰ ἁμάρτημα ἐπεγνωσμένον πάντως τοῖς κανόσι. Καὶ αὐτοὶ μὲν ταῦτα· ἐγὼ δὲ οὐκ ἔχω τίνι ἐκ τούτων ἀκολουθήσω· κἂν γὰρ ὑπὸ τοῦ εὐλαβοῦς ἕλκωμαι, ἀλλ' ὑπὸ τοῦ ἀκανονίστου μεθέλκομαι. Ζητῶ οὖν μαθεῖν τὸ ποιητέον, ὡς θέλων διὰ βίου παῖς εἶναι καὶ μαθητής. [Σημείωσαι τὸν παρόντα κανόνα διοριζόμενον καθαιρεῖσθαι τοὺς μετὰ τὸν ἀφορισμὸν ἐνεργοῦντάς τι ἱερατικόν. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν ἐνταῦθα γραφέντα] (1).

ΑΡΙΣΤ. Ὁ ἀκοινώνητος κοινωνήσας πρὸ συμπαθείας, αὐτοκατάκριτος.

Ὁ ἀφορισθείς, καὶ πρὸ τοῦ λυθῆναι τοῦ ἀφορισμοῦ λειτουργήσας, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην ἐπήγαγεν.

## Κανὼν Λ'. (ΛΗ'.)

*Περὶ κατηγοροῦντος καὶ κατηγορουμένου.*

**Ὁμοίως ἤρεσεν, ἵνα ὁ κατηγορούμενος ἢ ὁ κατηγορῶν ἐν τῷ τόπῳ, ὅθεν (2) ἐστὶν ὁ κατηγορούμενος, ἐὰν φοβῆταί τινα βίαν (3) προπετοῦς πολυπληθείας, τόπον ἑαυτῷ ἐπιλέξηται ἔγγιστα, ἐν ᾧ οὐκ ἔστιν αὐτῷ δυσχέρεια μάρτυρας προκομίσαι, ἔνθα τὸ πρᾶγμα (4) περατοῦται.**

---

ΖΩΝΑΡ. Κἂν κληρικοί, φησι, δύο κατ' ἀλλήλων ἔχωσι, καὶ ὁ εἷς φοβῆται βίαν, ἐν τῷ τόπῳ (5) ἐν ᾧ συνίσταται τὸ δικαστήριον, ὡς ἴσως ἐπαναστησομένου αὐτῷ τοῦ λαοῦ, προσκειμένου τῷ ἀντιδίκῳ αὐτοῦ, ἢ οὐκ ἐάσοντος αὐτὸν παραγαγεῖν μάρτυρας, ἐνδιδόσθω αὐτῷ ἕτερον ἐπιλέξασθαι τό-

---

(1) τὰ ἀπὸ τοῦ, σημείωσαι οὐ κεῖται παρὰ 'Ε. ἐν δὲ Χ. Τρ. ἐν περισελίδῳ. — (2) Π. 'Ιουστ. Χ. Τρ. 'Ε. Κ. — ἔνθα Βευερ. — (3) φοβῆται ἀτιμίαν 'Ιουστ. Κ. Ε. — (4) αὐτοῦ Σ. 'Ρ. — (5) Χ. Τρ. — τόπῳ, οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. εἰ μὴ λατινιστὶ παρὰ τῷ τελευταίῳ.

πον, ἵνα ἐκεῖ τὸ δικαστήριον γένηται, ἔγγιστα δὲ διακείμεμενον τόπον, καὶ μὴ πάνυ πόῤῥω τυγχάνοντα, ὥστε μήτε τῷ ἀντιδίκῳ αὐτοῦ, μήτε τοῖς δικάζουσιν εἶναι δυσχερῆ τὴν εἰς ἐκεῖνον τὸν τόπον ἀπέλευσιν, ὡς ἂν εὐχερῶς ἐκεῖ μάρτυρες παραστῶσι, καὶ ἡ ὑπόθεσις περατωθῇ. Εἰ γὰρ πόῤῥω διάκειται ὁ τόπος, ἐν ᾧ μέλλει συνίστασθαι τὸ δικαστήριον, καὶ ἡ τῶν μαρτύρων παραγωγὴ δυσχερὴς ἔσται· οὐ γὰρ πεισθήσονται οἱ μάρτυρες ὑπερορίως ἀποδημῆσαι· οὐδενὶ γὰρ ὀφείλει τὸ ἴδιον ὀφφίκιον ἐπιζήμιον γίνεσθαι, ὁ νόμος φησί· τὸ δὲ ὄνομα τοῦ ὀφφικίου Ῥωμαϊκόν ἐστι, σημαῖνον διοίκησιν καὶ ἀξιοπιστίαν.

ΒΑΛΣ. Ἐπεὶ τῶν εἰκότων ἦν παραδυναστεύειν τινὰ ἐκ τῶν δικαζομένων ἐν τῷ τόπῳ, ἐν ᾧ ἡ διαδικασία γίνεται, ὥρισαν οἱ Πατέρες, ἵνα, ἐάν τις ἐξ αὐτῶν, εἴτε δηλονότι ὁ κατηγορῶν, εἴτε ὁ κατηγορούμενος, εἰς τὸν οἰκεῖον φόρον, ἤγουν εἰς τὸν τόπον ἐν ᾧ κατοικεῖ, ὑποπτεύσῃ βίαν παθεῖν ἀπὸ πολυπληθείας δημώδους ἀτάκτου λαοῦ, διὰ φόβον τοῦ ἀντιδίκου, ἢ διὰ τὴν αὐτὴν αἰτίαν δυσχέρειά ἐστι (1) μάρτυρας παραχθῆναι, ἔχῃ ἐπ' ἀδείας ἕτερον ἐπιλέξασθαι πλησιόχωρον τόπον, ἵνα ἐκεῖ τὸ δικαστήριον προβῇ χωρὶς φόβου παντὸς, καὶ ἡ τῶν μαρτύρων παραγωγὴ εὐχερῶς γένηται, καὶ οὕτω διευλυτωθῇ ῥᾳδίως ἡ ὑπόθεσις. Καλῶς δὲ εἶπεν ὁ κανὼν ἐπιλέγεσθαι ἔγγιστα διακείμενον τόπον· εἰ γὰρ πόῤῥω διάκειται, οὐκ ἀναγκασθήσεται ὁ δικαστὴς ἢ ὁ ἀντίδικος ἀκολουθῆσαι τῇ ἐπιλογῇ ταύτῃ. Οἶμαι δὲ, ὅτι ταῦτα χώραν οὐκ ἔχουσιν εἰς τὰ πατριαρχικὰ δικαστήρια, ὅτι οὐδεὶς δύναται φόβον προβαλέσθαι ἔνθα ἡ ἐξουσία τῆς πατριαρχικῆς μεγαλειότητος ὑπερβαίνει πᾶσαν δυναστείαν· ἀλλ' εἰς ἐπισκοπικὰ εὐτελῆ δικαστήρια τὰ τοῦ κανόνος ἐκληφθήσεται, ὅπου καὶ ἡ τοῦ δικαστοῦ καὶ ἡ τῶν ἀντιδίκων ἀπὸ τόπου εἰς τόπον μετάστασίς ἐστιν εὐχερής.

ΑΡΙΣΤ. Κατηγορῶν, ἢ κατηγορούμενος, βίαν φοβούμενος, ἐπιλεγέτω τόπον ἄσυλον.

(1) τὸ, ἐστιν, οὐ κεῖται παρὰ Βευερ.

ὁ κατηγορῶν τινος, ἐὰν βίαν ὑποπτεύῃ παθεῖν παρὰ τοῦ μέρους τοῦ κατηγορουμένου, ἢ τὸ ἀνάπαλιν ὁ κατηγορούμενος παρὰ τοῦ κατηγόρου, οἷον ἐθέλουσι τόπον εἰς ἀσφάλειαν αὐτῶν ἐπιλεγέσθωσαν, ὥστε εὐχερῶς ἔχειν, καὶ τοῖς ἴσως ὑποῦσιν αὐτοῖς μάρτυσιν ὁμιλεῖν, καὶ εἰς τὸ δικαστήριον ἀκινδύνως ἀπαντᾷν· ἵνα μὴ διὰ τὸν τοιοῦτον φόβον ἢ ὁ κατήγορος τῆς αἰτιάσεως ἀποστῇ, ἢ ὁ κατηγορούμενος λάθρα τοῦ δικαστηρίου ὑπαναχωρήσῃ, καὶ ἀπὼν καταδικασθῇ.

## Κανὼν ΛΑ'. (ΛΘ'.)

*Ἐάν τινες κληρικοὶ ἐκ τῶν ἰδίων ἐπισκόπων προβιβαζόμενοι καταφρονῶσι, μηδὲ ἐκεῖ μείνωσιν, ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησαν.*

Ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε κληρικοὶ καὶ διάκονοι, ἐὰν μὴ πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν, βουλομένοις διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν τούτους πρὸς μείζονας ἀναβιβάζειν τιμὰς ἐν τῇ ἐκκλησίᾳ αὐτῶν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσιν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

—

ΖΩΝΑΡ. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, φησὶν ὁ θεῖος Ἀπόστολος. Ἐὰν οὖν κληρικὸς οἱοσδήποτε καὶ διάκονος, (διάκονον δ' ἐνταῦθα οὐ τὸν διακόνου ἔχοντα χειροτονίαν φησὶν, ἀλλ' ἅπαντα κληρικὸν, διάκονον ὠνόμασεν, ὡς διακονίαν τινὰ, ἤγουν ὑπηρεσίαν, ἐν τῇ ἐκκλησίᾳ πληροῦντα· καὶ τοῦτο δῆλον ἐκ τοῦ εἰπεῖν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσι, καὶ τοὺς ἀναγνώστας γὰρ καὶ λοιποὺς ἐν τῷ οἰκείῳ βαθμῷ διακονεῖν λέγει·) ἐὰν οὖν μὴ πειθαρχῇ κληρικὸς τῷ ἐπισκόπῳ αὐτοῦ, θέλοντι προβιβάσαι αὐτὸν εἰς μείζονα βαθμὸν, οἷον διάκονον εἰς πρεσβύτερον, ἢ ὑποδιάκονον εἰς διάκονον, καὶ καθεξῆς, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ μενέτω, ἐν ᾧ ἦν, καὶ οὗ ἀποστῆναι οὐκ ἠθέλησεν.

ΒΑΛΣ. Τινὲς, ὡς ἔοικε, κληρικοὶ, μετακαλούμενοι παρὰ

τῶν ἐπισκόπων αὐτῶν πρὸς μείζονας βαθμοὺς διὰ χρησιμότητα τῶν ἐκκλησιῶν, οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι, διὰ τὸ ἀναπαύεσθαι ἐπὶ τοῖς κατεχομένοις παρὰ τούτων βαθμοῖς, ἀπὸ κέρδους ἴσως, ἢ καὶ σωματικῆς ἀναπαύσεως. ὥρισαν οὖν οἱ Πατέρες, ἵνα, ἐάν τινες κληρικοὶ οἱανδήτινα διακονίαν ἱερατικὴν ἐνεργοῦντες, (οὐδὲ γὰρ ἐκλαμβάνονται ἐνταῦθα οἱ διάκονοι εἰς τοὺς ἐν τῷ ἁγίῳ βήματι διακονοῦντας, ἀλλ' εἰς τοὺς ἐνεργοῦντας οἱανδήτινα διακονίαν ἐκκλησιαστικήν,) οὐ πείθωνται τοῖς ἐπισκόποις τούτων, βουλομένοις προαναβιβάζειν αὐτοὺς εἰς μείζονας βαθμοὺς δι' ἀναγκαστικὴν αἰτίαν τῶν ἐκκλησιῶν, ἀλλ' ἐξέχωνται ὧν κατέχουσι βαθμῶν ἢ τόπων, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ εἶναι αὐτοὺς καὶ (1) διακονεῖν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν. Ταῦτα τοῦ κανόνος διοριζομένου, λέγουσί τινες, ὡς ἐκ τούτου δέδοται ἄδεια τοῖς πατριάρχαις καὶ τοῖς λοιποῖς ἐπισκόποις μεθιστᾷν τοὺς ὑπ' αὐτοὺς ἄρχοντας καὶ τοὺς ἄλλους ἱερατικοὺς ἀπὸ τῶν ὀφφικίων αὐτῶν, μάλιστα δ' εἰπεῖν, καθαιρεῖν τούτους ψηφιζομένους εἰς ἐκκλησίας οἱαςδήτινας καὶ μὴ καταδεχομένους τὴν ψῆφον. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἀπὸ τοῦ κανόνος τούτου οὐκ ἀναγκάζονται οἱ τῶν ἐκκλησιῶν ἄρχοντες, ἢ ἕτεροι κληρικοί, καταδέχεσθαι καὶ ἄκοντες τὰς διὰ ψήφου ἐπισκοπικῆς διδομένας τούτοις ἐκκλησίας, ἀλλ' ἐκλαμβάνεσθαι τὸν κανόνα εἰς τοὺς ἐνεργοῦντας ἐκκλησιαστικὰς οἱαςδήτινας διακονίας, καὶ εἰς μείζονας τιμὰς ἢ βαθμοὺς μετακαλουμένους, καὶ μὴ πειθομένους τῇ ἐπισκοπικῇ μετακλήσει, καὶ μᾶλλον ὅτε διὰ χρησιμότητα τῆς ἐκκλησίας αὕτη γένηται. Τὸ μὲν γὰρ ἄκοντά τινα μὴ ἀναδέχεσθαι χειροτονίαν ἐπισκοπικοῦ ἀξιώματος, συγγνωστέον ἐστίν, ἴσως τὴν χειροτονίαν εὐλαβούμενον διὰ οἱονδήτινα τρόπον ἐπαινετόν· τὸ δὲ μὴ ἀκούειν τοῦ ἐπισκόπου τοὺς κληρικούς, ἢ καὶ τοὺς ἄρχοντας, μετακαλουμένους τούτους εἰς μείζονα ὀφφίκια, οὐ μόνον οὐκ ἔστι συγγνωστέον, ἀλλὰ καὶ κολάσεως ἄξιον. Εἰ γάρ τις τυχὸν ἐν διακόνοις (2)

(1) Βευερ. Κ. — ἄνευ τοῦ, καί, Χ. Τρ. —(2) ἐν διακονίᾳ Χ. Τρ.

ὢν, οὐ πείθεται σφραγισθῆναι ῥαιφερενδάριος ἢ διδάσκαλος (1) διὰ τὸν κόπον, καὶ δουλεῦσαι τῇ ἐκκλησίᾳ, κολασθήσεται· καὶ εἴ τις, πρωτέκδικος ὤν, οὐ θέλει προβιβασθῆναι εἰς ἱερομνήμονα διὰ τὸ ἀκερδὲς τοῦ ὀφφικίου, ἐκβληθήσεται καὶ ἀπὸ τοῦ πρωτεκδίκου· καὶ εἴ τις ἀναγνώστης ὤν, οὐ θέλει προαναβιβασθῆναι εἰς μεῖζον ὀφφίκιον, ὡς κοπηρὸν, καθαιρεθήσεται. Καὶ δῆλον τοῦτο ἀπὸ τοῦ μὴ ψηφίζεσθαι παρὰ παντὸς ἐπισκόπου κληρικὸν εἰς ἐπισκοπικὸν ἀξίωμα, ἀλλὰ παρὰ μόνων τῶν ἐχόντων ἐπισκοπάς· οἱ γὰρ μητροπολῖται, οἱ μὴ ἔχοντες ἐπισκοπάς, ὡσαύτως καὶ οἱ ἐπίσκοποι, οἱ ὑπὸ μητροπολίτην ὄντες, οὔτε ψηφίζεσθαι κληρικοὺς αὐτῶν δύνανται, οὔτε κατὰ κανόνας κολάζουσιν αὐτοὺς ἀπειθοῦντας. Ἄραρεν οὖν (2) τὸν κανόνα ἐκληφθῆναι εἰς τοὺς μὴ πειθομένους προαναβιβασθῆναι εἰς ἐκκλησιαστικὸν ὀφφίκιον, καὶ οὕτως ἔχειν χώραν εἰς πάντας τοὺς ἐπισκόπους, καὶ εἰς πάντας τοὺς κληρικούς. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μετακινεῖσθαι ἀπὸ τῶν οἰκείων βαθμῶν τοὺς κληρικοὺς, μὴ πειθομένους τοῖς ἐπισκόποις προσκαλουμένοις τούτους εἰς μείζονας τιμὰς διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν, μὴ εἴπῃς, ὡς, αἰτίας ἀναγκαστικῆς μὴ οὔσης (3), οὐκ ἔχουσιν ἄδειαν οἱ ἐπίσκοποι προαναβιβάζειν τοὺς κληρικοὺς αὐτῶν· καὶ αἰτίας γὰρ τοιαύτης μὴ προκειμένης (4), ἐνδυνάμως ὁ ἐπίσκοπος τοὺς κληρικοὺς αὐτοῦ ἀπὸ τοῦδε τοῦ βαθμοῦ εἰς μείζονα τόπον προαναβιβάσει καὶ ἄκοντας, κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν. Καὶ σημείωσαι, ὅτι πρὸς μείζονας τόπους μετακινεῖν τοὺς κληρικοὺς ἐνεδόθη τοῖς ἐπισκόποις, οὐ μὴν καὶ πρὸς ἥττονας· ὥσπερ οὐδὲ ὑβρίζειν καὶ ἀτιμοῦν αὐτοὺς διὰ τοῦ συγχέειν τὰς τάξεις τῶν ἱερῶν βαθμίδων, καὶ τὸν χθὲς γεγονότα ἴσως ἄρχοντα, ἐπάνω τῶν προγενεστέρων ἀρχόντων ἱστᾷν, ἢ καὶ τὸν μηδὲ ὅλως ὄντα ἄρχοντα, διὰ περικοπῆς (5) εἰς μείζονα τόπον καθιστᾷν. Ὡσαύτως σημείωσαι, ὅτι καὶ

(1) Χ. Τρ. — ῥαιφερενδάριον ἢ διδάσκαλον Βευερ. Ἑ. —(2) Ἑ. — ἄρα γοῦν Χ. Τρ. — ἄρ' οὖν Βευερ. — (3) μὴ προκειμένης Χ. Τρ.—(4) μὴ οὔσης Χ. Τρ.— (5) Χ. Τρ. Ἑ. — διὰ περικοπὴν Βευερ.

τὰ ἐκκλησιαστικὰ ὀφφίκια, ἤγουν τὰ ἀρχοντίκια, οὐκ εἰσὶ τῆς ἐξουσίας τῶν ἐπισκόπων, ὥς τινες λέγουσιν, ἀλλὰ τῆς τῶν κανόνων αὐθεντίας καὶ φιλοτιμίας, ὥσπερ οὐδὲ τὰ τῶν λοιπῶν ταγμάτων δίκαια, ἤγουν τῶν διακόνων, τῶν ἱερέων, καὶ τῶν λοιπῶν· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν μετὰ διαστίξεως, ἤγουν ἐξ ἀπειθείας ἐξέπιπτον ἐκ τῶν οἰκείων βαθμῶν οἱ κληρικοὶ, ἀλλ' εὐκαίρως ἢ ἀκαίρως (1) καὶ ὅτε θελήσεως (2) εἶχον οἱ ἐπίσκοποι τοῦτο γενέσθαι· τοῦτο δὲ οὐκ ἔδοξε τοῖς θείοις Πατράσιν. Ἔτι σημείωσαι, ὅτι οὐδεμία ἐστὶ διαφορὰ κληρικάτου καὶ ἀρχοντικίου· ἀπὸ γὰρ τῆς αὐτῆς αἰτίας μετακινεῖται καὶ ὁ ἄρχων ἀπὸ τοῦ ἀρχοντικίου αὐτοῦ, ἀφ' ἧς καὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος. Ἔτι σημείωσαι, ὅτι ἐπεὶ τῷ ὀνόματι τῶν κληρικῶν καὶ οἱ μοναχοὶ περιέχονται, καλῶς ἐκληφθήσονται τὰ τοῦ κανόνος καὶ εἰς τοὺς διακονητὰς τῶν μοναστηρίων.

ΑΡΙΣΤ. Ὁ μείζω τιμὴν ἀπωθούμενος, καὶ ἣν ἔχει προσαπολέσει.

Ὁ τιμῆς μείζονος κρινόμενος ἄξιος παρὰ τοῦ ἰδίου ἐπισκόπου, καὶ δι' ἀναγκαίαν αἰτίαν τῆς ἐκκλησίας εἰς ταύτην προβιβαζόμενος, καὶ μὴ πειθαρχῶν, οὐ δι' εὐλάβειαν, ἀλλὰ διὰ καταφρόνησιν, μετακινηθήσεται καὶ τοῦ βαθμοῦ ἐν ᾧ διακονεῖ, καὶ προσαπολέσει τοῦτον. Τυχὸν γὰρ ὑποδιάκονος ἦν, καὶ ἐκρίνετο ἄξιος τοῦ γενέσθαι διάκονος, καὶ ἦν τοῦτο ἀναγκαῖον γενέσθαι τῷ ἐπισκόπῳ, διὰ τὸ μὴ ἔχειν ἀρκοῦντας διακόνους, μήτε εὑρίσκειν τινὰς κατ' αὐτὸν ὄντας καὶ τὸν βίον ἀνεπιλήπτους, καὶ τὸν λόγον δοκίμους.

## Κανὼν ΛΒ'. (Μ'.)

*Ἐάν τις τῶν κληρικῶν πενιχρὸς, προκόψας εἴς τινα τάξιν, κτήσοιτό τί ποτε, ὑποκεῖσθαι τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων.*

Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι (3), ἢ καὶ οἱοιδήποτε κληρικοὶ, οἱ μηδὲν ἔχοντες,

---

(1) Ἑ. — εὐκαίρως ἀκαίρως Χ. Τρ. Βευερ. — (2) Ἑ. Χ. Τρ. — θελήσει Βευερ. — (3) ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος Χ. Τρ.

ἐὰν προκόψαντες τῷ καιρῷ τῆς ἐπισκοπῆς, ἢ τῆς κληρώσεως αὐτῶν, ἀγροὺς ἢ οἱαδήποτε χωρία ἐπ' ὀνόματι αὐτῶν (1) ἀγοράσωσιν, ἵνα ὡς κατὰ δεσποτικῶν πραγμάτων ἔφοδον πεποιηκότες ἐνέχωνται, εἰ μὴ ἄρα λοιπὸν ὑπομνησθέντες τῇ ἐκκλησίᾳ ταῦτα εἰσκομίσουσιν. Ἐὰν δὲ εἰς αὐτοὺς κυρίως φιλοτιμία τινὸς, ἢ διαδοχῇ συγγενείας περιέλθῃ, ἐξ αὐτοῦ (2) ποιήσωσιν ὃ ἔχει ἡ πρόθεσις αὐτῶν. Εἰ δὲ καὶ μετὰ τὸ προθέσθαι εἰς τοὐπίσω μετατραπῶσι, τῆς ἐκκλησιαστικῆς τιμῆς ἀνάξιοι, ὡς ἀδόκιμοι, κριθῶσιν.

—

ΖΩΝΑΡ. Ἐὰν ἄποροί τινες γένωνται ἐπίσκοποι ἢ κληρικοὶ, εἶτα εὐπορήσωσι, καὶ κτήσωνται, ἐν τῷ εἶναι ἐπίσκοποι ἢ κληρικοὶ (3), ἀγροὺς ἢ χωρία, ὠνησάμενοι αὐτὰ (4) εἰς ὄνομα οἰκεῖον, δοκοῦσιν ἐκ πραγμάτων τῆς ἐκκλησίας ταῦτα κτήσασθαι, καὶ ἔνοχοί εἰσιν, ὥσπερ εἰ δεσποτικὰ πράγματα, ἤγουν Κυριακὰ, διηρπάκασι, (τοῦτο γὰρ ἐνέφηνε διὰ τοῦ εἰπεῖν, ὡς ἔφοδον πεποιηκότες,) εἰ μὴ τῇ ἐκκλησίᾳ ταῦτα ἀφιερώσουσι. Διὸ καὶ οἱ νόμοι τῆς πολιτείας ἀπαιτοῦσι τοὺς ἐπισκόπους, ὅτε μέλλουσι χειροτονεῖσθαι, φανερὰ ποιεῖν ἃ κέκτηνται, ἵνα ἔχωσιν ἄδειαν, οἷς βούλονται νομίμως ταῦτα καταλιμπάνειν. Καὶ ὁ μ'. δὲ κανὼν τῶν ἁγίων Ἀποστόλων, Ἔστω, φησὶ, φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, εἴγε καὶ ἴδια ἔχει, καὶ φανερὰ τὰ Κυριακὰ, καὶ τὰ ἑξῆς· καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ κδ'. κανὼν περὶ τούτου θεσμοθετεῖ. Ἐὰν δὲ καὶ ἐπισκόπῳ ὄντι τινὶ ἢ κληρικῷ περιέλθῃ κυρίως φιλότιμημά τινος (5), οἷον λῃγάτον, ἢ δωρεὰ, ἢ κληρονομία συγγενικὴ, δεῖ, φησι, καὶ ἐξ αὐτοῦ ἀφιερῶσαι τῇ ἐκκλησίᾳ μέρος κατὰ τὴν οἰκείαν προαίρεσιν. Κυρίως δὲ εἶπεν, ἀντὶ τοῦ, ἐξ ὀρθοῦ αὐτῷ καταλειφθῇ, ἐπεὶ πολλὰ καταλιμπάνονταί τισιν, ὥστε αὐτὰ ἑτέροις ἀποκαταστῆσαι, ἢ ἀναλῶσαι αὐτὰ εἰς αἰχμαλώτων ἀνάρ-

(1) Η. Ἑ. Ἰουστ. Ἑ. Κ.—ἐπ' ὀνόματι ἰδίῳ Βευερ. Χ. Τρ. Σ. Ῥ.—(2) ἐξ αὐτῆς Βευερ. —(3) ἐν τῷ εἶναι... κληρικοὶ, οὐ κεῖται ἐν Χ. Τρ. — (4) ὠνησάμενοι αὐτὰ, οὐ κεῖται ἐν Χ. Τρ. — Χ. Τρ. — (5) φιλοτιμία Βευερ. Κ.

ρυσιν, ἢ εἰς οἰκοδομὰς οἴκων ἱερῶν, καὶ εἰς ἄλλας αἰτίας ὁμοίας· ἐκ τῶν τοιούτων οὖν οὐκ ἀπαιτεῖται ἀφιεροῦν τι τῇ ἐκκλησίᾳ, ἀλλὰ ἐκ τῶν κυρίως, ἤτοι ἰδικῶς αὐτῷ καταλελειμμένων, καὶ ὧν κύριος ἐκεῖνος ἐστίν. Εἰ δὲ προέθεντο καὶ ὑπέσχοντο μέρος ἀφιερῶσαι τῇ ἐκκλησίᾳ, εἶτα μετετράπησαν, ἀντὶ τοῦ, μετεβλήθησαν, ἀνάξιοι κριθήσονται οὗτοι τῆς ἱερατικῆς τιμῆς.

ΒΑΛΣ. Ὁ μὲν μ΄. ἀποστολικὸς κανὼν θεσπίζει ἀπογράφεσθαι τὸν ἐπίσκοπον κατὰ τὸν καιρὸν τῆς χειροτονίας αὐτοῦ τὰ οἰκεῖα πράγματα· ὡσαύτως καὶ ὁ κδ΄. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ὥστε εἶναι φανερὰ ταῦτά τε καὶ τὰ ἀπὸ τῆς ἐκκλησίας εἰσοδιαζόμενα. Ὁ δὲ παρὼν κανὼν διορίζεται, ἵνα, ἐὰν ἐπίσκοποι, ἢ πρεσβύτεροι, ἢ διάκονοι, ἢ οἱοιδήποτε κληρικοί, πενόμενοι πρὸ τῆς ἐκκλησιαστικῆς διακονίας καὶ τιμῆς, μετὰ ταῦτα προκόψωσι, καὶ κατὰ τὸν καιρὸν τῆς ἐπισκοπῆς ἢ τῆς κληρώσεως οἱονδηποτοῦν ἀκίνητον ἀγοράσωσιν εἰς ὄνομα οἰκεῖον, λογίζωνται ὡς ἅρπαγες τῶν δεσποτικῶν πραγμάτων, ἤγουν τῶν ἀνατεθειμένων τῷ Θεῷ· τοῦτο γὰρ ἐνέφηνεν ὁ κανὼν διὰ τοῦ εἰπεῖν, ὡς ἔφοδον πεποιηκότες ἐνέχονται· εἰ μήπως ὑπομνησθέντες περὶ τούτου, ἤγουν παραγγελθέντες ἀποστῆναι τοῦ τολμήματος, προσκυρώσουσι ταῦτα τῇ ἐκκλησίᾳ. Εἴπερ δὲ ἀπὸ κληρονομίας, ἢ ληγάτου, ἢ δωρεᾶς, περιέλθῃ τι εἰς αὐτούς, ὀφείλουσι μέρος μὲν ἀπὸ τούτων, τὸ δοκοῦν αὐτοῖς, προσκυροῦν τῇ ἐκκλησίᾳ, τῶν λοιπῶν δὲ τὴν κυριότητα ἔχειν ἀναμφίλεκτον. Μετὰ μέντοι τὸ προθέσθαι ἀφιερῶσαί τινα ἐκ τούτων τῇ ἐκκλησίᾳ, ἐὰν μετάμελος γένηται, ἐκπεσεῖται τῆς ἱερατικῆς τιμῆς ὡς ἀνάξιος καὶ ἀδόκιμος. Ταῦτα τοῦ κανόνος διοριζομένου, λέγουσί τινες ἐξακούεσθαι τὰ ἐν αὐτῷ εἰς πάντα τὰ μετὰ τὴν κλήρωσιν ἢ τὴν ἐπισκοπὴν ἀγορασθέντα ὁθενδήποτε, ἢ καὶ ἐπικτηθέντα παρὰ ἐπισκόπων ἢ κληρικῶν, ἄνευ τῶν ἀπὸ δωρεᾶς, ἢ ληγάτου, ἢ κληρονομίας, περιελθόντων εἰς αὐτούς. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἐπὶ μὲν τοῖς ἐπισκόποις τοῦτο κρατήσει, ὅτι οὐδὲ ὕπεστι τρόπος ἕτερος αὐτοῖς δι᾽ οὗ κτήσονται πράγματα, ἀλλ᾽ ἢ μόνος ὁ ἀπὸ τῶν ἐπισκοπικῶν δικαίων, καὶ ὁ ἀπὸ τῶν ἔξω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θεν δωρεῶν καὶ ληγάτων. Καὶ τὰ μὲν, ἤγουν τὰ ἐπισκοπικὰ, τῇ ἐπισκοπῇ προσκυρωθήσεται, τὰ δὲ λοιπὰ τῆς ἐξουσίας αὐτοῦ ἔσονται, καθὼς τοῦτο καὶ ὁ κανὼν διαλαμβάνει. Οἱ δὲ κληρικοὶ, ἐὰν μετὰ τὴν κλήρωσιν ἀπὸ ἑτέρων τρόπων, οὐχὶ ἀπὸ τῶν τῆς ἐκκλησίας, ἀγοράσωσι πράγματα, οὐκ ἀναγκασθήσονται ταῦτα προσκυρῶσαι τῇ ἐκκλησίᾳ. Ἐὰν γὰρ τυχὸν παιδοδιδάσκαλος γένηταί τις κληρικὸς, ἢ καλλιγράφος, ἢ ὑπογραφεὺς μεγιστᾶνός τινος, καὶ ἐντεῦθεν πολυκτήμων καταστῇ, ἵνα τί καταναγκασθήσεται τὰ ἀπὸ τοιούτων τρόπων ἐπικτηθέντα αὐτῷ τῇ ἐκκλησίᾳ προσκυρῶσαι; Ἡ παροῦσα δὲ ἑρμηνεία ἐξέχεται καὶ τῶν ῥημάτων τοῦ κανόνος, διαλαμβάνοντος, τὰ ἀπὸ φιλοτιμιῶν ἢ κληρονομιῶν ἔχειν ἐπ' ἐξουσίας αὐτοὺς, ἄνευ μέρους τινὸς ὀφείλοντος δοθῆναι τῇ ἐκκλησίᾳ. Τοῦ δὲ κανόνος περὶ ἀκινήτων διαλαμβάνοντος, ἐρωτήσει τις, ἐὰν τὸ αὐτὸ ὀφείλῃ κρατεῖν καὶ ἐπὶ τῶν κινητῶν· καὶ οἶμαι, ὅτι τὸ αὐτὸ καὶ ἐπὶ τούτοις γενήσεται, διὰ τὸ μηδεμίαν εἶναι διαφορὰν κινητῶν καὶ ἀκινήτων, ὅσον εἰς τὴν ἐπίκτησιν. Κυρίως δὲ εἶπεν, ἀντὶ τοῦ, εἰ ἐξ ὀρθοῦ αὐτῷ καταλειφθῇ, ἐπεὶ πολλὰ καταλιμπάνονταί τισιν, ὥστε αὐτὰ ἑτέροις ἀποκαταστῆσαι ἢ ἀναλῶσαι ὁπουδήποτε. Ἐκ τῶν τοιούτων οὖν οὐκ ἀπαιτεῖται ἀφιερῶσαί τι τῇ ἐκκλησίᾳ, ἀλλ' ἐκ τῶν κυρίως, ἤτοι ἰδικῶς αὐτῷ καταλελειμμένων, καὶ ὧν κύριός ἐστιν ἐκεῖνος. Σημείωσαι δὲ τὸν κανόνα λέγοντα, ὅτι ἐξ ἀνάγκης ὀφείλουσιν οἱ κληρικοὶ καὶ οἱ ἐπίσκοποι καταλιμπάνειν ταῖς κατ' αὐτοὺς ἐκκλησίαις μέρος τι, τὸ δοκοῦν αὐταῖς, ἀπὸ τῶν κυρίως διαφερόντων τούτοις, πάντως δὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς· καὶ τοῦτο, οἷον ἂν καὶ ὅσον ἐστὶν, οὐκ ἀποπεμφθήσεται.

ΑΡΙΣΤ. Ὁ μετὰ τὸ προκόψαι ἀγρὸν ἐξωνούμενος, οὐδὲν ἔχων, ἔσται τῇ ἐκκλησίᾳ τοῦτον προσάγειν, εἰ μὴ ἐκ διαδοχῆς συγγενείας, ἢ καθαρᾶς φιλοτιμίας τούτῳ περιελήλυθεν.

Οἱ πρὸ τῆς ἐπισκοπῆς μὴ ἔχοντες ἴδια πράγματα, ἢ καὶ οἱ κληρικοὶ, οἱ πρὸ τοῦ κληρωθῆναι ὄντες πενέστατοι, ἐὰν μετὰ τὸ προκόψαι ἀκίνητά τινα ἐξωνήσωνται, τῇ ἐκκλησίᾳ ταῦτα προσάξουσιν, ὡς ἐκ τῶν προσόδων αὐτῆς ταῦτα ἐπι-

κτησάμενοι, εἰ μήπου ἀπὸ κληρονομίας, ἢ ἀπό τινος δωρεᾶς τῇ ἀληθείᾳ πρὸς αὐτοὺς γενομένης φαίνονται ταῦτα περιελθεῖν εἰς αὐτούς.

## Κανὼν ΛΓ΄. (ΜΑ΄.)

*Ὥστε πρεσβυτέρους πρᾶγμα τῆς ἐκκλησίας, ἐν ᾗ καθιεροῦνται, μὴ πιπράσκειν, καὶ ὥστε μηδενὶ ἐπισκόπῳ ἐξεῖναι πράγματι καταχρήσασθαι τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάτρικος.*

Ὁμοίως ἤρεσεν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων αὐτῶν ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται, ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρία τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου, ἢ τῶν ἰδίων πρεσβυτέρων. Μὴ οὔσης τοίνυν ἀνάγκης, μηδὲ ἐπισκόπῳ ἐξεῖναι καταχρήσασθαι πράγματι ἐκ τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάτρικος.

ΖΩΝΑΡ. Οἱ τῶν σεπτῶν Ἀποστόλων κανόνες, ὅ τε λή. καὶ ὁ μά. τὴν ἐξουσίαν καὶ φροντίδα τῶν ἐκκλησιαστικῶν πραγμάτων τοῖς ἐπισκόποις ἀνατιθέασιν. Ἀκολούθως οὖν ὁ κανὼν οὗτος ἀπαγορεύει πιπράσκειν τοὺς πρεσβυτέρους πρᾶγμα τῆς ἐκκλησίας ἐν ᾗ καθιερώθησαν, εἰ μὴ καὶ ὁ ἐπίσκοπος συνευδοκεῖ. Ἵνα δὲ μὴ, τῇ δοθείσῃ αὐτοῖς ἐξουσίᾳ ἐκ τῶν ἀποστολικῶν κανόνων καταχρώμενοι οἱ ἐπίσκοποι ἐναυθεντῶσι καὶ ἐκποιῶνται τὰ ἐκκλησιαστικὰ, ἐπήγαγεν (1), ὅτι οὐδὲ τῷ ἐπισκόπῳ ἐξέσται χωρία πιπράσκειν τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου, ἀφ᾽ ἧς καὶ αὐτός ἐστιν, ἢ τῶν ἰδίων πρεσβυτέρων· δεῖ γὰρ τῶν διοικήσεων τῶν ἐκκλησιαστικῶν πραγμάτων εἴδησιν ἔχειν αὐτοὺς, ἵνα μὴ, ἀμαρτύρου οὔσης τῆς οἰκονομίας, σκάνδαλα κατὰ τοῦ ἐπισκόπου φύωνται. Χωρὶς τοίνυν ἀνάγκης, μηδὲ τῷ ἐπισκόπῳ ἐξέστω καταχρήσασθαι πράγματι ἀπογεγραμμένῳ ἐν τῇ ἐκκλησιαστι-

(1) Χ. Τρ. — καὶ ἐπήγαγε Βευερ. Κ.

κῇ μάτρικι, ἤτοι τῇ ἀπογραφῇ· τίτλος δὲ, ἡ ἐπιγραφὴ λέγεται καὶ ἡ αἰτία, ἀλλὰ μὴν καὶ τὸ βιβλίον, ὡς ἐν τοῖς νόμοις που γέγραπται. Καὶ ὅτε δὲ ἐκποιήσασθαι ἀκίνητον ὁ ἐπίσκοπος μέλλει, τοιοῦτον ἐκποιήσεται, οἷον ὁ κϛʹ. κανὼν τῆς παρούσης συνόδου φησὶ, καὶ κατὰ τὰς εἰρημένας ἐκεῖ διαστίξεις.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἱερεῖς τινες ἐπώλουν ἐκκλησιαστικὰ πράγματα παρὰ γνώμην τῶν οἰκείων ἐπισκόπων· ἀλλὰ μὴν καὶ ἐπίσκοποι ἐπίπρασκον χωρία τῶν ἐκκλησιῶν αὐτῶν παρὰ γνώμην τῆς κατ' αὐτοὺς συνόδου, ἢ καὶ τῶν ἰδίων πρεσβυτέρων. Φησὶν οὖν ὁ κανὼν, μηκέτι τοῦτο γίνεσθαι· ἀλλὰ καὶ ὅτε πρόκειται ἀνάγκη ποιῆσαί τι τοιοῦτον ἐπίσκοπον, μετὰ συναινέσεως τῆς κατ' αὐτὸν συνόδου καὶ τῶν ἰδίων πρεσβυτέρων τοῦτο ποιεῖν· ἄλλως δέ πως, μὴ ἔχειν ἐπ' ἀδείας αὐτὸν καταχρήσασθαι πράγματι καταγεγραμμένῳ ἐν τοῖς ἐκκλησιαστικοῖς βρεβίοις, ἤγουν ἐν τῇ μάτρικι, τουτέστιν ἐν τῇ ἀπογραφῇ τοῦ ἐκκλησιαστικοῦ τίτλου, ἤτοι βιβλίου· τίτλος γὰρ λέγεται ποτὲ μὲν ἡ ἐπιγραφὴ, ποτὲ δὲ ἡ αἰτία, ποτὲ δὲ καὶ τὸ βιβλίον. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μήτε ἐπίσκοπον παρὰ γνώμην τῆς συνόδου καὶ τῶν ἰδίων πρεσβυτέρων πιπράσκειν χωρία τῆς ἐκκλησίας, μήτε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων πωλεῖν πράγματα ἐκκλησιαστικὰ, μὴ εἴπῃς ἐξισοῦσθαι κατὰ τοῦτο τὸ μέρος τοῖς ἐπισκόποις τοὺς πρεσβυτέρους, ἀλλ' εἰπὲ, ὅτι οἱ μὲν πρεσβύτεροι παρὰ γνώμην τῶν ἐπισκόπων οἱονδηποτοῦν πρᾶγμα κινητὸν, ἢ ἀκίνητον, ἢ αὐτοκίνητον (1), ἢ καὶ εὔφθαρτον, οἶνον τυχὸν ἢ σῖτον, πωλεῖν οὐ δύνανται· ὁ δὲ ἐπίσκοπος, τὰ μὲν εὔφθαρτα κινητὰ καὶ τὰ αὐτοκίνητα, καὶ παρὰ γνώμην τῶν οἰκείων κληρικῶν ἐκποιεῖν δύναται, οὐ μὴν καὶ τὰ ἀκίνητα. Διὰ γὰρ τοῦτο καὶ ὁ κανὼν, τοὺς μὲν πρεσβυτέρους παρεκελεύσατο μὴ πωλεῖν πράγματα ἐκκλησιαστικὰ ἄνευ τῶν ἐπισκόπων· τοὺς δὲ ἐπισκόπους ἐκώλυσε πιπράσκειν ἀκίνητα ἄνευ ἀνάγκης καὶ συνοδικῆς γνώ-

(1) Χ. Ἐρ. Ἑ. — ἢ αὐτοκίνητον, οὐ κεῖται παρὰ Βευερ.

μης καὶ τῶν πρεσβυτέρων. Ὅτι δὲ ἐξουσίαν ἔχει ὁ ἐπίσκοπος, καὶ παρὰ γνώμην τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῆς κατ᾿ αὐτὸν συνόδου πιπράσκειν ἐκκλησιαστικὰ αὐτοκίνητα (1) καὶ εὔφθαρτα κινητὰ, δῆλόν ἐστιν ἀπὸ τοῦ λή. ἀποστολικοῦ κανόνος καὶ τοῦ μά., οὓς καὶ ἀνάγνωθι, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ παρόντος κανόνος, κωλύοντος τὴν ἀδιάγνωστον ἐκποίησιν τῶν ἐκκλησιαστικῶν χωρίων καὶ μόνων(2). Μὴ ἐναντιωθῶσι δέ σοι πρὸς τὴν παροῦσαν ἑρμηνείαν οἱ κανόνες, οἱ κωλύοντες παρὰ ἐπισκόπων πιπράσκεσθαι ἱερὰ ἐκκλησιαστικά· κἂν γὰρ κινητὰ τοιαῦτα ὦσιν, ἀλλὰ ἀκινήτων ἐπέχουσι τόπον, καθὼς καὶ ἐν τοῖς νόμοις τοῦτο πολλαχοῦ εὑρίσκεται. Καὶ ὅταν δὲ μέλλῃ διαπραθῆναι ἐκκλησιαστικὸν ἀκίνητον διὰ προκειμένην ἀνάγκην, οὐκ ὀφείλει πωλεῖν ὁ ἐπίσκοπος πρᾶγμα ἔχον πρόσοδον, ἀλλ᾿ οἷον ὁ κϛ΄. κανὼν τῆς παρούσης συνόδου φησὶ, καὶ κατὰ τὰς ἐκεῖσε εἰρημένας διαστίξεις. Καταχρήσεως δὲ ὁ κανὼν ἐμνήσθη, ἵνα μή τις εἴπῃ μόνην κωλύεσθαι τὴν διάπρασιν τῶν ἀκινήτων, οὐ μὴν καὶ τὰς ἄλλας ἐκποιήσεις· οὔτε γὰρ κατ᾿ ἐμφύτευσιν, οὔτε κατὰ δωρεὰν, οὔτε κατ᾿ ἀνταλλαγὴν, οὔτε ἐπὶ χρόνοις πολλοῖς ἐκποιεῖσθαι ἐκκλησιαστικὸν ἀκίνητον ἐπίσκοπος δύναται, ἀνάγκης μὴ προκειμένης.

ΑΡΙΣΤ. Πρεσβύτερος ἐκκλησιαστικὸν πρᾶγμα, τοῦ ἐπισκόπου χωρὶς, οὐ πιπράσκει· οὐδὲ ἐπίσκοπος χωρίον, συνόδου μὴ ἐπιγινωσκούσης.

Τὰ τῶν ἐκκλησιῶν, ἀνεκποίητα μένειν ὀφείλουσιν. Εἰ δὲ ἀνάγκη γένηται ἐκποιηθῆναί τι ἀκίνητον, οὐκ ἄνευ γνώμης τῆς συνόδου διαπωλήσει τοῦτο ὁ ἐπίσκοπος, εἰ μὴ βούλεται, κατὰ τὸν κϛ΄. κανόνα τῆς παρούσης συνόδου, Θεῷ καὶ συνόδῳ ἑαυτὸν καταστῆσαι ὑπεύθυνον, καὶ τῆς τιμῆς ἀλλότριον. Ἀλλ᾿ οὐδὲ πρεσβύτερος, οἰκονομίαν τινὰ τῆς ἐπισκοπῆς ἐμπεπιστευμένος, χωρὶς εἰδήσεως τοῦ ἰδίου ἐπισκόπου, πρᾶγμα ἐκκλησιαστικὸν ἢ ἀκίνητον, ἢ αὐτοκίνητον, διαπωλήσει.

---

(1) Χ. Τρ. Ἑ. = ἀκίνητα. Βαυρ. — (2) Χ. Τρ. μόνων. Βαυρ. Ἑ.

## *ΚΑΝΟΝΕΣ*

*διαφόρων τῆς ἐν Ἀφρικῇ ἐκκλησίας συνόδων* (1).

### ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

Ἀνεγνώσθησαν ἔτι μὴν ἐν ταύτῃ τῇ συνόδῳ διάφοροι σύνοδοι πάσης τῆς τῶν Ἄφρων χώρας, ἐπιτελεσθεῖσαι ἐν τοῖς προλαβοῦσι χρόνοις Αὐρηλίου ἐπισκόπου Καρχηδόνος.

*Ἐκ τῆς συνόδου τῆς ἐν Ἱππῶνι Ῥεγίῳ γενομένης.*

Ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου αὐγούστου τῷ τρίτῳ, καὶ ἐπὶ Ἀβουνδατίου τοῦ λαμπροτάτου, ὑπάτων ὀγδόῳ, εἰδοῖς Ὀκτωβρίαις, ἐν Ἱππῶνι Ῥεγίῳ, εἰς τὸ σήκρητον τῆς ἐκκλησίας πάκης, καὶ τὰ λοιπά. Πεπραγμένα ταύτης τῆς συνόδου διὰ τοῦτο οὐκ ἐγράφησαν, ἐπειδὴ τὰ ἐν αὐτῇ ὁρισθέντα, ἐν τοῖς ἀνωτέρω δείκνυται ἐγκείμενα.

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Οὐκ ἐν μιᾷ συνελεύσει τὰ ἐν τῇ συνόδῳ ταύτῃ γενόμενα ἐπράχθησαν, ἀλλ' ἐν διαφόροις. Λυομένου γὰρ τοῦ συνεδρίου, πάλιν ἐν ἑτέρῳ καιρῷ συνήρχοντο, καὶ προτιθεμένων ζητημάτων, ἐσκόπουν, καὶ τὰ δόξαντα ὥριζον, καὶ συνῆπτον αὐτὰ τοῖς προλαβοῦσι.

*Ἐκ τῆς συνόδου Καρχηδόνος, ἔνθα τοποτηρηταὶ ἐπίσκοποι τῆς Ἀνθυπατιανῆς πρὸς τὴν σύνοδον ἀποστέλλονται Ἀδρουμέτου.*

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου τῷ τρίτῳ, καὶ Ὁνωρίου τῷ δευτέρῳ, τῶν αὐγούστων ὑπάτων, πρὸ δεκαὲξ (2) καλανδῶν Ἰουλίων εἰς Καρχηδόνα. Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρηταὶ ἐπελέγησαν ἐπίσκοποι Ἀνθυπατιανοὶ πρὸς τὴν Ἀδρουμετινὴν σύνοδον.

*Ἐκ τῆς συνόδου Καρχηδόνος, ἔνθα πολλὰ ὡρίσθησαν.*

Ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ πέντε καλανδῶν Σεπτεμβρίων, ἐν Καρχηδόνι, εἰς τὸ σήκρητον τῆς ἐκκλησίας Ῥεστιτούτης, ἐν τῷ προκαθέζεσθαι Αὐρήλιον ἐπίσκοπον ἅμα ἐπισκόποις, παρεστώτων διακόνων, παραγενομένων ἔτι μὴν Βίκτορος τοῦ γέροντος τοῦ Πουπιανίτου, Τίτου τοῦ Μηγριπητανοῦ, Εὐαγγέλου Ἀσσουριτα-

(1) Ἰουστ. Κ. καὶ Βρ. λατινιστί. — (2) πρὸ ἓξ Ἰουστ.

νοῦ, ὡμίλησε πρὸς τοὺς ἐπισκόπους (1) Αὐρήλιος ἐπίσκοπος Καρχηδόνος, ὃς καὶ εἶπεν οὕτω.

Μετὰ τὴν προορισθεῖσαν ἡμέραν τῆς συνόδου, καθημένων ἡμῶν, ὡς μέμνησθε (2) ἀδελφοὶ μακαριώτατοι, καὶ προσδοκώντων ἐκ πασῶν τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς τοποτηρητὰς παραγενέσθαι πρὸς τὴν ἡμέραν τῆς ἡμετέρας συζητήσεως, τὴν, ὡς εἶπον, προορισθεῖσαν, ἀλλὰ καὶ ἀναγνωσθείσης ἐπιστολῆς τῶν ἀπὸ τοῦ Βυζακίου συλλειτουργῶν ἡμῶν, κἀκείνου δ' ἔτι μὴν παραγινωσκομένου τῇ ὑμετέρα ἀγάπῃ, εἴ τι ἅμα ἐμοὶ συνεζήτησαν οἱ τὸν καιρὸν καὶ τὴν ἡμέραν τῆς συνόδου προλαβόντες (3), ἔτι μὴν ἀνεγνώσθη καὶ ἀπὸ τῶν ἀδελφῶν Ὀνωράτου καὶ Οὐρβανοῦ, τῶν ἅμα ἡμῖν σήμερον τῆς συνόδου μετεχόντων, τοποτηρησία ἀποσταλεῖσα τῆς Σιτιφένσης χώρας. Πάλιν δὲ καὶ ὁ ἀδελφὸς Ῥιγῖνος τῆς Βεγετσελιτανῆς ἐκκλησίας (4) γράμματα τῇ ἐμῇ μετριότητι ἐνεφάνισεν, ἀπὸ Κριν-κεντιανοῦ καὶ Αὐρηλίου τῶν συλλειτουργῶν ἡμῶν, τῶν τῆς πρώτης καθέδρας τῶν δύο Νουμιδιῶν, ἐν οἷς γράμμασι τούτους ἐπαγγεῖλασθαι μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ἀγάπη, ὅτι ἢ αὐτοὶ κατηξίουν ἐλθεῖν πρὸς ταύτην τὴν σύνοδον, ἢ κατὰ τὸ ἔθος ἀποστεῖλαι εἶχον τοποτηρητάς. Ἐπειδὴ δὲ τοῦτο οὐδαμῶς γέγονε, διαμαρτύρονται οἱ ἀπὸ τοσούτου μήκους τῆς Μαυριτανίας Σιτιφένσης ἐλθόντες τοποτηρηταί, ἐπὶ πολὺ μὴ δύνασθαι ἐμβραδύνειν. Διὰ γοῦν τοῦτο, ἀδελφοί, ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, τὰ γράμματα τῶν ἀπὸ τοῦ Βυζακίου ἀδελφῶν ἡμῶν, καὶ τὸ βρέβιον, ὅπερ τῇ αὐτῇ ἐπιστολῇ προσέδησαν, ἐν ταύτῃ τῇ παρακλήτῳ συνελεύσει ἀναγνωσθῶσιν, ἵνα, ἐάν τινα τυχὸν ἐξ αὐτῶν ἐνστῶσι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅσα δι' ἐπιμελείας δυνηθῶσι διορθωθῆναι, εἰς κρεῖττον μετατυπωθῶσι. Τοῦτο γὰρ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Μειζόνιος, ὁ τῆς πρώτης καθέδρας περιφανέστατος ἀνήρ, ἀξίως τοῦ ὄγκου καὶ τῆς συνέσεως αὐτοῦ γράφων πρὸς τὴν ἐμὴν εὐτέλειαν.

---

(1) τὰ ἀπὸ τοῦ, ἐκ τῆς συνόδου Καρχηδόνος, ἕως τοῦ, πρὸς τοὺς ἐπισκόπους, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Ἰουστ. Χ. Τρ. Ε. Κ. — ὡς μεμνήμεθα Βευερ. — (3) προλαμβάνοντες Χ. Τρ. Κ. — (4) Χ. Τρ. Βρ. λατιν. = χώρας Ἰουστ. Κ. Ε. Βευερ.

ᾔτησεν. Ἐὰν οὖν ἀρέσκῃ τὰ συζητηθέντα ἀναγνωσθῶσι, καὶ ἕκαστα ἐκ τῆς ὑμετέρας κατανοηθῶσιν ἀγάπης.

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ἡμέρα ὡρίσθη συνελεύσεως τοῖς τῆς συνόδου ταύτης Πατράσιν, οἵ τινες ἤλπιζον ἐκ τῶν ἐπαρχιῶν ἁπασῶν τῆς Ἀφρικῆς τοποτηρητὰς ἐλθεῖν (1) εἰς τὴν σύνοδον, ὧν τινες μὲν ἦλθον, τινὲς δὲ οὐκ ἀπηντήκασι, τινῶν δὲ προεκομίσθησαν γράμματα. Τῶν οὖν ἐπιδημησάντων, μὴ δύνασθαι λεγόντων ἐπὶ πλέον προσκαρτερεῖν, ὁ ἐπίσκοπος Αὐρήλιος ἔφησε πρὸς τὴν σύνοδον, ὅτι, ἐπεὶ οἱ ἐλθόντες πρὸς ἡμᾶς τοποτηρηταὶ προσμένειν καὶ ἔτι οὐ δύνανται, ἀναγνωσθήτωσαν τὰ γράμματα τῶν ἀπὸ Βυζακίου ἀδελφῶν ἡμῶν, καὶ τὸ σὺν τοῖς γράμμασιν ἀποσταλὲν βρέβιον. Τὸ δὲ Βυζάκιον, καὶ ἡ Σιτιφένση, καὶ αἱ δύο Νουμιδίαι, καὶ ἡ Σελλιτανὴ, τῆς Ἀφρικῆς χώρας εἰσὶ μοῖραι. Ἀναγνωσθήτωσαν δέ, φησιν, ἵνα, ἐὰν ἐξ αὐτῶν τινα ἐνστῶσι τῇ ὑμετέρᾳ ἀγάπῃ, ἀντὶ τοῦ, ἐάν τινα τούτων ἐναντιωθῶσιν ὑμῖν, προσκόψασι τούτοις ὡς μὴ καλῶς τυπωθεῖσι, διορθωθῶσι ταῦτα δι' ἐπιμελείας, καὶ εἰς κρεῖττον μετατυπωθῶσι. Τοῦτο γάρ, φησι, καὶ ὁ Μειζόνιος ᾔτησε τὸ διορθωθῆναι τὰ δεόμενα διορθώσεως. Παράκλητον δὲ τὴν συνέλευσιν εἴρηκεν, ἢ ὡς ἐκ παρακλήσεως ἀλλήλων ἀθροιζομένην, ἢ ὡς εἰς διόρθωσιν παρακαλοῦσαν διὰ τῶν παρ' αὐτῆς ὁριζομένων τοὺς μὴ βιοῦντας καλῶς, ἢ μὴ φρονοῦντας ὀρθῶς περὶ πίστεως.

## Κανὼν ΛΔ'. (2)

*Ὅτι οὐδὲν ἐκ τῆς ἐν Ἱππῶνι συνόδου εἴη διορθωτέον.*

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἐν τούτῳ τῷ βρεβίῳ, τῷ ἀποδρεφθέντι ἐκ τῆς ἐν Ἱππῶνι συνόδου, οὐδὲν νομίζομεν εἶναι διορθωτέον, ἢ προσθετέον· εἰ μή, ἵνα ἡ ἡμέρα τοῦ ἁγίου Πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου γνωρισθείῃ.

---

(1) ἀφικέσθαι Χ. Τρ. — (2) ὁ κανὼν οὗτος οὐ κεῖται ἐν Π. Ὅρα σημ. 2 ὑπὸ τὸν Καν. ΜΒ', ἐν Πηδαλίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΖΩΝΑΡ. Ἀναγνωσθέντων τῶν γραμμάτων, ἀλλὰ μέντοι καὶ τοῦ βρεβίου, κατὰ τὴν εἰσήγησιν Αὐρηλίου, ὁ Ἐπιγόνιος ἔφη· Οὐδὲν δοκεῖ ἡμῖν διορθώσεως ἄξιον ἐν τῷ βρεβίῳ τῷ ἀποτμηθέντι ἐκ τῆς ἐν Ἱππῶνι συνόδου· (Ἱππὼν δὲ πόλις ἐστὶ τῆς Καρχηδόνος, ἐν ᾗ συνόδου ἀθροισθείσης, πολλὰ ὡρίσθησαν, ἐξ ὧν τινα ὀλίγα προεκομίσθησαν εἰς τὴν σύνοδον ταύτην· βρέβους γὰρ Ῥωμαϊστὶ, τὸ βραχὺ, τὸ ὀλίγον λέγεται·) τοῦτο δὲ μόνον, φησὶν, ἀναγκαῖον, τὸ τὴν ἡμέραν τοῦ ἁγίου Πάσχα γνωρισθῆναι ἐν τῷ καιρῷ τῆς συνόδου, ἀντὶ τοῦ, δήλην γενέσθαι, ὅτε σύνοδος γένηται.

ΒΑΛΣ. Ἡ Ἱππὼν πόλις ἐστὶ τῆς Καρχηδόνος, ἐν ᾗ συνόδου ἀθροισθείσης, πολλὰ ὡρίσθησαν, ἐξ ὧν τινα ὀλίγα (βρέβους γὰρ παρὰ τοῖς Λατίνοις, τὸ βραχὺ,) ἀποδρεφθέντα, ἤτοι ἀποτμηθέντα, προεκομίσθησαν, καὶ ἔδοξαν καλῶς ἔχειν. Τοῦτο δὲ μόνον ἔφησαν οἱ Πατέρες εἶναι ἀναγκαῖον, τὸ τὴν ἡμέραν τοῦ ἁγίου Πάσχα δήλην γενέσθαι.

ΑΡΙΣΤ. Οὐδὲν τῆς ἐν Ἱππῶνι συνόδου διορθωτέον ἢ προσθετέον, εἰ μὴ ἵνα ἡ ἡμέρα τοῦ Πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου γνωρίζηται.

Διάφοροι σύνοδοι ἐν πάσῃ τῇ τῶν Ἄφρων χώρᾳ γεγόνασιν ἐν τοῖς προλαβοῦσι χρόνοις, καὶ ἀνεγνώσθησαν ἐν ταύτῃ τῇ συνόδῳ, καὶ ἔδοξεν ἡ ἐν Ἱππῶνι Ῥεγίῳ γενομένη σύνοδος καλῶς ἔχειν, καὶ ὥρισαν οἱ Πατέρες, μήτε διόρθωσιν, μήτε προσθήκην τὴν τοιαύτην δέξασθαι σύνοδον, ἀλλ' ἢ μόνον τὸ γνωρίζεσθαι τὴν ἡμέραν τοῦ Πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου τῆς ἐν Καρχηδόνι γινομένης, ἵνα μή τινες ἴσως σφάλλωνται περὶ αὐτήν.

## Κανὼν ΛΕ'. (ΜΒ'.)

*Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς, μὴ εὐχερῶς τὰ τέκνα αὐτῶν ποιεῖν ἐμαγκίπατα.*

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς, τὰ τέκνα αὐτῶν μὴ ἐᾶν αὐτεξουσίως ἀπιέναι διὰ ἐμαγκιπατίωνος, εἰ μὴ δ' ἂν εἰς τοὺς τρόπους καὶ εἰς τὴν ἡλικίαν αὐτῶν

πληροφορηθῶσιν· ὡς λοιπὸν τὰ ἁμαρτήματα αὐτῶν εἰς αὐτοὺς συντείνειν.

---

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι, φησὶν ὁ κανὼν, καὶ οἱ τοῦ κλήρου, μὴ ποιείτωσαν αὐτεξούσια τὰ ἴδια τέκνα διὰ ἐμαγκιπατίωνος· (καὶ αὕτη Ῥωμαϊκὴ ἡ λέξις· ἐμαγκιπατία δέ ἐστιν, ἡ παρὰ τοῦ ἔχοντος ὑπεξούσιον διδομένη αὐτῷ αὐτεξουσιότης·) ὁρίζονται τοίνυν, μὴ ποιεῖν τὰ τέκνα αὐτῶν αὐτεξούσια, πρὶν ἢ πληροφορίαν λάβωσι περὶ τῶν τρόπων αὐτῶν, ὅτι ἀγαθοί εἰσι, καὶ περὶ τῆς ἡλικίας, ὅτι δύνανται τὸ δέον φρονῆσαι· εἰ γὰρ πρὸ τοιούτου καιροῦ αὐτεξούσια τὰ τέκνα ποιήσουσι, τῶν ἁμαρτημάτων αὐτῶν καὶ αὐτοὶ ἔσονται κοινωνοί.

ΒΑΛΣ. Ἐμαγκιπατίων λέγεται παρὰ Ῥωμαίοις ἡ παρὰ τῶν πατέρων διδομένη τοῖς ὑπεξουσίοις παισὶν αὐτεξουσιότης. Φησὶν οὖν ὁ κανὼν, μὴ γίνεσθαι αὐτεξουσίους τοὺς παῖδας τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν παρὰ τῶν πατέρων αὐτῶν, εἰ μὴ ἀπὸ τῆς ἡλικίας καὶ τῶν ἀγαθῶν τρόπων πληροφορίαν δώσουσιν, ὅτι δύνανται δεόντως καὶ εὐλαβῶς τὰ κατ' αὐτοὺς οἰκονομεῖν. Τούτου δὲ οὕτω μὴ γινομένου, φησὶ τοὺς πατέρας λόγον διδόναι ὑπὲρ τῶν ἁμαρτιῶν τῶν παίδων. Καὶ ὁ μὲν κανὼν ἐθέσπισε ταῦτα, χάριν τῶν τέκνων τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν. Οἱ δὲ νόμοι παρακελεύονται διὰ νομίμου πράξεως, ἤγουν μετὰ δικαστικῆς διαγνώσεως, τὴν αὐτεξουσιότητα γίνεσθαι, μὴ διαστείλαντες κληρικῶν καὶ λαϊκῶν παῖδας· καὶ διὰ τοῦτο, οὐδὲ κληρικοὶ, οὐδὲ ἐπίσκοποι, χωρὶς δεκρέτου δικαστικοῦ, ὡς ἐμοὶ δοκεῖ, ἵνα ποιήσωσιν αὐτεξουσίους παῖδας αὐτῶν. Ἡ γὰρ δοκιμασία τοῦ βίου τούτων καὶ τῆς ἡλικίας κατὰ τὸν κανόνα παρὰ δικαστοῦ ὀφείλει γίνεσθαι, οὐ μὴν παρὰ μόνου τοῦ πατρός. Καὶ ἀνάγνωθι τὸ γ'. κεφ. τοῦ γ'. τίτ. τοῦ λα'. βιβλίου λέγον· Οὐ γυμνὴ συναίνεσις τοῦ πατρὸς ἐλευθεροῖ τῆς ὑπεξουσιότητος τὸν παῖδα, ἀλλὰ νόμιμος πρᾶξις· οὐδὲ μὴν ἡ αἰτία ζητεῖται, ἀλλὰ τῆς πράξεως ἡ ἀκρίβεια. Ἴσως δὲ εἴπῃ τις τὸν παρόντα κανόνα διορθωτικὸν εἶναι τοῦ ε.

κεφ. τοῦ β΄. τίτλου τοῦ λά. βιβλίου, λέγοντος· Ὁ τὸν παῖδα ἐπὶ πολὺ ἐάσας τὰ αὐτεξουσίων πράττειν, καὶ ὑπὸ ἐπιτρόπους τελεῖν, πρόκριμα πάσχει περὶ τὴν ὑπεξουσιότητα τοῦ παιδός. Τοῦ γὰρ νόμου τούτου λέγοντος ἀπολύεσθαι τῆς ὑπεξουσιότητος τὸν κατὰ ἀνοχὴν τοῦ πατρὸς διοικοῦντα τὰ οἰκεῖα ἐπὶ πολὺν χρόνον, ἤγουν ἐπὶ διετίαν, ἔφησεν ὁ κανὼν, μὴ ὀφείλειν τοῦτο γίνεσθαι καὶ εἰς τοὺς παῖδας τῶν ἐπισκόπων ἢ τῶν κληρικῶν, ἵνα μὴ περιϋβρίζωνται οἱ ἐπίσκοποι ἢ οἱ κληρικοὶ, ἐκ τοῦ ἴσως ἀσώτως διάγειν τοὺς παῖδας τούτων κατὰ ἀνεξικακίαν αὐτῶν. Ὑπέξελέ μοι τοὺς διὰ ἀρχοντικίων τῆς μεγάλης ἐκκλησίας τιμηθέντας παῖδας ἐπισκόπων καὶ κληρικῶν· οὗτοι γὰρ ἀπεντεῦθεν αὐτεξούσιοι γίνονται ἐκ τῆς αὐθεντίας τοῦ νόμου, καὶ οἱ πατέρες αὐτῶν οὐ δώσουσι λόγους ὑπὲρ ὧν ἴσως αὐτοὶ πλημμελήσουσι. Καὶ ἀνάγνωθι τὸν ιή. κανόνα τῆς πρώτης συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ τὸν ζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ τὸ σχόλιον τοῦ λϛ΄. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος· ἐν τούτοις γὰρ διελήφθη πλατύτερον, ὅτι οἱ τῆς μεγάλης ἐκκλησίας ἄρχοντες, ὡς ἀξιωματικοὶ, ἀπεντεῦθεν ἀπαλλάττονται τῆς ὑπεξουσιότητος. Τὸ δὲ διδόναι λόγον τοὺς πατέρας ὑπὲρ τῶν ἁμαρτημάτων τῶν παίδων, μὴ γεγονότων αὐτεξουσίων κατὰ τὸν κανόνα, ὅσον τὰ εἰς Θεὸν καὶ εἰς ψυχικὴν κατάκρισιν ἐκλαβοῦ· ἀπὸ γὰρ τῶν ἁμαρτημάτων τῶν παίδων τῶν ὑπεξουσίων δηλαδὴ ἢ καὶ αὐτεξουσίων, ὁπωσδήποτε οἱ πατέρες οὐκ ἐνέχονται, οὐδὲ κολάζονται· τὰ γὰρ ἁμαρτήματα, φησὶν ὁ νόμος, τῇ κεφαλῇ ἕπονται.

ΑΡΙΣΤ. Ἐπίσκοποι καὶ κληρικοὶ τὰ ἴδια τέκνα, πρὸ τῆς τῶν τρόπων σταθερότητος, μὴ ἐμαγκιπευέτωσαν.

Τῆς ἰδίας χειρὸς οὐκ ὀφείλουσιν ἐπίσκοποι ἢ κληρικοὶ τὰ ἴδια τέκνα ἀπολύειν, καὶ ποιεῖν αὐτεξούσια, πρὸ ἀτελοῦς ἡλικίας, καὶ τῆς τῶν τρόπων καὶ τῶν ἠθῶν σταθερότητος.

## Κανὼν Λϛ΄. (ΜΓ΄.)

*Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ κληρικοὺς μὴ χειροτονεῖσθαι, εἰ μὴ πάντας τοὺς ἰδίους, Χριστιανοὺς ποιήσωσιν.*

Ὥστε ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους μὴ χειροτονεῖσθαι, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν Χριστιανοὺς ὀρθοδόξους ποιήσωσιν.

---

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι χρέος ἔχουσι διδάσκειν, καὶ μετάγειν τοὺς ἀπίστους εἰς πίστιν, καὶ τοὺς σφαλλομένους περὶ τὰ δόγματα Χριστιανοὺς ὁδηγεῖν εἰς ὀρθοδοξίαν· ὁμοίως καὶ οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι. Ἐὰν δέ τις, αὐτὸς μὲν εἴη Χριστιανὸς, τοὺς δ᾽ ἐν τῷ οἴκῳ αὐτοῦ, οἷον γυναῖκα, καὶ παῖδας, καὶ οὓς πρὸς ὑπηρεσίαν ἔχει, ἢ ἀπίστους ὄντας παρορᾷ, ἢ αἱρετικοὺς, τοῦτον μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον γίνεσθαι λέγει ὁ κανών· ὃς γὰρ τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ διδάξαι, καὶ μεταστρέψαι ἐκ κακοδοξίας εἰς ὀρθοδοξίαν οὐ δύναται, ἢ οὐ βούλεται, πῶς οὗτος ἑτέρους διδάξει; καὶ αὐτὸς δὲ ἀμφίβολος ἂν περὶ τὴν πίστιν λογίζοιτο. Καὶ ὁ μέγας δὲ Παῦλος, Τιμοθέῳ γράφων, φησίν· Εἴ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐ δύναται, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται (1);

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν κωλύει χειροτονεῖσθαί τινα, πρὸ τοῦ γενέσθαι ὀρθοδόξους Χριστιανοὺς τοὺς σὺν αὐτῷ κατοικοῦντας ἀπίστους ἢ αἱρετικούς· ἕτεροι δὲ κανόνες κολάζουσι καὶ αὐτὸ τοῦτο τὸ συνδιάγειν ὀρθόδοξον μετὰ ἀπίστων ἢ αἱρετικῶν. Εἰ γοῦν λαϊκῷ οὐκ ἐφεῖται κοινωνεῖν μετὰ ἀπίστου ἢ αἱρετικοῦ, πολλῷ πλέον ἐπισκόπῳ ἢ κληρικῷ τοῦτο οὐ παραχωρηθήσεται. Διὸ οὐ μόνον οὐ κληρωθήσεται ὀρθόδοξος διάγων μετὰ ἀπίστου ἢ αἱρετικοῦ, ἀλλὰ καὶ τῆς κοινωνίας ἐκβληθήσεται· ὁ γὰρ κοινωνῶν ἀκοινωνήτῳ, ἀκοινώνητος ἐστί. Καὶ ταῦτα μὲν περὶ τῶν ἀπὸ γένους ὀρθοδόξων καταγομένων. Περὶ γὰρ τῶν ἐξ ἀπίστων εἰς τὴν ἁγίαν καὶ ἀλη-

---

(1) ά, Τιμόθ. Γ΄, 5.

θῆ ἡμετέραν πίστιν γραφέντων, ἀνάγνωθι τὸ ί. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· καὶ τὸν οή. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου (1).

ΑΡΙΣΤ. Οὐ χειροτονεῖται ὁ μὴ τοὺς εἰς τὸν οἶκον αὐτοῦ πάντας ὀρθοδόξους ποιήσας.

## Κανὼν ΛΖ'. (ΜΔ'.)

*Περὶ τοῦ μὴ ἐξεῖναι περαιτέρω ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου τί ποτε ἐν τοῖς ἁγίοις προσφέρειν.*

**Ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου (2) προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ Κύριος παρέδωκε, τουτέστιν, ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου (3). Ἀπαρχὴ δὲ, εἴτε μέλι, εἴτε γάλα, ὡς εἴωθε, προσφερέσθω ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ (4) εἰς τὸ τῶν νηπίων μυστήριον· εἰ καὶ τὰ μάλιστα γὰρ ἐν θυσιαστηρίῳ προσφέρεται, ὅμως ἰδίαν ἐχέτω κυρίως εὐλογίαν, ὡς ἐκ τοῦ ἁγιάσματος τοῦ Κυριακοῦ σώματος καὶ αἵματος διίστασθαι. Μηδὲν δὲ πλέον ἐν ταῖς ἀπαρχαῖς προσφερέσθω, ἢ ἀπὸ σταφυλῶν καὶ σίτου.**

---

ΖΩΝΑΡ. Καὶ ὁ τρίτος κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ δ'. περὶ ταύτης τῆς ὑποθέσεως διατάττονται. Ἐπεὶ δέ τινες καὶ μετὰ ταῦτα παρέβαινον τοὺς κανόνας ἐκείνους, ὡς οἱ Ἀρμένιοι, οἶνον μόνον προσφέροντες εἰς τὰ ἅγια, ἀλλ' οὐχὶ καὶ ὕδωρ, καθὼς ὁ λβ'. περιέχει κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, ἦλθε καὶ ἡ παροῦσα σύνοδος, εἰς τὸ περὶ τούτου διατάξασθαι, καί φησι, πλέον μηδὲν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου προσφέρεσθαι εἰς τὰ ἅγια, τὸν μὲν ἄρτον, εἰς τύπον τοῦ σώματος τοῦ Κυρίου, τὸν δὲ οἶνον, τοῦ αἵματος. Ἐπεὶ δὲ οὐχ αἷμα μόνον ἐκ τῆς πλευρᾶς τοῦ Δεσπότου ἐῤῥύη, ἀλλὰ

(1) Βευερ. —Καὶ ταῦτα μὲν ... συνόδου. οὐ κεῖται παρὰ Ε. καὶ ἐν Χ. Τρ. — (2) τοῦ κυρίου ξένον Σ. Ῥ. — (3) τουτέστι... μεμιγμένου οὐ κεῖται ἐν Σ. Ρ. — (4) ὡς εἴωθεν... ἐθίμῳ, οὐ κεῖται ἐν Π.

καὶ ὕδωρ, διὰ τοῦτο ἀναγκαῖον τῷ προσφερομένῳ οἴνῳ εἰς τὰ θεῖα μυστήρια καὶ ὕδωρ συγκίρνασθαι. Ὅτι δέ, φησιν, εἴωθε προσφέρεσθαι, ὡς ἀπαρχή, μέλι ἢ γάλα ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ εἰς τὸ τῶν νηπίων μυστήριον, κἂν ἐν τῷ θυσιαστηρίῳ προσφέρηται, ὅμως μὴ τῷ θείῳ ἄρτῳ καὶ οἴνῳ μιγνύσθωσαν, ἀλλ' ἰδίαν ἐχέτω εὐλογίαν, κεχωρισμένως ἐξ ἐκείνων εὐλογούμενα. Τὸ δὲ, εἰς τὸ τῶν νηπίων μυστήριον, τινές φασιν εἶναι τὸ μεταδίδοσθαι ταῦτα τοῖς νηπίοις ἀντὶ τῶν μυστηρίων, ὅπερ οὐκ οἶμαι· τινὲς δὲ, ὅτι τὸ γάλα προσήγετο ὡς ἀπαρχὴ διὰ τὰ νήπια, ὡς γάλακτι μόνῳ τρεφομένων αὐτῶν. Τοῦτο δὲ ἡ ἕκτη σύνοδος τελείως ἐκώλυσεν ἐν νζ'. κανόνι αὐτῆς. Ὡς ἀπαρχὴ δέ, φησι, μηδὲν πλέον προσφερέσθω, ἢ σῖτος νέος, καὶ σταφυλαὶ ἄρτι γενόμεναι πέπειροι.

ΒΑΛΣ. Ὁ λβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου πλατέως θεσπίζει γίνεσθαι τὴν ἀναίμακτον θυσίαν μετὰ ἄρτου κ[illegible]ἴνου ὕδατι μεμιγμένου, ὡς τοῦ μὲν ἄρτου, τύπον ἔχοντος (1) τοῦ Κυριακοῦ σώματος, τοῦ δὲ οἴνου, τύπον τοῦ αἵματος. Ἐπεὶ δὲ οὐχ αἷμα μόνον ἐκ τῆς πλευρᾶς τοῦ Κυρίου ἐῤῥύη ἀλλὰ καὶ ὕδωρ, διὰ τοῦτο συγκιρνᾶται τῷ προσφερομένῳ οἴνῳ καὶ ὕδωρ· ἀνάγνωθι καὶ τὸν γ'. κανόνα τῶν ἁγίων Ἀποστόλων. Τὰ αὐτὰ δὲ τούτοις καὶ ὁ παρὼν κανὼν παρακελεύεται, προστιθέμενος, ὡς, εἰ καὶ εἴωθε προσφέρεσθαι ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, ὡς ἀπαρχή, μέλι ἢ γάλα ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ εἰς τὸ τῶν νηπίων μυστήριον, ἤγουν ὑπὲρ τῶν νηπίων, ἀλλ' ὅμως οὐκ ὀφείλουσι ταῦτα συναναχεῖσθαι μετὰ τῶν θείων ἁγιασμάτων, ἀλλ' ἰδιαζόντως κεῖσθαι, καὶ εὐλογεῖσθαι μᾶλλον ὑπ' ἐκείνων· ὡς ἀπαρχὴ δὲ μηδὲν πλέον προσφερέσθω ἢ σῖτος νέος καὶ σταφυλή. Τὰ δὲ περὶ τοῦ γάλακτος, καὶ τοῦ μέλιτος, ἐκωλύθησαν ἐν τῷ νζ'. κανόνι τῆς ϛ'. συνόδου.

ΑΡΙΣΤ. Ἄρτος καὶ οἶνος ὕδατι κεκραμένος προσαγέσθω καὶ μόνον.

Οὐδὲν γὰρ πλέον τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου προσενεχθήσεται, ἀλλ' ἄρτος μόνον, καὶ οἶνος ὕδατι μεμιγμένος· καθὼς καὶ αὐτὸς ὁ Κύριος παρέδωκε.

(1) Χ. Τρ. Ε. — ἐπέχοντος [illegible].

## Κανὼν ΛΗ΄. (ΜΕ΄.)

*Ὥστε κληρικοὺς, ἢ ἐγκρατευομένους, πρὸς παρθένους, ἢ χήρας μὴ εἰσιέναι.*

**Κληρικοὶ, ἢ ἐγκρατευόμενοι, πρὸς χήρας, ἢ παρθένους, εἰ μὴ κατ' ἐπιτροπὴν καὶ συναίνεσιν (1) τοῦ ἰδίου ἐπισκόπου, ἢ τῶν πρεσβυτέρων, μὴ εἰσίτωσαν· καὶ τοῦτο δὲ μὴ μόνοι ποιείτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετὰ τούτων, μεθ' ὧν ὁ ἐπίσκοπος ἢ οἱ πρεσβύτεροι μόνοι ἔχουσι τὴν εἴσοδον πρὸς τὰς τοιουτοτρόπους γυναῖκας, ἢ ὅπου πάρεισι κληρικοὶ, ἢ ἔντιμοί τινες Χριστιανοί.**

---

ΖΩΝΑΡ. Φεύγειν τὰς ὑπολήψεις παρηγγέλθημεν οἱ πιστοὶ, κἂν ὦσι ψευδεῖς. Καὶ τῷ θεσπεσίῳ εἴρηται Παύλῳ· Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ (2). Ταύταις οὖν ταῖς παραγγελίαις, ἀλλὰ μὴν καὶ ἑτέραις καὶ οἱ Πατέρες οὗτοι ἑπόμενοι, φασὶ πρὸς χήρας ἢ παρθένους, δηλαδὴ καθιερωμένας, μὴ εἰσιέναι κληρικοὺς, ἢ ἐγκρατευομένους. Τοὺς μοναχοὺς δὲ ὠνόμασαν ἐγκρατευομένους κατὰ τὸν μέγαν Βασίλειον, ὃς περὶ ὁμολογίας τοῦ παρθενεύειν διαταττόμενος, ἐν ιθ΄. αὐτοῦ κανόνι φησίν· Ἀνδρῶν δὲ ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, οἳ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. Τοὺς οὖν κληρικοὺς καὶ τοὺς ἐγκρατευομένους, εἰ μὴ παρὰ τοῦ ἐπισκόπου, ἢ τῶν πρεσβυτέρων, δηλαδὴ μὴ παρόντος ἐπισκόπου ἐπιτραπεῖεν, μὴ εἰσιέναι κελεύουσιν εἰς τὰς εἰρημένας γυναῖκας· καὶ τότε δὲ μὴ μόνοι εἰσίτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετ' ἐκείνων, μεθ' ὧν καὶ ὁ ἐπίσκοπος, καὶ οἱ πρεσβύτεροι εἰσίασι πρὸς αὐτάς· ἢ ἐκεῖ ἐντυγχανέτωσαν αὐταῖς, ὅπου εἰσὶ κληρικοὶ, ἢ ὅπου εἰσὶν ἔντιμοί τινες Χρι-

---

(1) συναίρεσιν Ἰουστ. — (2) ά, Κορ. ί, 32.

στιανοί, ὥστε πᾶσαν ὑποψίαν περιαιρεῖσθαι. Κατ᾽ ἐπιτροπὴν δὲ, φησὶν ὁ κανὼν, ἢ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἢ γὰρ ἐκεῖνος ἐπιτρέψει τῷ κληρικῷ ἀφ᾽ ἑαυτοῦ κινηθεὶς διά τινα χρείαν, ἢ τινος τῶν εἰρημένων αἰτήσαντος συντυχεῖν ταῖς εἰρημέναις γυναιξὶν αἰτίας ἀπαιτούσης, ὁ ἐπίσκοπος συναινεῖ.

ΒΑΛΣ. Ἐγκρατευόμενοι λέγονται οἱ μοναχοὶ, ὡς παρίσαται τοῦτο ἀπὸ τοῦ ιθ'. κανόνος τοῦ μεγάλου Βασιλείου. Φησὶ γοῦν ὁ παρὼν κανὼν, μὴ ἐντυγχάνειν κληρικοὺς, ἢ μοναχοὺς, χήραις, ἢ παρθένοις καθιερωμέναις πάντως οὔσαις, εἰ μὴ παρὰ τῶν ἐπισκόπων, ἢ τῶν πρεσβυτέρων, δηλαδὴ μὴ παρόντων ἐπισκόπων, ἐπιτραπεῖεν· καὶ τότε δὲ μὴ μόνοι εἰσίτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετ᾽ ἐκείνων, μεθ᾽ ὧν καὶ ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι εἰσίασι πρὸς αὐτάς· ἢ ἐκεῖ ἐντυγχανέτωσαν αὐταῖς, ὅπου εἰσὶ κληρικοὶ ἢ ἔντιμοί τινες Χριστιανοί· τὸ κατ᾽ ἐπιτροπὴν δὲ ἢ συναίνεσιν, εἴρηται, διότι ἢ διά τι χρήσιμον τῷ ἐπισκόπῳ καὶ τῇ ἐκκλησίᾳ γίνεται παρὰ τούτων ἡ ἐντυχία, καὶ ἐπιτρέπουσι ταύτην οἱ ἐπίσκοποι, ἢ διὰ οἰκείαν χρησιμότητα καὶ αἴτησιν, καὶ ὀφείλουσι συναινεῖν οἱ ἐπίσκοποι. Ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλον ιά. κεφ. έ. συνόδου ς'. κανόνα μζ'. καὶ τῆς ρλγ'. Ἰουστινιανείου νεαρᾶς κεφ. β'. ἤτοι κεφ. ιέ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ κατεστρώθη ἐν τῷ μζ'. κανόνι τῆς ἕκτης συνόδου.

ΑΡΙΣΤ. Κληρικοὶ, καὶ ἐγκρατευόμενοι, χήραις ἢ παρθένοις μὴ προσιέτωσαν, εἰ μὴ ἐπισκόπου καὶ πρεσβυτέρου ἐπιταγῇ· καὶ οὕτω μὴ μόνοι, ἀλλ᾽ ἢ μεθ᾽ ὧν ἐπίσκοπος (1) καὶ πρεσβύτεροι πρὸς τὰς τοιαύτας εἰσίασιν.

Δεῖ πᾶσαν εἶναι ἀσφάλειαν τῶν παρθένων καὶ τῶν χηρῶν τῶν τεταγμένων τῇ ἐκκλησίᾳ, καὶ ὑπ᾽ αὐτῆς τρεφομένων· καὶ μήτε κληρικοὶ, μήτε μονασταὶ, μήτε τινὲς τῶν σεμνοτέρων ἀνθρώπων εἰσερχέσθωσαν ἐν αὐταῖς, ἄνευ προτροπῆς τῶν ἐπισκόπων καὶ πρεσβυτέρων· ἀλλὰ καὶ ἐπιταγέντες, οὐ μόνοι εἰσελεύσονται, ἀλλὰ μεθ᾽ ὧν εἰώθασι καὶ οἱ ἐπίσκοποι, καὶ οἱ πρεσβύτεροι πρὸς αὐτὰς εἰσιέναι.

(1) Ἰουστ. — πρεσβύτεροι καὶ διάκονοι, Βευερ.

## Κανὼν ΛΘ'. (Μϛ'.)

*Περὶ τοῦ τὸν πρῶτον ἐπίσκοπον μὴ προσαγορεύεσθαι ἔξαρχον τῶν ἱερέων.*

Ὥστε τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον μὴ λέγεσθαι ἔξαρχον τῶν ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιουτότροπον τίποτε, ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης καθέδρας.

---

ΖΩΝΑΡ. Ἄλλοι μὲν κανόνες, καὶ ταῦτα συνόδου οἰκουμενικῆς τῆς ἐν Χαλκηδόνι, ἐξάρχους ὀνομάζουσι τῶν ἐπαρχιῶν, ὁ ἔννατος δηλαδὴ ταύτης, καὶ ὁ ιζ'. Καὶ ἡ ἐν Σαρδικῇ δὲ σύνοδος ἐν ϛ'. κανόνι, τῶν ἐπαρχιῶν ἐξάρχους καλεῖ τοὺς ἐπισκόπους τῶν μητροπόλεων. Οὗτος δὲ ὁ κανὼν μετὰ τῶν ἄλλων ὀνομάτων ἀποτρέπει καὶ τοῦτο τὸ ὄνομα, δι' οὐδὲν, οἶμαι, ἄλλο, ἢ δι' ἀλαζονείας καὶ ὄγκου καταβολὴν, καὶ τύφου ἀναίρεσιν. Ἐπεὶ δὲ ἡ ἐν Χαλκηδόνι σύνοδος, οἰκουμενική τε οὖσα καὶ μεταγενεστέρα, ἐξάρχους τῶν ἐπαρχιῶν εὑρίσκεται, ὡς εἴρηται, ὀνομάσασα, ἔοικεν, ὡς οὐκ ἠτμένησε τῷ κανόνι τούτῳ, ἀλλὰ μᾶλλον τῷ τῆς ἐν Σαρδικῇ.

ΒΑΛΣ. Ὁ θ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὁ ϛ'. καὶ ὁ ζ'. τῆς ἐν Σαρδικῇ, ἐξάρχους ἐπαρχιῶν τοὺς ἐπισκόπους τῶν μητροπόλεων καλοῦσι· καὶ πρόσχες τῷ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου μεταγενεστέρας οὔσης. Τὰ ὀνόματα δὲ ταῦτα ἐκωλύθησαν διὰ περιαίρεσιν ἀλαζονείας· καὶ διὰ τοῦτο οἱ πλείους τῶν πατριαρχῶν καὶ τῶν ἀρχιερέων ταπεινοὺς καὶ εὐτελεῖς ἑαυτοὺς ἐν ταῖς οἰκείαις ὑπογραφαῖς ὀνομάζουσιν.

ΑΡΙΣΤ. Ὁ πρωτεύων ἐπίσκοπος, οὐκ ἔξαρχος ἱερέων, οὐκ ἄκρος ἱερεὺς, ἀλλ' ἐπίσκοπος τῆς πρώτης καθέδρας κληθήσεται.

Ἡ τῆς ἱερωσύνης ἀξία μία ἐστὶ καὶ ἡ αὐτὴ ἐπὶ πᾶσι· καὶ οὐ κληθήσεται οὗτος μὲν ἄκρος ἱερεὺς, ἐκεῖνος δὲ ἀτελὴς ἱερεύς· ἀλλὰ πάντες ἐπίσης ἱερεῖς, πάντες ἐπίσκοποι, ὡς καὶ τὴν χάριν τοῦ παναγίου Πνεύματος ἐπίσης δεξάμενοι. Ὁ

γοῦν τῆς μητροπόλεως ἐπίσκοπος, ὡς τὴν πρώτην ἔχων καθέδραν, μετὰ προσθήκης λεχθήσεται ἐπίσκοπος μητροπόλεως.

## Κανὼν Μ'. (ΜΖ'.)

*Περὶ τοῦ, μὴ καπηλεύεσθαι τοὺς κληρικοὺς, εἰ μὴ ἐπιξενουμένους.*

Ὥστε τοὺς κληρικοὺς χάριν τοῦ τρώγειν ἢ πίνειν μὴ εἰσιέναι εἰς καπηλεῖα, εἰ μὴ δ' ἂν ξενίας ἀνάγκῃ συνωθουμένους.

---

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ τῶν ἁγίων Ἀποστόλων νδ'. κανὼν ἐκώλυσε, καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τῆς λεγομένης ἕκτης ἔννατος κανὼν περὶ τούτου φησί. Ζητητέον οὖν τὰ ἐκεῖ γεγραμμένα.

ΒΑΛΣ. Ἀνέγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα νδ'. καὶ τῆς ἕκτης συνόδου κανόνα θ'. πλατύτερον διδάσκοντας τὰ περὶ τούτων.

ΑΡΙΣΤ. Κληρικὸς, ἐνόδιος ὢν, εἰς καπηλεῖον, καὶ οὐκ ἄλλως, εἰσελεύσεται.

Ἐὰν κληρικὸς ἐπὶ ξένης διάγων, καὶ μὴ ἔχων ἔν τινι σεμνῷ καταλῦσαι τόπῳ, καὶ τὰ ζωαρκῆ αὐτῷ ἐφευρεῖν, εἰς καπηλεῖον εἰσέλθῃ ἐπὶ τῷ φαγεῖν καὶ πιεῖν, ἀνεπιτίμητος ἔσται.

## Κανὼν ΜΑ'. (ΜΗ'.)

*Περὶ τοῦ, ἀπὸ νηστικῶν τῷ Θεῷ προσάγεσθαι θυσίας.*

Ὥστε ἅγια θυσιαστηρίου, εἰ μὴ ἀπὸ νηστικῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ Κυριακὸν δεῖπνον ἐπιτελεῖται. Ἐὰν δέ τινων κατὰ τὸν δειλινὸν καιρὸν τελευτησάντων εἴτε ἐπισκόπων, εἴτε τῶν λοιπῶν, παράθεσις γένηται, μόναις εὐχαῖς ἐκτελεσθῇ, ἐὰν οἱ ταύτην ποιοῦντες ἀριστήσαντες εὑρεθῶσι.

---

ΖΩΝΑΡ. Ὁ κθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου μέμνηται τοῦ κανόνος τούτου, καὶ ἀνατρέπει τὸ ἐν τῇ ἡμέρᾳ, καθ' ἣν τὸ Κυριακὸν τελεῖται δεῖπνον, μὴ νήστεις εἶναι τοὺς τελοῦντας τὰ ἅγια· ἀναγνωστέον οὖν τὰ ἐκεῖ γεγραμμένα. Τὰ δὲ ἑξῆς τοῦ παρόντος κανόνος, τὰ περὶ τῶν ἐν δειλινῷ τελευτώντων, ἔοικε τοιαῦτα εἶναι. Ἐπὶ τοῖς τελευτῶσι καὶ ταῖς παραθέσεσιν αὐτῶν, ἤτοι, ὅτε προετίθεντο, ἵνα τελεσθῇ ἐπ' αὐτοῖς τὰ ἐπικήδεια ᾄσματα, ὡς ἔοικε, καὶ προσκομιδῆς ἱερουργία ἐγίνετο· εἰ γοῦν κατὰ τὸ δειλινὸν, φησὶν ὁ κανὼν, τελευτήσει τις, καὶ μὴ εἴησαν νήστεις οἱ ταῦτα τελοῦντες, μόναις εὐχαῖς ἐκτελείσθωσαν. Τινὲς δὲ παράθεσιν, τὴν διὰ τῶν εὐχῶν πρὸς Θεὸν σύστασιν καὶ οἰκείωσιν τοῦ θανόντος φασίν.

ΒΑΛΣ. Ὁ κθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου μέμνηται τοῦ κανόνος τούτου, καὶ ἀνατρέπει τὸ ἐν τῇ ἡμέρᾳ, καθ' ἣν τὸ Κυριακὸν τελεῖται δεῖπνον, μὴ νήστεις εἶναι τοὺς τελοῦντας τὰ ἅγια· ἀναγνωστέον οὖν τὰ ἐκεῖ γεγραμμένα. Τὰ δὲ ἑξῆς τοῦ παρόντος κανόνος, τὰ περὶ τῶν ἐν τῷ δειλινῷ τελευτώντων, ἐοίκασι τοιαῦτα εἶναι. Ἐπὶ τοῖς τελευτῶσι καὶ ταῖς παραθέσεσιν αὐτῶν, ἤτοι, ὅτε προετίθεντο, ἵνα τελεσθῇ ἐπ' αὐτοῖς τὰ ἐπικήδεια ᾄσματα, ὡς ἔοικε, καὶ προσκομιδὴ, καὶ ἱερουργία ἐγίνετο. Εἰ γοῦν κατὰ τὸ δειλινὸν, φησὶν ὁ κανὼν, τελευτήσει τις, καὶ μὴ εἴησαν νήστεις οἱ ταῦτα τελοῦντες, μόναις εὐχαῖς ἐκτελείσθωσαν. Τοῦτο δὲ σήμερον οὐ πράττεται.

ΑΡΙΣΤ. Εἰ μὴ ἀπὸ νηστικῶν, ἅγια οὐ προσάγεται.

Κἂν γὰρ ὁ Κύριος μετὰ δεῖπνον τοὺς μαθητὰς τὸ Πάσχα ἐμυσταγώγησεν, ἀλλ' οὐ δεῖ ἡμᾶς, κατὰ τὴν θεολόγον φωνὴν, τοῖς ὑπὲρ ἡμᾶς ὑποδείγμασιν ἕπεσθαι, ἀλλὰ τῷ τῆς ἐκκλησίας ἔθει κατακολουθεῖν, καὶ νηστικοὺς ὄντας τοὺς ἱερεῖς τῷ θυσιαστηρίῳ προσφέρειν τὰ ἅγια, καὶ τοὺς μεταλαμβάνοντας αὐτῶν ὡσαύτως νηστικοὺς εἶναι.

## Κανὼν ΜΒ'. (ΜΘ'.)

*Περὶ τοῦ, μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι.*

Ὥστε ἐπισκόπους, ἢ κληρικοὺς ἐν τῇ ἐκκλησίᾳ μὴ συμποσιάζεσθαι, εἰ μὴ δ' ἂν τυχὸν ἀνάγκῃ ξενίας διαβάντες ἐκεῖ καταλύσωσι. Καὶ οἱ λαοὶ (1) δὲ ἀπὸ τοιουτοτρόπων συμποσίων ὅσον δυνατόν ἐστι κωλυθῶσι.

---

ΖΩΝΑΡ. Ἀναγνωστέον τὸν οδ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ὃς ἀπαγορεύει τὸ ἀγάπας γίνεσθαι ἐν ταῖς ἐκκλησίαις, καὶ ὅσα ἐκεῖ ἐγράφησαν. Καὶ οὗτος οὖν ὁ κανὼν τὸ ἐν ἐκκλησίᾳ συμπόσια γίνεσθαι κωλύει, μᾶλλον δὲ καὶ τὸ ἐντὸς ἐκκλησίας ὅλως ἐσθίειν, εἰ μήπου, φησίν, ἐπὶ ξένης τις ὢν, καὶ μὴ ἔχων ὅπου καταλύσει, ἐν ἐκκλησίᾳ ἐξ ἀνάγκης εἰσέλθῃ.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι διελήφθη πλατύτερον ἐν τῷ οδ'. κανόνι τῆς ς'. συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα ἀνάγνωθι.

ΑΡΙΣΤ. Κληρικὸς ἐπ' ἐκκλησίας ἀσυμποσίαστος, εἰ μήπου δι' ἀνάγκην ξενίας ἐκεῖ καταλύσει. Καὶ οἱ λαοὶ δὲ τούτου κωλυέσθωσαν.

Οὐ δεῖ τοὺς ἱεροὺς οἴκους κοινοποιεῖν, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχειν, καὶ ἐν αὐτοῖς ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν, καθὼς καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου ἐγράφη, εἰ μήπου τις παροδεύων δι' ἀνάγκην τοῦτο ποιήσει, μὴ ἔχων ἀλλαχοῦ καταλῦσαι.

## Κανὼν ΜΓ'. (Ν'.)

*Περὶ τῶν μετανοούντων.*

Ὥστε τοῖς μετανοοῦσι, κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν, τῇ τῶν ἐπισκόπων κρίσει τὰς μετανοίας ἐν

---

(1) καὶ οἱ λαϊκοὶ Π.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καιρῷ (1) ψηφίζεσθαι· πρεσβύτερος δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου, μὴ καταλλάσσῃ μετανοοῦντα, εἰ μὴ δ᾽ ἂν ἀνάγκης συνωθούσης ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου· οὗ τινος δήποτε δὲ μετανοοῦντος, εἰ πούβλικον καὶ τεθρυλλημένον ἐστὶ τὸ ἔγκλημα, τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, πρὸ τῆς ἀψῖδος τούτῳ ἡ χεὶρ ἐπιτεθῇ.

---

ΖΩΝΑΡ. Τὸ δεσμεῖν καὶ λύειν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἀποστόλοις δέδωκε· τύπον δὲ τῶν ἱερῶν Ἀποστόλων οἱ ἀρχιερεῖς πληροῦσι. Διὸ καὶ ὁ κανὼν οὗτος τῇ τῶν ἐπισκόπων ἀνέθετο κρίσει τὸ ψηφίζεσθαι, τουτέστιν ὁρίζειν, τυποῦν, ἀποφαίνεσθαι κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τὰς μετανοίας ἐν καιρῷ, ἤγουν ἐν ὅσῳ χρόνῳ δεῖ τὸν ἁμαρτήσαντα μετανοεῖν ἐν ἐπιτιμίου δεσμῷ, καὶ πότε (2) δεῖ αὐτὸν λύειν. Περὶ τούτου δὲ ἀναγνωστέον καὶ τὸν τελευταῖον κανόνα τῆς ϛ'. συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα. Πρεσβυτέρῳ δὲ καταλλάσσειν οὐ δέδοται παρὰ γνώμην τοῦ ἐπισκόπου· ᾧ γὰρ δέδοται τὸ δεσμεῖν, ἐκείνῳ καὶ τὸ καταλλάσσειν ἔξεστι· καταλλάσσειν δ᾽ ἐστὶ, τὸ λῦσαι τὸν ἐπιτετιμημένον, ἢ τελείως, ἢ πρὸς καιρὸν, διὰ κίνδυνον ἴσως· εἰ μήπου, φησὶν, ὁ ἐπίσκοπος ἄπεστι, καὶ ὁ ἐν μετανοίᾳ ὢν κινδυνεύει θανεῖν· ἀναγνωστέον καὶ τὸν ζ'. κανόνα τῆς συνόδου ταύτης, καὶ τὰ ἐκεῖ γεγραμμένα. Κυρίως μετανοοῦντες λογίζονται οἱ ἐξομολογούμενοι τὰ οἰκεῖα πλημμελήματα ἀγνοούμενα· οἱ δὲ προσιόντες τῇ ἐκκλησίᾳ ἐπὶ φανεροῖς ἁμαρτήμασι, ( πούβλικον γὰρ τὸ δεδημοσιευμένον καὶ πρόδηλον λέγεται, ἡ γὰρ λέξις τῶν Λατίνων οὖσα, ἐξελληνιζομένη δημόσιον δηλοῖ, ) καὶ ἐπὶ τεθρυλλημένοις, ἤγουν διαλαλουμένοις, φημιζομένοις, οὐδὲ ἐξομολογεῖσθαι δοκοῦσι. Διὸ τοῖς τοιούτοις καὶ ἔξω τῆς ἐκκλησίας τὰς χεῖρας ἐπιτιθέναι, καὶ ποιεῖν αὐτοὺς μετανοοῦντας, ὁ κανὼν διατάττεται, ὥστε ἔξω τῶν ἱερῶν περιβόλων ἑστάναι, καὶ προσκλαίειν· τὸ γὰρ, πρὸ τῆς ἀψῖδος, πρὸ τοῦ προπυλαίου ἐστί· τὸ δὲ, τὸ σύμπασαν τὴν

---

(1) τῆς μετανοίας τὸν καιρὸν Βευερ. — (2) Χ. Τρ. — τότε Βευερ. Κ.

ἐκκλησίαν κινοῦν, δηλοῖ τὴν τῆς πλημμελείας ὑπερβολὴν, καὶ τὸ φανερόν. Τοιοῦτον γάρ φησιν εἶναι τὸ ἁμάρτημα, ὡς καὶ πᾶσαν τὴν ἐκκλησίαν δι' αὐτὸ κεκινῆσθαι, ἢ ζηλοῦσαν, ἢ διηγουμένην αὐτό.

ΒΑΛΣ. Ὁ τελευταῖος κανὼν τῆς ς'. συνόδου δίδωσι τοῖς ἐπισκόποις ἄδειαν τοῦ αὔξειν καὶ μειοῦν τὰ ἐπιτίμια, ἀκολούθως τῷ παρόντι κανόνι προγενεστέρῳ ὄντι. Προστίθησι δὲ οὗτος, μὴ δέχεσθαι λογισμοὺς ἀνθρώπων καὶ ἀφιέναι ἁμαρτίας τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἐπισκόπων, εἰ μήπου τελευτᾷ τις κατὰ ἀπουσίαν τοῦ ἐπισκόπου· τηνικαῦτα γὰρ τὸν ἐν μετανοίᾳ ὄντα καταλλάξει ὁ πρεσβύτερος, ἤτοι λύσει τοῦ ἐπιτιμίου, διὰ τὸ ἀναγκαῖον τοῦ πράγματος, ἵνα μὴ τελευτήσῃ ἐπιτετιμημένος ὁ ἀποθνήσκων. Καὶ ταῦτα μέν φησι γίνεσθαι εἰς τοὺς ἐκ προαιρέσεως οἰκείας ἐξομολογουμένους. Τοὺς δὲ μὴ αὐθαιρέτως προσερχομένους τῇ ἐκκλησίᾳ, ἀλλὰ διὰ πούβλικον, ἤτοι δημόσιον ἔγκλημα, τεθρυλλημένον, ἤτοι φανερὸν, καὶ δυνάμενον συνταράξαι τὴν ἐκκλησίαν διὰ τὸ ὑπερβολικὸν τοῦ ἀτοπήματος, ἔξω τῆς ἀψῖδος, ἤτοι τῆς ἐκκλησίας, δέχεσθαι ὀφείλομεν, κἀκεῖσε διδόναι χεῖρα μετανοίας, καὶ οὐχὶ κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν, ἵνα μὴ σκανδαλίσωμεν τοὺς πολλοὺς, ἐν φανεροῖς οὕτως ἐγκλήμασι τὴν κανονικὴν οὕτω παραγγελίαν ἀθετοῦντες, καὶ μαλακώτερα διδόντες ἐπιτίμια. Σημείωσαι οὖν τὰ ἐν τῷ παρόντι κανόνι, διὰ τοὺς προσερχομένους ἀνδροφόνους τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ζητοῦντας τὰ κανονικὰ μετριασθῆναι ἐπιτίμια. Ἀνάγνωθι καὶ τὸν ζ'. κανόνα τῆς παρούσης συνόδου.

ΑΡΙΣΤ. Τοῖς μετανοοῦσι πρὸς τὰ ἁμαρτήματα ὁ ἐπίσκοπος ὁρίσει τὰς μετανοίας· πρεσβύτερος δὲ παρὰ γνώμην τούτου, οὐδ' ἀνάγκης συνωθούσης καταλλάξει μετανοοῦντα.

Οἱ παρὰ Θεοῦ λαβόντες ἐξουσίαν δεσμεῖν καὶ λύειν, πρὸς τὴν ποιότητα τῶν ἁμαρτημάτων καὶ τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος τὰ ἐπιτίμια ὁρίσουσι. Πρεσβύτερος δὲ, παρὰ γνώμην τοῦ ἐπισκόπου, οὔτε αὔξειν ἢ μειοῦν αὐτὰ

δύναται, οὔτε τοὺς μετανοοῦντας καταλλάσσειν, κἂν ἀποδημῇ ὁ ἐπίσκοπος, καὶ τῶν θείων αὐτοὺς ἀξιοῦν ἁγιασμάτων.

## Κανὼν ΜΔ'. (ΝΑ'.)

### *Περὶ παρθένων.*

Ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίζονται (1), ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ αὐτοῦ ἀπόντος, τῇ τοῦ πρεσβυτέρου προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι, ἢ ἅμα κατοικούσας ἀλλήλας φυλάττειν, ἵνα μὴ πανταχοῦ πλαζόμεναι, τὴν ὑπόληψιν βλάψωσι τῆς ἐκκλησίας.

---

ΖΩΝΑΡ. Ἐν ἕκτῳ κανόνι τῆς παρούσης συνόδου εἴρηται περὶ κορῶν καθιερώσεως. Ἃς γοῦν ἐκάλεσεν ἐκεῖ κόρας καθιερουμένας, ἐνταῦθα ἱερὰς παρθένους ὠνόμασε· κόρας γὰρ τὰς παρθένους ἔθος καλεῖν. Ἀνατιθεμένων οὖν τῷ Θεῷ παρθένων ἁγνεύειν ὁμολογουσῶν, ὁ ἐπίσκοπος αὐτὰς ἀνεδέχετο. Λέγει οὖν ὁ κανὼν, ὅτι δεῖ τὸν ἐπίσκοπον προνοεῖν αὐτῶν, ἢ ὅτε ἄπεστι, τοὺς πρεσβυτέρους. Καὶ ἐπεὶ διΐστανται τῶν πατέρων αὐτῶν, ὑφ᾽ ὧν ἐφυλάττοντο, παραδίδοσθαι αὐτὰς σεμναῖς γυναιξὶν, ὥστε συνοικεῖν αὐταῖς, καὶ καταρτίζεσθαι εἰς ἀρετὴν, ἢ πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ συνοικεῖν, ἵνα συζῶσαι διηνεκῶς ὁρῶσιν ἀλλήλας, καὶ φυλάττοιεν, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇδε κἀκεῖσε περιϊοῦσαι καὶ πλανώμεναι, βλάψωσι τὴν ὑπόληψιν τῆς ἐκκλησίας, τουτέστιν ὑπολαμβάνειν οὐκ ἀγαθὰς ὑπολήψεις παρασκευάσωσί τινας περὶ τῆς ἐκκλησίας· ἐκκλησία δέ ἐστιν, ὁ τῶν πιστῶν ἀθροισμός.

ΒΑΛΣ. Ἡ μὲν ρκγ'. Ἰουστινιάνειος νεαρὰ, ἤγουν τὸ δ'. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου φησὶ ταῦτα ῥητῶς· Ἐν ἅπασι δὲ τοῖς μοναστηρίοις, ἅπερ κοινόβια καλοῦνται, κελεύομεν, κατὰ τοὺς μοναχικοὺς κανόνας, ἐν ἑνὶ οἴκῳ πάν-

---

(1) χωρίζωνται Ἰουστ. Κ. Ἑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαι κατὰ τὸν ὅμοιον τρόπον, ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς· τούτων ἁπάντων καὶ περὶ τὰ μοναστήρια καὶ ἀσκητήρια τῶν γυναικῶν παραφυλαττομένων. Ὁ δὲ παρὼν κανὼν διορίζεται τὰς ἀνατεθειμένας τῷ Θεῷ παρθένους χωριζομένας ἀπὸ τῶν οἰκείων πατέρων, μὴ καθ' ἑαυτὰς διάγειν, ἀλλ' ἐπεὶ παρὰ τῶν πατέρων ἐφυλάττοντο, ἡ δὲ τοιαύτη φυλακὴ μετὰ τὴν εἰς ἐκκλησίαν ἀνάθεσιν αὐτῶν ἀπέλειψεν, ὀφείλουσιν οἱ ἐπίσκοποι, ἢ τούτων ἀπόντων, οἱ πρεσβύτεροι, παραδιδόναι ταύτας σεμναῖς γυναιξὶν, ἐφ' ὧν ὑπὸ τούτων διὰ τῆς ὁμοζωΐας φυλάττεσθαι· ἢ, εἰ μὴ τοῦτο, πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ κατοικεῖν, ἵνα συζῶσαι φυλάττωσιν ἀλλήλας, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇδε κἀκεῖσε διατρίβουσαι, τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν μολύνωσι διὰ τοῦ διδόναι οὐκ ἀγαθὰς ὑπολήψεις κατ' αὐτῶν. Καὶ ὁ μὲν νόμος καὶ οἱ κανόνες ἐν τούτοις. Σήμερον δὲ ἀπὸ τούτων τέως εἰς ἡμᾶς μικρὸν ἢ οὐδὲν σχεδὸν γίνεται· οὔτε γὰρ οἱ μοναχοὶ τῶν ἀνδρώων μοναστηρίων ὁμοῦ κατοικοῦσιν, οὔτε αἱ ἀσκήτριαι· εἰς μόνα δὲ τὰ γυναικεῖα κοινόβια μοναστήρια συντηρεῖται ἡ κοινὴ δίαιτα καὶ κατοικία. Εἰς δὲ τοὺς Λατίνους τέως ἡ τοιουτότροπος διαγωγὴ συντηρεῖται· πάντες γὰρ οἱ μοναχοὶ ὁμοῦ καὶ ἐσθίουσι, καὶ ὑπνώττουσιν. Ἀνάγνωθι καὶ τὸν ϛ'. κανόνα τῆς παρούσης συνόδου, καὶ τὰ ἐν αὐτῷ, πλατύτερον γὰρ ἐκεῖσε διελήφθη, πῶς παρθένοι καθιεροῦνται, καὶ δίχα τοῦ μοναχικοῦ σχήματος, καὶ τὸν ιη'. κανόνα τοῦ ἁγίου Βασιλείου.

ΑΡΙΣΤ. Ἡ διὰ παρθενίαν τοῦ πατρὸς ἀφισταμένη ταῖς τιμιωτάταις τῶν γυναικῶν παρατίθεται.

Δεῖ τὸν ἐπίσκοπον τῶν ἱερῶν παρθένων τίθεσθαι πρόνοιαν. Καὶ εἰ τῶν οἰκείων πατέρων αὗται χωρισθῶσι, παρ' ὧν ἐφυλάττοντο, ταῖς τιμιωτάταις γυναιξὶν εἰς ἐπιτήρησιν παραδιδόσθωσαν, ὥςε ἅμα ἀλλήλαις κατοικεῖν.

## Κανὼν ΜΕ'. ( ΝΒ'. ΝΓ'. )

*Περὶ τῶν ἀσθενούντων καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.*

Ὥστε τοὺς ἀσθενοῦντας, οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ εἴπωσι.

---

ΖΩΝΑΡ. Τοὺς ἐκ νόσων, ἢ τινων συμπτωμάτων κακῶς ἔχοντας, ὥστε μὴ δύνασθαι ὁμιλεῖν, μηδ' ἀποκρίνεσθαι ἐρωτωμένους, εἰ βούλοιντο βαπτισθῆναι, ἢ καὶ τὸν νοῦν ἴσως βεβλαμμένους, ὡς μηδὲ νοεῖν ἃ ἐρωτῶνται, τότε χρὴ βαπτίζειν, ὅτε προαίρεσιν δείξουσιν, ὅτι βούλονται βαπτισθῆναι, καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ὥστε εἰ μὴ τὴν πίστιν φυλάξουσιν, αὐτοὺς κινδυνεύειν. Εἰ δὲ μαρτυρεῖται, ὅτι καὶ πρὸ τῆς ἀσθενείας ἐζήτει τὸ βάπτισμα, ὑπερετίθετο δὲ δι' αἰτίας τινὰς, καὶ τότε, κἂν μὴ δύνηται ἀποκρίνεσθαι, βαπτισθήσεται.

ΒΑΛΣ. Τινὲς ἐζήτουν ἀπίστους τινὰς βαπτισθῆναι κατὰ τὰς τελευταίας αὐτῶν ἀναπνοὰς, καὶ οὐκ εἰσηκούοντο, διὰ τὸ τοὺς ἀσθενοῦντας μὴ δύνασθαι δι' ἑαυτῶν ὁμολογεῖν τὰς τοῦ ἁγίου βαπτίσματος συνθήκας. Φασὶ γοῦν οἱ Πατέρες, ὅτι ἐὰν οἱ ἀσθενοῦντες δείξωσι προαίρεσιν περὶ τοῦ ἐθέλειν αὐτοὺς βαπτισθῆναι, καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ἀπαρεμποδίστως βαπτισθήσονται, δι' ἑτέρων τὰς ὁμολογίας ποιούμενοι· καὶ τοῦτο μὲν, ὅτε τυχὸν ἐν τῷ τελευτᾷν ἡ τοιαύτη τούτων προαίρεσις κατάδηλος γένηται. Εἰ δὲ τότε μὲν οὐδέν τι τοιοῦτον εἰπεῖν δύνανται διὰ τὴν ἀνάγκην τῆς νόσου, μαρτυρεῖται δὲ παρά τινων, ὡς οἱ τοιοῦτοι καὶ πρὸ τῆς μανίας τυχὸν, ἢ τῆς ἄλλης κινδυνώδους νόσου, ὁλοψύχως προῃροῦντο βαπτισθῆναι, ἐρωτῶ, βαπτισθήσονται, ἢ οὔ; Λύσις. Ἐμοὶ δοκεῖ, ὡς ἀπαρεμποδίστως βαπτισθήσονται διὰ τὴν ἐν ὑγείᾳ ἀγαθὴν προαίρεσιν αὐτῶν. Τούτων δὲ οὕτως ἐχόντων, μὴ εἴπῃς,

ὡς, ἐπεὶ ὁ παρὼν κανὼν διορίζεται ἐκείνους βαπτίζεσθαι τοὺς ἐνδειξαμένους προαίρεσιν ἀγαθὴν πρὸ τῆς νόσου, ἢ κατ' αὐτὴν τὴν νόσον, ἐξ ἀνάγκης ἐκεῖνοι καὶ ἀποκάρσεως ἀξιωθήσονται, οἱ κατὰ τὸν καιρὸν τῆς τελευτῆς, ἢ καὶ πρὸ τῆς τελευταίας ἀναπνοῆς, ἐνδειξάμενοι πρόθεσιν ἀποκάρσεως· οὗτοι γὰρ τοῦ ἐπιτελευταίου ἐφοδίου τοῦ ἀγγελικοῦ σχήματος ἀδιαστίκτως ἀξιωθήσονται, ἐὰν τέως αἴσθησιν τοῦ γινομένου ἔχωσι. Τοῖς μὲν γὰρ ὀρθοδόξοις, ὡς ἐλπίζουσι τὴν μέλλουσαν κρίσιν τοῦ Θεοῦ, ἡ μετάνοια σύνοικός ἐςι, καὶ πᾶς Χριστιανὸς κατὰ πρόληψιν ἔφεσιν ἔχει τοῦ συγχωρηθῆναι διὰ τῆς ἀποκάρσεως τὰς ἁμαρτίας αὐτοῦ· τοῖς δὲ ἀπίστοις οὐκ ἐξ ἀνάγκης ἑπομένη ἐστὶν ἡ ἔφεσις τοῦ βαπτίσματος· μᾶλλον μὲν οὖν κατὰ πρόληψιν λέγομεν ἔχειν αὐτοὺς ἔφεσιν μετὰ τῆς οἰκείας θρησκείας ἀποθανεῖν, καταγελᾷν δὲ καὶ τοῦ θείου βαπτίσματος. Εἰ γοῦν οὐ δείκνυται τὸ θέλειν τούτους ἐν ὑγείᾳ ὄντας βαπτισθῆναι, ἢ κἂν ἐν τῷ νοσηλεύεσθαι, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ὅτε τελευτῶσι. * Τούτων οὕτως ἐχόντων, λέγω μετὰ θάῤῥους, διὰ τὸ τοῦ Θεοῦ ἄφατον ἔλεος, τοὺς ἀξιωθέντας τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος ἀπολύεσθαι πάσης ἁμαρτίας καὶ παντὸς ῥύπου πρὸ τῆς ἀποκάρσεως ταύτης ἐπενεχθέντος αὐτοῖς, διὰ τὴν τοῦ θείου βαπτίσματος δύναμιν ἔχειν τοιαύτην τελείωσιν· περὶ δὲ τῶν μετὰ ταῦτα καλῶς καὶ παρὰ τῷ Θεῷ καὶ ἀνθρώποις αὐτοὺς ἀνακρίνεσθαι, ὥσπερ καὶ τοὺς μετὰ τὸ βάπτισμα ἁμαρτάνοντας. Χάριν δὲ τῶν μὴ τελειωθέντων διὰ τοῦ θείου καὶ ἀγγελικοῦ μεγάλου σχήματος, ἀλλὰ μικροσχήμων ὄντων, τὴν τοῦ Θεοῦ καὶ μόνην φιλανθρωπίαν ἐπικαλοῦμαι (1). *

ΑΡΙΣΤ. Ὁ δι' ἀσθένειαν μὴ ἀποκρινόμενος ὑπὲρ ἑαυτοῦ, τότε βαπτιζέσθω, ὅταν τῇ αὐτοῦ προαιρέσει δῷ τὴν μαρτυρίαν.

Δεῖ τὸν βαπτιζόμενον, τῆς χάριτος ἐπαισθάνεσθαι, καὶ τὰ

(1) Χ. Τρ. — τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μυστικῶς ἐρωτώμενα συνιέναι, καὶ ἀποκρίνεσθαι πρὸς αὐτά. Εἰ δέ τις τὸν μὴ δυνάμενον ἀποκριθῆναι, ὡς ἀσθενοῦντα, ἀπαιτεῖ βαπτισθῆναι, τότε βαπτιζέσθω, ὅταν αὐτὸς ὁ τοῦτο ἀπαιτῶν κινδύνῳ ἰδίῳ διαμαρτύρηται τὴν αὐτοῦ γνώμην εἰδέναι ἀκριβῶς τοῦ ἀσθενοῦντος, ὡς ἐπιζητεῖ τὸ βάπτισμα, καὶ ἐπιμένει ποθῶν.

*Περὶ σκηνικῶν μετανοούντων καὶ ἐπιστρεφόντων πρὸς τὸν Κύριον* (1).

**Ὥστε τοῖς σκηνικοῖς, καὶ μίμοις, καὶ τοῖς λοιποῖς τοιουτοτρόποις προσώποις, ἢ ἀποστάταις, μετανοοῦσι καὶ ἐπιστρέφουσι πρὸς τὸν Θεόν, χάριν ἢ καταλλαγὴν μὴ ἀρνεῖσθαι.**

---

ΖΩΝΑΡ. Σκηνὴ λέγεται ἡ ὑπόκρισις· οἱ γοῦν ὑποκρινόμενοι ποτὲ στρατηγούς, ποτὲ δούλους, ποτὲ δ' ἕτερα πρόσωπα, ὀνομάζονται σκηνικοί. Τούτων δὲ τοὺς μὲν ἐνώπιον βασιλέων ταῦτα ὑποκρινομένους, ἐντίμους ἔχουσιν οἱ νόμοι τῆς πολιτείας, τοὺς δὲ ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις συνάξεσιν ἐπιδεικνυμένους τοιαῦτα, καὶ γέλωτα τοῖς ὁρῶσι κινοῦντας ταῖς ὑποκρίσεσι, καὶ τοῖς ἐπὶ (2) κόῤῥης ῥαπίσμασι καὶ ψοφήμασιν, ἀτίμους ἡγοῦνται. Ὁ δὲ κανὼν οὗτος, ἀδιαστίκτως πάντας τοὺς τοιούτους, μετανοίας δεῖσθαί φησιν, ὡς αὐτούς τε (3) ἀδιαφόρως ζῶντας, καὶ τοῖς ἄλλοις γινομένους αἰτίους ἀνειμένης καὶ διακεχυμένης ζωῆς. Τούτοις οὖν καὶ τοῖς λοιποῖς τοῖς τοιουτοτρόποις, οἷον τερατοποιοῖς, καὶ ὀρχησταῖς, ἀλλὰ μὴν καὶ τοῖς ἀποστάταις, τουτέστι τοῖς ἀρνησαμένοις τὸν Χριστιανισμὸν μετανοοῦσιν, οὐ δεῖ, φησιν, ἀρνεῖσθαι χάριν ἢ καταλλαγήν. Χάριν μὲν λέγει, τὴν ἄφεσιν τῶν σφαλμάτων, ὡς χάριτι διδομένην ἡμῖν παρὰ τοῦ Θεοῦ, καθὼς καὶ ὁ μακάριος Παῦ-

---

(1) κανὼν ΝΓ'. κατὰ τὸ Π., ΜΘ'. κατὰ Βευερ. καὶ Μς'. κατὰ τὴν Σ. Ρ. — ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Ἰουστ. καὶ Βρ. καὶ κατὰ τὰς παραπομπὰς τοῦ Νομοκάνονος καὶ τῶν Ἐξηγητῶν, τοῦτο φέρεται ὡς συνέχεια τοῦ ΜΕ'. Κανόνος. — (2) Χ. Τρ. — κατὰ κόῤῥης Βευερ. Κ. — (3) Χ. Τρ. — αὐτούς γε Κ. Βευερ.

·λος λέγει, ὅτι χάριτι ἐστὲ σεσωσμένοι (1)· καταλλαγὴν δὲ τὴν λύσιν τῶν ἐπιτιμίων· λύεται γὰρ τοῦ δεσμοῦ ὁ ἐπιτιμηθεὶς, ὅτε συνίδῃ ὁ δεσμήσας αὐτὸν ὡς καταλλαγέντος αὐτῷ τοῦ Θεοῦ διὰ τῆς μετανοίας (2).

ΒΑΛΣ. Σκηνικοὶ καὶ μῖμοί εἰσιν, οὐχὶ οἱ θυμελικοὶ, οἱ τὰς ἐπιθαλαμίους ᾠδὰς μετὰ μουσικῶν ὀργάνων ᾄδοντες, οὗτοι γὰρ ἔντιμοί εἰσιν, ἀλλὰ οἱ παιγνιῶται, οἱ δούλους καὶ στρατιώτας καὶ γυναῖκας καὶ ἕτερα πρόσωπα μιμούμενοι, καὶ κατὰ κόρρης τυπτόμενοι· καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ ά. καὶ τοῦ δ'. κεφ. τοῦ ϐ'. τίτλου τοῦ κά. ϐιϐλίου τῶν βασιλικῶν. Φασὶ γοῦν οἱ Πατέρες, πάντας τοὺς τὰ τοιαῦτα ἁμαρτάνοντας, καὶ ἀδιαφόρως ζῶντας, ἀλλὰ μὴν καὶ τοὺς ἀποστάτας, τουτέστι, τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν, ἐπιστρέφοντας πρὸς Θεὸν, ἤτοι μετανοοῦντας, μὴ ἀποπέμπεσθαι, ἀλλὰ διδόναι αὐτοῖς χάριν, ἤγουν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ καταλλαγὴν, ἤτοι λύσιν τῶν ἐπιτιμίων.

ΑΡΙΣΤ. Καὶ σκηνικὸς δὲ ἐπιστρέφων, δεκτὸς εἰς μετάνοιαν.

Πᾶς δὲ ἁμαρτάνων, καὶ μετανοῶν, δεκτὸς εἰς μετάνοιαν, κἂν σκηνικός ἐστι, κἂν μῖμος, κἂν οἱονδήτινα ἕτερον μετερχόμενος ϐίον.

## Κανὼν Μϛ'. (ΝΔ'.)

*Περὶ τῶν παθῶν τῶν μαρτύρων.*

**Ἐξέστω ἔτι μὴν ἀναγινώσκεσθαι τὰ πάθη τῶν μαρτύρων, ἡνίκα αἱ ἐτήσιαι αὐτῶν ἡμέραι ἐπιτελοῦνται.**

---

ΖΩΝΑΡ. Ἐν κδ'. κανόνι ἡ σύνοδος αὕτη ἀπηρίθμησε τίνα δεῖ ἀναγινώσκεσθαι ἐν ἐκκλησίᾳ ϐιϐλία τῆς Παλαιᾶς Γραφῆς καὶ τῆς Νέας· τὰ δ' ἐκτὸς τῶν ἀπηριθμημένων ἐκώλυσεν ἀναγινώσκεσθαι. Νῦν δὲ τοῖς ἀναγνωστέοις προστίθησι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων, ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν ἀναγινώσκεσθαι ὀφείλοντα.

---

(1) Ἐφεσ. Β'. 8. — (2) Χ. Τρ. — διὰ τῶν ἐπιτιμίων Κ. Βευερ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΒΑΛΣ. Εἰ καὶ ὥρισαν οἱ Πατέρες ἐν τῷ κδ'. κανόνι τῆς παρούσης συνόδου τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία, ἀλλὰ μὴν προστιθέασιν ἀναγινώσκεσθαι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν.

ΑΡΙΣΤ. Τὰ πάθη τῶν μαρτύρων ἐν ταῖς μνήμαις αὐτῶν ἀναγινωσκέσθωσαν. Σαφής.

## Κανὼν ΜΖ'. (ΝΕ'. Ν$\varsigma$'.)

*Περὶ Δονατιστῶν καὶ παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων.*

Ἤρεσεν, ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν Σιρίκιον καὶ Σιμπλικιανὸν, περὶ μόνων τῶν νηπίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων, μήπως τοῦτο, ὅπερ οἰκείᾳ προθέσει (1) οὐκ ἐποίησαν, τῇ τῶν γονέων πλάνῃ (2) ἐμποδίσῃ αὐτοῖς πρὸς τὸ μὴ προκόπτειν εἰς ὑπουργίαν τοῦ ἁγίου θυσιαστηρίου, ὅταν πρὸς τὴν τοῦ Θεοῦ ἐκκλησίαν σωτηριώδει προθέσει ἐπιστρέψωσι (3). Τούτων δὲ ἐναρχθέντων, Ὁνωράτος καὶ Οὐρβανὸς, οἱ ἐπίσκοποι τῆς Μαυριτανίας Σιτιφένσης χώρας, εἶπον· Ἐκ πολλοῦ, ὅτε πρὸς τὴν ὑμετέραν ἁγιωσύνην ἀπεστελλόμεθα, τὰ γραφέντα ὑπερεθέμεθα ταύτῃ τῇ κατανοήσει, ὅτι προσεδοκῶμεν ἀδελφοὺς ἡμῶν παραγενέσθαι τοποτηρητὰς Νουμιδίας· ἀλλ' ἐπειδὴ οὐκ ὀλίγαι ἡμέραι εἰσὶν, ἀφοῦ οἱ προσδοκώμενοι οὐδαμῶς κατέλαβον, περαιτέρω παριδεῖν τὰ ἐνταλέντα ἡμῖν ἀπὸ τῶν συνεπισκόπων οὐ δεῖ· καὶ διὰ τοῦτο, ἀδελφοὶ, τὴν ἀναφορὰν ἡμῶν προθύμως εἰσδέξασθε· περὶ τῆς πίστεως (4) γὰρ τοῦ ἐν Νικαίᾳ τρακτάτου ἠκούσαμεν· ἀληθές ἐστι περὶ τῶν γινομένων (5) μετὰ τὸ ἄριστον ἁγίων, ἵνα ἀπὸ νηστικῶν, ὡς ἔστιν ἄξιον, προσφέρωνται, καὶ τότε ἐβεβαιώθη (6).

—

(1) προαιρέσει Βευερ. — (2) ἡ . . . πλάνη Π. — (3) ἐνταῦθα λήγει ὁ Καν. ἐν Χ. Τρ. Σ. Ρ. καὶ Π. — (4) ἄρχεται ὁ καν. Ν$\varsigma$'. ἐν Π. — (5) μὴ γινομένων Π. — (6) βεβαιωθῇ Βευερ.

ΖΩΝΑΡ. Οἱ ἐξ αἱρέσεων προσιόντες τῇ ὀρθοδόξῳ πίστει, οἱ μὲν λιβέλλους ἀπαιτοῦνται, ἐκδόσεις ἐγγράφους δηλαδὴ, στηλιτευούσας τὰς αἱρέσεις αὐτῶν· λίβελλος γὰρ Ῥωμαϊστὶ ἔκδοσις ἐστί· καὶ ἀναθεματίζοντες αὐτὰς, χρίονται τῷ ἁγίῳ μύρῳ· οἱ δὲ βαπτίζονται, ὡς περὶ τούτων διατάττεται ὁ ζ'. κανὼν τῆς δευτέρας οἰκουμενικῆς συνόδου. Οἱ οὖν τῆς συνόδου ταύτης Πατέρες ἀμφιβάλλοντες, ὡς ἔοικε, περὶ τῶν παίδων τῶν Δονατιστῶν προσερχομένων τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, εἴτε βαπτισθῆναι αὐτοὺς χρὴ, εἴτε μόνον ἁγίῳ μύρῳ χρισθῆναι, συνέθεντο ἐρωτῆσαι τοὺς συνεπισκόπους αὐτῶν, ἵνα, φασὶ, μὴ ὅπερ οὐκ ἐξ οἰκείου θελήματος ἐποίησαν, ἀλλ' ἐκ πλάνης τῶν γονέων αὐτῶν γέγονεν, ἤγουν τὸ βαπτισθῆναι ὑπὸ Δονατιστῶν, ἐμπόδιον αὐτοῖς γένηται ἐπιστρέφουσι πρὸς τὴν ὀρθόδοξον πίστιν, εἰς τὸ προκόψαι εἰς ὑπουργίαν τοῦ θυσιαστηρίου, τουτέστιν εἰς τὸ προβιβασθῆναι εἰς βαθμοὺς ἱερατικούς. Ἐκ Νουμιδίας ἤλπιζον οἱ τῆς συνόδου ταύτης ἐλθεῖν τοποτηρητὰς, διὸ καὶ ὑπερετίθεντο τὰς ζητήσεις τὰς περὶ ὧν συνήχθησαν· ὅτι δὲ καιροῦ παραῤῥυέντος οὐδεὶς ἐκεῖθεν ἀπήντησεν, οἱ εἰρημένοι ἐπίσκοποι εἶπον, μὴ δεῖν ἔτι ὑπερθέσθαι. Προέθεντο οὖν τὸ περὶ τοῦ μὴ χρῆναι προσφέρεσθαι τὰ ἅγια μετὰ τὸ ἄριστον, ἤγουν μὴ ὑπὸ βεβρωκότων ἱερέων προσκομιδὴν γίνεσθαι, ἀλλ' ὑπὸ νηστικῶν. Τοῦτο δέ φασι καὶ ἐν τῷ περὶ τῆς πίστεως τρακτάτῳ τῆς ἐν Νικαίᾳ συνόδου ἠκούσαμεν, ὅτι καὶ τότε ἐβεβαιώθη. Ἡ λέξις δὲ τοῦ τρακτάτου Ῥωμαϊκή ἐστι, καὶ ἐξελληνιζομένη δηλοῖ σκοπὸν, βούλευμα. Ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου οὐδὲν περὶ τῆς τοιαύτης εὕρηται ὑποθέσεως.

ΒΑΛΣ. Οἱ ἐξ αἱρέσεως προσιόντες τῇ ὀρθοδόξῳ πίστει, οἱ μὲν βαπτίζονται, οἱ δὲ μόνον χρίονται τῷ ἁγίῳ μύρῳ μετὰ τὸ ἀναθεματίσαι τὰς αἱρέσεις αὐτῶν. Ὡς ἔοικεν οὖν, προσήρχοντο τῇ ἀμωμήτῳ πίστει ἡμῶν τινες ἐν νηπιότητι βαπτισθέντες παρὰ Δονατιστῶν, κατὰ προαίρεσιν τῶν γονέων αὐτῶν, ὄντων καὶ τούτων Δονατιστῶν, καὶ ἤθελον προβιβασθῆναι εἰς βαθμοὺς ἱερατικοὺς μετὰ τὸ δεχθῆναι. Ὅτι δὲ ῥᾳδίως εἰς τοῦτο οὐ προσεδέχοντο, γέγονεν ἐρώτησις, τί χρὴ γενέσθαι ἐπὶ

τούτοις. Καὶ ὁ μὲν κανὼν οὗτος οὐδέν τι περὶ τοῦ ἐρωτηθέντος ἀπολογεῖται· οὔτε γάρ φησιν, εἰ χρὴ τούτους μυρωθῆναι ἢ βαπτισθῆναι, οὔτε ὁρίζει μὴ ἐμποδίζεσθαι τούτους ἀναχθῆναι εἰς ἐκκλησιαστικὸν βαθμὸν, ὥσπερ οὐδὲ τοὐναντίον. Σὺ δὲ ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς ϐ'. συνόδου καὶ τὰ ἐν αὐτῷ, καὶ μάθῃς τί ὀφείλει γίνεσθαι ἐπὶ τοῖς τοιούτοις. Τούτων δὲ οὕτω λαλουμένων, εἶπον οἱ ἐκ Μαυριτανίας ἐπίσκοποι, ὅτι, εἰ καὶ μέχρι τοῦ νῦν ὑπερετίθεντο ἐρωτῆσαι ἃ παρηγγέλθησαν, διὰ τὸ ἐλπίζειν ἐλθεῖν τοποτηρητὰς ἀπὸ Νουμιδίας, ἀλλ' ἐπεὶ πολὺς παρῆλθε καιρὸς, καὶ οἱ προσδοκώμενοι οὐ κατέλαϐον, οὐ δεῖ καὶ ἔτι ὑπερτίθεσθαι τὴν ἐρώτησιν. Διὸ καὶ εἶπον, μὴ χρῆναι προσφέρεσθαι τὰ ἅγια παρὰ ἱερέων μετὰ τὸ γεύσασθαι τροφῆς, ἀλλ' ὑπὸ νηστικῶν, ὅτι, φασὶν, ἐϐεϐαιώθη τοῦτο καὶ παρὰ τῶν ἐν Νικαίᾳ Πατέρων ἐν τῷ τῆς πίστεως τρακτάτῳ, ἤγουν ἐν τῇ κατεξετάσει τῆς πίστεως, ( τρακτάτον γάρ ἐστι κατὰ Λατίνους ἡ δοκιμασία )· ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, οὐδὲν περὶ τῆς τοιαύτης εὕρηται ὑποθέσεως.

ΑΡΙΣΤ. Τοῖς ἐν νηπιότητι παρὰ Δονατιστῶν βαπτισθεῖσιν ἐπιστρέφουσι, κατ' οὐδὲν τοῦτο προστήσεται· καὶ τὰ ἅγια, ὡς ἄξιον, ἀπὸ νηστικῶν μόνων προσενεχθήσεται.

Δονατισταί εἰσιν οἱ ἀπὸ Δονάτου τινὸς ἐν τῇ Ἀφρικῇ ἐναρξάμενοι· οὗτος γὰρ παραδέδωκεν αὐτοῖς, ὀστοῦν τι ἐπὶ τῆς χειρὸς αὐτῶν κρατεῖν, ὁπηνίκα μετασχεῖν τῶν ἁγιασμάτων μέλλουσι, καὶ τοῦτο πρότερον ἀσπάζεσθαι, καὶ τηνικαῦτα μετέχειν αὐτῶν. Οἱ γοῦν παρ' αὐτῶν βαπτισθέντες ἐν νηπιότητι, καὶ ἐπιστρέφοντες, καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζοντες, οὐκ ἐμποδισθήσονται ὑπὸ τῆς τῶν γονέων πλάνης εἰς ἱερατικὴν λειτουργίαν προκόπτειν. Τὸ δὲ τὰ ἅγια μὴ μετὰ τὸ ἄριστον προσάγεσθαι, ἀλλ' ἀπὸ νηστικῶν ταῦτα ἱερέων γίνεσθαι, καὶ ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κανόνι ἐγράφη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΜΗ΄. (ΝΖ΄.)

*Περὶ ἀναβαπτισμάτων, καὶ ἀναχειροτονιῶν, ἢ μεταβάσεων ἐπισκόπων.*

Ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλὲν ἡμῖν, τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Καπούῃ ὁρισθὲν, ὥστε (1) μὴ ἐξεῖναι γίνεσθαι ἀναβαπτίσεις, ἢ ἀναχειροτονήσεις, ἢ μετακινήσεις (2) ἐπισκόπων. Κρεσκώνιος οὖν τοῦ Ῥεκένσης ἀγροῦ ἐπίσκοπος, καταφρονήσας τοῦ ἰδίου λαοῦ, τῇ Τουβηκένῃ(3) ἐπέβη ἐκκλησίᾳ, καὶ ἕως τῆς σήμερον πολλάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν τὴν αὐτὴν ἐκκλησίαν, ᾗ τινι ἐπῆλθεν, οὐχ εἵλετο. Περὶ τούτου δὲ τὰ προαγγελθέντα, βέβαια ἠκούσαμεν· καὶ αἰτοῦμεν κατὰ τὸ ἐνταλὲν ἡμῖν, ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν ἐπ' ἀδείας ἡμῖν γενέσθαι, ὅτι αὕτη ἡ ἀνάγκη παρασκευάζει, τῷ ἄρχοντι τῆς χώρας κατ' ἐκείνου προσελθεῖν, κατὰ τὰς διατάξεις τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα ὁ τῇ πράῳ ὑπομνήσει τῆς ὑμετέρας ἁγιωσύνης πειθαρχῆσαι μὴ θελήσας, καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον, αὐθεντίᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ. Αὐρήλιος ἐπίσκοπος εἶπε· Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγάπης ἀποστῆναι παρῃτήσατο, ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μονοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν. Ὀνωράτος καὶ Οὐρβανὸς, οἱ ἐπίσκοποι εἶπον· Τοῦτο οὖν πᾶσιν ἀρέσκει; Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Δίκαιόν ἐστιν, ἀρέσκει.

---

**ΖΩΝΑΡ.** Μὴ ἀναβαπτίζειν, εἰ μὴ τὸν παρὰ ἀσεβῶν βαπτισθέντα, καὶ τοῖς ἱεροῖς Ἀποστόλοις ἐν μζ'. κανόνι δια-

(1) ἀπὸ τοῦ, ὥστε μὴ ἐξεῖναι, ἄρχεται ὁ καν. ΝΖ΄. ἐν Π. — (2) Χ. Τρ. Ἰουστ. Κ. Ἐ. Σ. Ῥ. ἢ μετακινήσεις, οὐ κεῖται παρὰ Βευερ. — (3) Ἰουστ. — τῇ τοῦ Βικένη Σ. Ῥ. — τῇ τοῦ Βεκένη Χ. Τρ.

τέτακται, καὶ ἐν ξή. κανόνι, μὴ δέχεσθαί τινα δευτέραν χειροτονίαν, τοῖς αὐτοῖς ὥρισται. Τούτοις οὖν τοῖς κανόσιν ἑπόμενοι καὶ οἱ Πατέρες οὗτοι, τὰ αὐτὰ διετάξαντο, τουτέστι μηδένα ἀναβαπτίζεσθαι ὀρθῶς ἐξ ἀρχῆς βαπτισθέντα. Εἰ δὲ παρὰ αἱρετικῶν ἐβαπτίσθη τις ἀλλόκοτον βάπτισμα, ἐκεῖνον βαπτίζεσθαι δεῖ· οὐ γὰρ ἀναβάπτισις τοῦτο, ὅτι οὐδὲ ὃ ἐβαπτίσθη, βάπτισμα λογίσεται, ἀλλὰ μολυσμός. Ἀλλὰ μηδὲ ἀναχειροτονήσεις γίνεσθαι, μηδὲ μετακινήσεις ἐπισκόπων, ὥστε ἐᾷν τινα τὴν οἰκείαν ἐπισκοπὴν, καὶ μεταπίπτειν εἰς ἄλλην. Καὶ αὐτίκα καὶ τοιαύτην ὑπόθεσιν προέθεντο, τὸν δεῖνα λέγοντες καταφρονῆσαι τοῦ ἰδίου λαοῦ, καὶ ἑτέρας ἐκκλησίας ἐπιβῆναι, πολλάκις τε περὶ τούτου ὑπομνησθῆναι ἐκεῖνον, καὶ μὴ πεισθῆναι ἀποστῆναι τῆς ἐκκλησίας, ἧς οὐ κατὰ κανόνα ἐπέβη, καὶ λοιπόν, φασι, διὰ τὴν ἀπείθειαν ἐκείνου, ἀνάγκη τῷ τῆς χώρας ἄρχοντι προσελθεῖν, ἵνα ὁ μετὰ πρᾳότητος ὑπομνησθεὶς, καὶ μὴ πεισθεὶς, ἐξουσίᾳ ἀρχοντικῇ ἐξέλθῃ. Πρὸς ταῦτα ὁ Αὐρήλιος εἶπε· Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων· τοὺς ἱερωμένους γὰρ παραδίδοσθαι εἰς κόλασιν ἄρχοντι, εἰ μὴ πρότερον καθαιρεθῶσιν, οὐκ ἔξεστι. Εἰ γὰρ διά τι μέγα ἁμάρτημα κολάσεώς ἐστιν ἱερωμένος τις ἄξιος, πρότερον γυμνοῦται τῆς ἱερατικῆς ἀξίας, καὶ οὕτω λαμβάνει αὐτὸν ὁ ἄρχων ἐπὶ τιμωρίᾳ. Τὸ γοῦν, φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, τοῦτό ἐστι, τὸ, εἰ ἐφυλάχθη ὁ τύπος τῆς καταστάσεως, ἤγουν, εἰ ὑπεμνήσθη ἐκεῖνος κατὰ τοὺς κανόνας, καὶ ἠπείθησε, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἀντὶ τοῦ, μὴ λογισθῇ τῆς μοίρας τῶν ἐπισκόπων ὤν, ἀλλ' ὡς ἤδη ἀποῤῥιφεὶς καὶ ἐξωσθεὶς τοῦ ἱερατικοῦ καταλόγου, ἀρχοντικῇ ἐξουσίᾳ παραδοθήτω· τοῦτο δὲ τὸ παραδοθῆναι τῷ ἄρχοντι, ἐπῆλθεν αὐτῷ ἐκ τῆς μονοτονίας αὐτοῦ, ἤτοι τῆς αὐτογνωμοσύνης, τῆς ἀπειθείας, δι' ἣν κατεφρόνησε τῆς τῶν ἐπισκόπων ἐπιεικείας.

ΒΑΛΣ. Ἐν Καπούῃ φασὶν οἱ Πατέρες γενέσθαι σύνοδον, καὶ ἐν ἐκείνῃ ὁρισθῆναι τὸ μὴ ἀναβαπτίζεσθαι τοὺς παρὰ ὀρθοδόξων βαπτισθέντας, ἢ ἀναχειροτονεῖσθαι τοὺς παρὰ ἐπισκόπων ὀρθοδόξων χειροτονηθέντας· καὶ ἀκολούθως τοῖς

ὁρισθεῖσιν ἐν τῇ τοιαύτῃ συνόδῳ, τῇ τέως ἐμοὶ ἀγνοουμένῃ, (οὐδὲ γὰρ συναριθμεῖται ταῖς τοπικαῖς συνόδοις,) εἴπον οἱ αὐτοὶ τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφένσης, ὡς, ἐπεὶ ταῦτα κεκώλυνται, ὀφείλουσι διορθωθῆναι καὶ αἱ παρὰ ἐπισκόπων γινόμεναι μεταπτώσεις ἀπὸ ταύτης τῆς ἐκκλησίας εἰς ἑτέραν, διὰ τὸ λογίζεσθαι καὶ τοῦτο ὡσανεὶ ἀναβαπτισμὸν, ἢ ἀναχειροτόνησιν· καὶ αὐτίκα προέθεντο φάκτον, ὅτι Κρεσκώνιος ὁ ἐπίσκοπος κατεφρόνησε τοῦ οἰκείου λαοῦ, καὶ ἐπέβη ἑτέρας ἐκκλησίας. Διά τοι τοῦτο πολλάκις παρεγγυηθεὶς καταλιπεῖν τὴν ἀλλοτρίαν ἐκκλησίαν, ἧς ἐπέβη παρὰ κανόνας, καὶ ἀνθέξασθαι τῆς οἰκείας, οὐκ ἐπείσθη τοῦτο ποιῆσαι. Ὅτι οὖν τοῦτο βέβαιόν ἐστι καὶ ἀληθὲς, ζητοῦσι, κατὰ τὴν πρὸς αὐτοὺς ἐντολὴν, ἵνα δοθῇ τῇ κατ' αὐτοὺς συνόδῳ ἄδεια προσελθεῖν τῷ κατὰ χώραν ἄρχοντι, καὶ δι' αὐτοῦ καταναγκασθῆναι τὸν Κρεσκώνιον ἀποστῆναι τῆς μὴ ἀνηκούσης αὐτῷ ἐκκλησίας· ὅτι καὶ αἱ διατάξεις τῶν βασιλέων, ἤτοι οἱ νόμοι, τοῦτο διορίζονται. Εἶπε δὲ πρὸς ταῦτα ὁ Αὐρήλιος· Ἐὰν ἐφυλάχθη ὁ τύπος τῆς ἐκκλησιαστικῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων ὁ Κρεσκώνιος, ἀλλ' ὡς λαϊκὸς παραδοθήτω τῇ ἀρχοντικῇ ἐξουσίᾳ, καὶ μὴ μεμφέσθω τὸ γινόμενον εἰς αὐτόν· αὐτὸς γὰρ ἑαυτὸν παρέδωκεν εἰς τὴν ἀρχοντικὴν ἐξουσίαν, διὰ τὴν οἰκείαν μονοτονίαν καὶ καταφρόνησιν τῶν συνοδικῶν παραγγελιῶν. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ὁ τύπος δὲ τῆς καταστάσεως, ὃν ὁ Αὐρήλιος εἶπε φυλαχθῆναι, ἐστὶ τὸ κατὰ κανόνας ἐπιφωνηθῆναι τὸν ἀκανονίστως δραξάμενον τῆς ἀλλοτρίας ἐκκλησίας, καὶ μετὰ τὰς ἐπιφωνήσεις καθαιρεθέντα, ἢ διμερῶς, ἢ μονομερῶς, διὰ τὴν ἀπείθειαν· τοὺς ἱερωμένους γὰρ παραδίδοσθαι εἰς κόλασιν ἀρχοντικὴν οὐκ ἔξεστιν, εἰ μὴ πρότερον καθαιρεθῶσι. Τὸ δὲ παραδίδοσθαι τοῖς ἄρχουσι τοὺς ἱερωμένους μετὰ καθαίρεσιν, γίνεται, οὐ μόνον ὅταν ἡ σύνοδος οὐκ ἔχῃ εὐχέρειαν ποιῆσαι ἐκβιβασμὸν τῆς οἰκείας ἀποφάσεως, ἀλλὰ καὶ ὅταν μέγα ἐστὶ τὸ ἁμάρτημα, καὶ, σὺν τῇ ἐκκλησιαστικῇ κολάσει, χρεών ἐστιν ἐπακολουθῆσαι καὶ ἀρχοντικὴν

τιμωρίαν. Τυχὸν γὰρ εὑρέθη τις ἱερωμένος ἐπίβουλος τοῦ βασιλέως, καὶ καθῃρέθη· ὁ τοιοῦτος μετὰ τὴν καθαίρεσιν παραδοθήσεται τῇ ἀρχοντικῇ ἐξουσίᾳ, ὡς ἂν μετὰ ἐτασμοῦ εἴπῃ τοὺς συνίστορας. Ταῦτα δὲ γίνονται οὕτω κατὰ τὸ λϛ'. καὶ τὸ λζ'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου των βασιλικῶν, μέρη ὄντα τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ διαλαμβάνοντα, πρεσβυτέρους καὶ διακόνους ὑπὲρ ἐγκληματικῆς αἰτίας ψευδομαρτυρήσαντας, μὴ μόνον καθαιρεῖσθαι, ἀλλὰ καὶ ταῖς νομίμοις ποιναῖς ὑποβάλλεσθαι· καὶ τοὺς καταδικαζομένους κληρικοὺς χάριν ἐγκληματικῆς αἰτίας ἀπογυμνοῦσθαι τοῦ βαθμοῦ ὑπὸ τοῦ ἐπισκόπου, παρὰ δὲ τοῦ ἄρχοντος ὑποβάλλεσθαι ταῖς νομίμοις ποιναῖς. Τοῦτο δὲ λέγε κρατεῖν, ἔνθα ἐξεφωνήθη· ὁ γὰρ τὸν νόμον τοῦτον μεθέλκων καὶ εἰς ἐπισκόπους καταδικαζομένους ἴσως χάριν ἐγκληματικῆς αἰτιάσεως, καὶ θέλων καὶ τούτους μετὰ καθαίρεσιν τῷ ἄρχοντι παραδίδοσθαι, μάταιος ἂν εἴη καὶ βλάσφημος. Διὸ καὶ τὸ παρὰ τοῦ κανόνος διοριζόμενον χάριν τοῦ ἐπισκόπου, ὀφείλει ἐκλαμβάνεσθαι εἰς τὸ καταναγκασθῆναι τὸν ἐπίσκοπον ἀκολουθῆσαι τῇ συνοδικῇ διαγνώσει καὶ μόνῃ(2). Περὶ δὲ ἀναβαπτισμοῦ καὶ ἀναχειροτονήσεως, ἀνάγνωθι τὸν μζ'. ἀποστολικὸν κανόνα καὶ τὸν ξή.

ΑΡΙΣΤ. Ἀναβαπτίσεις, καὶ ἀναχειροτονήσεις, καὶ μετακινήσεις ἐπισκόπων οὐ γίνονται. Κρεσκώνιος οὖν τοῦ ἰδίου λαοῦ ἀποστὰς, καὶ τῆς Κενεοῦ ἐκκλησίας ἐπιβὰς, ἐπεὶ ἐκκλησιαστικῶς καταγγελλόμενος οὐ μεθίσταται, ἀρχοντικῶς κεκωλύσθω.

Ὁ παρὰ ὀρθοδόξων βαπτισθεὶς, ἢ χειροτονηθεὶς, δεύτερον βάπτισμα, ἢ δευτέραν χειροτονίαν οὐ δέχεται. Ἀλλὰ καὶ τὸ ἀπὸ πόλεως ἐπίσκοπον εἰς ἑτέραν πόλιν μεθίστασθαι, καὶ ὁ παρὼν κανὼν, καὶ ἕτεροι οὐκ ὀλίγοι διαφόρων συνόδων κωλύουσιν. Ὁ γοῦν Κρεσκώνιος οὗτος ἐπίσκοπος, τὴν ἰδίαν καταλιπὼν ἐκκλησίαν ἢ παροικίαν, καὶ τῆς Κενεοῦ ἐπιβὰς

---

(2) κρίσει καὶ ἀποφάσει. Χ. Τρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐκκλησίας, καὶ πολλάκις ἀδελφικῶς ὑπομνησθεὶς παρὰ τῶν συναδελφῶν καὶ συλλειτουργῶν αὐτοῦ τὴν τοιαύτην καταλιπεῖν ἐκκλησίαν, καὶ μὴ πεισθεὶς, παρεσκεύασε καὶ ἄκοντας αὐτοὺς τῷ κατὰ χώραν ἄρχοντι προσελθεῖν, καὶ ὑπ' ἐκείνου ἐξουσιαστικῶς κωλυθῆναι.

## Κανὼν ΜΘ'. (ΝΗ'.)

*Πόσοι ἐπίσκοποι ἐπίσκοπον χειροτονεῖν ὀφείλουσιν.*

Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Κἀκεῖνο ἡμῖν ἐνετάλη, ἐπειδὴ ἐκ τοῦ πλησίον ἀδελφοὶ ἡμῶν δύο ἐπίσκοποι τῆς Νουμιδίας χειροτονῆσαι ἐτόλμησαν ἱερέα, κρίνατε μὴ γενέσθαι χειροτονίας ἐπισκόπων, εἰ μὴ ἀπὸ δώδεκα. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ὁ ἀρχαῖος τύπος (1) φυλαχθήσεται, ἵνα μὴ ἥττονες τριῶν τῶν ὁρισθέντων εἰς χειροτονίαν ἐπισκόπων ἀρκέσωσι· διότι ἐν Τριπόλει τυχὸν καὶ ἐν Ἀρζουΐῃ δῆλον ὡς παρέγκεινται βάρβαρα ἔθνη· ἐν Τριπόλει δὲ πέντε καὶ μόνοι εἰσὶν, ὡς γινώσκετε, ἐπίσκοποι· καὶ δυνατὸν ἐξ αὐτοῦ πολλάκις τοῦ ἀριθμοῦ τοὺς δύο ἀνάγκῃ τινὶ κατέχεσθαι. Δυσχερὲς γάρ ἐστιν ἐξ οἱουδήποτε ἀριθμοῦ πάντας δύνασθαι ἀπαντῆσαι· μὴ ὀφείλει τοῦτο αὐτὸ παρεμποδὼν εἶναι τῷ χρησίμῳ τῆς ἐκκλησίας· καὶ γὰρ εἰς ταύτην τὴν ἐκκλησίαν, εἰς ἣν κατηξίωσεν ἡ ὑμετέρα συνελθεῖν ἁγιωσύνη, συχνῶς καὶ σχεδὸν κατὰ Κυριακὴν χειροτονουμένους ἔχομεν. Μὴ ἄρα δύναμαι συνεχῶς δώδεκα ἢ δέκα, ἢ οὐχὶ πολὺ ἐλάττους συγκαλεῖν ἐπισκόπους; δύο δὲ γείτονας προσζεῦξαι εὐχερές ἐστι τῇ ἐμῇ βραχύτητι. Διὸ ὁρᾷ σὺν ἐμοὶ ἡ ὑμετέρα ἀγάπη, τοῦτο αὐτὸ μὴ δύνασθαι παραφυλαχθῆναι.

—

(1) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, Ὁ ἀρχαῖος τύπος, καὶ λήγει εἰς τὸ, ἀρκέσωσι.

ΖΩΝΑΡ. Δύο ἐπισκόπους φασὶ χειροτονῆσαι ἱερέα· ἱερέα δὲ τὸν ἐπίσκοπον λέγει· πρεσβύτερον γὰρ καὶ εἷς ἐπίσκοπος χειροτονεῖ, κατὰ τὸν δεύτερον κανόνα τῶν ἁγίων Ἀποστόλων· καὶ ἀξιοῦσιν ὁρισθῆναι, ὑπὸ δώδεκα χειροτονεῖσθαι ἐπίσκοπον. Αὐρήλιος δὲ τὸν ἀρχαῖον τύπον δεῖν φυλάττεσθαι ἀπεκρίθη, τύπον τὸν κανόνα λέγων, καὶ τρεῖς ἐπισκόπους εἰς ἐπισκόπου χειροτονίαν ἀρκεῖν ἀπεφήνατο. Ἐπήγαγε δὲ καὶ αἰτίας, ἐν Ἀρζουΐῃ, φάμενος, παράκειται βάρβαρα ἔθνη, ὥστε διὰ τοῦτο δυσχέρειαν εἶναι συνέρχεσθαι τοὺς ἐπισκόπους· ἐν Τριπόλει δὲ πέντε εἰσὶν ἐπίσκοποι, Τρίπολιν, τὴν ἐν Ἀφρικῇ λέγων, καὶ συμβαίνει τινὰς τῶν πέντε ὑπό τινος ἀνάγκης κωλύεσθαι συνελθεῖν. Τοῦτο οὖν, φησιν, οὐκ ὀφείλει ἐμπόδιον εἶναι τῷ χρησίμῳ τῆς ἐκκλησίας, τουτέστι τῇ τῶν ἐπισκόπων χειροτονίᾳ· χρήσιμον γὰρ τῇ ἐκκλησίᾳ, ἤτοι τοῖς πιστοῖς, ἡ τῶν ἐπισκόπων χειροτονία, ἀντὶ τοῦ, χρειώδης, ἀναγκαία. Τοῦτο οὖν, τὸ ὑπὸ πολλῶν χειροτονεῖσθαι ἐπίσκοπον, ὁρᾶτε, φησὶν, ὅτι οὐ δύναται φυλαχθῆναι.

ΒΑΛΣ. Δύο ἐπίσκοποι ἐχειροτόνησαν εἰς Νουμιδίαν ἐπίσκοπον· τὸν γὰρ ἱερέα ἐνταῦθα, εἰς ἐπίσκοπον ὑποληπτέον, διότι ἱερεὺς καὶ παρὰ μόνου ἑνὸς χειροτονεῖται ἐπισκόπου, κατὰ τὸν β'. κανόνα τῶν ἁγίων Ἀποστόλων. Ἐζήτησαν οὖν Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι, καθὼς ἐνετάλθησαν, μηκέτι ὑπὸ δύο ἐπισκόπων χειροτονεῖσθαι ἐπίσκοπον, ἀλλ' ὑπὸ δώδεκα· καὶ ἀπελογήσατο ὁ Αὐρήλιος, ὀφείλειν φυλάττεσθαι τὸν ἀρχαῖον τύπον, ἤτοι τὸν κανόνα, καὶ ἀρκεῖν εἰς ἐπισκόπου χειροτονίαν ἐπισκόπους τρεῖς· ὅτι πολλάκις δυσχερές ἐστι, φησὶ, πολλοὺς συνελθεῖν· καὶ ἵνα μὴ γένηται τοῦτο ἐμποδὼν τῷ χρησίμῳ τῆς ἐκκλησίας, ἤγουν τῇ χειροτονίᾳ τῶν ἐπισκόπων, ὀφείλει παρὰ τριῶν καὶ μόνων ἐπισκόπων χειροτονεῖσθαι ἐπίσκοπος, ἤγουν παρὰ τοῦ μητροπολίτου καὶ παρ' ἑτέρων δύο. Οὕτω γὰρ εὐχερὴς ἔσται ἡ τῶν ἐπισκόπων χειροτονία. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐκ ἐξ ἀνάγκης παρὰ τριῶν ἐπισκόπων ἐπαρχεωτῶν χειροτονεῖται ἐπίσκοπος, ἀλλὰ παρὰ τοῦ μητροπολίτου καὶ ἑτέρων δύο, κἂν μὴ ὦσιν οὗτοι ἐπαρχεῶται. Ὁ δὲ

μητροπολίτης Ἐφέσου ἐκεῖνος κυρὸς Χριστόφορος εἰς Καλόην χειροτονήσας ἐπίσκοπον κατὰ ταύτην τὴν βασιλίδα τῶν πόλεων χωρὶς παρουσίας οἱουδήτινος ἐπαρχεώτου, ᾐτιάθη παραλόγως, ὡς ἐμοὶ δοκεῖ. Εἶπον γάρ τινες ὀφείλειν τὸν μητροπολίτην μετὰ ἐπαρχεωτῶν τὸ ἐλάχιστον δύο τὰς χειροτονίας ποιεῖν τῶν ἐπισκόπων, ὥσπερ καὶ τὰς ψήφους.

ΑΡΙΣΓ. Μὴ ἐλάττους τριῶν ἐπισκόπων εἰς χειροτονίαν ἐπισκόπου ἀρκείτωσαν.

Πάντες μὲν, εἰ δυνατὸν, οἱ τῆς ἐπαρχίας ἐπίσκοποι ὀφείλουσι μετὰ γνώμης τοῦ μητροπολίτου συνέρχεσθαι, καὶ τοὺς ἐπισκόπους ψηφίζεσθαι· εἰ δὲ μὴ δυνατὸν πάντας συνελθεῖν διά τινα ἀνάγκην, κἂν τρεῖς τὸ ἐλάχιστον δεῖ παρεῖναι, συμψήφων γινομένων καὶ τῶν ἀπόντων διὰ γραμμάτων.

## Κανὼν Ν'. (ΝΘ'.)

*Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται.*

Ἐκεῖνο δὲ ὁρίσαι δεῖ, ὥστε (1), ἐάν ποτε πρὸς ἐπιλογὴν ἐπισκόπου προέλθωμεν (2), καὶ ἀναφυῇ τις ἀντιλογία, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἡμῖν ἐτραχταίσθησαν, τολμηρὸν εἶναι λοιπὸν, τρεῖς μόνους πρὸς τὸ καθᾶραι τὸν χειροτονηθησόμενον εὑρεθῆναι, ἀλλὰ τῷ προλεχθέντι ἀριθμῷ προστεθῇ εἷς καὶ δύο, καὶ ἐπὶ αὐτοῦ τοῦ λαοῦ, οὗ μέλλει χειροτονεῖσθαι, ἐξετασθῶσι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων· εἰς ὕστερον γὰρ καὶ τὰ προτεθειμένα συζευχθῶσι· καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, εἶθ' οὕτω χειροτονηθείη. Ἐὰν τοῦτο καταδέχηται (3) ἡ ὑμετέρα ἁγιωσύνη, τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμετέρου ἀξιώματος βεβαιωθείη. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πάνυ ἀρέσκει.

---

(1) ἐν Π. ἄρχεται ὁ κανὼν ἀπὸ τοῦ, Ὥστε ἐάν ποτε, καὶ λήγει εἰς τὸ, χειροτονηθείη. — (2) συνέλθωμεν Χ. Τρ. Βευερ. — (3) ἀποκαταδέχηται Βευερ.

ΖΩΝΑΡ. Τὸ τὰ πλήθη τῶν πόλεων προχειρίζεσθαι ἀρχιερεῖς ἑαυτοῖς, οὓς ἠβούλοντο, ἐκωλύθη· τέως δὲ πάλιν τοῖς ἔχουσιν ἐξουσίαν χειροτονεῖν προσιόντες, ᾔτουν τινὰς ἐξ ὀνόματος, ὡς ἔστι δῆλον ἐκ τοῦ νέ. κανόνος τῆς παρούσης συνόδου, καὶ ἐσκοποῦντο οἱ ζητούμενοι, καὶ εἰ ἔδοξαν ἄξιοι, ἐχειροτονοῦντο. Φασὶ δὲ καὶ διάφοροι κανόνες, παρὰ τριῶν ἐπισκόπων ψηφίζεσθαι ἐπίσκοπον. Ἐὰν οὖν συνέλθωμεν, φησὶν ὁ Αὐρήλιος, εἰς ἐπιλογὴν ἐπισκόπου, καὶ ἴσως ἀντιλέγωσί τινες οὐχὶ τῶν ἐπισκόπων, ἀλλ' ἕτεροι, αἰτιάματα εἰσάγοντες κατ' αὐτοῦ, τολμηρόν ἐστι τρεῖς ἐπισκόπους, τοὺς ψηφιζομένους δηλαδὴ κατὰ τοὺς κανόνας, ἐξετάσαι τὰ λεγόμενα κατὰ τοῦ ψηφιζομένου, καὶ καθᾶραι τὸν αἰτιώμενον, ἀντὶ τοῦ, καθαρὸν ἀποφῆναι τῶν κατ' αὐτοῦ προτιθεμένων αἰτιαμάτων. Ἀλλὰ δεῖ προσκαλεῖσθαι ἕνα ἢ δύο ἐπισκόπους ἑτέρους, καὶ παρόντος τοῦ λαοῦ, ἐφ' ὃν μέλλει χειροτονεῖσθαι, ἐξετάζεσθαι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων, εἰ κατηγορεῖν δύνανται· οὐ γὰρ πάντες εἰς κατηγορίαν ἱερέων προσδέχονται, ἀλλ' οὓς ὁ τῆς δευτέρας συνόδου ἕκτος κανὼν περιέχει, καὶ ὁ ρκή. καὶ ρκθ'. καὶ ὁ ρλ'. τῆς παρούσης συνόδου φησί. Καὶ ὅτε φανῶσιν ἐκεῖνοι πρὸς κατηγορίαν δεκτοί, τότε καὶ τὰ προτιθέμενα αἰτιάματα συζευχθῶσιν, ἀντὶ τοῦ, συνεισαχθῶσι τῇ ἐξετάσει (1), καὶ ὅτε καθαρὸς φανῇ ἐπὶ δημοσίας προσόψεως, τουτέστιν, ἐπὶ φανερᾶς ἐξετάσεως, τότε χειροτονεῖσθαι. Οἱ ἐπίσκοποι εἶπον· Πάνυ ἀρέσκει.

ΒΑΛΣ. Καὶ πάλιν ὁ Αὐρήλιος εἶπεν· Ἐὰν συνέλθωμεν εἰς ἐπιλογὴν ἐπισκόπου, καὶ ἴσως ἀναφανῇ τις λέγων, μὴ ὀφείλειν τὸν ψηφισθέντα χειροτονηθῆναι διά τινα αἰτιάματα, (τοῦτο γὰρ πολλάκις ἐπρακταίσθη, ἤτοι γέγονε,) τολμηρόν ἐστι τρεῖς ἐπισκόπους, τοὺς ψηφισαμένους δηλαδὴ κατὰ τοὺς κανόνας, ἐξετάσαι τὰ λεγόμενα, καὶ καθαρὸν ἀποφῆναι ἀπὸ τῶν καταιτιαμάτων τὸν μέλλοντα χειροτονηθῆναι, ἢ τοὐναντίον καταδικάσαι αὐτόν· ἀλλὰ δεῖ προσκαλεῖσθαι ἕνα ἢ δύο ἐπισκόπους ἑτέρους, καὶ παρόντος τοῦ λαοῦ, ἐφ' ὃν μέλλει χει-

(1) τῇ αἰτιάσει. Χ. Τρ.

ροτονηθῆναι ὁ ψηφισθεὶς, ἐξετάζεσθαι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων, εἰ κατηγορεῖν δύνανται· οὐ γὰρ πάντες εἰς κατηγορίαν προσδέχονται, ἀλλ' οὓς ὁ τῆς δευτέρας συνόδου ς'. κανὼν περιέχει, καὶ τῆς παρούσης συνόδου ὁ ρκη'. κανὼν, ὁ ρκθ'. καὶ ὁ ρλ'. καὶ ὅτε φανῶσιν ἐκεῖνοι δεκτοὶ πρὸς κατηγορίαν, τότε καὶ τὰ προτεθειμένα αἰτιάματα συζευχθῶσιν, ἀντὶ τοῦ, συνεισαχθῶσι τῇ ἐξετάσει· καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, τουτέστιν, ἐπὶ φανερᾶς ἐξετάσεως, τότε χειροτονεῖσθαι αὐτόν. Εἶπον οὖν οἱ ἕτεροι· Πάνυ ταῦτα ἀρέσκει. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ εἰπὲ τὴν ἀντιλογίαν γενέσθαι ἐνταῦθα κατὰ τοῦ ψηφισθέντος, μὴ ὄντος ἱερέως, ἀλλὰ διακόνου, ἢ λαϊκοῦ· τὸν ἱερέα γὰρ οὐ δικάζουσι πέντε ἐπίσκοποι, ἀλλ' ἑπτά. Καὶ εἰ τοῦτο οὕτως εἴπῃς, οὐκ ἐναντιωθήσῃ τῷ ιβ'. κανόνι τῆς παρούσης συνόδου. Ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλου θ'. κεφ. ά. καὶ τίτλου ά. κεφάλαιον ή. καὶ τὸ ἔξωθεν αὐτοῦ καταστρωθὲν ή. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος ρλζ'. καὶ λέγε μᾶλλον κατὰ τοῦτο γίνεσθαι τὰς ἐξετάσεις τῶν ἀντιλεγόντων ἐπὶ χειροτονίᾳ ἐπισκόπων, πρεσβυτέρων, διακόνων, κληρικῶν, καὶ ἡγουμένων. Τί δὲ, εἰ μὴ ἀντιλέγει τις κατά τινος μέλλοντος χειροτονηθῆναι, ἀλλὰ προσφέρει αἰτιάματα κατά τινος καθαιρεθέντος ἴσως ἀνευλόγως, καὶ ζητοῦντος ἀποκατάστασιν, τὸ αὐτὸ γενήσεται; Λύσις. Τοῦ χρηματίσαντος ἐπισκόπου Ἀμυκλῶν Νικολάου, κατὰ βίαν πρακτορικὴν παραιτησαμένου τὴν ἀρχιερωσύνην, καὶ παρὰ τῇ μεγάλῃ συνόδῳ ζητοῦντος ἀποκατάστασιν, παρέστησάν τινες λέγοντες, μὴ ὀφείλειν αὐτὸν ἀποκατασταθῆναι, προτιθέμενοι καὶ ἐγκληματικὰ αἰτιάματα, λεγόμενα γενέσθαι παρὰ τούτου πρὸ τῆς παραιτήσεως, καὶ μετὰ τὴν παραίτησιν, καὶ κωλύοντα αὐτὸν ἀρχιερατεύειν. Ἐγένετο οὖν λόγος πολὺς περὶ τούτου· οἱ μὲν γὰρ διετείνοντο, μὴ ὀφείλειν γενέσθαι τὴν ἀποκατάστασιν πρὸ τοῦ ἐξετασθῆναι τὰ εἰσαγόμενα αἰτιάματα, χρώμενοι καὶ τῷ παρόντι κανόνι, πρὸς δὲ καὶ τῷ ή. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, καὶ παραλληλίζοντες τὴν εἰς τὴν ἀρχιερωσύνην ἀποκατά-

στασιν, τῇ νῦν πρῶτον γινομένῃ χειροτονίᾳ· οἱ δὲ ἀπεμάχοντο μὴ ἔχειν χώραν ταῦτα ἐπὶ τῆς ἀποκαταστάσεως, καὶ ἤθελον πρότερον γενέσθαι τὴν ἀποκατάστασιν, εἶθ' οὕτως γυμνασθῆναι τὰ αἰτιάματα, ὅτι, φασί, τοῦτο γίνεται καὶ εἰς τὰς πραγματικὰς δίκας· οὐδὲ γὰρ ἐμποδίζεται ἡ τῶν βιαίως ἀφαιρεθέντων ἀποκατάστασις ἀπό τινος λόγου ἢ τρόπου, καθὼς τοῖς νόμοις τοῦτο δοκεῖ. Ἄλλοι δὲ διετείνοντο, τὰ μὲν μετὰ παραίτησιν λεγόμενα γενέσθαι αἰτιάματα ἐμποδίζειν τὴν ἀποκατάστασιν, τὰ δὲ πρὸ τῆς παραιτήσεως, μὴ ἐμποδίζειν. Ἤρεσε δὲ τῇ συνόδῳ πρότερον γυμνασθῆναι πάντα τὰ αἰτιάματα, καὶ οὕτως, εἰ δεήσει, γενέσθαι τὴν ἀποκατάστασιν. Εἶπε γάρ, ὡς μεγάλη διαφορά ἐστι τῶν πραγματικῶν ὑποθέσεων, καὶ τῶν ἐγκληματικῶν· τὰ μὲν γάρ, ἤγουν τὰ πραγματικὰ δίκαια, πολλάκις μετατιθέμενα ἀπὸ τοῦδε εἰς τόνδε, οὐ προκριματίζονται, οὐδὲ τὰ εἰς Θεὸν ἀφορῶντα λυμαίνουσι· τοῦ δὲ ζητοῦντος τὴν ἀποκατάςασιν, ἀναξίως ἀποκαθισταμένου, πρὸ τοῦ ἐξετασθῆναι δηλονότι τὰ κατ' αὐτοῦ εἰσαγόμενα αἰτιάματα, γενήσεται πρόκριμα μέγα τοῖς παραχωρήσασι μετὰ τὴν τῆς ἀληθείας ἐξέτασιν, ὡς ἀπεριμερίμνως τὸν ἀνάξιον δεξαμένοις εἰς ἱερουργίαν, δυναμένοις καὶ ταῦτα πρὸ τῆς ἀποκαταστάσεως τὴν ἀλήθειαν εὑρεῖν, καὶ μηδὲν τοιοῦτον ποιῆσαι. Εἰς κατασκευὴν δὲ τούτου ἐχρήσαντο καὶ τῷ δ'. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἀλλὰ μὴν καὶ τῇ θ'. πράξει, τῇ ι'. τῇ ιά. καὶ τῇ ιβ', τῶν πρακτικῶν τῆς δ'. συνόδου. Ἐν γὰρ ταύταις, τοῦ Ἴβα ἐπισκόπου ὄντος Ἐδέσσης, ζητοῦντος ἀποκατάστασιν, ὡς καθαιρεθέντος μονομερῶς, ἀλλὰ μὴν καὶ τοῦ Βασιανοῦ ἐπισκόπου ὄντος Ἐφέσου, καὶ κατὰ βίαν ὑπὸ τῶν κληρικῶν αὐτοῦ ἐξωσθέντος, καὶ ζητοῦντος ὁμοίως ἀποκατάστασιν, εὕρηται ὡς προσεδέχθησαν οἱ λιβέλλους ἐγκληματικῶν αἰτιαμάτων κατὰ τούτων δόντες, λεγομένων γενέσθαι πρὸ τοῦ μετακινηθῆναι τούτους, καὶ μετὰ ταῦτα, καὶ οὐκ εἰσηκούσθησαν οἱ ζητοῦντες πρότερον ἀποκατασταθῆναι καὶ οὕτω δικάσασθαι, ἀλλ' ἐτηρήθησαν πρῶτον τὰ αἰτιάματα, καὶ μετὰ ταῦτα τὰ περὶ τῆς ἀποκαταστάσεως.

**ΑΡΙΣΤ.** Ἐπισκόπου ὑπὸ τριῶν ἐπισκόπων ψηφιζομένου, εἰ

ἀντιλογία γένηται περὶ αὐτοῦ, ἕτεροι δύο προσζευχθήτωσαν· καὶ οὕτω τὰ κατ' αὐτὸν ὑπ' αὐτῶν ἐξεταςθήτω· καὶ εἰ φανείη καθαρὸς, χειροτονείσθω.

## Κανὼν ΝΑ'. (Ξ'.)

*Ὥστε ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀγγέλλεσθαι τὴν ἡμέραν τοῦ Πάσχα.*

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· Ἐπειδὴ τὰ ἐν τῷ κομμονιτωρίῳ ἡμῶν πάντα δεῖ συζεῦξαι, προστίθεμεν ἔτι μὴν ἐνταλὲν ἡμῖν περὶ τῆς ἡμέρας τοῦ Πάσχα, ἵνα κατὰ τὸ εἰωθὸς ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀεὶ παρασκευαζώμεθα, καὶ μὴ ἐν στενῷ τοῦ χρόνου διαστήματι. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐὰν δοκῇ τῇ ἁγιωσύνῃ ὑμῶν, ἐπειδὴ μεμνήμεθα ἤδη ἐκ πολλοῦ ὑμᾶς ἐπαγγειλαμένους, ὥστε (1) ἐν ἑκάστοις ἐνιαυτοῖς συνέρχεσθαι πρὸς τὸ συζητεῖν, ὅταν εἰς ἓν συνέλθωμεν, τότε διαδοθήσεται τοῦ ἁγίου Πάσχα ἡ ἡμέρα διὰ τῶν εὑρεθησομένων ἐν τῇ συνόδῳ τοποτηρητῶν. Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Νῦν διὰ τῆς παρούσης συνελεύσεως αἰτοῦμεν, ἵνα γράμμασι τυπῶσαι τὰς ἡμετέρας ἐπαρχίας καταξιώσητε. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἀναγκαῖόν ἐστιν οὕτω γενέσθαι.

---

ΖΩΝΑΡ. Περὶ διαφόρων ὑποθέσεων ἐνετάλθησαν οὗτοι εἰπεῖν ἐν τῇ συνόδῳ· καί φασιν, ὅτι, ἐπειδὴ πάντα δεῖ συζεῦξαι, ἤγουν συνάψαι τοῖς προλαβοῦσι, τοῖς ἐν τῷ κομμονιτορίῳ ἡμῶν, τοῖς ἐν τῷ ἐνταλτηρίῳ ἡμῶν, προστίθεμεν περὶ τῆς ἡμέρας τοῦ Πάσχα, ἵνα δήλη ἡμῖν γένηται ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος, καὶ παρασκευαζώμεθα πρὸς αὐτὴν πρὸ πολλοῦ, καὶ μὴ ἐν στενῷ διαστήματι χρόνου μηνύηται ἡμῖν. Πρὸς ὃ ὁ Αὐρήλιος ἀπεκρίθη, ὅτι, ἐπεὶ καθ' ἕκαστον ἐνιαυτὸν τετύπωται σύνοδον γίνεσθαι, ἐν τῷ καιρῷ τῆς συ-

(1) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, ὥστε ... καὶ λήγει εἰς τὸ, τοποτηρητῶν.

νόδου γνωρισθήσεται καὶ ἡ τοῦ Πάσχα ἡμέρα. Οἱ δὲ εἰρημένοι ἐπίσκοποι ἠξίωσαν, ἐν τῇ συνελεύσει τῆς ἐπαρχίας αὐτῶν τοῦ τότε καιροῦ τυπωθῆναι τὰς ἡμέρας τοῦ Πάσχα· εἴτε δὲ ἐτυπώθησαν, εἴτε μή, ὁ κανὼν οὐ περιέχει.

ΒΑΛΣ. Τοῦ Ὀνωράτου καὶ τοῦ Οὐρβανοῦ ζητησάντων γνωρισθῆναι (1) τὴν ἡμέραν τοῦ Πάσχα αὐτοῖς ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος, ὡς ἂν εἰδήσεως διδομένης πρὸ καιροῦ πλείονος παρασκευάζωνται πρὸς ταύτην, ἀπεκρίθη ὁ Αὐρήλιος, ὅτι, ἐπεὶ καθ' ἕκαστον ἐνιαυτὸν τετύπωται σύνοδον γίνεσθαι, γενήσεται καὶ τοῦτο. Ὡσαύτως ζητησάντων τῶν αὐτῶν τυπωθῆναι καὶ τὰς τούτων ἐπαρχίας, ὡρίσθη γενέσθαι καὶ τοῦτο.

ΑΡΙΣΤ. Ἐν τῇ κατ' ἔτος συνόδῳ ἀγγελλέσθω ἡ ἡμέρα τοῦ Πάσχα παρὰ τῆς ἐν Καρχηδόνι ἐκκλησίας.

Τὸ ἐν τῇ κατ' ἔτος γινομένῃ συνόδῳ εἰς τὴν ἐν Καρχηδόνι ἐκκλησίαν τὴν ἡμέραν τοῦ Πάσχα γνωρίζεσθαι, καὶ ἐν τῷ λδ'. κανόνι ὡρίσθη.

## Κανὼν ΝΒ'. (ΞΑ'.)

*Περὶ τοῦ, τὰς ἐπαρχίας ἐπισκέπτεσθαι.*

Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Κἀκεῖνο ἡμῖν διὰ λόγου ἐντέταλται, ὥστε καὶ ὑμᾶς καταξιῶσαι τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Ἱππῶνι συνόδου ὀφείλειν (2) ἑκάστην ἐπαρχίαν ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι, καὶ ὅτι ἐν τούτῳ καὶ τῷ ἄλλῳ ἐνιαυτῷ ὑπερέθεσθε κατὰ τάξιν ἐπισκέψασθαι τὴν Μαυριτανίαν. Αὐρήλιος ἐπίσκοπος εἶπε· Τότε περὶ τῆς τῶν Μαυριτανῶν χώρας οὐδὲν ὡρίσαμεν, διὰ τὸ εἰς τὰ τέλη τῆς Ἀφρικῆς κεῖσθαι αὐτήν, καὶ ὅτι τῷ βαρβαρικῷ παράκειται· ὁ δὲ Θεὸς παράσχοι ἐκ περιουσίας δύνασθαι ἡμᾶς καὶ μὴ ἐπαγγειλαμένους τοῦτο ποιεῖν, καὶ παραγίνεσθαι εἰς τὴν χώραν ὑμῶν. Ὀφείλετε γὰρ ἐννοεῖν, ἀδελφοί, ὅτι

(1) Χ. Τρ. Ἑ. — γνωσθῆναι Βευερ. — (2) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, ὀφείλομεν ἑκάστην . . . καὶ λήγει εἰς τό, ἐπισκέπτεσθαι.

ἐὰν λογισμὸς ἀπαιτῇ τοῦτο, περὶ ἑαυτῶν διεξελθεῖν ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ Ἀρζουϊτανοὶ ἀδελφοί.

---

ΖΩΝΑΡ. Τὰ μὲν ἄλλα ἐγγράφως τοῖς ἐρωτῶσι τούτοις ἐπισκόποις ἐνετάλθησαν· τοῦτο δὲ ἀγράφως· τὸ δὲ ἦν, τὸ ἐτησίως ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι ἑκάστην ἐπαρχίαν, ἤγουν ἀπιέναι καὶ συζητεῖν περὶ τῶν ἐν αὐταῖς φυομένων ἀμφιβολιῶν, καὶ οἰκονομεῖν ταύτας, καὶ ὅτι ἐν δυσὶν ἐνιαυτοῖς οὐκ ἐπεσκέψαντο τὴν Μαυριτανίαν. Πρὸς ἃ ἀπεκρίθη ὁ Αὐρήλιος, ὅτι ἡ Μαυριτανία εἰς τὰ τέλη κεῖται τῆς Ἀφρικῆς, καὶ τοῖς βαρβαρικοῖς παράκειται, διὸ οὐδὲν ὡρίσθη περὶ αὐτῆς. Δοίη δὲ ὁ Θεὸς ἐκ περιουσίας, ἤγουν ἐκ τοῦ πλείονος, δύνασθαι ἡμᾶς τοῦτο ποιεῖν· πλεῖον δὲ λέγει, τὸ ποιεῖν καὶ ὅσα οὐκ ἐπηγγείλαντο, καὶ παραγίνεσθαι εἰς τὴν χώραν ὑμῶν· ἐννοήσατε γάρ, φησιν, ὅτι ἐὰν λογίσηταί τις τοῦτο δυνατὸν εἶναι, τὸ παρουσιάζειν εἰς Μαυριτανίαν παρακειμένην βαρβάροις, ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ Ἀρζουϊτανοὶ ἀδελφοὶ τοῦτο ἡμᾶς ἀπαιτεῖν.

ΒΑΛΣ. Οἱ αὐτοὶ ἐπίσκοποι ἐζήτησαν ἐπισκέπτεσθαι καὶ τὴν Μαυριτανίαν, ὡς τούτου μὴ γενομένου πρὸ χρόνων δύο· πρὸς ὃ ἀπελογήσατο ὁ Αὐρήλιος, ὡς κἂν οὐ γέγονε τοῦτο διὰ τὸ εἰς τὰ τέλη τῆς Ἀφρικῆς πλησίον τῶν βαρβάρων παρακεῖσθαι τὴν Μαυριτανίαν· ἀλλὰ Θεοῦ διδόντος ἐκ περιουσίας τοῦτο γενήσεται, ἤτοι καὶ πλέον τῶν ἐπαγγελθέντων. Εἰ γὰρ δυνατὸν ἦν τοῦτο, ἐξ ἀνάγκης καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ Ἀρζουιτανοὶ ἵνα ἐζήτησαν τοῦτο.

ΑΡΙΣΤ. Καθ' ἃ καὶ ἡ ἐν Ἱππῶνι σύνοδος ὥρισεν, ἐν τῇ κατ' ἔτος συνόδῳ ἑκάστη ἐπαρχία ἐπισκεπτέσθω.

Ἐν τῇ συνόδῳ τῇ μελλούσῃ κατ' ἐνιαυτὸν γίνεσθαι ἐν Καρχηδόνι, ὥρισαν οἱ Πατέρες, τοῖς ὁρισθεῖσι τῇ ἐν Ἱππῶνι συνόδῳ ἐπακολουθοῦντες, τὰ ἐν ταῖς ἐκκλησίαις ἑκάστης ἐπαρχίας πεπραγμένα ἐπιτηρεῖν τε καὶ ἐπισκέπτεσθαι, καὶ εἴ τι μὴ καλῶς ἐπράχθη, διορθοῦσθαι· καὶ τὰ μὴ λυθέντα τῶν προτεθέντων κανονικῶν ζητημάτων, ἀλλ' ἴσως παρεαθέντα διὰ τὸ

δυσχερὲς, ἢ καὶ ἀμφίβολα μείναντα, διαλύειν, καὶ πρὸς σαφήνειαν ἄγειν.

### Κανὼν ΝΓ'. (ΞΒ'.)

*Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι.*

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἐν πολλοῖς συνόδοις (1) ὥρισται συνεδρίῳ ἱερατικῷ, ἵνα τὰ πλήθη τὰ ἐν ταῖς παροικίαις ἀπὸ τῶν ἐπισκόπων κατεχόμενα, τὰ ἴδιον ἐπίσκοπον μηδέποτε ἐσχηκότα, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἐπισκόπου, παρ' οὗ ἐξ ἀρχῆς κατέχονται, μὴ λαμβάνοιεν ἰθυντὰς ἰδίους, τουτέστιν ἐπισκόπους· ἐπειδή τινες δηλαδὴ τυραννίδος τινὸς ἐπιτετυχηκότες, τὴν τῶν ἀδελφῶν κοινωνίαν ἀποστρέφονται· καὶ ὅταν δὲ ἀποφαυλισθῶσιν, ὡσανεί τινι παλαιᾷ τυραννίδι δεσποτείας ἑαυτοῖς ἐκδικοῦσι· πολλοὶ δὲ καὶ ἐκ τῶν πρεσβυτέρων φυσιούμενοι καὶ μωροί, τοὺς αὐχένας ἐπανιστῶσι κατὰ τῶν οἰκείων ἐπισκόπων, τὸ πλῆθος συμποσίοις καὶ κακοθελέσι (2) συμβουλίαις διεγείροντες, ὡς ἀτάκτῳ (3) εὐνοίᾳ τούτους ἑαυτοῖς (4) ἰθυντὰς καθιστάνειν· τοῦτο δὲ ἐπισήμως εὐκταῖον παρὰ τῆς ὑμετέρας κατέχομεν διανοίας, πιστότατε ἀδελφὲ Αὐρήλιε, ὅτι πολλάκις τὰς τοιαύτας ὁρμὰς μὴ προσδεχόμενος ἐκώλυσας. Διὰ δὲ τὰς τῶν τοιούτων κακοθελεῖς ἐννοίας, καὶ τὰ φαύλως συμφρονούμενα (5) βουλεύματα τοῦτο λέγω, μὴ ὀφείλειν ἴδιον καθηγητὴν δέξασθαι τὸ πλῆθος τὸ ἐν τῇ λεγομένῃ παροικίᾳ ὑποκείμενον ἀρχαίῳ ἐπισκόπῳ, καὶ μηδέποτε ἴδιον ἐπίσκοπον ἐσχηκός. Διὸ ἐὰν συμπάσῃ τῇ ἁγιωτάτῃ συνόδῳ ἀρέσκῃ τὸ παρ' ἐμοῦ, βεβαιωθῇ. Αὐρήλιος ἐπίσκοπος εἶπε· Τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τῇ

(1) ἐν Π. ὁ Κανὼν ἄρχεται ἀπὸ τοῦ, Ἐν πολλαῖς συνόδοις . . . καὶ λήγει εἰς τὸ, καθέδρᾳ ἀποκινῶνται. — (2) κακοήθεσι Ἰουστ. Κ. Π. — (3) ὡς ἄτακτοι Βευερ. — (4) τὸ, ἑαυτοὺς, οὐ κεῖται ἐν Χ. Τρ. — (5) συμφωνούμενα Σ. Ρ. Χ. Τρ. Βευερ.

ἐξακολουθήσει οὐκ ἀνθίσταμαι, ἀλλὰ τοῦτο ἐμὲ καὶ πεποιηκότα καὶ ποιήσοντα ὁμολογῶ, δηλαδὴ περὶ τοὺς ὁμονοοῦντας, οὐ μόνον τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ, ἀλλὰ καὶ πάσῃ τῇ ἱερατικῇ συγκληρώσει. Εἰσὶ γὰρ πλεῖστοι συμπνέοντες τοῖς οἰκείοις πλήθεσιν, ἅτινα, ὡς λέλεκται, ἀπατῶσι κνήθοντες τὰς ἀκοὰς αὐτῶν, καὶ κολακεύοντες πρὸς ἑαυτοὺς ἀνθρώπους κατεγνωσμένου βίου· μᾶλλον δὲ φυσιούμενοι, καὶ ἐκ τῆς συγκληρώσεως ταύτης ἑαυτοὺς χωρίζοντες, οἵτινες τῷ ἰδίῳ πλήθει ἐπερειδόμενοι, πολλάκις συγκληθέντες ἐλθεῖν εἰς σύνοδον παραιτοῦνται, ὡς φοβούμενοι μήπως τὰ τούτων ἀτοπήματα φανερωθῶσι. Λέγω οὖν, ἐὰν δοκῇ, ὀφείλομεν παντὶ τρόπῳ ἀγωνίσασθαι, τούτοις μὴ μόνον τὰς τοιαύτας διοικήσεις μὴ φυλάττεσθαι, ἀλλὰ μηδὲ τὰς οἰκείας ἐκκλησίας τὰς κακῶς εἰς αὐτοὺς περιελθούσας, καὶ ἵνα αὐθεντικῶς δημοσίᾳ ἐκβάλλωνται, καὶ αὐτῇ τῇ τῶν πρωτευόντων καθέδρᾳ (1) ἀποκινῶνται. Χρὴ γὰρ τοὺς σύμπασι τοῖς ἀδελφοῖς καὶ ὅλῃ τῇ συνόδῳ προσκολλωμένους, μὴ μόνον τὴν οἰκείαν κατέχειν δικαίως καθέδραν, ἀλλ᾿ ἔτι μὴν τὰς τοιαύτας διοικήσεις κεκτῆσθαι, τοὺς δὲ δοκοῦντας τοῖς ἰδίοις ὄχλοις ἀρκεῖσθαι, καὶ τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντας, μὴ μόνον τὰς διοικήσεις ἀπολλύειν, ἀλλ᾿ ἔτι μὴν, ὡς εἶπον, καὶ τῶν οἰκείων τόπων ἀρχοντικῇ στερεῖσθαι ὡς ἀντάρτας δυναστείᾳ. Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον· Ἡ μεγίστη πρόνοια τῆς ὑμετέρας ἁγιωσύνης ταῖς πάντων διανοίαις ἐνεκαθέσθη, καὶ λογιζόμεθα ὀφείλειν τῇ πάντων ἀποκρίσει βεβαιωθῆναι τὴν ὑμετέραν ἐξακολούθησιν. Σύμπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέσκει, ἀρέσκει.

—

(1) Ἰουστ. Κ. Χ. Τρ. Βευερ. — καὶ αὐτῆς τῆς .... καθέδρας Σ. Ρ.

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Καὶ ὁ ϛʹ. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται μήτε ἐν πόλει βραχείᾳ, μήτε ἐν κώμῃ καθίστασθαι ἐπίσκοπον, καὶ ὁ κανὼν δὲ οὗτος, ἐν ταῖς παροικίαις, φησὶ, ταῖς παρ᾽ ἐπισκόπων κατεχομέναις, μὴ γίνεσθαι ἐπίσκοπον, εἰμὴ κατὰ γνώμην τοῦ ἐπισκόπου, ᾧ ἐξ ἀρχῆς, διέφερεν ἡ παροικία· ἰθυντὰς δὲ καλεῖ τοὺς ἐπισκόπους, ὡς ἰθύνοντας τὸν λαὸν, καὶ κατευθύνοντας πρὸς τὴν ὀρθὴν πορείαν τῆς πίστεως, καὶ τῆς ἀρετῆς. Τοῦτο δὲ λέγουσιν, ἐπειδή τινες τυραννίδος ἐπιτετυχηκότες, ἤγουν δυναστείας τινὸς, τὴν τῶν ἀδελφῶν, τῶν ἐπισκόπων δηλαδὴ, κοινωνίαν ἀποστρέφονται· καὶ ὅταν ἀποφαυλισθῶσιν, ἀντὶ τοῦ, ἀποδοκιμασθῶσι, καὶ φανεροὶ γένωνται τὴν κακίαν, τότε ἑαυτοῖς ἐκδικοῦσι δεσποτείας, ὡς τάχα δίκαιον ἔχοντες ἐκ παλαιᾶς συνηθείας (1)· τὴν δυναστείαν δὲ ὠνόμασαν τυραννίδα διὰ τὸ βίαιον. Πολλοὶ δὲ καὶ τῶν πρεσβυτέρων κενοδοξοῦντες, καὶ ἐπαιρόμενοι ἐκ μωρίας, κατεπαίρονται, καὶ κατεξανίστανται τῶν οἰκείων ἐπισκόπων, διεγείροντες τὰ πλήθη, ἀντὶ τοῦ, ἐρεθίζοντες, συμποσίοις καὶ κακοθελέσι συμβουλίαις, ἰθυντὰς, ἤτοι ἐπισκόπους ἑαυτοῖς τούτους καθιστᾷν, ὡς τάχα τοῦτο δι᾽ εὔνοιαν τὴν πρὸς αὐτοὺς ποιοῦντες, ἥτις εὔνοια ἄτακτος ἐστίν· οὐδὲ γὰρ εὐτάκτως, οὐδὲ κανονικῶς γίνεται· τοῦτο δέ, φησιν, ἐπισήμως κατέχομεν, ἀντὶ τοῦ, φρονίμως καὶ φανερῶς κατέχομεν ἐν τῇ ἡμῶν διανοίᾳ, εὐκταῖον, ἤγουν εὐχῆς ἄξιον, ὥστε οὕτω γίνεσθαι· ποῖον δὴ τοῦτο; ὅτι πολλάκις τοιαύτας ὁρμὰς ἐκώλυσας, μὴ προσδεχόμενος ταύτας· Διὰ δὲ τὴν τινῶν κακοθέλειαν, καὶ τὰς φαύλας συμβουλὰς καὶ συμφωνίας, κυρωθήτω μὴ δέχεσθαι ἴδιον καθηγητὴν, ἤγουν ἐπίσκοπον, τοὺς ἐν παροικίᾳ ὄντας, ἥτις ἀρχαίῳ ἐπισκόπῳ ὑπόκειται, καὶ οὐδέποτε ἴδιον ἐπίσκοπον ἔσχεν. Εἰπόντος δὲ τοῦ Ἐπιγονίου τὰ προειρημένα, ὁ Αὐρήλιος ἀπεκρίθη· Τοῦτο, τὸ εἰσαχθὲν δηλαδὴ, καὶ πεποίηκα, καὶ ποιεῖν ὁμολογῶ. Εἰσὶ γὰρ πολλοὶ ὁμονοοῦντες τοῖς οἰκείοις πλήθεσιν, ἐξ ὧν ὥρμηνται δηλονότι· ἡ δὲ ὁμόνοια αὐτῶν ἀπάτη ἐστί· κνήθον-

(1) δυναστείας Κ. — ἀλλὰ λατινιστὶ ὀρθῶς, consuetudine.

τες τὰς ἀκοὰς αὐτῶν καὶ κολακεύοντες, ἀντὶ τοῦ, λόγοις ἀπατηλοῖς τὰς ἀκοὰς αὐτῶν ἡδύνοντες καὶ γαργαλίζοντες· *ἐκ τοῦ Ἀποστόλου δὲ εἴληπται τὸ, κνήθοντες τὰς ἀκοάς·* (1) τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ζώων ἐλήφθη· τὰ γὰρ ζῶα καταψώμενα καὶ κνηθόμενα χερσὶν ἀνθρώπων γαργαλίζονται, καὶ ἡμεροῦνται, καὶ χειροήθη γίνονται· καὶ διὰ τῆς κολακείας πρὸς ἑαυτοὺς ὑποσύροντες ἀνθρώπους κατεγνωσμένου βίου, μᾶλλον δὲ φυσιούμενοι, καὶ ἐκ τῆς συγκληρώσεως ταύτης, ἤγουν τῆς τῶν ἐπισκόπων ὁμηγύρεως ἑαυτοὺς χωρίζοντες, οἵτινες θαῤῥοῦντες τῷ οἰκείῳ πλήθει, καὶ αὐτῷ ἐπιστηριζόμενοι, καὶ δυναμούμενοι ἐν ᾧ κατέστησαν ἐπίσκοποι, παραιτοῦνται ἐλθεῖν εἰς σύνοδον, καί τοι πολλάκις κληθέντες· διὰ τί δὲ παραιτοῦνται ἐλθεῖν; ὅτι φοβοῦνται μὴ ἐλεγχθῶσι τὰ ἀτοπήματα αὐτῶν. Ὀφείλομεν οὖν, φησιν, ἐὰν πᾶσι δοκῇ, πάντα τρόπον ἀγωνίσασθαι, μὴ μόνον τὰ οὕτω κακῶς διοικηθέντα καὶ οἰκονομηθέντα (2) μὴ φυλάξαι, σπουδάσαι δὲ μηκέτι γίνεσθαι τοῦ λοιποῦ, ἀλλὰ καὶ τὰς ἐκκλησίας τὰς κακῶς περιελθούσας αὐτοῖς ἀφελέσθαι ἐξ αὐτῶν, καὶ ἵνα μετὰ ἐξουσίας φανερῶς ἐκβάλλωνται, καὶ διὰ τῆς τῶν πρωτευόντων καθέδρας, ἤτοι τῶν πατριαρχῶν, ἢ τῶν μητροπολιτῶν ἐκδιώκωνται· διὰ δὲ τῆς καθέδρας τῶν πρωτευόντων τὴν ἀρχιερατικὴν ἐξουσίαν ἐνέφηνεν. Ἐνδέχεται γάρ, φησι, τοὺς προσκολλωμένους τοῖς ἀδελφοῖς, τοὺς ὁμόφρονας δηλαδὴ πάσῃ τῇ συνόδῳ, μὴ μόνον τοὺς οἰκείους θρόνους ἔχειν, ἀλλὰ καὶ τὰς τοιαύτας διοικήσεις κεκτῆσθαι, τοὺς δὲ καταφρονοῦντας τῆς ὁμονοίας καὶ τῆς ἀδελφικῆς ἀγάπης, ὡς δοκοῦντας ἀρκεῖσθαι τοῖς ἰδίοις ὄχλοις, παρ' ὧν ἐπελέγησαν εἰς ἐπισκοπήν, μὴ μόνον τὰς διοικήσεις ἐν αἷς γεγόνασι ἐπίσκοποι ἀπόλλειν, ἀλλὰ καὶ τῶν ἰδίων τόπων στερεῖσθαι, εἴ τινας εἶχον οἰκείους, ἐκεῖθεν ὄντες, ἐκδιωκομένους ἐξ αὐτῶν ἀρχοντικῇ δυναστείᾳ ὡς ἀντάρτας, ἤτοι, ὡς ἀνταίροντας χεῖρας, καὶ ἐναντιουμένους τοῖς κανόσι καὶ

---

(1) β΄. Τιμόθ. Δ΄, 4.—Χ. Τρ.—τὰ ἐντὸς τῶν *οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν παραρτ. αὐτοῦ. — (2) Χ. Τρ. Ἑ.—καὶ οἰκονομηθέντα, οὐ κεῖται παρὰ Βευερ.

τοῖς ἐπισκόποις. Πρὸς ταῦτα, τινὲς μὲν εἶπον, ὅτι ἡ πρόνοια αὕτη ταῖς πάντων διανοίαις ἐνεκαθέσθη, ἀντὶ τοῦ, ἤρεσεν, ἀνεπαύθη· ἀνάπαυσιν γὰρ τὸ καθῆσθαι ποιεῖ· ἡ δὲ σύνοδος εἶπεν· Ἀρέσκει.

ΑΡΙΣΤ. Ὁ τὴν παρὰ τῆς συνόδου κλῆσιν παραιτούμενος, καὶ τῷ θαῤῥεῖν τῷ ἰδίῳ πλήθει τῆς ἀδελφικῆς ἀγάπης καταφρονῶν, καὶ τῶν ἰδίων ἀρχοντικῇ δυναστείᾳ στερηθήσεται.

Ὁ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ τῶν ἀνηκόντων αὐτῷ ἔκπτωσιν ὑποστήσεται. Εἴ τινες οὖν τῶν ἐπισκόπων, ἢ καὶ τῶν πρεσβυτέρων, εἰς ἑαυτοὺς ἐφελκύσαντες λαὸν παροικίας τινός, καὶ παραπείσαντες αὐτὸν ἀπάτῃ καὶ κολακείᾳ διδάσκαλοι αὐτοῦ καὶ καθηγηταὶ καταστῆναι, τουτέστιν ἐπίσκοποι, καὶ ἀποστῆναι ἐπισκόπου, ᾧ τινι ἡ τοιαύτη παροικία ὑπέκειτο πρότερον, καὶ καλούμενοι εἰς τὴν σύνοδον ἐπὶ τῷ ἀπολογήσασθαι περὶ ὧν ἐπεγκαλοῦνται ἕνεκεν ταύτης τῆς ὑποθέσεως, οὐ θελήσουσι παρουσιάσαι, ὡς τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντες, καὶ τῷ πλήθει θαῤῥοῦντες, καὶ τῶν ἰδίων ἐκκλησιῶν στερηθήσονται δι' ἀρχοντικῆς ἐξουσίας.

## Κανὼν ΝΔ'. (ΞΓ'.)

*Περὶ τοῦ, ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων.*

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, καὶ νῦν ἔτι μὴν ἐκ τῆς ὑμετέρας ἐβεβαιώθη συνέσεως, μακαριώτατοι ἀδελφοί, ὥστε μηδένα (1) ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν, παρὰ τὴν κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκόπου. Ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἐνεχθέντα περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν σωρευθείσας τοσαύτας τοῦ Θεοῦ εὐεργεσίας, καὶ οὕτω προπετῶς καὶ τολμηρῶς διαγενόμενον, ὥστε τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμοῦ βαπτισθέντα, τὸν καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ πα-

(1) Ἐν Π. ὁ Κανὼν ἄρχεται ἀπὸ τοῦ, ὥστε μηδένα.

ῥατεθέντα μοι, καὶ ἐπὶ πολλὰ ἔτη ἐξ ἐμοῦ τραφέντα καὶ αὐξηθέντα, τὸν, ὡς εἶπον, ἐν τῇ ἐμῇ ἐκκλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μετριότητος βαπτισθέντα, καὶ δεικνύμενον ἐν τῇ τῶν Μαπαλιτῶν παροικίᾳ ἀναγνώστην γενόμενον, καὶ ἐπὶ δύο ἔτη ἐκεῖσε ἀναγινώσκοντα, τοῦτον, οὐκ οἶδα ποίᾳ καταφρονήσει τῆς ἐμῆς μετριότητος, ἀφαρπάσαι τὸν αὐτὸν Ἰουλιανὸν, καὶ λέγειν πολίτην τοῦ διαφέροντος αὐτῷ Βαζαριτανοῦ τόπου, καὶ παρὰ τὴν ἐμὴν γνώμην τούτῳ καταχεχρῆσθαι· καὶ γὰρ καὶ διάκονον τοῦτον ἐχειροτόνησε. Τοῦτο εἰ ἔξεστι, γνωσθῇ ἡμῖν ἡ τοιαύτη ἄδεια, μακαριώτατοι ἀδελφοί· εἰ δὲ μή γε, τὸ οὕτως ἀναιδὲς κωλυθῇ, ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινωνῇ ἀλλοτρίοις (1). Νουμίδιος ἐπίσκοπος εἶπεν· Ἐὰν μὴ ἐρωτηθείσης, μηδὲ αἰτηθείσης τῆς σῆς ἀξίας, φανείη τοῦτο πράξας Ἰουλιανὸς, κρίνομεν πάντες ἀδίκως γινόμενον καὶ μὴ ἀξίως. Διὸ εἰ μὴ ὁ αὐτὸς Ἰουλιανὸς διορθώσηται τὴν οἰκείαν πλάνην, καὶ μετ' ἀποθεραπεύσεως τῷ ὑμετέρῳ λαῷ τὸν αὐτὸν ἀποκαταστήσῃ κληρικὸν, ὃν ἐτόλμησε χειροτονῆσαι κατὰ τῶν ὁρισθέντων τῇ συνόδῳ πράττων (2), καὶ χωρισθεὶς ἀφ' ἡμῶν, τῆς οἰκείας μονοτονίας ἀπενέγκοι τὴν κρίσιν. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ὁ κατὰ τὴν χεῖραν πατὴρ, καὶ αὐτῇ τῇ προκοπῇ ἀρχαιότατος καὶ ἐπαινετὸς ἀνὴρ, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Βίκτωρ, τὴν αἴτησιν ταύτην γενικὴν βούλεται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι.

---

ΖΩΝΑΡ. Συνόδοις διαφόροις, φησὶν, ὥρισται τοῦτο, τὸ ἀλλότριον κληρικὸν μὴ δέχεσθαι ἄλλον ἐπίσκοπον παρὰ γνώμην τοῦ κληρώσαντος αὐτὸν ἐπισκόπου, ἀλλὰ καὶ νῦν παρ' ὑμῶν βεβαιωθείη, ἀδελφοί· ὁ δὲ Ἰουλιανὸς καταφρονήσας τούτων, καὶ ἀχάριστος φανεὶς περὶ ἐμὲ εὐεργετήσαντα αὐτὸν, προπετῶς,

(1) ἐν Π. ὁ κανὼν λέγει, εἰ δὲ μήγε μὴ ἐπικοινωνῇ ἀλλοτρίοις· παραλειπομένων τῶν διαμέσου, ἀναφέρω δὲ Ἰουλιανόν... ἀναιδὲς κωλυθῇ· — (2) κατὰ τὰ ὁρισθὲν τῇ συνόδῳ μὴ πράττων, Βεωρ.

ἀναιδῶς δηλαδὴ, τὸν ὑπ' ἐμοῦ βαπτισθέντα, ὃν αὐτός μοι παρέθετο διὰ πολλὴν ἔνδειαν, ἤγουν, ἢ ὡς ἐπιδεῆ τῶν ἀναγκαίων, ἢ ὡς ἔνδειαν ἐμοὶ ἔχοντι κληρικῶν, ὃν καὶ αὐτὸς ἀναγνώστην πεποίηκα, ἀφήρπασε, καὶ διάκονον ἐχειροτόνησεν. Εἰ γοῦν ἔξεστι τοῦτο γίνεσθαι, γνωσθήτω ὑμῖν· εἰ δ' οὐκ ἔξεστι, κωλυθήτω τὸ οὕτως ἀναιδὲς, ἵνα ὁ ῥηθεὶς Ἰουλιανὸς μὴ ἐπικοινωνῇ ἀλλοτρίοις· τοῦτο δὲ διττῶς νοεῖται, ἢ ἵνα μὴ τοὺς ἀλλοτρίους κληρικοὺς οἰκειῶται, καὶ σφετερίζηται, ἢ ἵνα μὴ παρά τινων ἄλλων ἐπισκόπων εἰς κοινωνίαν δέχηται. Πρὸς ταῦτα δὲ ὁ Νουμίδιος εἶπεν, ὅτι, ἐὰν μὴ σοῦ παραχωρήσαντος ὁ Ἰουλιανὸς ἔπραξε τοῦτο, ἄδικον ἐστί· καὶ εἰ μὴ διορθώσεται τὴν οἰκείαν πλάνην, καὶ ἀποκαταστήσει τὸν κληρικὸν, ὡς πράττων κατὰ τῶν ὁρισθέντων τῇ συνόδῳ, ἤγουν ὡς ἀνατρέπων τὰ συνοδικῶς ὁρισθέντα, χωρισθήσεται ἀφ' ἡμῶν, ἀντὶ τοῦ, ἀφορισθήσεται, ἢ καὶ καθαιρεθήσεται, καὶ ὑποστήσεται τὴν κατάκρισιν ἐκ τῆς οἰκείας μονοτονίας, ἤγουν ἀναισχυντίας, ἢ αὐτογνωμοσύνης. Ὁ δὲ Ἐπιγόνιος ἔφη, ὅτι ὁ κατὰ τὴν ἡλικίαν καὶ τὸ γῆρας πατὴρ, καὶ τῇ προκοπῇ, τοῦ χρόνου δηλαδὴ, ἀρχαιότατος (1) ἀνὴρ βούλεται γενικὴν γενέσθαι τὴν αἴτησιν ταύτην, ἣν ᾐτήσατο ὁ τὴν ὑπόθεσιν εἰσαγαγὼν, ἤγουν μὴ κατὰ μόνου τοῦ Ἰουλιανοῦ τοῦτο ἐκφωνηθῆναι, ἀλλὰ κατὰ πάντων κοινῶς τῶν ἀλλοτρίους κληρικοὺς σφετεριζομένων.

ΒΑΛΣ. Ὁ ἐπίσκοπος Ἐπιγόνιος ἐδέξατο νεανίσκον τινὰ πένητα ἐξ ἀποστολῆς τινος ἐπισκόπου, Ἰουλιανοῦ καλουμένου, ὄντα ἀπὸ τόπου καλουμένου Βαζαριτανοῦ, καὶ ὑποκειμένου τῇ ἐνορίᾳ τοῦ αὐτοῦ Ἰουλιανοῦ, καὶ ἐβάπτισεν αὐτὸν, καὶ ἀνέθρεψε, καὶ ἀναγνώστην ἐχειροτόνησεν εἰς τὴν ὑπ' αὐτὸν παροικίαν τῶν Μαπαλιτῶν. Ὅτι δὲ μετὰ δύο ἔτη τῆς κληρώσεως τούτου ἥρπασεν αὐτὸν ὁ Ἰουλιανὸς, καὶ παρὰ γνώμην τοῦ Ἐπιγονίου διάκονον ἐχειροτόνησεν, ἀνήνεγκε τοῦτο ὁ Ἐπιγόνιος τῇ συνόδῳ, καὶ εἶπεν, ὅτι καὶ ἄλλαι σύνοδοι ὥρισαν μὴ δέχεσθαι ἐπίσκοπον ἀλλότριον κληρικὸν παρὰ γνώμην τοῦ κληρώσαντος αὐτὸν ἐπισκόπου· ἀλλὰ καὶ νῦν παρ' ἡμῶν

(1) Χ. Χρ. Βευερ.—ἀρχαιότητι Κ.

βεβαιώθη τοῦτο αὐτό. Ἀναφέρω οὖν τὴν γενομένην πρὸς ἐμὲ καταφρόνησιν παρὰ τοῦ Ἰουλιανοῦ, τοῦ εὐεργετηθέντος ὑπ' ἐμοῦ, καὶ ζητῶ διορθωθῆναι τὸ παρὰ τούτου τολμηθέν. Εἶπεν οὖν ὁ Νουμίδιος, ὅτι, ἐὰν σοῦ μὴ παραχωρήσαντος, ὁ Ἰουλιανὸς ἔπραξε τοῦτο, ἄδικόν ἐστι, καὶ εἰ μὴ διορθώσεται τὴν οἰκείαν πλάνην, καὶ ἀποκαταστήσει τὸν κληρικὸν, χωρισθήσεται ἀφ' ἡμῶν, καὶ ὑποστήσεται τὴν κατάκρισιν ἐκ τῆς οἰκείας μονοτονίας, ἤγουν ἀναισχυντίας. Ὁ δὲ Ἐπιγόνιος ἔφησεν, ὅτι ὁ κατὰ τὴν ἡλικίαν καὶ τὸ γῆρας πατὴρ, καὶ τῇ προκοπῇ τοῦ χρόνου ἀρχαιότατος Βίκτωρ βούλεται γενικὴν γενέσθαι τὴν αἴτησιν ταύτην, ἤγουν μὴ κατὰ μόνου τοῦ Ἰουλιανοῦ τοῦτο ἐκφωνηθῆναι, ἀλλὰ κατὰ πάντων κοινῶς τῶν ἀλλοτρίους κληρικοὺς σφετεριζομένων. Καὶ ὁ μὲν παρὼν κανὼν, χωρίζεσθαί φησι τὸν Ἰουλιανὸν ἀπὸ τῆς ἀδελφότητος, καὶ μονοτονίας ἀποίσεσθαι κατάκρισιν. Σὺ δὲ ἀνάγνωθι τὸ κϛ'. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας, ἐξαιρέτως δὲ τοὺς κανόνας τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Γίνωσκε δὲ, ὅτι λόγος ἐγένετο πολλάκις πολὺς παρὰ τῇ συνόδῳ τῆς τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας, εἰ τὰ τῶν θείων κανόνων τῶν διοριζομένων μὴ δέχεσθαί τινας ἐπισκόπους ἀλλοτρίων ἐνοριῶν κληρικοὺς, ἐξακούονται καὶ εἰς λαϊκοὺς, καὶ κωλύεται τυχὸν ὁ ἐπίσκοπος Ἀθύρα χειροτονῆσαι λαϊκόν τινα ἀπὸ τῆς ἐνορίας ὄντα τοῦ Συλημβρίας, καὶ ὑποκείμενον τῷ κανόνι καὶ τοῖς ἐπιτιμίοις αὐτοῦ, καὶ λογιζόμενον ἕνα τῶν τοῦ ποιμνίου αὐτοῦ. Εἶπον γάρ τινες, ὡς ἀπὸ τοῦ παρόντος κανόνος, διαλαμβάνοντος εἰπεῖν τὸν Ἐπιγόνιον ἐξ ἀποστολῆς τοῦ Ἰουλιανοῦ παραλαβεῖν τὸν λαϊκὸν, πολίτην ὄντα τούτου, καὶ χειροτονῆσαι αὐτὸν εἰς οἰκείαν ἐνορίαν κληρικὸν, καὶ ἀπὸ τοῦ προφασίζεσθαι τὸν Ἰουλιανὸν εὐλόγως ὑπ' αὐτοῦ τοῦτον χειροτονηθῆναι διάκονον, ὡς ὡρμημένον ἀπὸ τῆς ἐνορίας αὐτοῦ τῆς τῶν Βαζαριτανῶν, παρίσταται, ὅτι οὐδὲ λαϊκὸν ἑτέρας ἐνορίας δύναται ἐπίσκοπος χειροτονῆσαι παρὰ γνώμην τοῦ ἔχοντος τοῦτον ἐπισκόπου· ὡς γὰρ οὔσης κεκωλυμένης τῆς παρὰ τοῦ Ἐπιγονίου γενομένης χειροτονίας εἰς τὸν ὑπ' ἐκείνου ἀνατραφέντα, διὰ τὸ εἶναι αὐτὸν ἀλ-

λοτρίας ἐνορίας, προσέθετο ὁ Ἐπιγόνιος κατὰ γνώμην τοῦ Ἰουλιανοῦ παραλαβεῖν τὸν περὶ οὗ ὁ λόγος, καὶ διὰ τοῦτο μηδὲ λογίζεσθαι τῆς ἐνορίας ἐκείνου εἶναι τοῦτον· καὶ ἐδικαιολογοῦντο, καλῶς παρὰ τοῦ Ἰουλιανοῦ χειροτονηθῆναι τὸν τοιοῦτον διάκονον, ὡς ἀπὸ τῆς ἐνορίας ὄντα αὐτοῦ, καὶ πολίτην τούτου λογιζόμενον, καὶ οὐδὲ πρὸς τὸν Ἐπιγόνιον ἵνα ἀντεστράφη, εἰ μὴ προέφθασεν ἀπὸ τῆς ἐνορίας αὐτοῦ τοῦτον ἀποξενῶσαι, καὶ ἀποστεῖλαι πρὸς τὸν Ἐπιγόνιον. Καὶ αὐτοὶ μὲν εἶπον ταῦτα καλῶς, ὡς καὶ ἐμοὶ δοκεῖ. Σὺ δὲ ἔχε ἐπὶ μνήμης τὴν συνοδικὴν σημείωσιν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, τάδε πρὸς ἔπος διαλαμβάνουσαν· Μηνὶ Νοεμβρίῳ, ἡμέρᾳ πρώτῃ, ἰνδικτιῶνος δ'. προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Μιχαὴλ, ἐν τοῖς Ἀλεξιακοῖς κατηγουμενείοις (1), συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, Στεφάνου Καισαρείας, Νικολάου Ἐφέσου, Μιχαὴλ Ἡρακλείας, Ἰωάννου Κυζίκου, Λέοντος (2) Ἀμασείας, Νικήτα Μελιτινῆς, Βασιλίου Νεοκαισαρείας, Λουκᾶ Μωκησῶν, Ἰωάννου Κρήτης, Λέοντος (3) Ἀδριανουπόλεως, Κωνσταντίου Εὐχαΐτων, Γεωργίου Ἀλανείας, Θεοδώρου Μεθύμνης, Ἰωάννου Βιζύης, καὶ Ῥωμανοῦ Ἄπρω, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων. Ὅρια Πατέρων μὴ ὑπερβαίνειν, ἃ καλῶς οὗτοι καὶ μετὰ δεούσης δοκιμασίας ἀρχῆθεν ἐξέθεντο· ἀλλὰ μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα καθάλλεσθαι, καὶ θριγγίον ὑπερπηδᾷν, διαιρετικὸν ὀθνείωντε καὶ οἰκείων δικαίων, ἐκκλησιαστικὸν δόγμα, καὶ νόμος θεῖος ἀνέκαθεν κείμενος. Ἔδει μὲν οὖν τοῦτο μὴ ἀγνοεῖν τοὺς τῶν ἁπανταχοῦ διακειμένων προϊσταμένους ἐκκλησιῶν, καὶ τὸ ἐπάγγελμα ἔχοντας συντήρησιν θεσπισμάτων κανονικῶν καὶ νομικῶν διαταγμάτων· καὶ μέν τοι καὶ ἐμμένειν τούτοις ὀφείλοντας, καὶ τῶν οἰκείων μὲν δικαίων ἀντέχεσθαι, τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι. Ἀλλ' οὐκ οἶδα ὅ,τι παθόντες τινὲς τῶν ἱερωτάτων ἀρχιερέων, οἳ καὶ μᾶλλον ἔγγιστα τῆς βασιλίδος ταύτης τῶν πόλεων τοὺς ἀρ-

(1) Κατηχουμένοις Χ. Τρ. — (2) Λεοντίου Χ. Τρ. — (3) Λεοντίου Χ. Ἀρ.

χιερατικοὺς θρόνους ἔλαχον, ἀσυντηρήτως ποιοῦντες χειροτονίας διακόνων καὶ ἱερέων μὴ ὑποκειμένων ταῖς ὑπ' αὐτοὺς ἐνορίαις (1) πολλάκις ἑάλωσαν, οἳ καὶ περὶ τούτου προσαγγελθέντες καὶ τῷ πρὸ ἡμῶν ἁγιωτάτῳ πατριάρχῃ κυρῷ Λουκᾷ, καὶ παρεγγυηθέντες παύσασθαι τοῦ τοιαῦτα ποιεῖν ἀκανόνιστα, φαμὲν δὴ τοῦ χειροτονεῖν ὑπερόρια, καὶ τοὺς ἐξ ἑτέρας ἐνορίας εἰς αὐτοὺς ἀφιγμένους (2) ἀνυποστόλως οὕτω χειροθετεῖν, ἀμνηστίαν τῶν αὐτοῖς περὶ τούτου παρηγγελμένων οὐκ ἐπαύσαντο τίθεσθαι μέχρι δῆτα καὶ τήμερον. Ἐπειδὴ τοίνυν ἀνηγγέλθη καὶ τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ἡμετέρου θεοφιλεστάτου Χαρτοφύλακος, πολλούς τινας τῶν ἐκ τῆς ἡμετέρας ἐνορίας παρὰ γνώμην αὐτοῦ πρὸς τοὺς πέριξ ταυτησὶ τῆς μεγαλοπόλεως ἀπερχομένους ἐπισκόπους τε καὶ ἀρχιεπισκόπους, ἱερατικοῦ παρ' αὐτῶν ἀξιοῦσθαι χαρίσματος, εἶτ' αὖθις ἐπαναςρέφειν εἰς τήνδε τὴν καθ' ἡμᾶς ἐνορίαν, μετὰ δὴ τάχα καὶ γραμμάτων συστατικῶν, τί ποιητέον αὐτῷ ἐπὶ τούτοις ἐζήτει μαθεῖν παρὰ τῆς ἡμῶν μετριότητος· ἀμφιβάλλειν γὰρ οὐ μικρῶς ἔφασκε, μή ποτε κρίμασιν ἀλλοτρίοις αὐτὸς ἐπικοινωνείη, παραχωρῶν ἱερᾶσθαι οὓς αὐτὸς οὐκ ἐξήτασε, περὶ ὧν οὔτε μαρτύρων, ὡς ἔθος, αὐτῷ παραστάντων, ἐπύθετο, καὶ εἰ χρόνων εἶεν τῶν ὡρισμένων πεπληροφόρηται, οὔτε δοκιμασίαν περὶ τοῦ βίου τούτων πεποίηται, καὶ τὸ πιστὸν τοῦ ἀξίους εἶναι τοῦ ἐπαγγέλματος ἐκ τῆς ἐνυπογράφου μαρτυρίας τῶν κατὰ πνεῦμα τούτους ὠδινησάντων παρείληφε. Καὶ ταῦτα πολλάκις ἐπί τινων προφανῶς ἐναντιουμένης τῆς ὄψεως, περὶ τὴν τῶν χρόνων τέως ἐντέλειαν, καὶ τὸν τριακοντούτην εἶναι ὀφείλοντα, πολλῷ τῆς τοιαύτης λείπεσθαι προθεσμίας προσμαρτυρούσης προδήλως ἔκ τε τῆς κατὰ τὴν ἡλικίαν τοῦ σώματος φαινομένης ἀτελοῦς καταστάσεως, καὶ ἐξ αὐτῆς τῆς τοῦ πώγωνος ἔτι ψιλώσεως· ἐφ' ὧν μὲν οὐδόλως φαινομένης ἐπὶ τούτου τριχώσεως, ἐφ' ὧν δὲ βραχείας πάνυ καὶ ἐνδεεστέρας πολλῷ τοῦ προσήκοντος τριακοντούτῃ πωγωνιήτῃ τριχώματος. Ταῦτα λέγων, καὶ τὴν ὑφέρπουσαν τοῦτον ἀμφιβολίαν καὶ ἀπορίαν ὡς οὐκ ἀνεύλογον

(1) ἐξορίαις Ε. — (2) Χ. Τρ. Ἑ. — ἀφισταμένους Βευερ.

ἐξ ἔργων αὐτῶν παρεδήλωσε, παραστησάμενος τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ τὴν σήμερον, δύο καὶ τρεῖς οὕτως ἔχοντας ὄψεώς τε καὶ καταστάσεως, καὶ εἰς ἱερατικὸν προβιβασθέντας βαθμόν· ὃν μὲν παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δέρκου, οὓς δὲ παρὰ τῶν θεοφιλῶν ἐπισκόπων τοῦ τε Πραινέτου καὶ τοῦ Χαλκίδος, καὶ ἄλλους δὲ παρὰ διαφόρων οὕτω κεχειροτονημένους φάμενος εἶναι, καὶ διατρίβειν ἐνταῦθα, καὶ ἱερουργεῖν ἐθέλειν ὡς ἱερεῖς. Τὸ γοῦν τοιοῦτον τοῦ θεοφιλεστάτου ἡμῶν Χαρτοφύλακος ἀξιοζήτητον πρόβλημα οὐδὲ ἡ μετριότης ἡμῶν καταλιπεῖν ἐθέλουσα ἄλυτον, ἐπὶ κοινοῦ συνδιασκεφθῆναι τῇ ἐνδημούσῃ θείᾳ καὶ ἱερᾷ ἐπέτρεψεν ἀδελφότητι. Τοίνυν καὶ περὶ τοῦ προκειμένου διαγνωμονῆσαι θέλοντες, διευκρινηθῆναι πρότερον ἐζητήσαμεν, τίνα μὲν τὰ τῶν ἁπανταχῇ ἀρχιερέων εἰσὶ κοινότερα ἐνεργήματα, τίνα δὲ ἰδικώτερα, τουτέστι, ποῖα μὲν οἱ ἐγχώριοι τῶν ἀρχιερέων οὐ κωλύονται διαπράττεσθαι ἐπὶ τοῖς ὁθενδήποτε σφίσι προσερχομένοις, τίνα δὲ ἀπείργονται ποιεῖν ὑπερόρια. Καὶ ἐπειδὴ τὰ περὶ τούτου φιλοκρινοῦντες, ἐφεύρομεν, τὸ μὲν ἀμυήτους τὸν περὶ πίστεως λόγον διδάσκειν καὶ κατηχεῖν, εἶθ᾽ οὕτω καὶ φωτίσματος ἀξιοῦν, ἀλλὰ καὶ τῆς τῶν θείων καὶ ζωοποιῶν μυστηρίων μεταλήψεως μεταδιδόναι τοῖς ἐξ οἱασοῦν ἐνορίας πιστοῖς, ἐνέργημα εἶναι τοῦτο κοινότερον διεγνώκαμεν ἐπί τε τῶν ἐκ τῆς οἰκείας ἐνορίας ὡρμημένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ ἀλλοδαπῆς ἐρχομένων· χειροθεσίας δὲ ἱερατικῆς ἀξιοῦν, οὐ τοὺς ἁπανταχόθεν ἐρχομένους, ἀλλ᾽ ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας, ἑνὶ ἑκάστῳ ἀρχιερεῖ κεκανόνισται, ἵνα μὴ τὸ ἄτακτον τούτοις καὶ στασιῶδες ἐμπολιτεύοιτο, ἐξ ὧν τὸ εὔτακτον καὶ τὸ τῆς εἰρήνης καλὸν καὶ τοῖς ἄλλοις ὀφείλεται κανονίζεσθαι. Ἐπεὶ οὖν οὕτω ταῦτα ζητήσαντες εὕρομεν, τὸ μὲν σχολὴν τῶν προγεγονότων καταψηφίσασθαι, καὶ ἀκυρῶσαι τὰς ἤδη σφίσι προτετελεσμένας ἱερατικὰς ἐνεργείας, καὶ εἴτε ἀφορισμῷ τοὺς χειροθετήσαντας καθυποβαλεῖν, εἴτε τοὺς χειροτονηθέντας τῆς ἱερατικῆς ἀξίας ἀπογυμνῶσαι, σκληρόν τι καὶ ἀπηνὲς ὅλως ἐλογισάμεθα· τὸ δὲ οὐκ ἔτι ἀνασχέσθαι τῶν ἐπὶ κρίματι σφετέρῳ τὰ τοιαῦτα διαπραξαμένων παράλογα, καὶ τὰ μὲν προτετυγμένα

φιλανθρώπως παραδραμεῖν, τὸ δὲ μέλλον ἐπιδιορθωτικῶς ἀσφαλίσασθαι, ἅτε κοινῇ συμφέρον καὶ ἡμῖν καὶ αὐτοῖς, ἐπεκρίναμεν. Λοιπὸν καὶ ὁμοφρονοῦντες ἀποφαινόμεθα ἅπαντες, μηκέτι τὸ ἀπὸ τοῦδε τολμῆσαί τινα τῶν πλησιοχώρων, εἴτε καὶ πορρωτέρων ἀρχιερέων, τῶν τε ἐκ τῆς ἡμετέρας συνόδου, τῶν τε ἐξ ἑτέρας, χεῖρα τελεστικὴν ἐπιθεῖναι ἐπί τινι τῶν τῆς ὑπὸ τὴν βασιλίδα ταύτην καὶ μεγαλόπολιν ὄντων ἐνορίας, καὶ οἱουδήτινος αὐτῶν ἀξιῶσαι τῶν ἱερωμένων τόπου τε καὶ βαθμοῦ, ἀλλ' ἕκαστον εἰδέναι τὰ ἑαυτοῦ δίκαια, καὶ τούτοις ἀρκεῖσθαι καὶ μόνοις, τῶν δ' ἄλλοις ἀνηκόντων ἀρχιερατικῶν δικαίων μὴ κατεπεμβαίνειν ἀναιδῶς, καὶ τὸ ὅλον καταφρονητικῶς· εἰδέναι ὀφειλόντων τῶν ἀθετῆσαι τολμησόντων τὰ οὕτω κανονικῶς παρ' ἡμῶν διατεταγμένα, ἀλλὰ καὶ τῶν προσερχομένων αὐτοῖς, καὶ ἱερωσύνης ἀξιουμένων, ὡς οὗτοι μὲν, ὡς παρὰ κανόνας χειροτονηθέντες, οὐδὲν ἱερατικὸν λειτούργημα ἐνταῦθα διενεργήσουσιν, ἀλλ' ἐν ἐκείναις ταῖς ἐνορίαις ἀδεῶς ἱεράσονται, ἐν αἷς καὶ τὸ χρίσμα τῆς ἱερωσύνης ἐδέξαντο· οἱ δὲ χειροτονήσαντες, ἐξ οἵας ἂν εἶεν συνόδου, ἀλειτουργησίας ἐπιτιμίῳ ἀπεντεῦθεν ἔσονται ὑποκείμενοι, ὡς μηδὲ μετὰ πρώτην ἢ δευτέραν παραίνεσιν (πρώτην δὲ φαμὲν τὴν καὶ παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ συνοδικῶς περὶ τούτου γεγενημένην ἔγγραφον ἐπιφώνησιν,) ἀποσχέσθαι τῆς τοιαύτης ἀκανονίστου θελήσαντες πράξεως· διὸ καὶ τετύπωται παρεκβληθῆναι καὶ δοθῆναι τὴν τοιαύτην σημείωσιν· ἀφορισμοῦ δὲ προσεπιτιθέαμεν ἐπιτίμιον καὶ τῷ ὃς ἂν πρῶτος τῶν τὰς τοιαύτας διενεργούντων ἀκανονίστους χειροτονίας, τὰ παρ' ἡμῶν διωρισμένα ταῦτα ἐπιγνώσεται, εἰ μὴ καὶ τοῖς πλησίον αὐτοῦ ἱερωτάτοις ἀρχιερεῦσι διαδόσιμα ταῦτα ποιήσειε, καὶ τοῖς ἀγνοοῦσι τὰ ὁρισθέντα γνωρίσειεν· ἃ δὴ καὶ ἐπὶ πασῶν τῶν ἐνοριῶν τῶν ὑπὸ τὰς ἁπανταχοῦ ἁγιωτάτας ἐκκλησίας, ἤγουν μητροπόλεις, ἀρχιεπισκοπάς τε καὶ ἐπισκοπὰς, τὸ ἐνεργόν τε καὶ ἀναλλοίωτον ἕξουσι· καὶ οὐδεὶς τῶν ἱερᾶσθαι τὸ ἀπὸ τοῦδε μελλόντων, εἰς ἕτερον ἀρχιερέα παρ' ἐνορίαν ἀφίξεται, καὶ παρ' ἐκείνου τοῦ τῆς ἱερωσύνης ἀξιωθήσεται χαρίσματος· ἀπεντεῦθεν γὰρ ὑπό-

δικοι ἔσονται καὶ ἀμφότεροι, ὅ,τε χειροτονηθεὶς ἱερεὺς καὶ ὁ χειροτονήσας τοῦτον ἀρχιερεὺς τοῖς οἷς περὶ τούτων ἤδη συνοδικῶς διωρισάμεθα φθάσαντες. Ἵνα δὲ μὴ πρόφασις εἴη, καὶ τοῦτο δῆθεν εὐάφορμος, τοῖς μὴ βουλομένοις ἐνταῦθα χειροτονεῖσθαι, προσερχομένοις τῷ θεοφιλεστάτῳ ἡμῶν Χαρτοφύλακι, τὸ, καινοτομίαν ἴσως ὑφίστασθαι πλείονα τῆς εἰωθυίας συνηθείας ἔκπαλαι δίδοσθαι, καὶ τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος συνοδικῶς διῳκονόμηται σήμερον. Διωρισάμεθα γὰρ τὸ ἀρχαῖον ἔθος ἐπὶ τούτοις μὴ παραβαίνεσθαι, ἀλλ' ἐκεῖνα δίδοσθαι μόνα τοῖς τε ἐπισκοπικοῖς καὶ τῷ κατὰ καιροὺς θεοφιλεστάτῳ Χαρτοφύλακι, τὰ εἰωθότα παρὰ τῶν χειροτονουμένων ἀνέκαθεν καταβάλλεσθαι.

ΑΡΙΣΤ. Τὸν τοῦ Ἐπιγόνου ἀναγνώστην Ἰουλιανὸς χειροτονήσας διάκονον, εἰ μὴ πρὸς αὐτὸν αὐθεντίᾳ παραστήσει, τὸ κατάκριμα τῆς ἰδίας μονοτονίας καταπλουτήσει.

Ἐν ὅλαις σχεδὸν ταῖς συνόδοις ὥρισται τοῦτο, τὸ μή τινα ἐπίσκοπον ἀλλότριον κληρικὸν προσλαμβάνεσθαι, παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, καὶ ἰδιοποιεῖσθαι αὐτόν. Διὰ τοῦτο γοῦν καὶ ὁ ἐπίσκοπος οὗτος Ἰουλιανὸς τὸν τοῦ ἐπισκόπου Ἐπιγόνου δεξάμενος κληρικὸν, ἀναγνώστην ὄντα, καὶ διάκονον χειροτονήσας αὐτὸν, ὡρίσθη πάλιν ἀποκαταστῆσαι αὐτὸν τῇ ἐκκλησίᾳ, εἰς ἣν τὸ πρότερον ἐκληρώθη, εἰ μὴ βούλεται ἀφωρισμένος εἶναι, κατὰ τὸν εἰκοστὸν κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς τοῖς κανόσιν ἐναντιούμενος, καὶ τοῦ ἰδίου θελήματος ἀντεχόμενος. Ὁ δὲ ἑπτακαιδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τὸν δεξάμενον ἀλλότριον κληρικὸν, καὶ χειροτονήσαντα αὐτὸν, καθαιρεῖσθαι προστάττει σὺν τῷ χειροτονηθέντι.

## Κανὼν ΝΕ'. (ΞΔ'.)

*Περὶ τοῦ, ἐξεῖναι τῷ ἐπισκόπῳ Καρχηδόνος, ὅθεν θέλει, κληρικὸν χειροτονεῖν.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Τὸν λόγον μου προσδέξασθε ἀδελφοί. Συνέβη πολλάκις αἰτηθῆναί με ἀπὸ ἐκ-

κλησιαστικῶν ἐνδεομένων διακόνων, ἢ πρεσβυτέρων, ἢ ἐπισκόπων· καὶ ὅμως μεμνημένος τῶν ὁρισθέντων, τούτοις ἕπομαι, ὥστε συνελθεῖν με τῷ ἐπισκόπῳ αὐτοῦ τοῦ ζητουμένου κληρικοῦ, καὶ ταῦτα αὐτῷ ἐμφανίσαι, ὅτι κληρικὸν αὐτοῦ αἰτοῦνται οἱ τῆς οἱαςδήποτε ἐκκλησίας. Ἰδοὺ οὖν ἐπὶ τοῦ παρόντος οὐκ ἀντιλέγουσι· διὰ δὲ τὸ μήτε μετὰ ταῦτα συμβῆναι, τουτέστιν, ἐναντιωθῆναί μοι τοὺς (1) ἐν τούτῳ τῷ πράγματι παρ' ἐμοῦ αἰτουμένους, ἐπειδὴ οἴδατε πολλῶν ἐκκλησιῶν καὶ χειροτονιῶν φροντίδα με βαστάζειν, ᾡτινιδήποτε τῶν συνιερέων (2) συνέλθω μετὰ δύο ἢ τριῶν μαρτύρων τῆς ὑμετέρας συγκληρώσεως, ἐὰν ἀκαθοσίωτος εὑρεθείη, δίκαιόν ἐστι κρῖναι τὴν ὑμετέραν ἀγάπην, τί δεῖ ποιῆσαι· ἐγὼ γὰρ, ὡς ἴστε ἀδελφοί, κατὰ συγχώρησιν Θεοῦ, πολλῶν ἐκκλησιῶν φροντίδος ἀντέχομαι (3). Νουμίδιος ἐπίσκοπος εἶπεν· Ἀεὶ (4) ὑπῆρξεν ἡ αὐθεντία αὕτη τῷ θρόνῳ τούτῳ, ἵνα, ὅθεν θέλει (5,) καὶ περὶ οἱουδήποτε προετράπη ὀνόματος, κατὰ τὴν ἐπιθυμίαν ἑκάστης ἐκκλησίας ἐχειροτόνει (6) ἐπίσκοπον. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἡ ἀγαθοθέλεια μεσάζει τὴν ἐξουσίαν· ἧττον γὰρ τολμᾷς, ἤπερ δύνῃ, ἀδελφὲ, ἐν τῷ πᾶσιν ἑαυτὸν ἀποδεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον· ἔχεις (7) γὰρ τοῦτο ἐν τῇ χρίσει σου, τὸ ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου ἐπισκόπου τὸ πρόσωπον· ἐν πρώτῃ δὲ καὶ μόνῃ (8) συνελεύσει, εἰ συνίδῃς, τὸ ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον· ἐπειδὴ ἀνάγκην ἔχεις αὐτὸς πάσας τὰς ἐκκλησίας ὑποστηρίζειν. Ὅθεν ἐξουσίαν σοι ἡμεῖς οὐ δίδομεν, ἀλλ' ἐπισφραγίζομεν ταύτην τῇ

---

(1) τοῦτο Κ. Βευερ. — (2) τῶν ἱερέων Σ. Ῥ. — (3) ἀνέχομαι Βευερ.—(4) ὁ Κανὼν ἐν Π. ἄρχεται ἀπὸ τοῦ, ἀεὶ ὑπῆρξεν . . . καὶ λήγει εἰς τὸ δαψιλεύσασθαι.—(5) Ἰουστ. Βευερ.—ἤθελε Σ. Ῥ. Π.—(6) Σ. Ῥ. Χ. Τρ.—ἐχειροτονήθη Ἰουστ. Κ.—χειροτονεῖ Π. — (7) Σ. Ῥ. Βευερ. Κ. — ἔχει Ἰουστ. Χ. Τρ.— (8) καὶ μόνον Χ. Τρ. Ἰουστ. Κ.

σῇ προαιρέσει, ὥστε ἐξεῖναι ἀεὶ κρατεῖν ὃν ἂν θέλῃς, καὶ προχειρίζεσθαι προεστῶτας ταῖς ἐκκλησίαις, καὶ ταῖς λοιπαῖς(1) τοὺς ζητουμένους, καὶ ὅθεν συνίδοις. Ποστουμετιανὸς ἐπίσκοπος εἶπεν· Εἶτα, ἐάν τις ἕνα καὶ μόνον ἔχῃ πρεσβύτερον, μὴ ὀφείλει καὶ αὐτὸς ὁ εἷς ἐξ αὐτοῦ ἀφαιρεθῆναι; Αὐρήλιος ἐπίσκοπος εἶπε· Κατὰ συγχώρησιν Θεοῦ δύναται ὁ εἷς ἐπίσκοπος πολλοὺς χειροτονεῖν πρεσβυτέρους· πρεσβύτερος δὲ πρὸς ἐπισκοπὴν ἐπιτήδειος δυσχερῶς εὑρίσκεται· διὸ ἐάν τις εὑρεθῇ ἔχων ἕνα μόνον πρεσβύτερον, καὶ αὐτὸν τῇ ἐπισκοπῇ ἐπιτήδειον, καὶ αὐτὸν τὸν ἕνα ὀφείλει δοῦναι πρὸς χειροτονίαν. Ποστουμετιανὸς ἐπίσκοπος εἶπεν· Οὐκοῦν ἐὰν ἄλλος ἐπίσκοπος ἔχῃ πλῆθος κληρικῶν, ὀφείλει μοι τὸ ἕτερον πλῆθος συνελθεῖν. Αὐρήλιος ἐπίσκοπος εἶπε· Δηλαδὴ ὃν τρόπον σὺ τῇ ἑτέρᾳ ἐκκλησίᾳ συνῆλθες, συνωθηθήσεται(2) καὶ ὁ τοὺς πλείονας ἔχων κληρικούς, ἕνα ἐξ αὐτῶν εἰς χειροτονίαν σοι δαψιλεύσασθαι.

—

ΖΩΝΑΡ. Τοῦ ἀνωτέρω κανόνος ὁρίσαντος, μὴ ἐξεῖναι ἐπισκόπῳ ἑτέρου ἐπισκόπου κληρικὸν οἰκειοῦσθαι, καὶ χειροτονεῖν αὐτὸν, ὁ Αὐρήλιος εἰσήγαγε λόγον, ὅτι πολλῶν ἐκκλησιῶν ἀναδέδεγμαι φροντίδα. Δέονται δέ μού τινες αὐτῶν, χρήζουσαι ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ζητοῦσαι τόνδε ἢ τόνδε. Εἰδὼς δὲ τὰ ὁρισθέντα, κατὰ ταῦτα ποιῶ, καὶ ἐρωτῶ τὸν ἐπίσκοπον τοῦ ζητουμένου κληρικοῦ, ἐμφανίζων αὐτῷ, ἀντὶ τοῦ, γνωρίζων αὐτῷ καὶ δηλῶν, ὅτι κληρικὸν αὐτοῦ αἰτοῦσιν οἱ τῆσδε τῆς ἐκκλησίας. Καὶ νῦν μέν, φησιν, οὐκ ἀντιλέγουσιν, ἀλλὰ διδόασι τοὺς κληρικοὺς αὐτῶν· ἵνα δὲ μὴ μετὰ ταῦτα ἴσως τινὲς ἐναντιωθῶσι, μὴ διδόντες τοὺς ζητουμένους εἰς ἐπισκόπου χειροτονίαν, ἢ κληρικοῦ, κρίνατε, εἰ συνέλθω τινὶ τῶν ἐπισκόπων, μετά τινων δύο ἢ τριῶν ἐκ τῆς ὑμετέρας συγκληρώσεως, ἤγουν τῆς ὑμῶν τῶν

(1) Ἰουστ. Σ. Ρ. Κ. Χ. Τρ. — τοὺς λοιποὺς Βευερ.—(2) Κ. Σ. Ρ.—συνωθήσεταί Ἰουστ. Π. Χ. Τρ. Βευερ.

ἐπισκόπων μοίρας, ἐκεῖνος δὲ ἀκαθοσίωτος εὑρεθῇ, ἀντὶ τοῦ, ἀπειθὴς, ἀνένδοτος, τί δεῖ ποιῆσαι; καὶ οὐκ οἰκεῖα μὲν ταῦτα τῇ σημασίᾳ τῶν λέξεων· ὁ δὲ νοῦς τῆς ἀκολουθίας τοῦ λόγου τοιαύτην ἔννοιαν ἀπαιτεῖ. Ὁ μὲν Νουμίδιος προσματυρήσας τῷ θρόνῳ τοῦ Αὐρηλίου προνόμιον παλαιὸν, χειροτονεῖν οὓς βούλεται ἐξ ἑκάστης ἐκκλησίας, δέδωκε τούτῳ τὸ λαμβάνειν ἀφ' οἱουδήποτε κληρικοὺς, καὶ χειροτονεῖν αὐτούς. Ὁ δὲ Ἐπιγόνιος πρὸς ταῦτα ἀντέφησεν, ὅτι ἡ ἀγαθοθέλεια μεσάζει τὴν ἐξουσίαν· ἧττον γὰρ τολμᾷς ἤπερ δύνῃ, ἐν τῷ πᾶσιν ἑαυτὸν δεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον. Ὃ δὲ λέγει, τοιοῦτον ἐστίν· ὅτι ἐξουσίαν μὲν ἔχεις λαμβάνειν ἀλλοτρίους κληρικοὺς καὶ χειροτονεῖν· ἀλλὰ τὸ καλοθελὲς μέσως πως ἀπαιτεῖ χρῆσθαι τῇ ἐξουσίᾳ, ὥστε μὴ αὐθεντικῶς ἀφαιρεῖσθαι αὐτοὺς, ἀλλὰ μετὰ γνώμης τῶν ἐπισκόπων αὐτῶν· τὸ γὰρ ἐν πᾶσι δεικνύειν ἑαυτὸν ἀγαθὸν διὰ τοῦ βουλεύεσθαι, ἧττόν ἐστι τοῦ μετ' ἐξουσίας τολμᾷν τὴν ἀφαίρεσιν· ἔχεις γὰρ τοῦτο ἐν τῇ κρίσει σου, τὸ ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου ἐπισκόπου τὸ πρόσωπον, τουτέστι, καὶ σὺ τοῦτο κρίνεις, τὸ πάντας τοὺς ἐπισκόπους θεραπεύειν. Ἐν πρώτῃ δὲ καὶ μόνῃ συνελεύσει, εἰ συνίδῃς τὸ ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον, ἀντὶ τοῦ (1), ἅπαξ δὲ συνελθὼν τῷ ἐπισκόπῳ τοῦ κληρικοῦ, ὃν μέλλεις ἀφελέσθαι καὶ χειροτονῆσαι, καὶ κοινωνησάμενος αὐτῷ περὶ τοῦ κληρικοῦ αὐτοῦ, εἰ μὴ εὕρῃς ἐκεῖνον αὐτίκα πειθήνιον, ἐκδικητέον τὸ εἶναι ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ, ὅθεν βούλεται λαμβάνειν κληρικὸν, καὶ χειροτονεῖν αὐτόν. Εἶτα, ἵνα μή τινες σκανδαλισθῶσι κατ' αὐτοῦ, ὡς ἐπιτρέποντος καὶ γνώμης ἄνευ τῶν ἐπισκόπων λαμβάνειν τοὺς κληρικοὺς αὐτῶν καὶ χειροτονεῖν, ἐπήγαγεν, ὅτι οὐχ ἡμεῖς σοι διδόαμεν τὴν ἐξουσίαν ταύτην, ἀλλ' ἐπικυροῦμεν αὐτὴν, τῇ σῇ προαιρέσει δηλονότι ἀνατιθέντες, τὸ μὴ μετ' ἐξουσίας λαμβάνειν τοὺς κληρικοὺς τῶν ἄλλων, καὶ προχειρίζεσθαι αὐτοὺς, ἀλλὰ μετὰ βουλῆς τῶν ἐπισκόπων αὐτῶν. Κυρωθέντος τοῦ λαμβάνειν τὸν Αὐρήλιον κληρικοὺς ἀλλοτρίους, καὶ χειροτονεῖν αὐτοὺς, ἠρώτησέ τις, ὅτι, κἂν ἕνα ἔχῃ πρεσβύτερον ἐπίσκο-

(1) Χ. Τρ.—τουτέστιν Κ. Βευερ.

πος, κἀκεῖνος ἀφαιρεθήσεται ἐξ αὐτοῦ; Πρὸς δὲ τὸ ἐρώτημα τοῦτο ὁ Αὐρήλιος ἀπεκρίθη, ὅτι δύναται εἷς ἐπίσκοπος πολλοὺς πρεσβυτέρους χειροτονῆσαι κατὰ συγχώρησιν Θεοῦ, τοῦτο λέγων, ὅτι, εἰ καὶ μέγα ἐστὶ τὸ ἱερατικὸν ἀξίωμα, καὶ ὑπὲρ τὴν ἀνθρωπίνην ἀξίαν καὶ δύναμιν ὑπάρχει τὸ καθιστᾷν ἱερεῖς, ἀλλὰ κατὰ συγχώρησιν Θεοῦ δύναται εἷς ἐπίσκοπος πολλοὺς ἱερεῖς χειροτονῆσαι· εἰς ἐπισκοπὴν δὲ ἐπιτήδειον ἄνδρα εὑρεῖν, δυσχερές ἐστι· τὸν γὰρ ἐπίσκοπον δεῖ, κατὰ τὸν μέγαν Παῦλον, πρὸς τοῖς ἄλλοις καὶ ἀντέχεσθαι τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν (1), καὶ προεστάναι εἰδότα τῆς ἐκκλησίας, ἤτοι καὶ τῶν πιστῶν ἐπιμελεῖσθαι ἐπιτήδειον, καὶ τὰ πράγματα τῆς ἐκκλησίας οἰκονομεῖν, καὶ θεοφιλῶς διοικεῖν. Οὐ πάντα δὲ ταῦτα ὁμοίως ἀπαιτεῖται καὶ ἐπὶ πρεσβυτέρου· διὸ ἀναγκαῖον, εἰ εὑρίσκοιτο πρεσβύτερος ἐπιτήδειος εἰς ἐπισκοπὴν, λαμβάνεσθαι τὸν τοιοῦτον καὶ χειροτονεῖσθαι, κἂν ἕνα τοῦτον ἔχῃ ὁ ἐπίσκοπος αὐτοῦ. Εἶτα ἐπήνεγκεν ἕτερος, ὅτι λοιπὸν, ἐὰν ἄλλος ἔχῃ πολλοὺς κληρικοὺς, διδότω τῷ μὴ ἔχοντι. Καὶ ὁ Αὐρήλιος εἶπε πρὸς τοῦτο, ὅτι, ὥσπερ σὺ ἀναγκάζῃ ἔχων κληρικὸν δοῦναι αὐτὸν εἰς χειροτονίαν ἐπισκόπου, οὕτω καὶ ὁ τοὺς πλείονας ἔχων συνωθηθήσεται, ἀντὶ τοῦ, καὶ ἄκων ἀναγκασθήσεται δοῦναί σοι ἕνα ἐξ αὐτῶν.

ΒΑΛΣ. Ὅ,τι ὡρίσθη παρὰ τῶν ἁγίων Πατέρων, ἔν τε τῷ προσεχῶς γραφέντι κανόνι καὶ ἐν ἑτέροις, μὴ ἔχειν ἐπ᾽ ἀδείας ἐπίσκοπον ἐξ ἑτέρας ἐνορίας λαβεῖν κληρικὸν ἄνευ θελήσεως τοῦ ἐπισκόπου αὐτοῦ, εἶπεν ὁ Αὐρήλιος πρὸς τὴν ἀδελφότητα τῆς συνόδου, ὅτι, πολλάκις αἰτησάντων τινῶν ἐκκλησιαστικῶν, ὄντων ἀπὸ ἑτέρας ἐνορίας ὑποκειμένης ἐμοὶ, διακόνους, ἢ πρεσβυτέρους, ἢ ἐπισκόπους ἀπὸ ἀλλοτρίας παροικίας (2), ὡς ἐχόντων ἐνδεῶς ἐκείνων ἱκανῶν ἀνθρώπων, ἠθέλησα τοῦτο ποιῆσαι· πλὴν μεμνημένος τῶν κανονικῶν διαταγμάτων τῶν διοριζομένων, παρὰ γνώμην τῶν ἐπισκόπων μὴ ἀφαιρεῖσθαι κληρικοὺς αὐτῶν, καὶ εἰς ἑτέραν ἐνορίαν δίδοσθαι,

(1) Τίτ. Α. 9. — (2) Χ. Γρ. = ἐνορίας Βευερ.

ἠκολούθησα τοῖς οὕτω διορισθεῖσι, καὶ ἀνεκοινωσάμην τὰ περὶ τούτου τῷ ἐπισκόπῳ τοῦ ζητουμένου κληρικοῦ. Καὶ νῦν μὲν οὐχ εὗρόν τινα ἀντιλέγοντα· ὑποπτεύω δὲ μήπως εἰς τὸ ἑξῆς ἀντιπέσῃ μοί τις ἐπίσκοπος, καὶ τῷ κανόνι χρήσηται· τοῦτο δὲ γίνεται παρ' ἐμοῦ, οὐχ ὡς ἐναντιουμένου τοῖς κανονικοῖς θεσπίσμασιν, ἀλλ' ὅτι, ὡς καὶ ὑμεῖς γινώσκετε, ἐπίκειταί μοι φροντὶς πολλῶν ἐκκλησιῶν. Εἰ γοῦν ἔχων ἔνδειαν ἱκανῶν ἀνθρώπων ζητήσω ἐξ ἑτέρας ἐνορίας κληρικὸν, καὶ οὐκ εἰσακουσθῶ, κἀντεῦθεν ἀναγκασθῶ προσελθεῖν τῷ ἔχοντι ἐπισκόπῳ τὸν τοιοῦτον κληρικὸν, μετὰ δύο ἢ τριῶν μαρτύρων ἀπὸ τῆς ὑμετέρας συγκληρώσεως, ἤγουν ἀπὸ τῶν συνεπισκόπων, ἐφ' ᾧ ἀναλαβέσθαι τὸν ζητούμενον παρ' ἐμοῦ κληρικὸν, ἀκαθοσίωτον εὑρισκόμενον, ἤγουν ἄξιον καὶ παντὸς αἰτιάματος ὑπέρτερον, καὶ ἐκεῖνος οὐδὲ οὕτω πείθεται δοῦναί μοι τὸν κληρικὸν αὐτοῦ, κρίνατέ μοι τὸ ποιητέον. Ἀπεκρίθη οὖν ὁ Νουμίδιος, ὅτι ἐξουσίαν ἔχει ἀνέκαθεν ἡ καθέδρα τῶν Καρχηδονίων ἀναλαμβάνεσθαι ἀφ' ἧς ἂν ἐθέλῃ ἐκκλησίας κληρικὸν, καὶ χειροτονεῖν αὐτὸν κατὰ τὴν ἐπιθυμίαν τοῦ ζητήσαντος τοῦτον λαοῦ εἰς βαθμὸν, ἤγουν εἰς ὄνομα οἷον ἂν καὶ προετράπῃ. Ὁ δὲ Ἐπιγόνιος ἔφησε πρὸς τὸν Αὐρήλιον, ὅτι, εἰ καὶ δύνασαι τοῦτο ποιεῖν αὐθαιρέτως, ἀλλὰ τὸ ἀγαθοθελές σου μέσως πως ἀναγκάζει σε χρῆσθαι τῇ ἐξουσίᾳ· κρίνεις γὰρ ἀσκανδάλιστον εἶναι τὸ θεραπεύειν τοὺς συναδελφοὺς, καὶ μὴ αὐθεντικῶς, ἀλλὰ μετὰ γνώμης ἐκείνων ἀναλαμβάνεσθαι τοὺς κληρικοὺς αὐτῶν. Εἰ μὲν οὖν διὰ πρώτης καὶ μόνης συνελεύσεως, ἤτοι διὰ μαρτυρίας, ἡ συνείδησις τοῦ ἐπισκόπου τοῦ ζητουμένου τὸν κληρικὸν ὑποταγῇ, τουτέστι, δώσῃ τὸν κληρικὸν, λόγος οὐδείς· εἰ δὲ μὴ, ἐκδίκησον τὸν θρόνον σου διὰ τῆς ἄνωθεν προσούσης αὐτῷ ἐξουσίας, ἤγουν ἀναλαβοῦ τὸν κληρικὸν, καὶ μὴ βουλομένου τοῦ ἐπισκόπου αὐτοῦ· ἔχεις γὰρ ἀνάγκην πάσας τὰς ἐκκλησίας στηρίζειν κανονικῶς. Ἵνα δὲ μή τινες σκανδαλισθῶσι κατ' αὐτοῦ, ὡς δῆθεν ἐκ νέου ἐπιτρέποντος τοῦτο, ἐπήγαγεν, ὅτι τοῦτο δὲ τὸ δίκαιον οὐ δίδοταί σοι παρ' ἡμῶν νῦν, ἀλλὰ προῆν σοι, ἐπισφραγίζεται δὲ καὶ παρ' ἡμῶν, τουτέστιν,

ἐπικυροῦται. Οὕτω δὲ τούτων διευκρινηθέντων, εἶπεν ὁ Ποστουμετιανός· Ἐὰν δὲ ἔχῃ τις ἐπίσκοπος ἕνα κληρικὸν, ἀφαιρεθήσεται καὶ οὗτος ἀπ᾽ αὐτοῦ; Ἀντέφησε δὲ πρὸς τοῦτο ὁ Αὐρήλιος, ὅτι ἡ μὲν χειροτονία τῶν πρεσβυτέρων εὐχερής ἐστί· πολλοὶ γὰρ εὑρεθήσονται πρὸς τοῦτο ἐπιτήδειοι, καὶ χειροτονηθήσονται κατὰ συγχώρησιν Θεοῦ, ἤτοι κατ᾽ εὐδοκίαν· ἡ δὲ προχείρισις τῶν ἐπισκόπων δυσχερής ἐστι καὶ ἀναγκαία· διδακτικὸν γὰρ καὶ ἀγχίνουν εἶναι δεῖ τὸν ἐπίσκοπον, ὅπερ δυσχερῶς εὑρίσκεται· διὸ ἐὰν παρά τινι ἐπισκόπῳ εὑρεθῇ τις τοιοῦτος ἱερεὺς, κἂν εἷς καὶ μόνος ἐστὶ παρ᾽ αὐτῷ, ἀφαιρεθήσεται καὶ αὐτὸς, καὶ εἰς τὸ τῆς ἐπισκοπῆς ἀναχθήσεται ἀξίωμα, ὡς πάντως δυνατοῦ ὄντος καὶ εὐχεροῦς, ἑτέρους χειροτονηθῆναι παρ᾽ αὐτοῦ ἱερεῖς, καὶ ἀντὶ τούτου εἶναι καὶ ἱερουργεῖν. Εἶτα ἐπήνεγκεν ἕτερος ἐπίσκοπος, ὅτι λοιπὸν ἐὰν ἄλλος ἔχῃ πολλοὺς κληρικοὺς, διδότω τῷ μὴ ἔχοντι· καὶ ὁ Αὐρήλιος εἶπε πρὸς τοῦτο, ὅτι, ὥσπερ σὺ ἀναγκάζῃ ἔχων κληρικὸν δοῦναι αὐτὸν εἰς χειροτονίαν ἐπισκόπου, οὕτω καὶ ὁ τοὺς πλείονας ἔχων συνωθήσεται, ἀντὶ τοῦ, καὶ ἄκων ἀναγκασθήσεται, δοῦναί σοι ἕνα ἐξ αὐτῶν. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἐρωτήσει τις, ὡς, ἐπεὶ καὶ τῷ Κωνσταντινουπόλεως ἐνεδόθη ἀπὸ τῆς γ'. Ἰουστινιανείου νεαρᾶς, ἤγουν ἀπὸ τοῦ β'. κεφ. τοῦ β'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ καὶ κατεστρώσαμεν ἔξωθεν τοῦ κς'. κεφαλαίου τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, ἀλλοτρίους κληρικοὺς ἀπροκριματίστως δέχεσθαι· ὡσαύτως καὶ τῷ ἀρχιεπισκόπῳ τῆς πρώτης Ἰουστινιανῆς, ἤτοι τῷ Βουλγαρίας, ἐφιλοτιμήθησαν ἀπὸ τῆς ρλγ'. Ἰουστινιανείου νεαρᾶς, τῆς κειμένης εἰς τὸ ά. κεφ. τοῦ γ'. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν, καὶ καταστρωθείσης παρ᾽ ἡμῶν εἰς τὸ ς'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, τὰ δίκαια τῆς παλαιᾶς Ῥώμης καὶ τῆς ἐκκλησίας Καρχηδόνος· ἔτι μὴν καὶ τῷ ἀρχιεπισκόπῳ τῆς Νέας Ἰουστινιανουπόλεως, ἤτοι τῷ Κύπρου, ἐνεδόθησαν διὰ τοῦ λθ'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου τὰ προνόμια τῆς τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας· ἀναγκα-

θήσονται καὶ οὗτοι μετὰ εἰδήσεως τῶν ἐχόντων τοὺς κληρικοὺς ἐπισκόπων δέχεσθαι αὐτοὺς, καθὼς τοῦτο ποιεῖν καὶ τὸν ἐπίσκοπον Καρχηδόνος τετύπωται; Λύσις. Τινὲς εἶπον, ὡς, ἐπεὶ ἀδιαστίκτως ἐξεχωρήθησαν οὗτοι δέχεσθαι ἀλλοτρίους ἐπισκόπους, οὐκ ἀναγκασθήσονται πρῶτον ποιεῖν παραγγελίαν καθὼς διὰ τοῦ παρόντος κανόνος ὁ ἐπίσκοπος Καρχηδόνος ὡρίσθη ποιεῖν. Ἐμοὶ δὲ δοκεῖ ὀφείλειν καὶ τὰς τοιαύτας πρώτας κεφαλὰς κατὰ τὴν τοῦ παρόντος κανόνος περίληψιν ἀφαιρεῖσθαι τοὺς ἀλλοτρίους κληρικοὺς, παρομοίως τῷ ἐπισκόπῳ Καρχηδόνος· ὅτι τε τοῦτό ἐστι τὸ ἀσκανδάλιστον καὶ φιλάδελφον, καὶ ὅτι ἡ ῥηθεῖσα ρλβ΄. Ἰουστινιάνειος νεαρὰ μεμνημένη καὶ τῆς ἐν Ἀφρικῇ Ἰουστινιανῆς Καρχηδόνος ἐκκλησίας, ἐξισάζει ταύτας ὅσον τέως εἰς τὰ ἐπισκοπικὰ δίκαια. Τοῦ δὲ παρόντος κανόνος διοριζομένου ἀναγκάζεσθαι τὸν ἔχοντα πλῆθος κληρικῶν διδόναι τῷ μὴ ἔχοντι, ἀναγκασθήσεται καὶ ὁ Κωνσταντινουπόλεως τυχὸν διδόναι καὶ ἄκων μετὰ ἐπιφώνησιν τῷ Ἡρακλείας τυχὸν κληρικὸν αὐτοῦ, ἐφ᾽ ᾧ χειροτονῆσαι τοῦτον ἱερέα, ἢ διάκονον, ἢ ἐπίσκοπον; Λύσις. Οὐκ οἴομαι· τούτου γὰρ δοθέντος, γενήσεται πάντων τῶν ἐπισκόπων ἐξίσωσις ὅσον εἰς τοῦτο τὸ κεφάλαιον, καὶ εἰς οὐδὲν καταντήσει τὸ δοθὲν προνόμιον τῷ Καρχηδόνος καὶ τοῖς λοιποῖς. Ὀφείλομεν οὖν εἰπεῖν, ὅτι οἱ μὲν προνομιάριοι ἐπίσκοποι, οὐ μόνον εἰς ἐπισκόπους, ἀλλὰ καὶ διακόνους, καὶ πρεσβυτέρους ἵνα χειροτονήσωσιν ἀλλοτρίους κληρικοὺς, κατὰ τὴν περίληψιν τοῦ παρόντος κανόνος. Οἱ δὲ λοιποὶ ἐπίσκοποι ἐξ αὐτῶν οὐ ζητήσουσιν, οὐδὲ δέξονται κληρικὸν ἄλλως, εἰ μὴ ἐν χρείᾳ γένωνται τοῦ χειροτονῆσαι τοῦτον ἐπίσκοπον. Τοῦτο γὰρ καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται λέγοντος, μὴ τοσοῦτον εἶναι ἀναγκαίαν τὴν τῶν ἱερέων καὶ διακόνων χειροτονίαν, ὡς τὴν τῶν ἐπισκόπων, καὶ διὰ τοῦτο ἀφαιρεῖσθαι καὶ τὸν ἕνα, καὶ εἰς ἐπισκοπὴν ἀνάγεσθαι. Ἐὰν δὲ ὁ μετακαλούμενος κληρικὸς εἰς ἐπισκοπικὸν ἀξίωμα, ἀπὸ τῆς ἐκκλησίας τυχὸν τῶν Κωνσταντινουπολιτῶν, οὐ καταδέχηται τὴν ψῆφον, ἀναγκασθήσεται παρὰ τοῦ πατριάρχου κατὰ τὸν παρόντα κανόνα καταδέξασθαι; Λύσις. Οὐδαμοῦ· οὐ γὰρ ἀναγκάζεταί τις

ἀρχιερεὺς γενέσθαι καὶ ἄκων. Ἐκληπτέον οὖν τὰ τοῦ κανόνος εἰς τὸν ψηφισθέντα καὶ καταδεχόμενον μὲν τὴν ἐπισκοπὴν, μὴ παραχωρούμενον δέ.

ΑΡΙΣΤ. Ἐξέστω τῷ Καρχηδόνος προέδρῳ, οὓς ἂν ἐθέλῃ προχειρίζεσθαι προεστῶτας τῆς ἐκκλησίας, κἂν μόνον ἕνα τις ἔχῃ πρεσβύτερον προστασίας ἄξιον· εἷς μὲν γὰρ ἐπίσκοπος πολλοὺς πρεσβυτέρους χειροτονεῖν δύναται· δυσεύρετος δὲ ὁ πρὸς ἐπισκοπὴν ἐπιτήδειος.

Ἡ σύνοδος αὕτη, τοπικὴ οὖσα, μὴ οἰκουμενικὴ, ὁρίζει τινὰ ἐν Καρχηδόνι ὀφείλοντα κρατεῖν. Ὁ γὰρ Αὐρήλιος, Καρχηδόνος ἐπίσκοπος, τοῖς κανόσιν ἑπόμενος, καὶ παρὰ γνώμην ἐπισκόπου μὴ θέλων κληρικὸν αὐτοῦ ἀφαιρεῖσθαι, καὶ εἰς ἑτέραν πόλιν κληροῦν αὐτὸν, ἢ ἐπίσκοπον καθιστᾷν, εὐλαβούμενος δὲ πάλιν μή ποτέ τινες τῶν ὑπ' αὐτὸν ἐπισκόπων οὐ πεισθῶσι δοῦναί τινας τῶν κληρικῶν αὐτῶν, ἐπὶ τῷ εἰς ἑτέραν πόλιν ἐνδεῶς πρεσβυτέρων ἢ διακόνων ἔχουσαν κληρωθῆναι, ἢ εἰς ἐπισκοπῆς βαθμὸν προαχθῆναι, ἀξίους εἰς τοῦτο κριθέντας, τὰ περὶ τούτου τῇ συνόδῳ ἀνεκοινώσατο, καὶ ἐπεψηφίσατο αὕτη, ἐπ' ἀδείας ἔχειν τὸν Καρχηδόνος πρόεδρον, διὰ τὸ τὴν πᾶσαν φροντίδα τῶν ἐκεῖσε ἐκκλησιῶν αὐτῷ ἐπικεῖσθαι, οὓς ἂν τῶν ὑπ' αὐτὸν ἐπισκόπων κληρικοὺς εἰς προστασίαν ἐκκλησιῶν εὑρήσει ἀξίους, προχειρίζεσθαι αὐτούς· κἂν δὲ καὶ πολλούς τις μὴ ἔχῃ πρεσβυτέρους, ἀλλ' ἕνα καὶ μόνον, καὶ ἐπιτήδειον αὐτὸν εἰς ἐπισκοπὴν κρίνει, ἀνενδοιάστως καθιστᾷν αὐτὸν, διὰ τὸ δυσχερὲς εἶναι τὸν εἰς ἐπισκοπὴν εὑρίσκεσθαι δόκιμον· καὶ δυνατὸν ἕνα ἐπίσκοπον πολλοὺς πρεσβυτέρους χειροτονῆσαι.

## Κανὼν Νϛ'. (ΞΕ'.)

*Περὶ τοῦ, τοὺς ἐν ταῖς παροικίαις χειροτονουμένους ἐπισκόπους μή τινα ἑαυτοῖς ἐκδικεῖν διοίκησιν.*

**Ὁνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· Ἠκούσαμεν ὁρισθὲν, ἵνα αἱ παροικίαι μὴ ἀξιῶνται λαμβάνειν ἐπισκόπους, εἰ μὴ κατὰ συναίνεσιν τούτου, ὑφ' ὃν**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καθίσταντο· ἐν δὲ τῇ χώρᾳ ἡμῶν, κατὰ συγχώρησιν τοῦ ἐξ ἀρχῆς κατέχοντος τὰς διοικήσεις ἐπισκόπου, τινὲς εἰς τὰς αὐτὰς παροικίας χειροτονηθέντες ἐπίσκοποι, ἑαυτοῖς ἔτι μὴν ἑτέρας διεκδικοῦσι. Τοῦτο καὶ κωλυθῆναι τῇ ἀπὸ τῆς ὑμετέρας ἀγάπης κρίσει (1), καὶ ἀναρτηθῆναι (2) τοῦ λοιποῦ ὀφείλει. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἑκάστῳ (3) ἐπισκόπῳ τὸ πρέπον ἐφυλάχθη, ἵνα ἐκ τῆς συγκτησίας τῶν παροικιῶν μηδὲν ἀποδρεφθείη πρὸς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ κατὰ συναίνεσιν τοῦ τὴν ἐξουσίαν ἔχοντος· ἐὰν δὲ αὐτὸς παραχωρήσῃ, ὥστε τὴν αὐτὴν διοίκησιν ἐπιτραπεῖσαν ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰς τὰς λοιπὰς τὸν προχειρισθέντα μὴ ἐπιβαλέσθαι (4) διοικήσεις, διότι μία ἐκ τοῦ σώματος τῶν πολλῶν ἀφαιρεθεῖσα, αὐτὴ καὶ μόνη ἠξιώθη τιμὴν ἰδίας ἐπισκοπῆς ἀναδέξασθαι (5). Αὐρήλιος ἐπίσκοπος εἶπεν· Οὐκ ἀμφιβάλλω τῇ πάντων ὑμῶν ἀγάπῃ ἀρέσκειν, ὥστε τὸν κατὰ τὴν συγχώρησιν τοῦ προτέρου ἐπισκόπου ἐν τῇ διοικήσει προχειρισθέντα ἐπίσκοπον, μόνον αὐτὸν κατέχειν τὸν λαὸν εἰς ὃν ἐχειροτονήθη. Ἐπειδὴ οὖν πάντα νομίζω εἶναι τετρακταϊσμένα, ἐὰν πάντα στοιχῇ τῷ λογισμῷ ὑμῶν, πάντα βεβαιώσατε τῇ ὑμετέρᾳ ἐκφωνήσει. Πάντες οἱ ἐπίσκοποι εἶπον· Πᾶσιν ἡμῖν ταῦτα ἤρεσε, καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ ταῦτα βεβαιοῦμεν· καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐκκλησίας Καρχηδόνος τῷ παρόντι δεκρέτῳ συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Ὡρίσθη, φασὶν, ἐν ταῖς παροικίαις, ἤγουν ταῖς μικραῖς ἐνορίαις ταῖς ὑποκειμέναις ἐπισκόποις, μὴ γίνεσθαι ἐπι-

---

(1) Σ. Ῥ. —τῇ ἀγάπῃ τῆς ὑμετέρας κρίσεως Ἰουστ. Χ. Τρ.—(2) Κ. Ἑ. Σ. Ῥ. ἀνακραπῆναι Βευερ. — (3) ὁ κανὼν ἄρχεται ἐν Π. ἀπὸ τοῦ, ἑκάστῳ ἐπισκόπῳ. — (4) ἐπιβάλλεσθαι Χ. Τρ. Βευερ.—(5) ἐνταῦθα λήγει ὁ Καν. ΞΕ. ἐν Π.

σκόπους, εἰ μὴ γνώμῃ τῶν ἐχόντων αὐτὰς ἐπισκόπων. Εἰ δέ ποτε γένωνται, κατ' εὐδοκίαν δηλονότι τῶν ἐπισκόπων, ἐκείναις μόναις ἀρκεῖσθαι ταῖς παροικίαις καὶ τοῖς ἐν αὐταῖς λαοῖς, καὶ μὴ ἑτέρας ἐκδικεῖν, ἤγουν οἰκειοῦσθαι, ἢ ζητεῖν, ὡς ἀνηκούσας αὐτοῖς. Ἡ γὰρ Ἀρζύα κατὰ παραχώρησιν τοῦ ἐπισκόπου ἀξιωθεῖσα τιμῆς ἐπισκοπικῆς, ἐκείνη μόνη ταύτην ὀφείλει ἔχειν, ἑτέρα δὲ μὴ ἀποδρεφθείη, ἤγουν μὴ ἀποσπασθείη, μὴ ἀποτμηθείη, εἰς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ συναινέσει τοῦ ἐξουσιάζοντος αὐτῆς ἐπισκόπου. Πρὸς ταῦτα ὁ Αὐρήλιος παρασκευάζων συναινέσαι πάντας τοὺς τῆς συνόδου, ἐπήγαγεν, ὅτι οὐκ ἀμφιβάλλω πᾶσιν ἀρέσκειν ταῦτα· καὶ ἐπειδὴ πάντα νομίζω εἶναι τετρακταϊσμένα, ἀντὶ τοῦ, ἐσκοπημένα, δεδοκιμασμένα, ἐξητασμένα, πάντες βεβαιώσατε ταῦτα τῇ ὑμετέρᾳ ἐκφωνήσει. Καὶ πάντες εἶπον· Ἤρεσεν ἡμῖν πᾶσι ταῦτα, καὶ τῇ ὑμετέρᾳ ὑπογραφῇ αὐτὰ βεβαιοῦμεν.

**ΒΑΛΣ.** Εἴς τινας παροικίας, ὡς ἔοικε, μὴ ἐχούσας ἀρχιερεῖς, ἐψηφίσθησαν ἐπίσκοποι κατὰ γνώμην τῶν ἐχόντων αὐτὰς ἐπισκόπων, ὡς γενομένας τυχὸν πολυανθρώπους, καὶ δεομένας ἰδικοῦ ἐπισκόπου. Μὴ ἀρκουμένων δὲ τῶν εἰς ταύτας χειροτονηθέντων ἐπὶ ταῖς λαχούσαις αὐτούς, ἀλλὰ σφετεριζομένων καὶ ἀλλότρια δίκαια, εἶπον Ὁνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι, ὡς, ἐπεὶ κεκανόνισται μὴ ἄλλως ψηφίζεσθαι ἐπισκόπους εἰς παροικίας, εἰ μὴ κατὰ θέλησιν τῶν ἐχόντων ἀρχῆθεν αὐτὰς ἐπισκόπων, γέγονε τοῦτο οὕτω καὶ εἰς τὴν χώραν αὐτῶν. Ὅτι δὲ οἱ χειροτονηθέντες καὶ ἄλλας παροικίας διεκδικοῦσιν αὐθαιρέτως, ὀφείλουσι τὰ μὲν κακῶς (1) ἐκδικηθέντα διορθωθῆναι, τὰ δὲ μέλλοντα ἀκανονίστως ἐκδικεῖσθαι κωλυθῆναι. Ἔφησε γοῦν πρὸς ταῦτα ὁ Ἐπιγόνιος, ὅτι ἀπὸ τῶν θείων κανόνων ἑκάστῳ ἐπισκόπῳ ἐνορίαι παροικιῶν ἀπενεμήθησαν, καὶ ἀπὸ τῆς συγκτησίας, ἤγουν ἀπὸ τῆς παροικίας αὐτῶν, οὐδὲν δύναται ἀποδρεφθῆναι, ἤγουν ἐκκοπῆναι παρά τινος, ἀλλ' οὐδὲ αὐτοὶ οἱ οἰκήτορες τῆς παροικίας δύνανται αὐτοθελῶς ἐπίσκοπον ἑαυτοῖς καθιστᾷν, εἰ μὴ κατὰ θέλησιν τοῦ ἐξου-

(1) Χ. Τρ. — καινῶς Βενετ. — σαφῶς 'Ε. ἀλλὰ Λατινιστὶ ὀρθῶς, improbe.

σιάζοντος τῆς παροικίας ἐπισκόπου. Ἐὰν δὲ καὶ οὗτος παραχωρήσῃ τοῦτο, οὐκ ὀφείλει ὁ χειροτονηθεὶς δικαίῳ ταύτης τῆς παροικίας παρεμβάλλειν ἑαυτὸν καὶ εἰς ἄλλων παροικιῶν διοικήσεις· ἡ γὰρ τιμηθεῖσα μόνη παροικία ἐσεῖται ὑπὸ τὸν χειροτονηθέντα· αἱ λοιπαὶ δὲ ἔσονται ὑπὸ τὴν κεφαλὴν ἐξ ἧς ἡ ἀφαίρεσις γέγονεν. Εἶπεν οὖν ἐπὶ τούτοις ὁ Αὐρήλιος, ἀποδεκτέαν εἶναι καὶ αὐτῷ τὴν γνώμην τῆς ἀδελφότητος· καὶ ὥρισε καὶ αὐτὸς τὰ αὐτὰ, καὶ διὰ τοῦτο ἐζήτησεν ὑπογραφῆναι τὰ τυπωθέντα, ὃ καὶ γέγονε. Καὶ ταῦτα μὲν οὕτω. Σὺ δὲ γίνωσκε, ὅτι τὸ μὲν φυλάττεσθαι τὰς ἐνορίας τῶν ἐπισκόπων ἀπαρασαλεύτους, ὡς κανονικὸν συντηρεῖται· τὸ δὲ γίνεσθαι ἐκ νέου ἐπισκοπὰς εἰς παροικίας ὑποκειμένας ἑτέροις ἐπισκόποις, χωρὶς βασιλικῆς προστάξεως οὐ παραχωρεῖται, κἂν μυριάκις συναινέσῃ ὁ ἔχων ταύτην ἐπίσκοπος. Διεγνώσθη γὰρ συνοδικῶς μηδὲ αὐτὴν τὴν μεγάλην σύνοδον χωρὶς προστάξεως βασιλικῆς δύνασθαι καινίζειν ἐπισκοπήν· καὶ προεγράφη τὰ περὶ τούτου εἰς ἑτέρους κανόνας.

ΑΡΙΣΤ. Διοίκησις ἐὰν κατὰ γνώμην τοῦ τὴν ἐξουσίαν ἔχοντος ἐπιτραπῇ ἴδιον σχεῖν ἐπίσκοπον, εἰς τὰς λοιπὰς διοικήσεις ὁ τοιοῦτος μὴ ἐπιβαλλέσθω.

Ὥρισται, παρὰ γνώμην τοῦ πρωτεύοντος ἐν ἑκάστῃ ἐπαρχίᾳ μή τινα τῶν ἐπισκόπων γίνεσθαι, ἀλλὰ μηδὲ ἐν κώμῃ τινὶ, ἢ καὶ βραχείᾳ πόλει, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ, ἐπίσκοπον καθίστασθαι, εἰ μὴ πληθυνθεῖσαι ἴσως αὗται, ἄξιαι κριθῶσιν ὀνομασθῆναι ἐπισκοπαί. Εἰ γοῦν εἰς παροικίαν τινὰ, ἐν ᾗ τὸ πρὶν οὐκ ἦν ἐπίσκοπος, κατὰ γνώμην τοῦ τὴν ἐξουσίαν ἐν αὐτῇ ἔχοντος ἐπισκόπου ἐπίσκοπον γενέσθαι ἐπιτραπῇ, τὸν λαὸν μόνον, εἰς ὃν ἐχειροτονήθη, κατέχειν ὀφείλει, μὴ μέντοι γε καὶ ἑτέραν διεκδικεῖν παροικίαν.

---

*Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα ἐπίσκοπος χωρὶς ἀπολυτικῆς μὴ πλεύσῃ.*

Ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι (1), ἤρεσε μηδένα τῶν ἐπισκόπων πλέειν χωρὶς ἀπολυτικῆς τοῦ πρωτεύοντος. Τὰ πεπραγμένα ὁ ζητῶν ἐν τοῖς αὐθεντικοῖς εὑρήσει.

ΖΩΝΑΡ. Ἀπολυτικὴν λέγει τὴν εἰρηνικὴν ἐπιστολήν· πρωτεύοντα δὲ, τὸν πατριάρχην, ἢ τὸν μητροπολίτην τῆς διοικήσεως· πλέειν δὲ, τὸ διαποντίως ἀποδημεῖν.

*Ἐκ τῆς συνόδου ταύτης τοποτηρηταὶ πρὸς βασιλέα ὑπογεγραμμένοι ἐπίσκοποι ἀποστέλλονται.*

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων, Ὀνωρίου αὐγούστου τῷ τετάρτῳ, καὶ Εὐτυχιανοῦ τοῦ λαμπροτάτου, τῇ πρὸ πέντε καλανδῶν Μαΐων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης ἐκκλησίας.

## ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Ἐπιγόνιος καὶ Βικεντιανὸς οἱ ἐπίσκοποι, ἵνα νόμου ἀξιωθῶσι παρὰ τῶν ἐνδοξοτάτων βασιλέων περὶ τῶν καταφευγόντων εἰς τὴν ἐκκλησίαν, καὶ οἱαισδήποτε ἐγκεκλεισμένων εὐθύναις, ὥστε μηδένα τολμᾷν αὐτοὺς ἀποσπᾷν.

*Ἐν ταύτῃ τῇ συνόδῳ πρεσβεία ἀποστέλλεται πρὸς τοὺς Ῥώμης καὶ Μεδιολάνων ἐπισκόπους περὶ τῶν νηπίων τῶν παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντων· καὶ πρὸς τὸν βασιλέα δὲ περὶ τοῦ τὰ ἐγκαταλείμματα τῶν εἰδώλων ἀφαιρεθῆναι, καὶ περὶ ἄλλων δὲ πλείστων πραγμάτων.*

Μετὰ τὴν ὑπατείαν Φλαβίου Στιλίχωνος τοῦ λαμπροτάτου, τῇ πρὸ δεκαὲξ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης ἐκκλησίας, παρακαθίσας ἅμα τοῖς συνεπισκόποις αὐτοῦ, παρεστώτων τῶν διακόνων, Αὐρήλιος ἐπίσκοπος εἶπε· Τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν ἀνὰ πᾶσαν τὴν

(1) Σ. Ῥ. καὶ Ἰουστ. λατινιστί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῶν Ἄφρων χώραν καθιδρυμένων τὰς ἀνάγκας ἀκριβῶς ἅμα ἐμοὶ ἐπίσταται ἡ ὑμετέρα ἀγάπη, ἁγιώτατοι ἀδελφοί· καὶ ἐπειδὴ τοῦ Κυρίου παρέχοντος κἂν ἐν μέρει συνήχθη ἡ παρουσία τῆς ὁσίας ὑμῶν συνελεύσεως, δοκεῖ μοι εἰς μέσον προκομίσαι τὰς αὐτάς, ὡς εἴρηται, ἀνάγκας, ἅςπερ οἰκείᾳ φροντίδι ἠδυνήθην ἀνιχνεῦσαι· ἅς τινας ἡνίκα ἐπικυρώσῃ ἡ ὑμετέρα εἰλικρινότης, ἀκόλουθον ἔσται ἀπολέξασθαι(1) ἕνα συνιερέα ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ, τὸν ὀφείλοντα τῇ τοῦ Κυρίου βοηθείᾳ διὰ τῶν εὐχῶν ὑμῶν τὰς αὐτὰς ταύτας ἀνάγκας ἀναδέξασθαι, καὶ ἀνδρείως ἐξανυστέας ἀποκομίσαι πρὸς τὰ περαματικὰ τῆς Ἰταλίας μέρη, ὅστις δυνηθῇ αὐτήν τε τὴν ἀνάγκην, καὶ τὸν πόνον, καὶ τὴν ἔνδειαν ἡμῶν παραστῆσαι τοῖς ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν, τοῦτο μέν, Ἀναστασίῳ τῷ προσκυνητῷ ἁγίῳ τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπῳ, τοῦτο δὲ ἔτι μήν, τῷ ἁγιωτάτῳ ἀδελφῷ Βενερίῳ, τῷ ἱερεῖ τῆς Μεδιολάνων ἐκκλησίας. Ἐκ τούτων γὰρ τῶν θρόνων ἐκωλύθη, ὅπερ ἐπιγνοῖεν κοινῷ κινδύνῳ μεγάλως ὀφείλειν προνοηθῆναι· ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, καὶ πολλαὶ ἐκκλησίαι οὕτως ὑπάρχουσιν ἔρημοι, ὡς μηδένα διάκονον κἂν ἀγράμματον ἔχειν εὑρίσκεσθαι. Περὶ δὲ τῶν λοιπῶν ἀνωτέρων βαθμῶν καὶ τάξεων σιωπητέον ὑπολαμβάνω, ἐπειδή, ὡς εἶπον, ἐὰν ἡ τοῦ διακόνου ὑπουργία οὐκ εὐχερῶς εὑρίσκεται, πολλῷ πλέον περὶ τῶν ἀνωτέρων τιμῶν κατάδηλον ὑπάρχει· καὶ τοὺς καθημερινοὺς θρήνους τῶν διαφόρων καὶ σχεδὸν ἀποθνησκόντων λαῶν τοῦ λοιποῦ οὐχ ὑποφέρομεν· οἷς εἰ μηδέποτε θελήσομεν βοηθῆσαι, βαρυτάτη καὶ ἀναπολόγητος αἰτία τῶν ἀπολλυμένων ψυχῶν ἐκδέχεται ἡμᾶς παρὰ τῷ Θεῷ.

**ΖΩΝΑΡ.** Τοῦτο ἡ παροῦσα λέγει γραφή· ὅτι ἐπίστασθε, ἀδελφοί, τὰς ἀνάγκας, ἃς ἔχουσι πᾶσαι αἱ κατὰ τὴν Ἀφρικὴν ἐκκλησίαι· καὶ ἐπεὶ συνήχθη, εἰ καὶ μὴ πᾶσα ἡ σύνοδος, ἀλλά γε κἂν ἐν μέρει, δοκεῖ μοι προθεῖναι εἰς μέσον τὰς τοιαύτας ἀνάγκας, ἃς ἐφρόντισα καὶ ἀνίχνευσα, ἤγουν ἐπιμελῶς ἐζήτησα· ἀκόλουθον δὲ ἔσται ἐπιλέξασθαι ἕνα ἐξ

(1) Χ. Τρ. = ἀποδέξασθαι Ἰουστ. Ἑ. Κ. — ἀποδείξασθαι Βευερ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἡμῶν, ὅστις ταύτας ἀποκομίσει πρὸς τὰ πέραν μέρη τῆς Ἰταλίας, ἤγουν ἀπαγγελεῖ τῷ πάπᾳ καὶ τῷ Μεδιολάνων τὴν ἀνάγκην, καὶ τὸν πόνον, καὶ τὴν ἔνδειαν ἡμῶν, ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, ὥστε πολλαὶ ἐκκλησίαι, οὐδένα διάκονον κἂν ἀγράμματον ἔχουσιν· ἐὰν δὲ διάκονοί, φησιν, οὐκ εὐχερῶς εὑρίσκονται, σκοπητέον, εἰ οἱ ἀνώτεροι βαθμοὶ, ἤγουν πρεσβύτεροι, καὶ ἐπίσκοποι εὑρεθήσονται· καὶ ὅτι τοὺς θρήνους τοὺς καθημερινοὺς τῶν λαῶν, τῶν σχεδὸν ἐκ τῆς λύπης θνησκόντων, οὐ φέρομεν· ἡ δὲ λύπη ἐκείνοις ἦν, ὅτι ἐπισκόπους καὶ πρεσβυτέρους οὐκ εἶχον, οἷς, φησιν, εἰ μὴ βοηθήσαμεν, βαρυτάτη κόλασις ἐκδέχεται ἡμᾶς παρὰ τῷ Θεῷ ὑπὲρ τῶν ἀπολλυμένων ψυχῶν.

ΒΑΛΣ. Διὰ τῆς παρούσης γραφῆς ἀξιοῖ ὁ Αὐρήλιος δοθῆναι εἴδησιν τῷ πάπᾳ καὶ τῷ Μεδιολάνων, ὅτι στενοχωρίαν μεγάλην ἔχουσιν αἱ χῶραι τῶν Ἄφρων, μὴ μόνον ἱερέων καὶ ἐπισκόπων, ἀλλὰ καὶ αὐτῶν τῶν διακόνων, καὶ φροντίσαι γενέσθαι οἰκονομίαν εἰς βοήθειαν τῶν Χριστιανῶν.

## Κανὼν ΝΖʹ. (Ξϛʹ.)

*Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ ἐκκλησίᾳ (1) κληρικοὺς χειροτονεῖσθαι.*

Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρω συνόδῳ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὥστε (2) τοὺς παρὰ τοῖς Δονατισταῖς μικροὺς βαπτιζομένους, καὶ μηδέπω δυναμένους γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ εἰς χεῖραν λογισμοῦ δεκτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φαυλότητα ἐκείνων βδελυττομένους, πρὸς τὴν καθολικὴν τοῦ Θεοῦ ἐκκλησίαν, τὴν ἀνὰ πάντα τὸν κόσμον διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν (3) ἀναδεχθῆναι τοὺς τοιού-

(1) Βευερ. — ἐκκλησίᾳ οὐ κεῖται ἐν Σ. Ῥ. καὶ παρὰ Ἰουστ. — (2) ἐν Π. ὁ κανὼν ἄρχεται ἀπὸ τοῦ, Ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς. — (3) Σ. Ῥ. Βευερ. = τῆς χειρὸς Π. Ἰουστ. Χ. Τρ.

τους ἐκ τοῦ τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν κληρώσεως, ὁπόταν τὴν ἀληθινὴν ἐκκλησίαν ἰδίαν ἑαυτῶν ἐλογίσαντο τῇ πίστει προσερχόμενοι, καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιστεύσαντες, τῆς Τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο· ἅτινα πάντα ἀληθῆ (1) καὶ ἅγια καὶ θεῖα εἶναι δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν. Κἂν εἰ τὰ μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα, τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ εἰσιν, ὡς διδάσκει ὁ ἅγιος Ἀπόστολος λέγων, Εἷς Θεὸς, μία πίστις, ἓν βάπτισμα· καὶ τὸ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν ἐκκλησίαν, τὴν, ὡς εἴρηται, περιστερὰν, καὶ μόνην μητέρα τῶν Χριστιανῶν, ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται· ἅτινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει, μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν πορίζουσιν, ἵνα, ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰώνιον ζωὴν ἀκολουθητέον φωτεινότερον (2), τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς ἐκκλησίας τῆς καθολικῆς μητρὸς τὰ εὐθύτατα ἐπιγνόντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο. Τοῖς οὖν (3) τοιούτοις, ὅταν δοκιμὴ χρηστοῦ βίου προσέλθῃ, ἀναμφιβόλως καὶ κλῆρος πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ, οὐδείς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν. Εἰ δέ τινες τοῦ αὐτοῦ δόγματος κληρικοὶ, μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν

(1) Ἰουστ. Ἑ. Κ. — εὐσεβῆ Σ. Ῥ. — (2) Φωτεινοτέρως Ἰουστ. Χ. Τρ. — (3) Σ. Ῥ. — οὖν, οὐ κεῖται ἐν Π. Χ. Τρ. Ἰουστ.

αὐτῶν πρὸς ἡμᾶς ἐλθεῖν ποθήσουσιν, οἵ τινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν, καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ τοῦτο καταλειπτέον κρίνω τῇ μείζονι κατανοήσει, ψηφισομένων (1) τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσι, καὶ ἡμᾶς βεβαιῶσαι καταξιώσωσιν εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ᾽ ἡμῶν τυπωθῆναι. Μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων ἀρκούμεθα, ἵνα, εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους. Πάντα τοίνυν ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Δονάτος τις τὸ ὄνομα, αἱρέσεως γέγονεν ἀρχηγὸς, μὴ ἄλλως τῶν θείων μυστηρίων μεταλαμβάνειν διδάξας, εἰ μή τις ὀστοῦν κατέχων ἐν τῇ χειρὶ, τοῦτο πρότερον ἀσπάζοιτο, καὶ οὕτω μεταλαμβάνειν· οἱ οὖν ἐκείνου αἱρεσιῶται, Δονατισταὶ ὠνομάζοντο. Περὶ τούτων οὖν, ὡς ἐν τῷ μζ΄. κανόνι τῆς συνόδου ταύτης εἴρηται, ἔδοξε τοῖς Πατράσιν ἐρωτῆσαι, εἰ τὰ νήπια αὐτῶν βαπτιζόμενα παρὰ τῶν γονέων αὐτῶν, Δονατιστῶν ὄντων, εἶτα προσερχόμενα τῇ καθολικῇ ἐκκλησίᾳ, δεῖ προσδέχεσθαι καὶ ἐν κλήρῳ τάττειν, ἢ μή; Τοῦτο οὖν καὶ πάλιν ἡ σύνοδος εἰσάγει, καὶ δίδωσι γνώμην, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς ἐν νηπιότητι βαπτιζομένους, ὡς μὴ δύνασθαι τότε γινώσκειν τῆς πλάνης τὸν ὄλεθρον, ὅτε εἰς ἡλικίαν ἔλθωσι δεκτικὴν λογισμοῦ, τουτέστι φρονήσεως (2), ὥστε δύνασθαι νοῆσαι τὴν ἀλήθειαν, καὶ μισῆσαι τὴν ἐκείνων φαυλότητα, ἐὰν τῇ ἐκκλησίᾳ προσέλθωσιν, ἀναδέχεσθαι τούτους διὰ τῆς ἐπιθέ-

---

(1) Ἰουστ. Χ. Τρ. Π. — ψηφισομένων Σ. Ῥ. — ψηφισθησόμενον Βευερ. —
(2) Βευερ. Κ. Ἐ. — δεκτικὴν τοῦ φρονεῖν Χ. Τρ.

σεως τῶν χειρῶν κατά τινα τάξιν καὶ τύπον ἀρχαῖον, καὶ μὴ ἐμποδίζεσθαι εἰς τὸ κληρωθῆναι πιστεύσαντας καθαρῶς τῷ Χριστῷ, καὶ ὑποδεξαμένους τῆς ἁγίας Τριάδος τὰ ἁγιάσματα, ἤτοι τὰ δῶρα τὰ θεῖα, ἅτινά εἰσι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, καὶ ἀληθῆ καὶ ἅγιά εἰσι, παραδοθέντα ἡμῖν παρὰ τοῦ Σωτῆρος, ὃς παρὰ τοῦ Πατρὸς ἀπεστάλη εἰς σωτηρίαν ἡμῶν, ἁγιαζόμενα δὲ τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος· οὕτω γὰρ τῆς Τριάδος λογίζονται ἁγιάσματα. Ὅταν οὖν, φασι, πιστεύσωσι καὶ τὰ ἅγια δέξωνται, ἐὰν καὶ ὁ βίος αὐτῶν δοκιμασθεὶς χρηστὸς εὑρεθῇ, καὶ κληρωθήσονται. Περὶ ταύτης οὖν τῆς ὑποθέσεως τῶν νηπίων ἐζήτησαν καὶ παρὰ τοῦ πάπα, καὶ παρὰ τοῦ Μεδιολάνων μαθεῖν, εἰ ἀρέσκονται τῇ γνώμῃ αὐτῶν. Εἰ δέ τινες, φασὶ, κληρικοὶ τῶν Δονατιστῶν, μετὰ τοῦ παρ' αὐτοῖς λαοῦ καὶ τῶν τιμῶν αὐτῶν, ἤγουν τῶν βαθμῶν αὐτῶν, θελήσουσι μετελθεῖν πρὸς τὴν ὀρθόδοξον πίστιν, οἵτινες κληρικοὶ θέλοντες καὶ παρὰ τοῖς ὀρθοδόξοις διαμένειν ἐν τῇ τιμῇ αὐτῶν, συμβουλεύσουσι τῷ ὑπ' αὐτοὺς λαῷ πρὸς ζωὴν καὶ σωτηρίαν, τί ποιητέον ἐπ' αὐτοῖς; Ἀλλὰ τοῦτό, φασι, λυθήσεται(1) παρὰ τῶν προλεχθέντων ἀδελφῶν, ὥστε καὶ ἡμᾶς βεβαιῶσαι, τί ὀφείλομεν περὶ τούτου ποιεῖν.

**ΑΡΙΣΤ. Διὰ τὴν ἔνδειαν οἱ τοῖς Δονατισταῖς νήπιοι βαπτισθέντες, εἰ μεταμεληθέντες, καὶ ἀναθέματι τὴν αἵρεσιν παραπέμψαντες, καὶ ἄλλως ἐπάξιοί εἰσι, χειροτονείσθωσαν.**

Οὗτοι νήπιοι βαπτισθέντες παρὰ τῶν Δονατιστῶν, καὶ τῇ οἰκείᾳ γνώμῃ μηδὲν ἁμαρτήσαντες, ἐὰν τὴν ἰδίαν αἵρεσιν ἀναθεματίσωσι καὶ τῇ καθολικῇ προσέλθωσιν ἐκκλησίᾳ, ἔχωσι δὲ καὶ βίον ἄμεμπτον, εἰς ἱερατικοὺς βαθμοὺς προβιβασθήσονται, διὰ τὸ ἐνδεῶς ἔχειν τὴν Ἀφρικὴν κληρικῶν.

---

(1) Βευερ. 'Ε. — λεχθήσεται Χ. Τρ.

## Κανὼν ΝΗ'. (ΞΖ'.)

*Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι.*

Ὧν χάριν αἰτῆσαι δεῖ (1) τοὺς θρησκευτικωτάτους βασιλεῖς, ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν κελεῦσαι παντελῶς ἀνακοπῆναι· καὶ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ διαφόροις κτήσεσιν ἀκμάζει ἔτι τῆς πλάνης ταύτης ἡ ἀδικία· ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ ἀποκεκρυμμένοις τόποις χωρὶς τινος εὐκοσμίας καθεστῶτες παντὶ τρόπῳ κελευσθῶσι καταστραφῆναι.

—

ΖΩΝΑΡ. Καὶ πλατυνθέντος τοῦ εὐαγγελικοῦ κηρύγματος, ἔτι τὸ οὐραῖον ὁ δράκων ἐκίνει, κἂν ἡ κεφαλὴ συνεθλάσθη αὐτοῦ. Ἔτι γὰρ ἔν τισι τόποις περιελέλειπτο εἴδωλα, καὶ ναοὶ αὐτῶν περιῆσαν· καὶ περὶ τούτων οὖν ἡ σύνοδος αὕτη βουλεύεται ἀναφορὰν γενέσθαι πρὸς τοὺς κρατοῦντας, ἵνα ὁρίσωσι πάντα τὰ εἴδωλα ἀφανισθῆναι, καὶ τοὺς ναοὺς αὐτῶν καταστραφῆναι, χωρὶς τινος εὐκοσμίας καθεστῶτας· τοῦτο δὲ εἶπεν οὐχὶ διαστέλλουσα, ὥστε τοὺς μὲν χωρὶς εὐκοσμίας ὄντας καθαιρεθῆναι, τοὺς δὲ κόσμον ἔτι ἔχοντας περισώζεσθαι, ἀλλὰ δεικνύουσα, ὅτι ἤδη ἤρξαντο καθαιρεῖσθαι, ἀφαιρεθέντες ὃν περιέκειντο κόσμον, καὶ οἷον ἡμικατάλυτοι γεγονότες.

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ἀξιοῦσιν οἱ Πατέρες τοὺς βασιλεῖς, καταστραφῆναι τὰ μετὰ τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἐναπομείναντα εἰδωλεῖα (2).

ΑΡΙΣΤ. Τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τέλεον ἀφανιζέσθωσαν.

Τῆς εὐσεβείας ἐπικρατούσης, ἐκ θεμελίων αὐτῶν ἐκριζωτέον τὰ τῶν εἰδώλων τεμένη· καὶ μηδέν τι τῆς πλάνης αὐτῶν ἐγκατάλειμμα περισωζέσθω.

---

(1) ἐν Π. ὁ καν. ἄρχεται ἀπὸ τοῦ, Αἰτῆσαι —(2) Χ. Τρ.— εἴδωλα 'Ε. Βευερ.

## Κανὼν ΝΘ'. (ΞΗ'.)

*Περὶ τοῦ κληρικοὺς χάριν διαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν.*

Δεῖ αἰτῆσαι ἔτι μὴν, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε, ἐάν τινες ἐν ἐκκλησίᾳ οἱανδήποτε αἰτίαν ἀποστολικῷ δικαίῳ τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ, γυμνάσαι θελήσωσι, καὶ ἴσως ἡ τομὴ τῶν κληρικῶν τῷ ἑνὶ μέρει ἀπαρέσοι, μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς μαρτυρίαν προκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖνον, τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα, ἢ καὶ σκοπουμένῳ παρατυχόντα· καὶ ἵνα μηδὲ προσώπῳ τις προσήκων ἐκκλησιαστικῷ ἐναχθῇ περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

---

ΖΩΝΑΡ. Ἔτι ἀναφορὰν βουλεύονται ποιῆσαι πρὸς τοὺς βασιλεῖς, ὥστε, ἐάν τινες ἐν ἐκκλησίᾳ, ἤγουν ἐν κλήρῳ ἐκκλησιαστικῷ τεταγμένοι, οἱανδήποτε αἰτίαν, ἤτοι δίκην, ὑπόθεσιν, γυμνάσωσιν ἀποστολικῷ δικαίῳ τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ, ἤτοι ὡρισμένῳ, διατεταγμένῳ, τουτέστι παρὰ τῇ ἐκκλησίᾳ δικάσωνται· ὁ γὰρ θεσπέσιος Ἀπόστολος Παῦλος, Κορινθίοις γράφων, φησί· Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων (1); τοῦτο οὖν ἀποστολικῷ δικαίῳ, φησὶ, προσήκειν ταῖς ἐκκλησίαις, ὡς τοῦ Ἀποστόλου τοῦτο διαταξαμένου. Ἐὰν οὖν κληρικοί, φησι, δικασθῶσι παρὰ τῇ ἐκκλησίᾳ, καὶ ἀπαρέσῃ ἑνὶ μέρει ἡ τομὴ τῶν δικαζομένων, ἤτοι ἡ τέμνουσα τὴν δίκην ἀπόφασις, ἵνα μὴ ἐξῇ τινι τῶν μερῶν ἕλκειν εἰς τὸ τῆς ἐκκλήτου δικαστήριον πρὸς μαρτυρίαν τὸν δοκιμάσαντα πρότερον τὴν ὑπόθεσιν, ἢ καὶ κρινομένης παρατυχόντα, καὶ ἵνα μηδέ τις προσήκων, τουτέστιν, ᾠκειωμένος ἐκ συγγενείας ἢ ἄλλως ἐκκλησιαστικῷ τινι, ἕλκηται εἰς μαρτυρίαν. Τινὲς γὰρ ἀπηρίθμηνται καὶ τοῖς πολιτικοῖς νόμοις ἐξκουσευόμενοι, ὥστε

---

(1) ά. Κορ. ς', 1.

μὴ ἄκοντες μαρτυρεῖν, ὡς ἐν βιβλίῳ εὕρηται κά. τίτλῳ ά. κεφαλαίοις διαφόροις.

ΒΑΛΣ. Τινὲς κληρικοὶ δικάσαντες ὑπόθεσιν ἐκκλησιαστικὴν ἀποστολικῷ δικαίῳ, τουτέστιν ἀκολούθως τῷ ἀποστολικῷ ῥητῷ, τῷ φάσκοντι, Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων (1), ἢ καὶ παρατυχόντες ἐπὶ κρίσει ἐκκλησιαστικῇ, εἵλκοντο παρὰ τοῦ ἀπαρεσκομένου μέρους ἐκ τῶν δικασαμένων εἰς τὸν ἐκκλητάριον δικαστὴν χάριν μαρτυρίας. Ἔδοξεν οὖν τοῖς Πατράσιν, ἵνα τὰ περὶ τούτου ἀνενέγκωσι τοῖς βασιλεῦσιν, ἐφ' ᾧ ὁρίσαι αὐτοὺς, μηδέν τι τοιοῦτον γενέσθαι ποτέ· ἀλλὰ μηδέ τινα προσήκοντα κατὰ γένος ἢ ἄλλως πως ἐκκλησιαστικῷ τινι ἕλκεσθαι εἰς μαρτυρίαν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἡμεῖς δὲ ἐμέλλομεν γράψαι τινὰ περὶ τῶν δικασάντων, καὶ περὶ τῶν προσῳκειωμένων τοῖς κληρικοῖς, πότε ὀφείλουσιν ἕλκεσθαι, καὶ πότε μή. Ὅτι δὲ οὐκ ἔστι θέσπισμα ὁ κανὼν, ἀλλὰ συμβουλὴ χάριν τοῦ ὑπομνησθῆναι περὶ τούτων τοὺς βασιλεῖς, ὁρισμὸς δὲ οὐκ ἐξηνέχθη, παρήκαμεν τὰ πολλά. Ἐσημειωσάμεθα δὲ ἀπὸ τοῦ παρόντος κανόνος τοῦτο καὶ μόνον, ὅτι τὰ δικαστικὰ ὀφφίκια τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ ἡ παροῦσα σύνοδος ἐπεγίνωσκεν, ἀπὸ τοῦ λέγειν κληρικοὺς διαιτῆσαι ὑποθέσει τινί.

ΑΡΙΣΤ. Κληρικὸς πρᾶγμα δικάσας, εἰ ἀπαρέσοι, μὴ καλείσθω περὶ αὐτοῦ πρὸς μαρτυρίαν εἰς δικαστήριον· καὶ ὅλως ἐκκλησιαστικὸν πρόσωπον μὴ ἐναγέσθω περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

Ἐάν τινες παρά τινι τῶν κληρικῶν δικασθῆναι ᾑρετίσαντο, καὶ τὰ τῆς ὑποθέσεως ἀνεκάλυψαν, εἶτα ἐπὶ τῇ διαγνώσει αὐτοῦ ἀπηρέσθησαν, καὶ ἀπῆλθον εἰς τὸ πρόσφορον αὐτοῖς δικαστήριον, οὐ καλέσουσιν εἰς μαρτυρίαν τὸν δικάσαντα κληρικὸν, τὸ μὲν, ὡς ἐξκουσατευόμενον ἀπὸ τοῦ νόμου, καὶ μὴ ἀναγκαζόμενον ἀκουσίως μαρτυρεῖν· οἱ γὰρ εἰς ἱερὰν λειτουργίαν ἀπησχολημένοι, ἄκοντες οὐ μαρτυροῦσι· τὸ δὲ,

(1) ἐπὶ τῶν δικαίων 'Ε.

καὶ ὡς κωλυόμενον, ἐν ᾧ προσελήφθη πράγματι παρὰ τῶν μερῶν δικαστὴς, μαρτυρεῖν.

## Κανὼν Ξ'. (ΞΘ'.)

*Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν Ἑλλήνων συμπόσια.*

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν Χριστιανῶν βασιλέων, ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τόποις συμπόσια οὕτως ἐπιτελοῦνται, ἐκ τῆς ἐθνικῆς (1) πλάνης προενεχθέντα, ὡς καὶ Χριστιανοὺς τοῖς Ἕλλησι λάθρα προσσυνάγεσθαι ἐπὶ (2) τῇ τούτων τελετῇ, ἵνα κελεύσωσι τὰ τοιαῦτα κωλυθῆναι καὶ ἐκ τῶν πόλεων καὶ ἐκ τῶν κτήσεων· μάλιστα, ὅτι καὶ ἐν αὐτοῖς τοῖς γενεσίοις τῶν μακαρίων μαρτύρων ἀνά τινας πόλεις καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς τόπους τὰ τοιαῦτα πλημμελεῖν (3) οὐχ ὑφορῶνται· ἐν αἷς ἡμέραις, ὅπερ καὶ λέγειν αἰσχύνη ἐστὶν, ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς καὶ εἰς τὰς πλατείας ἐκτελοῦσιν, ὥστε τῇ τῶν οἰκοδεσποινῶν τιμῇ, καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ, τῶν εὐλαβῶς εἰς τὴν ἁγίαν ἡμέραν παραγενομένων, λάγναις ὕβρεσιν ἐφορμᾶν, ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως σχεδὸν φεύγεσθαι τὴν προσέλευσιν.

---

**ΖΩΝΑΡ.** Λέγουσιν οἱ τῆς συνόδου, ὅτι ἔτι ἐν πολλοῖς τόποις ἐπιτελοῦνται συμπόσια, τὴν ἀρχὴν ἐσχηκότα ἐκ τῆς Ἑλληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανοὺς, καὶ συντελεῖν ταῦτα τοῖς Ἕλλησι. Καὶ ἐν ταῖς μνήμαις δέ, φασι, τῶν ἁγίων μαρτύρων γίνονταί τινα, ἃ καὶ λέγειν αἰσχύνη ἐστὶν, ἤγουν ὀρχήσεις μυσαραὶ, καὶ ἄλλα τινὰ, ὥστε σεμνῶν γυναικῶν ἀπερχομένων εἰς τὰς τῶν ἁγίων μνήμας, ὁρμᾷν κατ' αὐτῶν λάγνως τοὺς τὰ μυσαρὰ ἐκεῖνα ποιοῦντας; ὡς ἀνάγκην εἶναι διὰ ταῦτα φεύγεσθαι τὴν προσέλευσιν τῆς πίστεως, ἤγουν ἀναγκάζεσθαι μηδὲ εἰς ἐκκλη-

---

(1) ἑλληνικῆς Χ. Τρ. — (2) ἐν τῇ τούτων Κ. Κ. Τρ. Π. — (3) Ε.Ρ. — πλημμελήματα φωρῶνται Κ. Ε. — τοιαῦτα τολμήματα φωρῶνται Χ. Τρ. Π.

σίαν συνάγεσθαι διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως γινόμενα. Ταῦτα τοίνυν κωλυθῆναι ἐδέοντο παρὰ τῆς βασιλικῆς ἐξουσίας.

ΒΑΛΣ. Ὥσπερ σήμερον ἐν μνήμαις ἁγίων, οὐ μόνον κατὰ τὰς πόλεις, ἀλλὰ δὴ καὶ κατὰ τὰς ἔξω χώρας γίνονται πανηγύρεις καὶ χοροστασίαι, καὶ ἄλλα τινὰ παίγνια, οὕτως, ὡς ἔοικεν, ἐτελοῦντο καὶ ἔκπαλαι· πλὴν ἐκεῖνα μυσαρὰ ἦσαν. Διό φασιν οἱ Πατέρες, ὡς, ἐπεὶ ἐν πολλοῖς τόποις συμπόσια ἐπιτελοῦνται, ἀρχὴν ἐσχηκότα ἐκ τῆς Ἑλληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανοὺς, καὶ συντελεῖν ταῦτα τοῖς Ἕλλησι, δέον ἐστὶν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα κωλύσωσι ταῦτα, καὶ μᾶλλον ὅτι πλημμελοῦνται καὶ εἰς ἱεροὺς τόπους. Συμβαίνει γὰρ οὐδὲ εἰς ἐκκλησίαν συνάγεσθαι τὰς εὐλαβεστέρας τῶν γυναικῶν, διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως τηνικαῦτα γινόμενα, ὡς τῶν ταῦτα τολμώντων, ἀναιδῶς καὶ κατὰ λαγνείαν ἐφορμώντων κατὰ τῶν τοιούτων γυναικῶν. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ γίνωσκε, ὅτι κἂν ταῦτα βασιλικὸς ὁρισμὸς οὐκ ἐκώλυσεν, ἀλλ᾽ ὅμως ἡ ἐν τῷ Τρούλλῳ σύνοδος μεγάλως ἐκόλασε τοὺς τὰ τοιαῦτα τολμῶντας.

ἈΡΙΣΤ. Τὰ Ἑλληνικὰ συμπόσια παυέσθω, διὰ τὴν οἰκείαν ἀσχημοσύνην, καὶ τὸ πολλοὺς ἐφέλκεσθαι Χριστιανῶν, καὶ ἐν ἡμέραις μνήμης μαρτύρων γίνεσθαι.

Ὀρχήσεις γὰρ μυσαρὰς, καὶ ἄλλα τινὰ ἀσχήμονα, τῆς Ἑλληνικῆς ὄντα πλάνης, οὔτε ἐν ἱεροῖς τόποις, ἔνθα μνῆμαι μαρτύρων γίνονται, οὔτε ἀλλαχοῦ γίνεσθαι ὁ κανὼν συγχωρεῖ· ἀλλὰ τέλεον τὰ τοιαῦτα προστάττει συμπόσια παύεσθαι, ὡς πολλοὺς τῶν Χριστιανῶν ἐφελκόμενα, καὶ ἄγοντα αὐτοὺς εἰς ἀπώλειαν.

## Κανὼν ΞΑ'. (Ο'.)

*Περὶ θεωρίων, ἵνα ἐν τῇ Κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται.*

**Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι, ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων, ἐν τῇ Κυριακῇ, καὶ ἐν ταῖς λοιπαῖς**

φαιδραῖς τῆς τῶν Χριστιανῶν πίστεως ἡμέραις κωλύωνται· μάλιστα, ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου Πάσχα, οἱ ὄχλοι μᾶλλον εἰς τὸ ἱπποδρόμιον, ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται, ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας, ὅτε ἀπαντήσει, καὶ μὴ ὀφείλειν τινὰ τῶν Χριστιανῶν πρὸς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι.

—

ΖΩΝΑΡ. Μήτε θεώρια ἐν Κυριακαῖς, ἢ ἐν ἑορτασίμοις ἡμέραις γίνεσθαι, μήτε ἱπποδρομίας ἐν τῇ ἑβδομάδι τοῦ Πάσχα, ἵνα μὴ ἐν αὐτοῖς σχολάζωσιν οἱ Χριστιανοὶ καταλιμπάνοντες τὰς ἐκκλησίας, ἡ σύνοδος ᾔτησε, μετατεθῆναι δὲ τὰς ἡμέρας τῆς τῶν ἵππων ἁμίλλης, καὶ μηδένα τῶν πιστῶν ἀναγκάζεσθαι εἰς τὰ θέατρα ἀπιέναι. Καὶ ὁ ξϛ'. δὲ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανὼν, τὴν ὅλην ἑβδομάδα τοῦ Πάσχα ἐν ταῖς ἐκκλησίαις σχολάζειν ἀπαιτεῖ τοὺς πιστοὺς, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ τὰς ἱπποδρομίας κωλύει.

ΒΑΛΣ. Ἐν ταῖς Κυριακαῖς, καὶ ἐν ταῖς λοιπαῖς ἑορταῖς, καὶ ἐν τῇ μεγάλῃ ἑβδομάδι τοῦ Πάσχα, ἐγίνοντο ἱπποδρόμια καὶ λοιπὰ θεώρια. Τετύπωται οὖν παράκλησιν γενέσθαι πρὸς τοὺς βασιλεῖς, ἵνα τοῦτο κωλυθῇ, καὶ μετενεχθῶσι τὰ τῶν τοιούτων ἡμερῶν εἰς ἑτέρας ἡμέρας. Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ξϛ'.

ΑΡΙΣΤ. Θέατρα Κυριακαῖς καὶ ἑορταῖς οὐ συνάγονται.

Ἐν γὰρ ταῖς φαιδραῖς ταύταις ἡμέραις εἰς τὴν ἐκκλησίαν πρέπον ἐστὶ συνάγεσθαι τοὺς Χριστιανούς· καὶ οὐ δεῖ τελεῖσθαι ἐν αὐταῖς ἱπποδρόμια.

## Κανὼν ΞΒ'. (ΟΑ'.)

*Περὶ τῶν καταδικαζομένων κληρικῶν.*

Κἀκεῖνο δεῖ αἰτῆσαι, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε κληρικὸν οἱασδήποτε τιμῆς τυγχάνοντα, ἐφ' οἱῳδήποτε ἐγκλήματι τῇ τῶν ἐπισκόπων κρίσει καταδικασθέντα, μὴ ἐξεῖναι τὸν αὐτὸν, εἴτε παρὰ τῆς ἐκκλησίας ἧς ὑπῆρχεν,

εἴτε παρ' οἱουδήποτε ἀνθρώπου διεκδικεῖσθαι, ποινῆς ἐπὶ τούτῳ παρεντεθείσης ζημίας χρημάτων τε καὶ τιμῆς, ὅπως μηδὲ χεῖραν μηδὲ φύσιν ἀπολογητέαν εἶναι κελεύσωσι.

**ΖΩΝΑΡ.** Ἤτησαν οἱ Πατέρες ὁρισθῆναι καὶ τὸ μηδένα κληρικὸν καταδικασθέντα παρὰ τοῦ ἐπισκόπου αὐτοῦ ἐπί τινι ἐγκλήματι διεκδικεῖσθαι ἢ παρὰ τῆς ἐκκλησίας, ἧς ὑπῆρχε κληρικὸς, ἢ παρά τινος ἀνθρώπου, δυνάστου τυχὸν, καὶ ζημίαν ἠξίωσαν κατὰ τοῦ ἐκδικοῦντος αὐτὸν ὁρισθῆναι καὶ εἰς χρήματα, καὶ εἰς τιμήν· ὥστε καὶ χρήματα τὸν τοῦτο ποιεῖν ἐπιχειροῦντα ζημιοῦν (1), καὶ εἰς τὴν τιμὴν αὐτοῦ κινδυνεύειν ἀτιμούμενον· καὶ μήτε ἡλικίαν τινὰ προβάλλεσθαι εἰς ὠφέλειαν, τυχὸν, ὅτι νέος ἦν ὁ ποιήσας τοῦτο, ἢ γέρων πάνυ, καὶ δέον αὐτὸν συγγνωσθῆναι διὰ τὴν ἡλικίαν, (χεῖρα γὰρ ἡλικία ἐστὶν, ὡς πολλαχοῦ εἴρηται,) μήτε διὰ τὴν φύσιν, οἷον, ὅτι γυνὴ ἦν ἡ τοῦτο ποιήσασα· τὸ δὲ διεκδικεῖσθαι ἐνταῦθα, οὐχὶ τὸ ἀντιλαμβάνεσθαι τοῦ καταδικασθέντος ἐστὶ, λέγοντος ἀδικεῖσθαι, καὶ ζητοῦντος ἔκκλητον ἴσως· εἰ γὰρ τοῦτο εἴποι τις, πολλοῖς κανόσιν ἐναντιωθήσεται, τοῖς διδοῦσι τοῖς κληρικοῖς ἔκκλητον αἰτιωμένοις τὰς ψήφους τῶν ἐπισκόπων αὐτῶν· ἀλλὰ τὸ, δικαίως τοῦ κληρικοῦ καταδικασθέντος, κωλύειν τινὰ ἐκβιβασθῆναι τὴν ψῆφον τοῦ ἐπισκόπου χειρὶ χρώμενον.

**ΒΑΛΣ.** Κληρικοί τινες καταδικασθέντες ἐπὶ ἐγκληματικαῖς αἰτιάσεσι, καὶ μηδὲ βοήθειαν ἔχοντες ἐκκλήτου, (οὕτω γὰρ ἐκληπτέον τὰ τοῦ κανόνος,) πάλιν ὤχλουν ἀποκατασταθῆναι. Ἤρεσε γοῦν τοῖς Πατράσιν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα ὁρίσωσιν ὑποκεῖσθαι ποινῇ χρηματικῇ καὶ ἀφαιρέσει τιμῆς τοὺς ἐκδικοῦντας τούτους, ἐκκλησιαστικοὺς ἢ καὶ ἑτέρους, κἂν οἵας ὦσι χείρας, ἤγουν ἡλικίας, ἢ καὶ φύσεως. * Τὴν δὲ παροῦσαν ἑρμηνείαν οὐκ ἐγράψαμεν πρὸς πλάτος, καὶ ταῦτα τῶν ἐν τῷ κανόνι ἀξιοζητήτων ὄντων οὐ δι' ἕτερόν τι, ἀλλ' ἤδη διὰ τὸ μὴ εἶναι θέσπισμα τὰ ἐν αὐτῷ, συμβουλὴν δὲ μόνην χάριν τοῦ ὑπομνησθῆναι τοὺς βασιλεῖς περὶ τῶν ἐν αὐτῷ, καὶ ὁρισμὸν ἐξενεχθῆναι τοῦ ποιητέου * (2).

**ΑΡΙΣΤ.** Κληρικὸς ἐπισκόπου κρίσει καταδικασθεὶς, παρὰ μηδενὸς ἐκδικείσθω.

---

(1) ὥστε καὶ χρήματα τὸν ἐκδικοῦντα ζημιοῦσθαι Χ. Τρ. — (2) Χ. Τρ. —, τὰ μεταξὺ τῶν * οὐ κεῖται παρ' ἄλλοις.

ὁ καταδικασθεὶς ἐπ' ἐγκλήμασι παρ' ἐπισκόπου κληρικὸς, εἰ μὲν οἴεται ἀδικεῖσθαι, ἐκκαλείσθω, αὐθεντικῶς δὲ μετ' ἐξουσίας μὴ παρά τινος ἐκδικείσθω.

## Κανὼν ΞΓ'. (ΟΒ'.)

*Περὶ τῶν μίμων τῶν γινομένων Χριστιανῶν.*

Περὶ τῶν τοιούτων ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα, ἐάν τις ἐξ οἱουδήποτε παιγνιώδους ἐπιτηδεύματος πρὸς τὴν τοῦ Χριστιανισμοῦ χάριν ἐλθεῖν θελήσοι, καὶ ἐλεύθερος ἀπ' ἐκείνων τῶν σπιλάδων (1) διαμεῖναι, μὴ ἐξὸν εἴη τινὶ, τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ γυμνάσματα πάλιν προτρέπεσθαι, ἢ καταναγκάζειν.

---

ΖΩΝΑΡ. Τοὺς σκηνικοὺς καὶ μίμους, τοὺς τὰ παίγνια πράττοντας, οἱ πάλαι Πατέρες ἐν τοῖς ἀποτροπαίοις ἐλογίζοντο. Ἐὰν οὖν τις τῶν τοιούτων Ἕλλην ὢν προσέλθῃ τῷ Χριστιανισμῷ, καὶ ἐλεύθερος ἐκ τῶν σπίλων, ἤγουν τῶν ῥυπαρῶν ἔργων ἐκείνων γένηται καταλιπὼν ταῦτα, αἰτοῦσι μὴ δύνασθαί τινα ἀναγκάζειν αὐτὸν πάλιν πρὸς τὰ παίγνια ἐκεῖνα ὑποστρέφειν, καὶ ἐνασχολεῖσθαι αὐτοῖς. Ἐν γὰρ ταῖς μεγάλαις τῶν πόλεων θέατρα ἦσαν, καὶ κατὰ καιροὺς συνήγοντο ἐν αὐτοῖς, καὶ ἐτελοῦντο παίγνια, καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέος εἶχον οἱ σκηνικοὶ τὸ ἐπιδείκνυσθαι ταῦτα, εἵλκοντό τε καὶ μὴ βουλόμενοι.

ΒΑΛΣ. Τὸ παλαιὸν ἐτελοῦντο θέατρα μετὰ συνδοσίας τῶν δημοτῶν, καὶ διὰ τοῦτο εἶχόν τινας σκηνικοὺς καὶ μίμους τὰ μέρη, πολλάκις καὶ Ἕλληνας. Ζητοῦσιν οὖν οἱ Πατέρες ὁρίσαι τοὺς βασιλεῖς, ἵνα, ἐάν τις τῶν τοιούτων Ἕλλην ὢν βαπτισθῇ, μὴ ἀναγκάζηται ὑπὸ τοῦ δήμου τὰ αὐτὰ ἐνδείκνυσθαι παίγνια.

ΑΡΙΣΤ. Ὁ ἀπὸ παιγνιώδους ἐπιτηδεύματος εἰς σπουδαῖον μετελθὼν βίον, μὴ ἑλκέσθω πρὸς αὐτό.

Ὁ καταλιπὼν τὸν σκηνικὸν βίον, καὶ διαγωγὴν ἑτέραν Χριστιανοῖς πρέπουσαν μετερχόμενος, οὐκ ἀναγκασθήσεται αὖθις

---

(1) σπίλων Σ. Ρ. Βευερ.

τὸ παιγνιῶδες ἐπιτήδευμα ἐνεργεῖν. Ἦσαν γάρ τινες ἐναπογραφόμενοι εἰς τὰ παιγνιώδη ταῦτα ἐπιτηδεύματα, καὶ βάρος εἶχον τὸ μετέρχεσθαι ταῦτα.

## Κανὼν ΞΔ'. (ΟΓ'.)

*Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων, αἰτητέον ἀπὸ τοῦ βασιλέως.*

Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλησίᾳ (1) κηρυκτέων, ἐὰν τοῦτο οἱ ἡμέτεροι συνιερεῖς φαίνωνται ποιοῦντες ἀνὰ τὴν Ἰταλίαν, καὶ ἡ ἡμετέρα δῆλον πεποίθησις τῇ τούτων τάξει ἕπηται, δοθείσης φανερῶς ἀδείας πεμπομένου τοποτηρητοῦ, ἵνα οἱαδήποτε ἄξια πίστεως ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι (2) δυνηθείη, καὶ ἡμεῖς ἐπαινετῶς ἐνώπιον τοῦ Κυρίου ὑποδεξώμεθα. Ταῦτα πάντα, ἐὰν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ ἀρέσκῃ, ἐξείπατε, ἵνα καὶ τὴν ἐμὴν ἀναφορὰν βεβαίαν οὖσαν ὑμῖν ἐπιδείξω, καὶ τὰ παρὰ τῆς πάντων ἡμῶν συναινέσεως ἡ αὐτῶν εἰλικρινότης ἡδέως προσδέξηται. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πᾶσιν ἀρέσκει· τὰ προτεθέντα, καὶ συνετῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης ἐξηγηθέντα ὀφείλει ἐκτελεσθῆναι.

---

ΖΩΝΑΡ. Ἀμφέβαλλον οἱ τῆς συνόδου, εἰ δεῖ ἐλευθερίας κηρύττεσθαι, ἤγουν ἐκφωνεῖσθαι, καὶ πράττεσθαι ἐν ταῖς ἐκκλησίαις· διὸ εἰσήχθη γνώμη, σταλῆναι τοποτηρητὰς εἰς Ἰταλίαν, καὶ εἰ οἱ ἐκεῖσε ἐπίσκοποι δέχονται τοῦτο γινόμενον, ἕπεσθαι καὶ αὐτοὺς τῇ ἐκεῖ συνηθείᾳ, δοθείσης φανερῶς ἀδείας τοῦτο γίνεσθαι. Τὸ δὲ, ἡ ἡμετέρα πεποίθησις τῇ τούτων τάξει ἕπεται, τοιοῦτόν ἐστιν, ὅτι καὶ ἡμεῖς θαῤῥήσομεν, ὡς καλῶς τὸ πρᾶγμα γίνεται, καὶ οὐκ ἔξω τῆς ἐκκλησιαστικῆς καταστάσεως (3), καὶ ἑψόμεθα αὐτοῖς, καὶ δεξόμεθα ταῦτα, ὡς ἐπαινετῶς γινόμενα.

---

(1) ἐν ταῖς ἐκκλησίαις Χ. Τρ. —(2) ἐκτελεῖσθαι Π. — (3) καὶ οὐκ ἔξω . . . καταστάσεως, οὐ κεῖται ἐν Χ. Τρ.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἀμφέβαλλόν τινες, εἰ ὀφείλουσιν ἐλευθεροῦσθαι δοῦλοι ἐπ ἐκκλησίας, ἢ ἕτεροί τινες καταφεύγοντες ἐν αὐτῇ, ὡς ἐνεχόμενοι εὐθύναις τισὶ, καὶ τὴν ἐκκλησιαστικὴν ζητοῦντες βοήθειαν· περὶ τούτων γὰρ καὶ ἡ ἀρχὴ τῆς πράξεως ταύτης διαλαμβάνει, ἀλλὰ μὴν καὶ ἡ διαλαλιὰ τοῦ παρόντος κανόνος· καὶ διὰ τοῦτο εἶπον οἱ Πατέρες, ὅτι, ἐρωτηθήτωσαν διὰ τοποτηρητῶν οἱ ἱερεῖς τῆς Ἰταλίας, καὶ ἐὰν ποιῶσι κἀκεῖνοι τοῦτο, ἤγουν κηρύττωσι καὶ πράττωσι τὰς ἐλευθερίας μετὰ πεποιθήσεως, καὶ αὐτοὶ ἵνα ἀκολουθήσωσι τοῖς οὕτω γινομένοις, εἰς σωτηρίαν ψυχικὴν ἀποβλέπουσι, καὶ εἰς συντήρησιν τῶν ἐκκλησιαστικῶν δικαίων. Τούτου δὲ οὕτω πολυπραγμονηθέντος, γενήσεται καὶ ἡ πρὸς βασιλεῖς ἀναφορὰ βεβαία, καὶ προσδεχθῇ παρὰ τῆς εἰλικρινότητος τούτων τὸ κατὰ συναίνεσιν κοινὴν ἀνενεχθέν. Καὶ ὁ μὲν παρὼν κανὼν ἀνήρτησε τὰ τῶν προσφευγόντων ταῖς ἐκκλησίαις εἰς ἀκρόασιν βασιλικήν. Σὺ δὲ ἀνάγνωθι τοῦ ά. τίτλου τοῦ έ. βιβλίου κεφ. ιγ'. λέγον· Θεσπίζομεν, μὴ ἐξεῖναί τινι τοὺς πρόσφυγας, τοὺς οἱαςδήποτε τύχης ὄντας, ἐκ τῆς ἁγίας ἐκκλησίας τῆς ὀρθοδόξου πίστεως ἐκτὸς ταύτης τῆς βασιλίδος πόλεως ἐξεοῦν· εἰ δέ τινες τοιοῦτόν τι μηχανήσασθαι ἢ ποιῆσαι τολμήσουσι, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβαλλέσθωσαν· ἀλλὰ μηδὲ τούτους οὕτω κατέχεσθαι ἐν ταῖς σεβασμίαις ἐκκλησίαις ἢ συσφίγγεσθαι, ἵνα αὐτόθεν ἢ τροφίμων πραγμάτων, ἢ ἐνδυμάτων, ἢ ἡσυχίας, ἢ ὕπνου κωλύωνται· καὶ τὸ ιά. κεφ. λέγον· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφεύγοντες(1), τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ αὐλαῖς, ἢ στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν, ἢ ἐσθίειν· ὅπλοις δὲ μὴ ἀσφαλιζέτωσαν ἑαυτοὺς, ἀλλὰ ἀποτιθέτωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρῶτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι, κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν· καὶ κεφ. ιβ'. Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν, εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ὁ ἐπελθὼν ἔςαι.

(1) οἱ πρόσφυγες Χ. Τρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δεσπότης. Ἀνάγνωθι καὶ τὸ γ'. θέμα τοῦ ιγ'. κεφ. τοῦ αὐτοῦ τίτλου, λέγον, παρὰ τοῖς προσφύραις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας, καὶ οὐχὶ παρὰ τῇ ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι· καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφαλαίου, λέγον· Μεταξὺ δὲ τούτων τοῖς θεοσεβεστάτοις οἰκονόμοις, εἴτε ταῖς ἐκδίκοις τῆς ἐκκλησίας, φροντίδα καὶ σπουδὴν προσήκει ἔχειν; ὅπως ἑκάστου τῶν ἔνδον τῆς ἐκκλησίας προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀνυπερθέτως ἐκζητῶσιν. Ἔπειτα δὲ οἱ ἄρχοντες, ἢ ἐκεῖνοι πρὸς οὓς τὰ πράγματα καὶ τὰ πρόσωπα ἀνήκουσι, ταῦτα μανθάνοντες, τῇ ἐπιτηδείῳ εὐθύτητι ἐπιμελέστερον ἑαυτοῖς τὰ ἁρμόζοντα διατυπούτωσαν. Ὥστε σημείωσαι, ὅτι οἱ μὴ ἀπογραφόμενοι οὐκ εἰσὶ πρόσφυγες.

ΑΡΙΣΤ. Αἰτητέον ἐκ βασιλέως περὶ τῶν ἐν ἐκκλησίαις γινομένων ἐλευθεριῶν.

Νόμου τοῦ τότε κρατοῦντος, τοὺς ἐλευθερουμένους δούλους μὴ ἀλλαχοῦ τὰς ἐλευθερίας λαμβάνειν, ἀλλ' ἢ ἐν ταῖς στήλαις τῶν βασιλέων, δεηθῆναι ἡ σύνοδος αὕτη τοῦ βασιλέως τοῖς παρ' αὐτῆς σταλεῖσι πρεσβευταῖς προετρέψατο, ὡς ἂν μὴ αἱ γινόμεναι ἐν ταῖς ἐκκλησίαις ἐλευθερίαι διὰ τὸν νόμον τοῦτον ἀνατρέπωνται, ἀλλ' ἄδειαν φανερῶς ταύταις δοθῆναι τοῦτο πράττειν.

## Κανὼν ΞΕ'. (ΟΔ'.)

*Περὶ Αἰκυτίου ἐπισκόπου τοῦ καταδικασθέντος.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Τοῦ Αἰκυτίου ἔτι μὴν, τοῦ ἔκπαλαι κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα οὐκ οἶμαι παρεατέον τῇ πρεσβείᾳ, ἵνα, ἐὰν τυχὸν τοῦτον εὕρῃ ἐν ἐκείνοις τοῖς μέρεσιν, ἔστω πρὸς φροντίδος τῷ αὐτῷ ἡμῶν ἀδελφῷ, ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ, καὶ ὅπου ἐξὸν εἴη, κατ' ἐκείνου διαπράξασθαι. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πολὺ ἀρέσκει καὶ αὕτη ἡ ἐξα'ι

κολούθησις· μάλιστα, ὅτι ἔκπαλαι καταδεδίκασται ὁ αὐτὸς Αἰκύτιος, καὶ ἡ τούτου ἀναίσχυντος ἀνησυχία, ὑπὲρ τῆς καταστάσεως καὶ σωτηρίας τῆς ἐκκλησίας μᾶλλον καὶ μᾶλλον πανταχοῦ καταμαχητέα ἐστί· καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Ὁ Αἰκύτιος κατεδικάσθη παρὰ τῶν ἐπισκόπων, καὶ ἐγυμνώθη τῆς ἰδίας ἀξίας, ἤτοι καθῃρέθη· ὁ δὲ οὐχ ἡσύχασεν, ἀλλ᾽ ἐθορύβει. Φασὶν οὖν, ὅτι ἔκπαλαι κατεδικάσθη κατὰ τὴν ἰδίαν ἀξίαν, ἤγουν ὡς ἦν ἄξιος, καὶ οὐ χρὴ παριδεῖν τὸ περὶ αὐτοῦ πρᾶγμα, ἤγουν τὴν περὶ αὐτοῦ πρᾶξιν καὶ τὴν ὑπόθεσιν, ἀλλ᾽ ἐντείλασθαι τῷ στελλομένῳ ἐκεῖ εἰς πρεσβείαν, ἐὰν εὕρῃ αὐτὸν ἐν ἐκείνοις τοῖς μέρεσι, διὰ φροντίδος ποιῆσαι, ὡς χρὴ καὶ ὡς δύναται, κατ᾽ ἐκείνου χωρῆσαι ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἵνα μή τις ταραχὴ ἐξ ἐκείνου τῇ ἐκκλησίᾳ γένηται. Ἡ γὰρ τούτου ἀναίσχυντός, φασιν, ἀνησυχία, τουτέστι τὸ μὴ θέλειν αὐτὸν ἡσυχίαν ἄγειν ἐξ ἀναισχυντίας, μᾶλλον καὶ μᾶλλον, ἀντὶ τοῦ, πλειόνως καταμαχητέα, ἤγουν ἀνθίστασθαι αὐτῷ καὶ ἀντιπράττειν ἄξιον.

ΒΑΛΣ. Ὁ Αἰκύτιος καθῃρέθη καὶ οὐχ ἡσύχαζε. Φασὶν οὖν ὁ Αὐρήλιος, ἵνα, ἐὰν εὑρήσωσι τοῦτον οἱ τοποτηρηταί, φροντίσωσιν, ὡς δύναμις, ποιῆσαί τι εἰς τιμὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως διὰ τοῦ παυθῆναι αὐτόν. Εἶπον δὲ πάντες, ὡς ἀρέσκει τοῦτο· ἡ γὰρ πολλὴ ἀναισχυντία καὶ ὄχλησις τοῦ Αἰκυτίου ἀντιμάχεται αὐτῷ, τουτέστι, ποιεῖ καὶ αὐτοὺς ἀσυμπαθεῖς.

ΑΡΙΣΤ. Αἰκύτιος ἔκπαλαι καταδικασθεὶς τῇ τῶν ἐπισκόπων γνώμῃ, καὶ καταναισχυντῶν ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, μαχητέος ἔστω.

Καταδικασθεὶς ἐπίσκοπος ἐπ᾽ ἐγκλήμασι, καὶ καθαιρεθείς, εἰ οἴεται ἀδικεῖσθαι, πρὸς μείζονα σύνοδον ἐκκαλεῖσθαι ὀφείλει: τὸ δὲ ἀναισχυντεῖν, καὶ τὴν ἱερωσύνην σπεύδειν κατέχειν αὐ-

θεντικῶς καὶ βιαίως, οὐδέν τι ἄλλο ἐστὶν ἢ τὸ ἀντιμάχεσθαι τῇ ἐκκλησιαστικῇ καταστάσει. Τοῦτο γοῦν ποιήσας καὶ ὁ Αἰκύτιος οὗτος, τῆς ἐν Ἱππῶνι καθέδρας ἐπίσκοπος, μετὰ τὴν κατ' αὐτοῦ ἐξενεχθεῖσαν κρίσιν τῶν ἐπισκόπων, ὡς ἐναντίος ἐκρίθη τῆς ἐκκλησιαστικῆς καταστάσεως.

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

Ἐν ταύτῃ τῇ συνελεύσει ἀναγνωσθείσης ἐπιστολῆς τοῦ πάπα Ῥώμης Ἀναστασίου πρὸς τὴν σύνοδον περὶ τῶν Δονατιστῶν, ὥστε αὐτοὺς δέχεσθαι, καὶ ἠπίως αὐτοῖς προσφέρεσθαι, εὐχαρίστησαν οἱ Πατέρες τῷ Θεῷ καὶ τῷ πάπᾳ.

*Ἐν ταύτῃ τῇ συνόδῳ γράμματα ἀναγινώσκονται Ἀναστασίου τοῦ ἱερέως Ῥώμης, περὶ τῶν Δονατιστῶν ὑπομιμνήσκοντα τοὺς καθολικοὺς ἐπισκόπους.*

Ἐπὶ Βικεντίου καὶ Φλαβίου τῶν λαμπροτάτων ὑπάτων, εἰδοῖς Σεπτεμβρίαις, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης ἐκκλησίας, πρὸς σύνοδον συναχθέντες καὶ προκαθίσαντες οἱ ἐκ πασῶν τῶν ἐν Ἀφρικῇ ἐπαρχιῶν ἐπίσκοποι, τουτέστιν, Αὐρήλιος ὁ τοῦ αὐτοῦ θρόνου ἐπίσκοπος μετὰ τῶν ἑταίρων αὐτοῦ, οὓς δηλοῖ ἡ οἰκεία ὑπογραφή, εἶπεν· Ἀναγνωσθέντων γραμμάτων τοῦ μακαριωτάτου ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Ἀναστασίου, τοῦ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπου, δι' ὧν ἀδελφικῆς, μᾶλλον δὲ πατρικῆς ἀγάπης μερίμνῃ καὶ εἰλικρινότητι ἡμᾶς προετρέψατο, ἵνα περὶ τῆς τῶν αἱρετικῶν καὶ σχισματικῶν Δονατιστῶν ἐπιβουλῆς καὶ ἀναισχυντίας, τῆς τὴν κατὰ πᾶσαν τῶν Ἄφρων χώραν καθολικὴν ἐκκλησίαν βαρέως πορθούσης, μηδαμῶς παραπροσποιησώμεθα, χάριτας ὁμολογοῦμεν τῷ δεσπότῃ ἡμῶν Θεῷ, ὅτι τοιαύτην εὐσεβῆ φροντίδα ἐμπνεῦσαι κατηξίωσε τῷ οὕτω καλλίστῳ καὶ ἁγιωτάτῳ αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ, τῶν κἂν ἐν διαφόροις τῆς γῆς μέρεσιν, ἀλλ' ἐν μιᾷ σώματος ἁρμονίᾳ καθισταμένων.

## Κανὼν Ξϛ'. (ΟΕ'.)

*Περὶ τοῦ, μετὰ τῶν Δονατιστῶν πρᾴως διαπράξασθαι.*

Μετὰ ταῦτα ψηλαφηθέντων καὶ κατανοηθέντων πάντων τῶν τῇ ἐκκλησιαστικῇ χρησιμότητι συντρέχειν δοκούντων, ἐπινεύσαντος καὶ ἐνηχήσαντος τοῦ Πνεύματος τοῦ Θεοῦ, ἐπελεξάμεθα ἠπίως καὶ εἰρηνικῶς διαπράξασθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως ἀνησυχάστῳ διχονοίᾳ(1)ἀποσχίζωσιν, ἵνα, ὅσον τὸ ἐν ἡμῖν, πᾶσι καθόλου γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ καὶ ἑταιρίᾳ σαγηνευθεῖσιν, ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, πῶς ἐλεεινῇ πλάνῃ κατεδέθησαν· ἴσως, καθὼς λέγει ὁ Ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι (2) συναγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς ὁ Θεὸς μετάνοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν, καὶ ἵνα ἀνασφήλωσιν οἱ ἐκ τῶν τοῦ διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

---

ΖΩΝΑΡ. Ὡς ἀνωτέρω εἴρηται, ἀναφορὰν ἐποιήσατο ἡ σύνοδος αὕτη πρὸς τὸν Ῥώμης ἐπίσκοπον, καὶ δεξαμένη γράμματα ἐκείνου συνέθετο ἠπίως καὶ εἰρηνικῶς χρήσασθαι τοῖς Δονατισταῖς, κἂν τὰ μάλιστα ἀποσχίζωσι, φασὶν, ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως. Κυριακὸν δὲ σῶμα, ἢ τὴν ἐκκλησίαν νοητέον, ἤτοι τὸ τῶν ὀρθοδόξων ἄθροισμα, οὗ κεφαλὴ ἥγηται ὁ Χριστὸς, ἢ Κυριακὸν σῶμα, τὰ θεῖα μυστήρια, ὡς περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καὶ μὴ οὕτω μετεχόντων αὐτῶν ὡς ἡ ἐκκλησία, ἀλλ' ἑτερόν τινα τρόπον, ὡς ἤδη προείρηται· ἵνα ὅσον τὸ ἐν ἡμῖν, ἀντὶ τοῦ, ὅσον πρὸς δύναμιν ἡμετέραν ἐστὶ, δῆλον γένηται πᾶσι τοῖς συναιρεσιώταις ἐκείνων, πῶς ἐλεεινῇ πλάνῃ κατεδεσμήθησαν, καὶ γνόντες τὴν ἀλήθειαν ἴσως ἐπιστρέψωσι. Κέχρηνται δὲ καὶ ἀποστολικαῖς ἐννοίαις καὶ ῥήμασι.

(1) διανοίᾳ Χ, Τρ. — (2) Β', Τιμ. Β', 25.

ΒΑΛΣ. Οὐδέν τι ἕτερον ὁ παρὼν κανὼν λέγει, ἀλλ' ἢ τὸ ἠπίως καὶ εἰρηνικῶς χρήσασθαι τοὺς Πατέρας τοῖς Δονατισταῖς, κἂν αὐτοὶ ἀποσχίζωσιν ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως. Κυριακὸν δὲ σῶμα, ἢ τὴν ἐκκλησίαν νοητέον, ἧς κεφαλὴ ὁ Χριστός ἐστιν, ἢ τὰ θεῖα μυστήρια, ὡς περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καθὼς προείρηται.

ΑΡΙΣΤ. Ἔδοξεν ἠπίως καὶ εἰρηνικῶς προσενεχθῆναι τοῖς Δονατισταῖς, καί περ ἀποσχίζουσιν ἑαυτοὺς τῆς ἐκκλησίας· εἴ πως αἰδεσθέντες τὴν πολλὴν ἡμῶν ἡμερότητα, τῆς αἰχμαλωσίας ἀνασφήλωσι.

Δεῖ τοὺς τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὰς διὰ φροντίδος τίθεσθαι, τοὺς ἀποσχίζοντας ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας παντοίως σπεύδειν ἐπισυνάγειν μετὰ πρᾳότητός τε καὶ ἡμερότητος, καὶ προσενοῦν αὐτοὺς αὖθις τῇ ἐκκλησίᾳ, μὴ μέντοι γε δὲ μόνον τὸ οἰκεῖον ἐπιζητεῖν, καὶ τῆς τῶν ἄλλων σωτηρίας καταφρονεῖν. Διὰ τοῦτο γοῦν καὶ τοὺς Δονατιστὰς τοῦ Κυριακοῦ σώματος ἀποσχίσαντας ἑαυτούς, καὶ τῇ πλάνῃ καταδεθέντας, μεθ' ἡμερότητος ἡ σύνοδος ὥρισε προσελθεῖν αὐτοῖς, καὶ παρακαλέσαι καταλιπεῖν τὴν πλάνην, καὶ τὴν ἀλήθειαν ἐπιγνῶναι· ἵν' ἴσως τὴν ἀγάπην τῶν παρακαλούντων καὶ τὴν πρᾳότητα αἰδεσθέντες, ἀνασφήλωσι τῆς αἰχμαλωσίας.

## Κανὼν ΞΖ'. (Ος'.)

*Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν ἀποσταλῆναι, ὥστε κατάδηλα γενέσθαι τὰ μεταξὺ τῶν Δονατιστῶν καὶ Μαξιμιανιστῶν πραχθέντα.*

Ἤρεσε τοίνυν, ἵνα ἐκ τῆς ἡμετέρας συνόδου γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας δοθῶσιν, ἀφ' ὧν αἰτῆσαι ἁρμόδιον ἔδοξε, περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία ἐν ταῖς πόλεσι καταφρονεῖται· τουτέστιν, ἵνα ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ, καὶ Χριστιανικῇ πίστει ἀναζητήσωσι τὰ γενόμενα ἐν ὅλοις τοῖς τόποις, ἐν

οἷς οἱ Μαξιμιανισταὶ τὰς ἐκκλησίας κατέσχον, ἔτι δὲ καὶ τοὺς ἀπ' αὐτῶν ἀποσχίσαντας, καὶ δημοσίοις πεπραγμένοις τὴν περὶ τούτων γνῶσιν βεβαίαν πᾶσιν ἀναγκαίως ποιήσωσιν ἐντεθῆναι.

---

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι ἐδίδασκον τοὺς λαούς· εἰ δέ τινες ἦσαν ἄτακτοι καὶ στασιώδεις, θορυβοῦντες καὶ ταράσσοντες τὴν ἐκκλησίαν, κατὰ τῶν τοιούτων τὴν ἀρχοντικὴν ἐξουσίαν· ἐπεκαλοῦντο. Τοῦτο τοίνυν κἀνταῦθα ποιῆσαι συντίθενται, καὶ γράψαι τοῖς ἄρχουσι, βοηθῆσαι τῇ κοινῇ μητρὶ, τῇ καθολικῇ ἐκκλησίᾳ· μήτηρ δὲ τῶν πιστῶν λέγεται ἡ ἐκκλησία, ὡς ἐν αὐτῇ ἀναγεννωμένων ἡμῶν διὰ τοῦ ἁγίου βαπτίσματος, γέννησιν τὴν ἡμερινὴν, καὶ ἐλευθέραν, καὶ λυτικὴν παθῶν, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπανάγουσαν. Βοηθῆσαι δὲ αἰτοῦσιν ἐν οἷς ἡ αὐθεντία τῶν ἐπισκόπων καταφρονεῖται, ἵνα διὰ τῆς ἀρχικῆς δυνάμεως ἐξετάσωσι τὰ γενόμενα παρὰ τῶν Μαξιμιανιστῶν. Οἱ Μαξιμιανισταὶ δὲ τῆς τῶν Δονατιστῶν ἦσαν αἱρέσεως, οἱ ἀποσχίσαντες τῆς τῶν αἱρεσιωτῶν αὐτῶν μοίρας, κατέσχον ὀρθοδόξων ἐκκλησίας. Περὶ τούτων οὖν ζητῆσαι τοὺς ἄρχοντας ἀξιοῦσιν οἱ τῆς συνόδου, καὶ ἐν πράξεσι δημοσίαις, ἤγουν ἐν ὑπομνήμασι δημοσίᾳ γραφομένοις ἐντεθῆναι· καὶ ἐγγραφῆναι τὴν περὶ τούτων γνῶσιν, ἀναγκαίως πᾶσιν, ἀντὶ τοῦ λυσιτελῶς, ὡς ὠφέλειαν δυναμένην προξενῆσαι.

ΒΑΛΣ. Τετύπωται ἐνταυθοῖ γράμματα γενέσθαι συνοδικὰ πρὸς τοὺς ἐν Ἀφρικῇ ἄρχοντας, ὡς ἂν βοηθήσωσι τῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία καταφρονεῖται, καὶ διὰ τῆς τούτων δυνάμεως διορθώσωσι τὰ παρὰ τῶν αἱρετικῶν τολμώμενα, ἢ διὰ ὑπομνημάτων δημοσίᾳ γραφομένων, ἢ διὰ φανερᾶς ἐκδικήσεως.

ΑΡΙΣΤ. Γράμμασι συνοδικοῖς ἀξιωτέον τοὺς ἄρχοντας βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία καταφρονεῖται.

Οἱ μὴ πειθόμενοι λόγῳ καὶ τοῖς κανονικοῖς ἐπιτάγμασιν, ἀρχοντικῆς χειρὸς δέονται πρὸς διόρθωσιν. Διὰ τοῦτο γοῦν

καὶ ἡ σύνοδος αὕτη, πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας ἁρμόδιον ἔκρινε γράψαι, καὶ ἀξιῶσαι αὐτοὺς βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς οἱ ἐπίσκοποι τῇ ἱερατικῇ ἐξουσίᾳ οὐ δύνανται χρήσασθαι, καταφρονούμενοι ἴσως παρὰ αἱρετικῶν, ἢ καὶ πιστῶν ἀνυποτάκτων.

## Κανὼν ΞΗ΄. (ΟΖ΄.)

*Περὶ τοῦ, τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι.*

Ἐς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος· ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἔχειν ἀνάγκην, ὥστε, διὰ τὴν τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ αὐτῶν (1) τῶν Δονατιστῶν οἵτινεςδήποτε κληρικοὶ, διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσαιεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν, καὶ βουλὴν τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν Χριστιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διαστάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται· οὐχ ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περαματικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γενομένη διαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτω μετελθεῖν πρὸς τὴν καθολικὴν ἐκκλησίαν βουλομένους, ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συντομίαν περιεργάζεσθαι. Δι' ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι καὶ προσβοηθηθῆ-

(1) Σ. 'Ρ. καὶ δι' αὐτῶν 'Ιουστ. Π. Χ. Τρ.

γαι (1) ἡ καθολικὴ ἑνότης φανερῷ κέρδει τῶν ἀδελφικῶν ψυχῶν φανείη ἐν τοῖς τόποις, οἷς διάγουσι, μὴ ἐμποδίσῃ τούτοις (2) τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν αὐτῶν ἐν τῇ περαματικῇ συνόδῳ, ὁπόταν τὸ σωθῆναι οὐδενὶ προσώπῳ (3) ἀποκέκλεισται· τουτέστιν, ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῶν Δονατιστῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν πίστιν διορθωθέντες μετελθεῖν θελήσοιεν, μὴ κατὰ τὴν περαματικὴν σύνοδον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις τιμαῖς, ἀλλὰ μᾶλλον οὗτοι προσδεχθῶσι, δι' ὧν τῇ καθολικῇ ἑνότητι γίνεται πρόνοια.

---

ΖΩΝΑΡ. Περὶ Δονατιστῶν καὶ οὗτος ὁ κανὼν διατάττεται, πολλὰ μὲν διεξιὼν καὶ ἀπολογούμενος, ὅτι ἐναντιοῦται τῇ ἐν τοῖς μέρεσι τῆς Ἰταλίας γενομένῃ συνόδῳ, καὶ ὁρισάσῃ μὴ δέχεσθαι τοὺς ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε ἔχειν αὖθις αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμούς· τυπῶν δὲ καὶ διαταττόμενος τοὺς χειροτονηθέντας ὑπὸ Δονατιστῶν κληρικούς, ἐὰν προσέλθωσι τῇ καθολικῇ ἐκκλησίᾳ, δέχεσθαι ἐν ταῖς οἰκείαις τιμαῖς, ὥςε δηλαδὴ ἔχειν ἐκείνους τοὺς οἰκείους βαθμούς, καὶ κατ' ἐκείνους τιμᾶσθαι, καὶ μὴ κατὰ τὴν περαματικὴν σύνοδον, μὴ δέχεσθαι τοὺς τοιούτους ἐν ταῖς τιμαῖς αὐτῶν. Περαματικὴν δὲ σύνοδον λέγει τὴν ἐν Ἰταλίᾳ γενομένην, ὡς εἴρηται. Δεχομένων γάρ, φησι, τῶν Δονατιστῶν ἐν τοῖς οἰκείοις βαθμοῖς, πρόνοια γίνεται τῇ καθολικῇ ἑνότητι, πλειόνων δηλονότι οὕτω μελλόντων προσιέναι τῇ ὀρθοδόξῳ πίστει, καὶ ἑνότητος γινομένης τῶν πιστευόντων.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἰδικός ἐστιν· ἤρεσε γὰρ τοῖς Πατράσι, δέχεσθαι τοὺς ἀπὸ τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε ἔχειν αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμούς, κἂν ἄλλως ἔδοξε τὰ περὶ τούτου ἐν τῇ περαματικῇ συνόδῳ, ἤγουν τῇ ἐν Ἰταλίᾳ.

---

(1) καὶ προσβοηθηθῆναι οὐ κεῖται ἐν Σ. Ρ. — (2) τούτους Χ. Τρ. Βευερ. — (3) τῶν προσώπων Βευερ.

ΑΡΙΣΤ. Οἱ ὑπὸ τῶν Δονατιστῶν κεχειροτονημένοι, εἰ καὶ τῇ πέραθεν συνόδῳ μεταμελόμενοι· ἀποκέκληνται, ἀλλ' ἐπεὶ τὸ σωθῆναι πάντας καλὸν, διορθούμενοι προσδεχέσθωσαν.

Οὗτοι οἱ Δονατισταὶ μεταμελόμενοι, καὶ τὴν ἰδίαν ἀναθεματίζοντες αἵρεσιν, ἐπὶ τῆς ἰδίας τιμῆς μένειν συνεχωρήθησαν, καὶ τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας συντάττεσθαι, διὰ τὸ τὴν Ἀφρικὴν πολλὴν ἔνδειαν κληρικῶν ἔχειν.

## Κανὼν ΞΘ'. (ΟΗ'.)

*Περὶ τοῦ, πρεσβείαν πρὸς τοὺς Δονατιστὰς ἀποσταλῆναι, χάριν τοῦ τὴν εἰρήνην συνθεῖναι.*

Ἤρεσεν ἔπειτα, ὥστε τούτων πραχθέντων, τοποτηρητὰς περὶ τοῦ κηρύξαι εἰρήνην καὶ ἑνότητα, ἧς τινος χωρὶς ἡ τῶν Χριστιανῶν σωτηρία (1) καθίστασθαι οὐ δύναται, πεμφθῆναι ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ πρὸς τοὺς τῶν αὐτῶν Δονατιστῶν, εἴτε τινὰς ἔχουσιν ἐπισκόπους, εἴτε λαϊκούς (2)· δι' ὧν τοποτηρητῶν πᾶσιν ἐν γνώσει γένηται, πῶς (3) οὐδὲν ἔχουσιν εὔλογον κατὰ τῆς καθολικῆς ἐκκλησίας· μάλιστα, ἵνα φανερὸν πᾶσι γένηται διὰ τῶν πολιχνιωτικῶν πεπραγμένων, πρὸς πίστωσιν τῆς ἀποδείξεως, ἅπερ (4) αὐτοὶ περὶ τῶν Μαξιμιανιστῶν τῶν ἰδίων σχισματικῶν ἔπραξαν· ἔνθα αὐτοῖς θεόθεν ἀποδείκνυται, ἐὰν ἐπισκῆψαι θελήσοιεν (5), οὕτως ἀδίκως τότε αὐτοὺς ἀπὸ τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἀποσχίσαντας, ὥσπερ κράζουσιν ἀδίκως ἀπ' αὐτῶν τοὺς Μαξιμιανιστὰς νῦν ἀποσχίσαι· ἐκ δὲ τοῦ ἀριθμοῦ τούτων, οὕστινας φανερᾷ τῆς οἰκείας βουλῆς αὐθεντίᾳ κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς ἰδίαις τιμαῖς ἀνεδέξαντο, καὶ τὸ βάπτισμα, ὃ οἱ παρ' αὐτοῖς καταδεδικασμένοι καὶ ἐκβεβλημένοι δεδώκασι, προσεδέξαντο (6), πρὸς τὸ δειχθῆναι, πῶς μωρᾷ καρδίᾳ ἀντι-

(1) ἐκκλησίᾳ Χ. Τρ. — (2) Π. Βευερ. — λαοὺς Ἰουστ. Σ. Ῥ. — (3) Ἰουστ. Χ. Τρ. Β. Κ. — ὡς οὐδὲν Βευερ. — ὧν οὐδὲν Π. — (4) ὥσπερ Βευερ. — (5) θελήσωσι Χ. Τρ. — (6) παρεδέξαντο Χ. Τρ.

τάσσονται τῇ εἰρήνῃ τῆς ἐκκλησίας (1) τῆς ἐν παντὶ τῷ κόσμῳ διακεχυμένης, ταῦτα ποιοῦντες ὑπὲρ τοῦ μέρους τοῦ Δονάτου, καὶ μὴ λέγοντες ἑαυτοὺς μολύνεσθαι τῇ κοινωνίᾳ τῶν παρ' αὐτοῖς οὕτω διὰ τὸ ἀκούσιον τῆς εἰρήνης ἀναδεχθέντων, ἡμῖν δὲ φιλονεικοῦντες, τουτέστι τῇ καθολικῇ ἐκκλησίᾳ, ἔτι μὴν καὶ τῇ ἐν τοῖς ἐσχάτοις μέρεσι τῆς γῆς καθεστώσῃ, διὰ τῆς μεμιασμένης τούτων κοινωνίας, ὧν τινων πρώην (2) κατῃτιῶντο πάντες, ἐλέγξαι αὐτοὺς οὐκ ἠδυνήθησαν.

—

ΖΩΝΑΡ. Καὶ ταῦτα περὶ Δονατιστῶν· τοποτηρητὰς γὰρ ἔδοξε σταλῆναι πρὸς αὐτοὺς ἐκ τῆς συνόδου, προσκαλουμένους αὐτοὺς εἰς τὸ εἰρηνεῦσαι καὶ ἑνωθῆναι τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ἀποδείξοντας αὐτοῖς, ὅτι οὐ καλῶς ἀντιτάσσονται τῇ εἰρήνῃ τῆς ἐκκλησιαστικῆς καταστάσεως, οὐδὲ δικαίως φιλονεικοῦσι τῇ καθολικῇ ἐκκλησίᾳ διὰ τῆς μεμιασμένης αὐτῶν κοινωνίας· ἐλέγχουσι δὲ αὐτοὺς μὴ καλῶς ποιοῦντας, καὶ ὅτι καί τινας τῶν Μαξιμιανιστῶν, τῶν ἀποσχισάντων ἀπ' αὐτῶν ἀδίκως, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς, καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο, καὶ ὅτι οὓς αὐτοὶ οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης ἐβάπτισαν, παρεδέξαντο, καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν Δονατιστῶν φησίν· ἔδοξε γὰρ σταλῆναί τινας πρὸς αὐτοὺς τοποτηρητὰς χάριν εἰρήνης καὶ ἑνώσεως, καὶ χάριν τοῦ ἀποδεῖξαι, ὅτι οὐ καλῶς ἀντιτάσσονται τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ὅτι καί τινες τῶν Μαξιμιανιστῶν τῶν ἀποσχισάντων ἀπ' αὐτῶν ἀδίκως, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς, καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο, καὶ ὅτι, οὓς αὐτοὶ οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης ἐβάπτισαν, παρεδέξαντο, καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

(1) τῆς ἐκκλησιαστικῆς καταστάσεως Χ. Γρ. — (2) πρότερον Βευερ.

ΑΡΙΣΤ. Ἤρεσε πρέσβεις ἀποσταλῆναι, κηρύξοντας τοῖς Δονατισταῖς εἰρήνην καὶ ἑνότητα, μετατιθεμένοις πρὸς τὸ ὀρθόδοξον.

Οὐ μόνον προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ τοὺς Δονατιστὰς δέον ἔκριναν οἱ Πατέρες οὗτοι παραδέχεσθαι, ἀλλὰ καὶ πρέσβεις πρὸς αὐτοὺς *ἀποςεῖλαι κηρύξοντας*(1) εἰρήνην τῶν ἐκκλησιῶν καὶ ἑνότητα, εἰ μετατεθῶσι πρὸς τὸ ὀρθόδοξον.

## Κανὼν Ο'. (2)

*Περὶ τοῦ, ποῖοι ὀφείλουσι τῶν κληρικῶν γαμετῶν ἀπέχεσθαι.*

**Πρὸς ἐπὶ τούτοις ἐν τῷ περὶ ἐγκρατείας τῆς περὶ τὰς οἰκείας γαμετάς τινων μνημονεύεσθαι κληρικῶν ἤρεσεν, ὥστε τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους (3), κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν ἰδίων ἔτι μὴν ἀπέχεσθαι γαμετῶν· ὅπερ εἰ μὴ ποιήσαιεν, ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀποκινηθῶσι τάξεως· τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, ἀλλ' ὀφείλειν κατὰ τὴν ἑκάστης ἐκκλησίας συνήθειαν παραφυλάττεσθαι.**

---

ΖΩΝΑΡ. Κἀνταῦθα οἱ Πατέρες οὗτοι περὶ ἐγκρατείας τῆς πρὸς τὰς ἑαυτῶν γαμετὰς διατάττονται τοῖς ἱερωμένοις, καὶ φασὶ δεῖν τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, ἀπέχεσθαι καὶ ἐκ τῶν ἰδίων γαμετῶν κατὰ τοὺς οἰκείους(4)ὅρους, ἤγουν κατὰ τὰς ὡρισμένας ἡμέρας τῆς ἑκάστου ἐφημερίας, τοὺς δὲ μὴ τοῦτο ποιοῦντας, καθαιρεῖσθαι· ὅπερ τοὺς λοιποὺς κληρικοὺς παραφυλάττειν οὐκ ἀπαιτοῦσι. Ποιεῖν δ' ἐκείνους ὁρί-

---

(1) τὰ ἐντὸς ἀστερίσκων ἀνεπληρώθησαν ὡς ἐκ τῆς ἐννοίας, ἐλλιποῦς οὔσης παρὰ Βευερ. — (2) ὁ Κανὼν οὗτος παραλείπεται ὑπὸ τῶν ἐκδοτῶν τοῦ Πηδαλίου, ὅτι, φασί, τὰ αὐτὰ περιέχονται καὶ ἐν τῷ Γ'. καὶ Δ'. Κανόνι, προστιθέντες ὅτι, εἰ τὸ δὶς ἕψειν τὴν κράμβην περιττὸν, πολλῷ μᾶλλον τὸ τρὶς ἕψειν αὐτήν! — (3) καὶ πρεσβυτέρους, καὶ διακόνους, οὐ κεῖται ἐν Σ. Ῥ. — (4) Χ. Τρ. — κατὰ τοὺς ἰδίους ὅρους Βευερ. Κ.

ζουσι κατὰ τὴν τῆς ἐκκλησίας, ἐν ᾗ ἕκαστος ἐχειροτονήθη, συνήθειαν. Ὅρα τοίνυν κἀνταῦθα τὸ ἔθος ὡς νόμον κρατοῦν. Καὶ ὁ ιγ'. δὲ κανὼν τῆς ἕκτης συνόδου πλατύτερον διέξεισι περὶ τῆς ἐγκρατείας τῶν ἰδίων γαμετῶν, ὥστε αὐτῶν ἀπέχεσθαι κατὰ τὸν καιρὸν τὸν προσήκοντα τοὺς ψηλαφῶντας τὰ ἅγια, ἀλλὰ καὶ ὁ γ'. κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου.

ΒΑΛΣ. Πῶς ὀφείλουσιν ἐγκρατεύεσθαι ἀπὸ τῶν ἰδίων γαμετῶν οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, εἴρηται καὶ ἐν τῷ ιγ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ ὁ παρὼν δὲ κανών φησι καθαιρεῖσθαι τούτους, εἰ μὴ τηνικαῦτα ἐγκρατεύονται. Τοὺς δὲ λοιποὺς κληρικοὺς ταῦτα οὐκ ἀπαιτοῦσιν, ὡς μὴ ψηλαφῶντας τὰ ἅγια, ἀλλὰ παρεγγυῶνται αὐτοῖς φυλάττειν κατὰ τὸ τῆς ἑκάστης χώρας ἔθιμον. Ἀνάγνωθι καὶ τὸν γ'. κανόνα τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου. Σημείωσαι οὖν, ὅτι κατὰ τὸν καιρὸν τῆς παρούσης συνόδου εἶχον ἀπροκριματίστως τὰς οἰκείας γαμετὰς οἱ ἐπίσκοποι. * Περὶ δὲ τοῦ πῶς ὀφείλουσιν ἐγκρατεύεσθαι οἱ πρεσβύτεροι, διάκονοι, καὶ ὑποδιάκονοι ἐκ τῶν οἰκείων συζύγων, εἰς διαφόρους κανόνας ἐγράψαμεν, ἤγουν ἐν τῷ ιγ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐν ἑτέροις δηλουμένοις ἐν τῇ ἑρμηνείᾳ τοῦ αὐτοῦ κανόνος· ἐπεὶ ἔδοξέ μοι καινὸν τὸ καθαιρεῖσθαί τινα ἐκ τούτων μὴ ἐγκρατευόμενον, διὰ τὸ ἄδηλον καὶ ἀναπόδεικτον* (1), τίς γὰρ οἶδεν ὅτε καὶ ὅπως ἐγκρατεύεται, εἴτε καὶ μὴ, ὁ ἱερωμένος ἐκ τῆς ὁμοζύγου αὐτοῦ, ὥστε καθαιρεῖσθαι τὸν μὴ ἐγκρατευόμενον, λέγω, ὅτι καταλαμβάνεται κεκωλυμένον εἶναι τὸ διόλου ἱερουργεῖν τοὺς ἱερωμένους· διὰ γὰρ τοῦτο καὶ ἐν τῷ ιγ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἐφημερίας ἐμνήσθησαν οἱ Πατέρες. Καὶ αἱ μεγάλαι δὲ ἐκκλησίαι κατὰ τοῦτον τὸν λόγον εἰς ἑβδομάδας διαιροῦσι τὰς τῶν ἱερωμένων διακονίας· ὥστε οἱ μὴ

(1) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. οὐδὲ Ἑ. εἰ μὴ λατινιστὶ ἐν παραρτήματι σελ. 1124. τὸ δὲ λοιπὸν μέρος τῆς παρούσης ἑρμηνείας ἐστὶν ἐλλιπὲς παρὰ Βευερ. διὸ καὶ ἐπροτιμήθη ἡ γραφὴ τοῦ Τραπεζουντίου κώδικος.

ἑβδομαδικῶς ἀλλὰ καθ' ἑκάστην ἱερουργοῦντες ἔνοχοι γίνονται τῷ κανόνι, ὡς διόλου συνόντες μετὰ τῶν οἰκείων συζύγων, καὶ προφανῶς σκανδαλίζοντες ὡς μὴ ἐγκρατευόμενοι, κἂν τῇ ἀληθείᾳ ἐγκρατεύωνται. Ὅπως γοῦν σήμερον οἱ πλείους τῶν ἱερέων καὶ τῶν διακόνων ἑβδομαδικῶς μὴ ἱερουργοῦντες, ἀλλὰ καθ' ἑκάστην, ἢ ὡς σουπερεύοντες, ἢ ὡς ἐν εὐκτηρίῳ δουλεύοντες, οὐ κολάζονται, ἀγνοῶ, καὶ ζητῶ τὴν διόρθωσιν. Προστίθημι δὲ, ὅτι διὰ τὴν παροῦσαν κανονικὴν παράδοσιν ἐκωλύθη, ὡς ἔοικε, τὸ εἰς πολλὰς ἐκκλησίας κληροῦσθαί τινα, καὶ τὸ γίνεσθαι ἱερουργίας καὶ βαπτίσματα εἰς τὰ κατ' οἴκους εὐκτήρια, κἂν καὶ τοῦτο ἠπράκτησε δι' ἕτερον λόγον ἀπὸ παρᾶς τοῦ φιλοσόφου κυροῦ Λέοντος, ἣν καὶ ἀνάγνωθι καταστρωθεῖσαν ἐν ἑρμηνείαις διαφόρων κανόνων.

ΑΡΙΣΤ. Ἐπίσκοποι, πρεσβύτεροι, καὶ διάκονοι, τῶν ἰδίων γαμετῶν ἀπεχέσθωσαν, ἢ τῆς ἐκκλησιαστικῆς ἀποκινείσθωσαν τάξεως· οἱ λοιποὶ δὲ κληρικοὶ πρὸς τοῦτο μὴ ἀναγκαζέσθωσαν, ἀλλ' ἡ συνήθεια φυλαττέσθω.

Οὗτος ὁ κανὼν περὶ πάντων ἀδιαστίκτως διατάττεται, ἐπισκόπων, πρεσβυτέρων, καὶ διακόνων, κατὰ τοὺς ἰδίους ὅρους τῶν ἰδίων ἀπέχεσθαι γαμετῶν· ὁ δὲ δωδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου οὐ συγχωρεῖ τοῖς ἐπισκόποις, μετὰ τὴν προελθοῦσαν ἐπ' αὐτοῖς τῆς ἐπισκοπῆς χειροτονίαν, ταῖς ἰδίαις συνοικεῖν γαμεταῖς, ἵνα μὴ πρόσκομμα τοῖς λαοῖς ἐντεῦθεν ὦσι τιθέντες καὶ σκάνδαλον· ὁ δὲ τρισκαιδέκατος τῆς αὐτῆς συνόδου κανὼν προστάττει τοὺς πρεσβυτέρους καὶ διακόνους μὴ καθομολογεῖν, ἐν τῷ ἀξιοῦσθαι τῆς χειροτονίας, τῶν ἰδίων ἀφίστασθαι γαμετῶν, καθὼς ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος τοῦτο ἐκράτησεν, ἀλλὰ συνοικεῖν αὐταῖς, καὶ μὴ ἀποστερεῖσθαι τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. Κρατοῦσιν οὖν οἱ κανόνες ἐκεῖνοι, καὶ κατ' αὐτοὺς σήμερον ἡ ἐκκλησία πολιτεύεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΟΑ΄. (ΟΘ΄.)

*Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.*

**Πάλιν ἤρεσεν, ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν ἑαυτὸν ἀποφέρειν, ἢ ἐν οἰκείῳ πράγματι, ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ ἀπασχολουμένῳ, ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.**

—

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους, καὶ τὸ δίκαιον αὐτὸ, καὶ ἡ τῶν θείων κανόνων ἀκρίβεια, ἀπαιτοῦσι προσμένειν ταῖς ἰδίαις ἐπισκοπαῖς, καὶ διδάσκειν τοὺς λαοὺς, καὶ καταρτίζειν αὐτοὺς, ἀλλὰ μὴ καταλιμπάνειν τὰς αὐθεντικὰς αὐτῶν καθέδρας, ἤγουν τοὺς πρωτοτύπους θρόνους αὐτῶν, καὶ πρὸς ἄλλην ἐκκλησίαν ἀπέρχεσθαι. Πολλοὶ γὰρ τῶν ἐπισκόπων ἔχουσιν ἐκκλησίας ἐν ἄλλοις τόποις τῶν ὑπ᾽ αὐτοὺς διοικήσεων, ἃς καὶ παροικίας οἱ κανόνες καλοῦσιν, ἐν αἷς οὐκ εἰώθασιν ἐπίσκοποι προχειρίζεσθαι. Μὴ οὖν ἐν τοιαύτῃ ἐκκλησίᾳ ἀπιέναι καὶ χρονίζειν τὸν ἐπίσκοπον, ὁ κανὼν διατάττεται, καὶ ἀμελεῖν τοῦ οἰκείου λαοῦ· ἀλλ᾽ ἐκεῖ μὲν ἢ χωρεπίσκοπον καθιστᾷν, ἢ διὰ πρεσβυτέρου ποιεῖσθαι τὴν διοίκησιν τῶν ἐκεῖ, τοὺς δὲ ἐπισκόπους ταῖς οἰκείαις προσκαρτερεῖν ἐκκλησίαις, καὶ μηδὲ δι᾽ οἰκεῖον πρᾶγμα ἀσχολεῖσθαι ὑπὲρ ὃ χρὴ, καὶ ἀποδημεῖν τῆς τοῦ ἰδίου θρόνου (1) συνεχείας, ἤτοι τοῦ κατὰ συνέχειαν καὶ ἀδιακόπως παραμένειν τῇ ἰδίᾳ ἐπισκοπῇ, καὶ διδάσκειν τὸν λαόν· τὸ δὲ, ὑπὲρ ὃ χρὴ, ἐνταῦθα μὲν ἀορίστως κεῖται, ἐν δὲ τῷ ἑκκαιδεκάτῳ κανόνι τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, τῆς λεγομένης πρώτης καὶ δευτέρας, μὴ πλέον τῶν ἓξ μηνῶν ἀποδημεῖν τὸν ἐπίσκοπον τῆς οἰκείας ἐπισκοπῆς οἱ ἐν ἐκείνῃ θεῖοι Πατέρες ὡρίσαντο.

(1) [illegible] χρόνου [illegible]

τὸ δ᾽ ἐπιτίμιον τοῦ μὴ τὸν κανόνα φυλάττοντος, καθαίρεσις ἐστίν. Ὁ δὲ ιά. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου, ἐκ τοῦ παραδείγματος, οὗ ἐπάγει, εἰς ἐλάττονα καιρὸν ἔοικε συστέλλειν τὴν τοῦ ἐπισκόπου ἀποδημίαν, εἰ μή τις αὐτῷ ἀνάγκη ἐπίκειται. Περὶ ἀποδημίας ἐπισκόπων ἐκ τῶν ἰδίων ἐκκλησιῶν διατάττονται καὶ διάφοροι νεαραὶ, κείμεναι εἰς βιβλίον τῶν βασιλικῶν τρίτον, τίτλον ά. ἐν διαφόροις κεφαλαίοις.

ΒΑΛΣ. Τινὲς ἐπίσκοποι καταλιμπάνοντες τὰς πρωτοτύπους καθέδρας αὐτῶν, ἀπήρχοντο καὶ προσεκάθηντο εἴς τινας ἑτέρας ἐκκλησίας παροικιῶν ἀνηκουσῶν αὐτοῖς, πολυανθρωποτέρας ἴσως οὔσας, ἢ καὶ πολυεισοδωτέρας. Ὥρισαν οὖν οἱ Πατέρες, μηδενὶ ἐπισκόπῳ ἐξεῖναι τοῦτο ποιεῖν, ἀλλὰ μηδὲ χάριν ὑποθέσεως οἰκείας ἀπολιμπάνεσθαι ἐκ τῆς λαχούσης αὐτὸν ἐπὶ πολὺ, καὶ οὕτως ἀμελεῖν τοῦ συνεχῶς διδάσκειν τὸν οἰκεῖον λαόν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἐρωτήσει δέ τις, εἰ τὰ τοῦ κανόνος ἔχουσι χώραν καὶ εἰς τοὺς ἀπολέσαντας ἀρχιερεῖς τὰς πρωτοτύπους καθέδρας αὐτῶν, ὡς κατασχεθείσας ὑπὸ ἐθνῶν, ἢ δύνανται οὗτοι ἀπροκριματίστως μεταπίπτειν εἰς ἐκκλησίας παροικιῶν αὐτῶν; Λύσις. Τινὲς εἶπον δύνασθαι τοῦτο ποιεῖν τὸν ἐπίσκοπον αὐτοθελῶς· ἕτεροι εἶπον δέεσθαι τοῦτον καὶ συνοδικῆς διαγνώσεως· ἄλλοι καὶ διὰ προστάξεως βασιλικῆς τοῦτο γίνεσθαι εἶπον. Ἐμοὶ δὲ δοκεῖ, ὡς, εἰ μὲν ὁ τοιοῦτος μητροπολίτης βούλεται μεταπεσεῖν εἰς θρόνον ἐπισκοπῆς αὐτοῦ, διὰ τὸ κατασχεθῆναι παρὰ ἐθνῶν τὴν πρωτότυπον ἐκκλησίαν τούτου, ὀφείλει μετὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως ἐν ταύτῃ ἀποκαθίστασθαι, ὥσπερ γέγονε τοῦτο εἰς τὸν μητροπολίτην Νεοκαισαρείας, ἀντὶ καθίσματος ἔχοντα τὴν οἰκείαν ἐπισκοπὴν τὸ Οἴναιον, εἰς τὸν μητροπολίτην Πισιδείας Ἀντιοχείας τὴν Σωζόπολιν λαβόντα εἰς κάθισμα, καὶ εἰς ἑτέρους πολλούς· εἰ δὲ ἡ παροικία οὐ τετίμηται διὰ θρόνου ἐπισκοπικοῦ, διὰ μόνης συνοδικῆς διαγνώσεως ἵνα ἐγκαταστῇ εἰς αὐτὴν, καὶ οὐκ αὐτοθελῶς, ὥς τινες λέγουσιν, ἵνα μὴ ἐναντιωθῇ τῷ ἀποστολικῷ κανόνι, καὶ τοῖς λοιποῖς τοῖς διοριζομένοις μηδέν τι καινοφανὲς ποιεῖν τὸν ἐπί-

σκοπον παρὰ γνώμην συνοδικήν. Ἔτι ἐρωτήσει τις, εἰ τοῦ κανόνος ταῦτα διοριζομένου, δύναται ἐπίσκοπος διὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως μεταπίπτειν ἀπὸ τῆς πρωτοτύπου καθέδρας αὐτοῦ, καὶ μὴ κατασχεθείσης ὑπὸ ἐθνῶν, εἰς καθέδραν ἐπισκοπῆς αὐτοῦ, ἢ εἰς ἐκκλησίαν παροικίας τούτου; Λύσις. Μετὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως, καὶ ἀμφότερα τῷ ἐπισκόπῳ ἐκχωρηθήσονται· ἄλλως δέ πως, οὐδαμοῦ. Διὰ τοῦτο γὰρ καὶ ὁ ἀρχιεπίσκοπος Δέρκου ζητήσας πολλάκις μεταπεσεῖν ἀπὸ Δέρκου εἰς τὸ ἐμπόριον τὸν Φιλέα(1), διὰ τὸ πολυανθρωπότερον εἶναι τοῦτο, οὐκ εἰσηκούσθη· καὶ ἄλλοι δὲ ἀρχιερεῖς διάφοροι, πτωχὰς μὲν ἐκκλησίας ἔχοντες, πλουτοῦντες δὲ παροικίας πολυανθρώπους καὶ πλουσίας, καὶ ζητήσαντες τοῦτο, οὐκ εἰσηκούσθησαν διὰ τὸν παρόντα κανόνα. Σημείωσαι ταῦτα, καὶ ἔχε ἐπὶ μνήμης διὰ τὰς ζητουμένας μεταθέσεις, καὶ γενομένας ἐπὶ ἀρχιερεῦσι τισί. Ζήτει τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα ιβ'. καὶ ιζ'. λέγοντας ὀφείλειν τοὺς τῆς ἐκκλησίας ἕπεσθαι τοῖς διοριζομένοις παρὰ τῆς βασιλικῆς ἐξουσίας. Ἐπεὶ δὲ ὁ παρὼν κανὼν διορίζεται μὴ ἀποδημεῖν τὸν ἐπίσκοπον ὑπὲρ ὃ χρὴ ἀπὸ τῆς λαχούσης αὐτὸν, (ἔστι δὲ τοῦτο ἄδηλον,) ἀνάγνωθι τὸν ις'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, καὶ ἑρμήνευσον τὸν παρόντα κανόνα κατὰ τὰ καταστρωθέντα νόμιμα ἐν αὐτῷ.

ΑΡΙΣΤ. Ἔδοξε μηδένα ἐπίσκοπον καταλιπόντα τὴν αὐθεντικὴν καθέδραν, πρὸς ἑτέραν μεταχωρεῖν, ἢ ἐν οἰκείῳ πράγματι ἀσχολούμενον, τοῦ ἰδίου θρόνου ἀμελεῖν.

Οὐ μόνον τὸ ἀπὸ πόλεως εἰς πόλιν ἐπίσκοπον μεταβαίνειν, ἐκ διαφόρων κανόνων κεκώλυται, ἀλλὰ καὶ τὸ τὴν κυρίως οὖσαν ἀρχῆθεν καθέδραν τῆς ἐκκλησίας αὐτοῦ καταλιπεῖν, καὶ πρὸς ἑτέραν ἐκκλησίαν ἐν τῇ αὐτῇ παροικίᾳ οὖσαν μεταπεσεῖν, καὶ τὴν τιμὴν ἐν αὐτῇ μεταθεῖναι, ὁ κανὼν οὕτως οὐ συγχωρεῖ· ἀλλ' οὐδὲ ἐν οἰκείῳ πράγματι ἀσχολεῖσθαι αὐτὸν ὑπὲρ ὃ χρὴ ἀνέχεται, καὶ τῆς φροντίδος καὶ τῆς διδασκαλίας ἀμελεῖν τοῦ λαοῦ.

1) Χ. Γρ. — τὸν φίλον, Βευερ. Ἐ.

## Κανὼν ΟΒʹ. (Πʹ.)

*Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν, εἰ ἄρα ἐβαπτίσθησαν.*

Ὁμοίως ἤρεσε περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες, οἳ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ αὐτὰ διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνεσθαι ἐπιτηδείως ἔχουσι (1), χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως· ἐκ τούτου γὰρ (2) οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβουλεύσαντο, ὅτι πολλοὺς τοιούτους ἀπὸ τῶν βαρβάρων ἐξαγοράζονται.

---

**ΖΩΝΑΡ.** Τοῦτον τὸν κανόνα ἄνευ ὀλίγων τινῶν ῥημάτων, καὶ ἡ ἐν τῷ Τρούλλῳ σύνοδος, ἡ λεγομένη ἕκτη, ἔχει ἀπαραλλάκτως, καὶ ἐξηγήθη ἐκεῖ.

**ΒΑΛΣ.** Ἀνάγνωθι τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα κδʹ. καὶ εὑρήσεις τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν ἀπαραλλάκτως ἐκεῖ, καθὼς καὶ τὰ ῥήματα τοῦ κανόνος.

**ΑΡΙΣΤ.** Τοὺς ἀμφιγνοουμένους, εἰ ἐβαπτίσθησαν, ἢ μή, ἤρεσε βαπτίζεσθαι, μήποτε τῷ δισταγμῷ στερηθῶσι τῆς θείας καθάρσεως.

Τὸ μὲν δεύτερόν τινα βαπτισθῆναι, εἰ μὴ παρὰ ἀσεβῶν ἐβαπτίσθη, διάφοροι κανόνες ἀπαγορεύουσιν· εἰ δέ τις ἀμφιβάλλεται εἰ ἐβαπτίσθη, ὡς μήτε αὐτοῦ τοῦτο εἰδότος διὰ τὴν βρεφικὴν ἡλικίαν, μήτε ἑτέρων διαβεβαιουμένων καὶ μαρτυρούντων ἀναμφιβόλως αὐτὸν βαπτισθῆναι, χωρίς τινος ἀμφιβολίας βαπτισθῆναι ὀφείλει, ἵνα μὴ διὰ τὸ ἀμφίβολον στερηθῇ τῆς θείας καθάρσεως.

---

(1) ἐπιτήδειά εἰσι. — (2) ἐκ τούτου γὰρ . . . . ἐξαγοράζονται, οὐ κεῖται ἐν Π.

## Κανὼν ΟΓ'. (ΠΑ'.)

*Περὶ τοῦ, τὴν ἡμέραν τοῦ Πάσχα ἐν τῇ ἡμέρᾳ τῆς συνόδου ἀγγέλλεσθαι.*

Ὁμοίως ἤρεσεν, ὥστε τὴν ἡμέραν τοῦ προσκυνητοῦ Πάσχα διὰ τῆς τῶν τετυπωμένων ὑπογραφῆς πᾶσιν ἐμφανίζεσθαι. Ἡ δὲ τῆς συνόδου ἡμέρα ἡ αὐτὴ φυλαχθῇ, ἥτις ὡρίσθη ἐν τῇ ἐν Ἱππῶνι συνόδῳ, τουτέστιν, ἡ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων· ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς πρωτεύοντας πασῶν τῶν ἐπαρχιῶν, ἵνα, ὅτε παρ' ἑαυτοῖς σύνοδον προσκαλοῦνται, ταύτην τὴν ἡμέραν φυλάττωσι.

---

**ΖΩΝΑΡ.** Τὴν ἡμέραν τοῦ Πάσχα δηλοῦσθαι ταῖς ἐν Ἀφρικῇ χώραις ὡρίσθη διὰ τῆς μελλούσης γίνεσθαι ἐτησίας συνόδου· τὴν δὲ ἡμέραν τῆς συνόδου ὥρισαν εἶναι τὴν πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ὡς εἶναι αὐτὴν τὴν κά. τοῦ Αὐγούστου· καλάνδαι γάρ, ὡς ἄνω που εἴρηται, λέγονται αἱ πρῶται τοῦ μηνὸς ἡμέραι· εἰ γοῦν τὰς πρὸ τούτων δέκα ἀφέλῃς, περιλιμπάνονται εἰς τὸν Αὔγουστον, ἔχοντα τριάκοντα καὶ μίαν ἡμέραν, εἴκοσι καὶ μία.

**ΒΑΛΣ.** Καὶ ἄλλοι διάφοροι κανόνες ὥρισαν, πότε ὀφείλει γίνεσθαι σύνοδος παρὰ τῶν ἐπαρχεωτῶν χάριν τοῦ λύεσθαι τὰ ἐκκλησιαστικὰ ζητήματα. Φησὶ δὲ καὶ ὁ παρὼν κανών, κατὰ τὸν καιρὸν τῆς συνόδου (ἔστι δὲ οὗτος ὁ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ἤγουν κά. τοῦ Αὐγούστου μηνός· καλάνδαι γὰρ αἱ πρῶται τοῦ μηνὸς λέγονται,) τὴν ἡμέραν τοῦ Πάσχα δηλοῦσθαι, ὥστε γινώσκεσθαι πᾶσι τοῖς ἐν τῇ Ἀφρικῇ. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἐπεὶ δὲ οὔτε ἀπὸ τοῦ παρόντος κανόνος, οὔτε ἀφ' ἑτέρου γινώσκεται ἡ ἐπίστασις (1) τῆς ἡμέρας τοῦ Πάσχα, (καὶ ὁ ζ'. γὰρ κανὼν τῶν ἁγίων Ἀποστόλων μετὰ τὴν ἐαρινὴν ἰσημερίαν διορίζεται τὸ Πάσχα ἑορτάζειν ἡμᾶς, καὶ πλέον οὐδέν,) δέον εἶναι κατενοήσαμεν, ἀναδιδάξαι τοὺς θέλοντας, διὰ τῆς τοῦ παρόντος κανόνος ἑρμηνείας, πῶς

(1) Χ. Τρ. = ἐπιστασία, Ε. Βενετ.

εὑρίσκεται ἡ ἡμέρα τοῦ νομικοῦ ἤτοι τοῦ Ἰουδαϊκοῦ, καὶ τοῦ Χριστιανικοῦ Πάσχα, ἀλλὰ μὴν καὶ ἡ ἀποκρέα. Εἰκὸς γάρ ἐστι περιτυχεῖν ὀρθόδοξόν τινα εἰς τόπους, ἔνθα τὰ τοιαῦτα οὐ πολυπραγμονοῦνται οὐδὲ γινώσκονται, καὶ ἐξ ἀγνοίας ἀποκρεῶσαι, ἢ πασχάσαι παρὰ τὸν προσήκοντα καιρὸν, ὅπερ ἐστὶν ἀσύγγνωστον. Ἰστέον οὖν πρὸ πάντων, ὅτι, εἰ μὴ γινώσκει τις τοῦ νομικοῦ Πάσχα τὴν ἡμέραν, οὐ δύναται εἰπεῖν πότε ὀφείλει γενέσθαι τὸ Χριστιανικὸν Πάσχα. Ἔτι ἰστέον, ὅτι τὸ μὲν νομικὸν Πάσχα γίνεται ἀπὸ τῆς κά. τοῦ Μαρτίου μηνὸς, μέχρι καὶ τῆς ὀκτωκαιδεκάτης τοῦ Ἀπριλλίου μηνός, τὸ δὲ Χριστιανικὸν, ἀπὸ τῆς κγ'. τοῦ Μαρτίου μηνὸς, μέχρι καὶ τῆς κέ. τοῦ Ἀπριλλίου μηνός. Τούτων δὲ οὕτω προθεωρηθέντων, εἰ θέλεις ἐξακριδώσασθαι τὴν ἡμέραν τοῦ Ἰουδαϊκοῦ Πάσχα καὶ τοῦ Χριστιανικοῦ, ζήτησον πρῶτον καὶ εὑρὲ τὸν κύκλον τῆς σελήνης, ὃς καὶ εὑρίσκεται οὑτωσί. Ἀρίθμησον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη, καὶ ὕφελε αὐτὰ ἐπὶ τῶν ιθ'. καὶ τὰ ἐναπομείναντά εἰσι δηλωτικὰ τοῦ κύκλου τῆς σελήνης. Εἶτα εὑρὲ καὶ τὸν κύκλον τοῦ ἡλίου, οὕτως· ἀρίθμησον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη, καὶ ὕφελε αὐτὰ ἐπὶ τῶν εἴκοσι καὶ ὀκτὼ, καὶ τὰ περιλιμπανόμενα, εἰπὲ δηλωτικὰ εἶναι τοῦ κύκλου τοῦ ἡλίου. Οἱ μέντοι κύκλοι τῆς σελήνης δεκαεννέα ὄντες, ἄρχονται ἀπὸ τοῦ Ἰαννουαρίου μηνός· οἱ δὲ κύκλοι τοῦ ἡλίου εἴκοσι καὶ ὀκτὼ ὄντες, ἄρχονται ἀπὸ τοῦ Ὀκτωβρίου μηνός. Τῶν γοῦν κύκλων τῆς σελήνης καὶ τοῦ ἡλίου οὕτως εὑρισκομένων, ἐνδεκαπλασίασον τὸν τρέχοντα τηνικαῦτα κύκλον τῆς σελήνης· εἶτα πρόσθες μέχρι μὲν τοῦ δεκάτου ἕκτου κύκλου, χάριν τῶν παρελθόντων αἰώνων, ἡμέρας ἕξ, τὰς λεγομένας ἐπακτάς· μετὰ δὲ τὸν ις'. κύκλον μέχρι τοῦ ιθ'. πρόσθες ὑπὲρ ὁμοίου ἡμέρας ἑπτά· καὶ μετὰ τὸ ποιῆσαι τὴν τῶν τοιούτων ὅλων ἡμερῶν ἕνωσιν ὕφελε αὐτὰς ἐπὶ τῶν λ', καὶ ὅταν καταντήσῃς εἰς ποσότητα ἥττονα τῶν λ'. ἡμερῶν, κράτησον εἰς τὰς χεῖράς σου ταύτην, καὶ ἕνωσον ἐπ' αὐτῇ ἀπὸ τοῦ Μαρτίου μηνὸς, ἢ καὶ τοῦ Ἀπριλλίου, ἡμέρας ὅσαι ἐξαρκοῦσιν εἰς τὸ συμποσωθῆναι πεντήκοντα· καὶ αὐτίκα εἰπὲ κατὰ τὸ τέλος τῆς πεντηκοντάδος ὀφείλειν γίνεσθαι τὸ νομικὸν Πάσχα. Ἵνα δὲ καὶ διὰ

παραδειγμάτων σαφέστερον γένηται τὸ λεγόμενον, ζήτησον τὰς τοῦ τρέχοντος ,ςχπς'. ἔτους Πασχαλίας ἡμέρας, καὶ εἰπὲ οὕτως· ὁ κύκλος τῆς σελήνης κατὰ τὸ τοιοῦτον ἔτος ἐστὶν ἑπτακαιδέκατος, ὅστις ἑνδεκαπλασιαζόμενος ἀποτελεῖ ἡμέρας ρπζ'. ἑνδεκάκις(1) γὰρ δεκαεπτὰ ρπζ'. προστιθεμένων οὖν τούτοις, χάριν τῶν αἰώνων, ὡς εἴρηται, καὶ ἡμερῶν ἑπτὰ, ἀποτελεῖται ποσότης ἡμερῶν ρϟδ', ἧς δὴ ποσότητος ὑφελομένης ἐπὶ τῶν λ', περιλιμπάνονται ἡμέραι ιδ'. ἑξάκις(2) γὰρ λ': ρπ'. Ἵνα τοίνυν ποσωθῶσι πεντήκοντα ἡμέραι, χάριν τοῦ εὑρεθῆναι τὴν ἡμέραν τοῦ νομικοῦ Πάσχα, ἕνωσον ταῖς ῥηθείσαις δέκα πρὸς ταῖς τέσσαρσιν ἡμέραις τὰς τριάκοντα πρὸς τῇ μιᾷ ἡμέρᾳ τοῦ Μαρτίου μηνὸς, καὶ ἀπὸ τοῦ Ἀπριλλίου ἡμέρας πέντε, καὶ οὕτω συμποσώσας ἡμέρας ν', λέγε ὀφείλειν γενέσθαι τὸ νομικὸν Πάσχα κατὰ τὴν πέμπτην τοῦ Ἀπριλλίου μηνός. Ὅτι δὲ ἡ μὲν τοῦ μηνὸς ἡμέρα οὕτω καταλαμβάνεται, ἡ δὲ τῆς ἑβδομάδος ἡμέρα ἄδηλός ἐστι, χρεὼν ἐστι καὶ ταύτην ἀναδιδαχθῆναί σε. Καὶ ἐπεί ἐστι κατὰ τὸ τοιοῦτον ἔτος ὁ κύκλος τοῦ ἡλίου κϐ'. κράτησον εἰς τὰς χεῖράς σου τὴν τοιαύτην κυκλικὴν ποσότητα, καὶ ἕνωσον ταύτῃ ὑπὲρ ἑκάστης τετραετίας, χάριν τοῦ βισέξτου, ἡμέραν μίαν, ἤγουν ὑπὲρ τῶν κϐ'. κύκλων ἡμέρας ε', αἳ καὶ ἐπακταὶ λέγονται. Ὡσαύτως ἕνωσον ταύταις, εἰ μὲν τὸ νομικὸν Πάσχα εὑρίσκεται εἰς Μάρτιον μῆνα, λόγῳ τῶν προπαρελθόντων μηνῶν, τῶν ψηφιζομένων ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς, ἡμέρας ιά, ἤγουν ὑπὲρ τοῦ Ὀκτωβρίου ἡμέρας τρεῖς, διὰ τὸ ἔχειν τὸν αὐτὸν μῆνα ἡμέρας τριάκοντα πρὸς τῇ μιᾷ, ὑπὲρ τοῦ Νοεμβρίου μηνὸς, ἡμέρας ϐ', διὰ τὸ ἔχειν τοῦτον ἡμέρας τριάκοντα, καὶ ὑπὲρ τοῦ Δεκεμβρίου καὶ τοῦ Ἰαννουαρίου, ἡμέρας ἕξ, διὰ τὸ ἔχειν τούτους ἀνὰ τριάκοντα πρὸς τῇ μιᾷ· ὑπὲρ δὲ τοῦ Φεβρουαρίου μηνὸς, μηδὲν προσθήσεις, διὰ τὸ ἐλλιπῆ τοῦτον εἶναι· εἰ δὲ τὸ νομικὸν Πάσχα εὑρίσκεται κατὰ τὸν Ἀπρίλλιον μῆνα, ὥσπερ γίνεται κατὰ τὴν παροῦσαν ἐγχρονίαν, πρόσθες καὶ ἑτέρας ἡμέρας τρεῖς

---

(1) (2) ἑνδεκάη, ἑξάη, Βευηρ. Ἑ. — ἐν δὲ Χ. Τρ. ἑνδεκά ͅ, συντομογραφία, ἀντὶ τοῦ, ἑξάκις, ἑνδεκάκις, ὅπερ μὴ ἐννοήσαντες οἱ ἐκδόται ἔγραψαν, ἑξάη, ἑνδεκάη.

χάριν τοῦ Μαρτίου μηνὸς, ὡς εἶναι τὰς ὑπὲρ τῶν μηνῶν ἡμέρας δέκα πρὸ ταῖς τέσσαρσι. Τοῦ γοῦν νομικοῦ Πάσχα, ὡς εἴπομεν, εὑρισκομένου εἰς τὰς έ. τοῦ Απριλλίου μηνὸς, ἕνωσον ταύταις τὰς κϐ'. ἡμέρας τοῦ ἡλιακοῦ κύκλου, τὰς ἀπὸ τοῦ βισέξτου πέντε, τὰς καὶ ἐπακτὰς λεγομένας, καὶ τὰς ιδ'. τῶν μηνῶν, καὶ συμποσώσας ὅλας εἰς ἡμέρας μς', καὶ αὖθις ἀναλύσας αὐτὰς εἰς ἑϐδομάδας ἕξ, διὰ τοῦ εἰπεῖν οὕτως, ἑξάκις ἑπτὰ τεσσαράκοντα δύο, εὑρήσεις περιλιμπανομένας ἡμέρας τέσσαρας, ἤτοι γίνεσθαι τὸ νομικὸν Πάσχα κατὰ τὴν έ. τοῦ Απριλλίου μηνὸς, τὴν οὖσαν ἡμέραν δ'. τῆς ἑϐδομάδος· ὅτι οὖν παράδοσίς ἐστιν ἐκκλησιαστικὴ μετὰ τὸ νομικὸν Πάσχα γίνεσθαι τὸ Χριστιανικὸν κατὰ μίαν καὶ τὴν αὐτὴν ἑϐδομάδα εἰς πρώτην ἡμέραν, εἰπὲ ὀφείλειν γίνεσθαι ἐξ ἀνάγκης τὸ Χριστιανικὸν Πάσχα κατὰ τὴν θ'. τοῦ Απριλλίου μηνός. Τούτων δὲ οὕτως ἐχόντων, ἐὰν ὑφέλης ἀπὸ τῆς Πασχαλίου ἡμέρας νς'. εὑρήσεις τὴν ἀποκρέαν. Εἰ δὲ μὴ τοῦτο θέλεις, ἤγουν τὸ γνῶναι τὴν ἀποκρέαν μετὰ ὑφελμὸν πεντήκοντα ἓξ ἡμερῶν, ἀλλὰ μετὰ πλείονος εὐκολίας, ἐπεὶ ἀρτίως ἐστὶ βίσεξτον, πρόσθες ἡμέρας δ', καὶ εἰπὲ θ'. καὶ δ'. ιγ'. ὥςε εἶναι τὴν ἀποκρέαν Φεϐρουαρίου εἰς τὰς ιγ'. τοῦτο δὲ γίνεται διὰ τὸ βίσεξτον· εἰ γὰρ οὐκ ἔστι βίσεξτον, οὐ προστίθενται ἡμέραι τέσσαρες, ἀλλὰ τρεῖς. Ἐπεὶ δὲ ἐμνήσθημεν βισέξτου ἐν διαφόροις τόποις, ὀφείλεις εἰδέναι, ὅτι ἕκαστος χρόνος ἔχει ἡμέρας τξέ, ὥρας ἕξ· οἱ γοῦν τὰ τῶν ἐνιαυτῶν καὶ τῶν μηνῶν συμποσώσαντες ὥρισαν προστίθεσθαι τῷ Φεϐρουαρίῳ μηνὶ τὰς περιττευούσας ἐπέκεινα τῶν τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν ἓξ ὥρας· διὸ καὶ ἔχει ὁ Φεϐρουάριος μὴν μετὰ ἑκάστην τετραετίαν, ψηφιζομένην ἀπὸ τοῦ ά. ἡλιακοῦ κύκλου, ἡμέρας κθ'.

ΑΡΙΣΤ. Ἤρεσε τῇ ἡμέρᾳ τῆς ἐτησίου συνόδου, ἤγουν τῇ πρὸ δέκα καλανδῶν Σεπτεμϐρίων, τὴν ἡμέραν τοῦ ἁγίου Πάσχα κηρύττεσθαι.

Διαφόρως καὶ τοῦτο ἡ σύνοδος ὥρισε, τὸ τὴν ἡμέραν τοῦ Πάσχα γνωρίζεσθαι ἐν τῇ κατ' ἔτος γινομένῃ συνόδῳ ἐν Ἀφρικῇ,

## Κανὼν ΘΔ'. (ΠΒ'.)

*Περὶ τοῦ, μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενούμενον καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται.*

Ὁμοίως ὡρίσθη, ὥστε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέδραν κατέχειν, ᾗ τινι μεσίτης δέδοται, διὰ οἱασδήποτε τῶν λαῶν σπουδὰς ἢ διχοστασίας, ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ τοῖς αὐτοῖς προνοεῖσθαι ἐπίσκοπον· εἰ δὲ περὶ τοῦτο ἀμελήσοι, μετὰ τὴν περαίωσιν τοῦ ἐνιαυτοῦ ἕτερος ψηφισθῇ μεσίτης.

---

ΖΩΝΑΡ. Ἔθος ἦν παλαι, εἴ ποτε ἐπισκόπου ἐχήρευεν ἐκκλησία, στέλλεσθαί τινα ἐν αὐτῇ, ὃν ὠνόμαζον μεσίτην, καθιστῶντα τὸν λαὸν στασιάζοντα ἴσως, ἢ καὶ διὰ ἄλλας αἰτίας. Εἰ οὖν ἐντὸς ἐνιαυτοῦ ὁ τοιοῦτος μεσίτης οὐκ ἐσπούδασεν ἐπίσκοπον γενέσθαι τοῖς αὐτοῦ, ἤγουν τῷ λαῷ οὗ μεσίτης ἦν, μετεκινεῖτο τῆς μεσιτείας ἐκεῖνος, καὶ ἕτερος ἐδίδετο τῷ λαῷ ἐκείνῳ μεσίτης.

ΒΑΛΣ. Τὸ παλαιὸν χηρευσάσης ἐπισκοπῆς, ἐστέλλετό τις χάριν τοῦ εἰρηνεύειν τὸν λαὸν, ὃν καὶ ὠνόμαζον μεσίτην. Φησὶν οὖν ὁ κανὼν μὴ ἰδιοῦσθαι τοῦτον τὴν ἐπισκοπήν· ἀλλ', εἰ μὴ σπουδάσει μᾶλλον γενέσθαι ἐπίσκοπον, μετακινεῖσθαι αὐτὸν ἀπὸ τῆς μεσιτείας, καὶ ἕτερον ψηφίζεσθαι. Τὰ δὲ περὶ τοῦ τοιούτου μεσίτου, ἐπεὶ σήμερον οὐκ ἐνεργοῦσιν, ἀλλ' ἀνάγκη πᾶσά ἐστιν ἀπεντεῦθεν, εἰ δυνατὸν, ψηφίζεσθαι τὰς ἐκκλησίας, οὐδὲ παρ' ἡμῶν ἐγράφη πλέον τι. Ὁ δὲ τοιοῦτος μεσίτης ἐπίσκοπος ἦν, ὡς φαίνεται ἀπὸ τῆς ἐπιτιτλώσεως τοῦ κανόνος.

ΑΡΙΣΤ. Ἔδοξε τῷ δοθέντι εἰς μεσιτείαν ἐπισκόπῳ, δι' οἱασδήποτε τῶν λαῶν σπουδὰς ἢ διχοστασίας, μὴ ἐξεῖναι τὴν καθέδραν κατέχειν ἧς ἐστι μεσίτης, ἀλλ' ἐντὸς ἐνιαυτοῦ προνοεῖσθαι ἐπίσκοπον, ἢ μετὰ τὸν ἐνιαυτὸν ἕτερον μεσίτην ψηφίζεσθαι.

οἵας ἂν ὦσι τάχης καὶ καταστάσεως οἱ ἐνάγοντες καὶ οἱ ἐναγόμενοι· καὶ μᾶλλον ὅταν οὐχ ὑπερβαίνῃ τὸ ποσὸν τῆς ὑποθέσεως τὰ τριάκοντα νομίσματα· ὡσαύτως ἐφεῖται αὐτῷ ἀναστέλλειν τὰς τῶν παραδυναστευόντων ἀδικίας κατὰ τὰ ἐκκλησιαστικὰ δίκαια· ἑλκύσει δὲ καὶ εἰς τὸ κατ᾽ αὐτὸν δικαστήριον πάντας τοὺς λεγομένους ἀδικεῖν τοὺς πρόσφυγας τῆς ἐκκλησίας, καὶ οὐκ ἀναγκασθήσεται αὐτοὺς εἰς πολιτικὸν δικαστήριον πέμπειν, ὡς γίνεται σήμερον· ἀλλὰ καὶ τὸ πρωτεκδικικὸν βιβλίον πολλὰ προνόμια δίδωσιν αὐτῷ. *Καὶ αὐτοὶ μὲν λέγουσι ταῦτα· τὰ δὲ δοκοῦντα ἡμῖν χάριν τοῦ πρωτεκδίκου διελήφθησαν ἐν τῷ συγγραφέντι παρ᾽ ἡμῶν τόμῳ χάριν τοῦ χαρτοφυλακείου καὶ τοῦ πρωτεκδικείου καὶ τῶν δικαίων αὐτῶν, ὃν καὶ ζητήσας ἐπιμελῶς, ἀνάγνωθι σπουδαῖον ὄντα.* (1).

ΑΡΙΣΤ. Ἵνα μὴ ὁ ἐπίσκοπος παρενοχλῆται, ἔστωσαν ἔκδικοι.

Τῶν πενήτων παρὰ τῶν δυνατωτέρων κακώσεις ὑφισταμένων, καὶ ὑπ᾽ αὐτῶν διὰ ταύτας τῶν ἐπισκόπων ἐνοχλουμένων, ἔδοξε τῇ συνόδῳ ἐκ βασιλέως αἰτῆσαι, μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλεγῆναι ἐκδίκους, ἵνα κατὰ τῆς τῶν πλουσίων τυραννίδος ἀνθιστῶνται, καὶ οἱ ἐπίσκοποι, ὅσον ἐπὶ τούτοις, ἀνενόχλητοι μένωσι.

## Κανὼν Ος'. (ΠΔ'.)

*Περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκόπων.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὁσάκις δήποτε σύνοδον δεῖ συναχθῆναι, οἱ ἐπίσκοποι, οἵτινες οὔτε γήρᾳ, οὔτε ἀσθενείᾳ, οὔτε τινὶ βαρυτέρᾳ ἀνάγκῃ ἐμποδίζονται, ἁρμοδίως ἀπαντῶσι· καὶ τοῖς πρωτεύουσιν ἑκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθείη περὶ πάντων τῶν ἐπισκόπων, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις γένωνται· καὶ ἀπὸ ἑκά-

(1) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Ἑ. καὶ Βευερ. ἀλλ᾽ ἐν Χ. Τρ. παρὰ δὲ Βευερ. μετὰ τὸ, δίδωσιν αὐτῷ, ἀναγινώσκεται, πλὴν οὐκ οἶδ᾽ ὅπως τὰ πλεῖω ἀθετοῦνται.

στου δὲ ἀθροισμοῦ (1) εἰς ἀμοιβὴν ὁσοιδήποτε ἐπιλεγῶσι πρὸς τὴν ἡμέραν τῆς συνόδου ἐνστατικῶς ἀπαντήσωσιν· ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόον τινῶν ἀναγκῶν ὡς εἰκὸς ἀναφυομένων, εἰ μὴ τὸν λόγον τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ τῷ οἰκείῳ (2) πρωτεύοντι ἀποδώσωσιν, ὀφείλειν τοὺς τοιούτους τῇ κοινωνίᾳ τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι ἐκκλησίας.

---

ΖΩΝΑΡ. Ἀπαραιτήτως ἀπαιτεῖ ὁ κανὼν, συνάγεσθαι τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας, ὁσάκις χρεία ἐστὶ γενέσθαι σύνοδον, εἰ μὴ διὰ κεῖραν, ἤγουν ἡλικίαν προσήκουσαν, καὶ γῆρας βαθὺ, ἢ ἀσθένειαν ἐμποδίζοιντο, ἤ τινι ἄλλῃ βαρείᾳ περιστάσει συνέχοιντο, καὶ συναχθέντας εἴδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας, ἀφ᾽ ἧς ἐστιν ἕκαστος, καὶ ἀφ᾽ ἑκάστου ἀθροισμοῦ, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις γένωνται, (ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται, μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ᾽ εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ μητροπόλει) ἐνστατικῶς ἀπαντᾷν, ἀντὶ τοῦ, ἀνυπερθέτως, ἀπροφασίστως πρὸς τὴν ἡμέραν τῆς συνόδου· εἰς ἀμοιβὴν, τουτέστιν ἀμοιβαδὸν, οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι διελύοντο, ἀλλ᾽ ἐν πλείοσι, καὶ τοῦτο δῆλον ἐκ ταύτης τῆς συνόδου ἐστί· διαφόρους γὰρ πράξεις δηλοῖ γενέσθαι ἐν ἄλλαις καὶ ἄλλαις ἡμέραις· ἀμοιβαδὸν δὲ, ἤγουν ἄλλοτε ἄλλους ἀπαντᾷν, ὅσοι ἐπιλεγῶσιν. Ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόον ἀναφυομένων, αἰφνήδιον δηλονότι, καὶ ἀνελπίστως, αἰτιῶν ἀναγκαίων, ἀπαιτεῖ τοὺς μὴ ἀπαντήσοντας, λόγον ἀποδιδόναι παρὰ τῷ μητροπολίτῃ αὐτοῦ ἕκαστον, ἢ, μὴ ἀποδιδόντα, μόνῃ τῇ κοινωνίᾳ τῆς ἰδίας ἐκκλησίας ἀρκεῖσθαι, ἑτέρων αὐτῷ μὴ συγκοινωνούντων.

ΒΑΛΣ. Τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας, ἀπαιτεῖ ὁ κανὼν συνέρχεσθαι εἰς τὰς τυπουμένας συνόδους, τοὺς μὴ διὰ κεῖραν, ἤγουν ἡλικίαν καὶ γῆρας βαθὺ, ἢ ἀσθένειαν, ἢ ἄλλην

---

(1) ἀριθμοῦ Βευερ. — (2) οἰκείῳ, οὐ κεῖται ἐν Χ. Τρ.

ἀνάγκην ἐμποδιζομένους, καὶ συναχθέντας εἴδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἀφ' ἧς ἐστιν ἕκαστος· καὶ ἀφ' ἑκάστου ἀριθμοῦ, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις γένωνται· ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται, μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ' εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ μητροπόλει· ἐνστατικῶς δὲ ἀπαντᾷν, ἤγουν ἀνυπερθέτως· εἰς ἀμοιβὴν, τουτέστιν ἀμοιβαδόν· οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι διελύοντο, ἀλλ' ἐν πλείοσιν· ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι διὰ τὸ ἐμποδισθῆναι ὑπὸ αἰφνηδίου ἀνάγκης, διδόναι λόγους τοῦ ἐμποδισμοῦ παρὰ τῷ πρωτεύοντι· εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μόνῃ τῇ κοινωνίᾳ τῆς ἐκκλησίας τῆς ἰδίας (1) ἀρκεῖσθαι, ἑτέρων αὐτοῖς μὴ συγκοινωνούντων. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ σημείωσαι καινότερον ἀφορισμὸν ἐκ τούτου· ἄλλοι μὲν γὰρ κανόνες τὸν ἀφορισμὸν ἐκλαμβάνονται ὅσον τέως εἰς τοὺς ἐπισκόπους, εἰς τὸ μηδὲ ὅλως ἱερατικόν τι ἐνεργεῖν· ὁ δὲ παρὼν οὐκ ἐμποδίζει τούτους ἐκ τῆς ἱεροτελεστίας, ἀλλ' ἐκ τῆς κοινωνίας χωρίζει τῆς τῶν λοιπῶν ἀδελφῶν.

**ΑΡΙΣΤ.** Οἱ μὴ ἀπαντῶντες ἐν τῇ κατ' ἐνιαυτὸν συνόδῳ, εἰ μὴ ἀβουλήτως κωλύοιντο, τῇ τῆς ἰδίας ἐκκλησίας ἀρκείσθωσαν κοινωνίᾳ.

Ὅσοι τῶν ἐπισκόπων ἐν τῇ συνόδῳ ἑκάστης αὐτῶν ἐπαρχίας οὐκ ἀπαντήσουσι, μήτε ὑπὸ γήρως, ἢ ἀσθενείας, εἴτε τινὸς βαρυτάτης ἀνάγκης ἐμποδιζόμενοι, ἀλλ' ἐκ ῥᾳθυμίας ἢ καὶ καταφρονήσεως τοῦτο ποιοῦντες, ἀδελφικῶς ὡρίσθησαν ἐπιπλήττεσθαι. Ὁ δὲ παρὼν κανὼν καὶ τὸ εἶδος τῆς ἐπιπλήξεως τίθησι, προστάττων τοὺς συνεπισκόπους καὶ συναδελφοὺς αὐτῶν μὴ συγκοινωνεῖν αὐτοῖς καὶ συλλειτουργεῖν, ἀλλ' ἐν μόναις ταῖς ἰδίαις αὐτῶν ἐκκλησίαις ἀρκεῖσθαι, καὶ λειτουργεῖν ἐν αὐταῖς.

(1) τῆς αὐτῶν Ἐ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΟΖ'. (ΠΕ'.)

*Περὶ Κρεσκωνίου.*

Περὶ Κρεσχωνίου τοῦ Βιλλαρεχεντισίου(1) τοῦτο πᾶσιν ἔδοξεν, ἵνα ἐντεῦθεν ὁμοίως (2) ἐμφανισθείη (3) τῷ πρωτεύοντι τῆς Νουμιδίας, πρὸς τὸ εἰδέναι αὐτὸν ὀφείλειν γράμμασιν οἰκείοις πρὸς συνέλευσιν (4) προτρέψασθαι τὸν μνημονευθέντα Κρεσχώνιον, ὥστε μὴ ὑπερθέσθαι τὴν παρουσίαν αὐτοῦ τῇ πλησιαζούσῃ συμπάσῃ Ἀφρικανῇ συνόδῳ παρασχεῖν· ἐὰν δὲ τοῦ ἐλθεῖν καταφρονήσῃ, ἔσται εἰδὼς κατ' αὐτοῦ ψῆφον νομοθετηθησομένην.

---

**ΖΩΝΑΡ.** Καὶ οὗτος ὁ κανὼν διὰ τοῦ ἑνὸς τούτου ἐπισκόπου ἀνάγκην ἐπιτίθησι τοῖς ἐπισκόποις, ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι, καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ.

**ΒΑΛΣ.** Διὰ τοῦ Κρεσκωνίου ἐπιτίθησιν ὁ κανὼν ἀνάγκην τοῖς ἐπισκόποις, ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι, καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ κατάκρισιν· τὸ δὲ εἶδος ταύτης οὐ λέγει. Ὁ μέν τοι ς'. κανὼν τῆς ζ'. συνόδου, τοὺς μὲν κωλύοντας ἄρχοντας γίνεσθαι τὰς ἐτησίας συνόδους, ἀφορίζεσθαι διορίζεται, τοὺς δὲ χωρὶς εὐλόγου προφάσεως ἀμελοῦντας τούτων μητροπολίτας, τοῖς κανονικοῖς καθυποβάλλει ἐπιτιμίοις· ποῖα δὲ καὶ τίνα εἰσὶ τὰ ἐπιτίμια, ῥητῶς οὐ γέγραπται· ὡς ἔοικεν οὖν, τὰ ἐν τῷ ἀνωτέρω κανόνι περιεχόμενα εἰσίν. Ἀνάγνωθι καὶ τὸν ῥηθέντα ς'. κανόνα τῆς ζ'. συνόδου, καὶ τὸν ὄγδοον τῆς ἐν τῷ Τρούλλῳ, καὶ τὰ ἐν αὐτοῖς.

**ΑΡΙΣΤ.** Γράμμασι κληθεὶς εἰς τὴν σύνοδον Κρεσκώνιος, εἰ μὴ παραγένηται, ἴστω ψῆφον κατ' αὐτὸν ἐκφωνηθησομένην. Σαφής.

---

(1) Χ. Τρ. — Βιλλαρεκεντίου, οἱ λοιποί. — (2) ὁμοίως, οὐ κεῖται ἐν Χ. Τρ. — (3) Π. Χ. Τρ. — ἐμφανείη, οἱ λοιποί. — (4) προσέλευσιν Χ. Τρ.

## Κανὼν ΟΗ'. (Πς'.)

*Περὶ τῶν ἐν Ἱππῶνι φροντιστῶν τῆς ἐκκλησίας.*

Πάλιν ἤρεσεν, ἵνα, ἐπειδὴ τῆς ἐκκλησίας τῶν ἐν Ἱππῶνι φροντιστῶν ἡ ἐγκατάλειψις οὐκ ὀφείλει ἐπὶ πολὺ ἀμεληθῆναι, καὶ ἐπειδὴ αἱ ἐκεῖ ἐκκλησίαι κατέχονται παρὰ τῶν τὴν ἄτυπον (1) τοῦ Αἰκυτίου κοινωνίαν παραιτησαμένων, πεμφθέντων ἐκ τῆς παρούσης συνόδου ἐπισκόπων Ῥηγίνου, Ἀλυπίου, Αὐγουστίνου, Ματέρνου, Θεασίου, Εὐοδίου, Πλακιανοῦ, Οὐρβανοῦ, Βαλερίου, Ἀμβιβίου (2), Φουρτουνάτου, Κουοδβουλτδέου, Ὀνωράτου, Ἰαννουαρίου, Ἄπτου, Ὀνωράτου, Ἀμπελίου, Βικτοριανοῦ, Εὐαγγέλλου, καὶ Ῥογατιανοῦ, καὶ συναχθέντων, καὶ διορθωθέντων τῶν ἐπιψόγῳ μονοτονίᾳ τὴν φυγὴν τοῦ αὐτοῦ Αἰκυτίου προσδοκητέαν (3) λογισαμένων, μετὰ τῆς πάντων εὐχῆς, ἐπίσκοπος τούτοις χειροτονηθῇ. Ἐὰν δὲ μὴ θελήσωσιν ἐκεῖνοι τὴν εἰρήνην κατανοῆσαι, μὴ ἐμποδίσωσι τῇ ἐπιλογῇ τοῦ προέδρου πρὸς τὸ χειροτονηθῆναι εἰς χρησιμότητα τῆς ἐπὶ τοσοῦτον χρόνον ἐγκαταλειφθείσης ἐκκλησίας.

---

ΖΩΝΑΡ. Ἱππὼν τῆς Νουμιδίας πόλις ἐστίν· ἡ δὲ Νουμιδία μοῖρα τῆς Ἀφρικῆς· δύο δὲ ἦσαν ἐν αὐτῇ πόλεις Ἱππῶνες καλούμεναι. Τούτων ἐν μιᾷ Αἰκύτιος ἐπίσκοπος ἦν, ᾧ ἐπανέστησάν τινες, οἷς καὶ πολλοὶ τοῦ λαοῦ συνυπήχθησαν, παραιτησάμενοι τὴν αὐτοῦ κοινωνίαν, ἣν ἄτυπον ἡ σύνοδος ὠνόμασεν, ὡς μὴ ὁρισθεῖσαν καὶ τυπωθεῖσαν παρὰ συνόδου. Διὰ γοῦν τὴν τοιαύτην στάσιν ἔδοξε σταλῆναί τινας ἐκεῖ τῶν ἐπισκόπων, ἵνα, εἰ δύναιντο, διορθώσωνται τὴν στάσιν, καὶ καταλλάξωσι τοὺς στασιάσαντας· εἰ δὲ μὴ τοῦτο, χειροτονήσωσι τέως ἐπίσκοπον εἰς χρησιμότητα τῆς ἐν Ἱππῶνι ἐκκλησίας, ἤγουν εἰς ὠφέλειαν τῆς ἐπὶ πολὺν χρόνον καταλειφθείσης, ἤτοι χωρὶς ἐπισκόπου οὔσης.

---

(1) Χ. Τρ. Π. — ἄτοπον οἱ λοιποί. — (2) Ἀμοιβίου Βευερ. — (3) προσδοκητέαν Χ. Τρ.

ΒΑΛΣ. Δύο πόλεις εἰσὶν ἐν Ἀφρικῇ Ἱππῶνες καλούμεναι. Τούτων ἐν μιᾷ, Αἰκύτιος ἐπίσκοπος ἦν· καὶ ἐπεί τινες ἐπανέστησαν καὶ παρῃτήσαντο τὴν μετὰ τούτου κοινωνίαν, τὴν καὶ ἄτυπον κληθεῖσαν, ἤγουν ἀτύπωτον καὶ ἄδικον, ἔδοξε διά τινων ἀρχιερέων ἀνασταλῆναι αὐτούς· εἰ δὲ τὴν εἰρήνην μὴ θελήσουσι, χειροτονῆσαι ἐπίσκοπον ἕτερον.

ΑΡΙΣΤ. Ἔδοξε μετὰ τὴν Αἰκυτίου κατάκρισιν, μετὰ τῆς πάντων εὐχῆς ἐπίσκοπον τῆς ἐν Ἱππῶνι προχειρισθῆναι, καὶ μηδαμῶς αὐτοὺς ἐμποδίσαι εἰς τὸ χειροτονηθῆναι πρόεδρον τῇ ἐκκλησίᾳ.

Ἤρεσε πᾶσιν εἰς τὴν ἐν Ἱππῶνι ἐκκλησίαν προχειρισθῆναι ἐπίσκοπον, τοῦ ἐπισκόπου ταύτης τοῦ Αἰκυτίου καθαιρεθέντος, καὶ μή τινας τῶν ἀντιποιουμένων ἐκείνου ἐμποδίσαι εἰς τὸ χειροτονηθῆναι ἐπίσκοπον εἰς ὠφέλειαν τῆς ἐκκλησίας, τῆς ἐπὶ τοσοῦτον χρόνον χωρὶς ἐπισκόπου καταλειφθείσης.

## Κανὼν ΟΘ'. (ΠΖ'.)

*Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα.*

Πάλιν ὡρίσθη, ἵνα, ὁσάκις κληρικῶν ἐλεγχθέντων, καὶ καταθεμένων τινὰ ἐγκλήματα, εἴτε διὰ τὸ τῆς ἐκκλησίας ὄνειδος, εἴτε διὰ τὴν αἰδεσιμότητα, ὧν χάριν τούτοις φειδὼ γίνεται, εἴτε διὰ τὴν ἀλαζόνα τῶν αἱρετικῶν καὶ ἐθνικῶν ἐπιγαυρίασιν, ἐὰν ὡς εἰκὸς ἐπαγωνίσασθαι τῷ ἰδίῳ πράγματι, καὶ τῆς ἰδίας ἀβλαβείας φροντίσαι θελήσωσιν, ἐντὸς ἀκοινωνησίας ἐνιαυτοῦ τοῦτο ποιήσωσιν· ἐὰν δὲ ἐντὸς ἐνιαυτοῦ τὸ πρᾶγμα αὐτῶν καθᾶραι καταφρονήσωσι, μηδεμία τούτων τοῦ λοιποῦ φωνὴ παντελῶς (1) προσδεχθείη.

---

ΖΩΝΑΡ. Ἐὰν κληρικοὶ κατηγορῶνται ἐπ' αἰτίαις ἐκβαλλούσαις αὐτοὺς τοῦ κλήρου, δι' ἃς καὶ ὄνειδος τῆς ἐκκλησίας εἰσὶν ὡς μὴ καλῶς βιοῦντες, ἀπαιτεῖ αὐτοὺς ὁ κανὼν

(1) παντελῶς, οὐ κεῖται ἐν Χ. Τρ.

ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίσασθαι καθᾶραι ἑαυτοὺς τῆς κατηγορίας, εἴτε διὰ τὴν αἰδεσιμότητα, ἤγουν τὸ ἔντιμον τῶν βαθμῶν τοῦ κλήρου, διὸ καὶ φείδονται, ἵνα μὴ ἀτιμάζηται ἡ ἱερωσύνη, εἴτε διὰ τὸ μὴ κατεπαίρεσθαι τοὺς αἱρετικοὺς ἐξ ἀλαζονείας, καὶ καταφρονεῖν τῆς ἱερωσύνης, καθ' ὃν ἐνιαυτὸν καὶ ἀκοινώνητοι εἰσί. Διὰ τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ κανὼν ἐλεγχθέντας αὐτοὺς ὠνόμασεν, οὐχ ὡς τελείως ἀποδεδειγμένων τῶν κατ' αὐτῶν εἰσαχθέντων· ἢ γὰρ ἂν καὶ καθῃρέθησαν, εἰ ἠλέγχθησαν· ἀλλ' ὡς προλήψεων κατ' αὐτῶν δοθεισῶν, δι' ἃς καὶ ἀκοινωνησίᾳ ἐπετιμήθησαν. Εἰ μὲν οὖν διὰ τοῦ ἐνιαυτοῦ σπουδάσουσι καθαροὺς ἑαυτοὺς ἀποδεῖξαι τῶν ἐγκλημάτων, καὶ τοῦ ἐπιτιμίου λυθήσονται (1)· εἰ δὲ μή, ἀπρόσδεκτοι ἔσονται μετὰ ταῦτα λόγον εἰσάγοντες.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται, τοὺς κληρικοὺς τοὺς διά τινα ἐγκλήματα ἐλεγχθέντας, ἤτοι καταμαρτυρηθέντας ἀπὸ προλήψεως, φροντίζειν τοῦ περατωθῆναι τὰς κατ' αὐτῶν ὑποθέσεις ἐντὸς ἐνιαυτοῦ· εἰ δὲ μή, ἀποκλείεσθαι. Ταῦτα δὲ οὐκ ἐνεργοῦσι σήμερον, διὰ τὸ ἀπὸ διαφόρων νεαρῶν πᾶσαν ἐγκληματικὴν ὑπόθεσιν εἰς διηνεκῆ χρόνον ἐπεκτείνεσθαι.

ΑΡΙΣΤ. Ἐλεγχόμενος κληρικὸς ἐπ' ἐγκλήματι, ἐὰν ἐπαγωνίσασθαι λέγῃ, ἐντὸς ἐνιαυτοῦ ἐπαγωνιζέσθω· μετὰ δὲ τοῦτο, ἔστω ἀπρόσδεκτος.

Ἐλεγχόμενος ἐπ' ἐγκλήμασι καὶ ἤδη καταδικαζόμενος κληρικός, ἐὰν ἔτι λέγῃ δύνασθαι δικαιολογήσασθαι, καὶ ἑαυτὸν ἀνεύθυνον παραστῆσαι, ἐντὸς ἐνιαυτοῦ ὀφείλει ἐπαγωνίσασθαι· μετὰ δὲ τὸν ἐνιαυτὸν οὐδεμία αὐτοῦ δικαιολογία παραδεχθήσεται εἰς τὸ δικαστήριον ὅσον αὐτό, ἀλλὰ καταδεδικασμένος ἔσται· καὶ εἰ βούλεται ἔκτοτε ἐκκαλεῖσθαι, ποιείτω τοῦτο.

---

(1) Χ. Τρ. — κωλυθήσονται Κ. Βευερ.

## Κανὼν Π'. (ΠΗ'.)

*Ὡς τοὺς ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδεχθέντας, μηδὲ ἡγουμένους μοναστηρίου, μηδὲ κληρικοὺς ἐξεῖναι χειροτονεῖν.*

Ὁμοίως ἤρεσεν, ἵνα, ἐάν τις ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδέξηταί τινα, καὶ πρὸς κλήρωσιν προαγαγεῖν ἐθελήσοι, ἢ τοῦ ἰδίου μοναστηρίου ἡγούμενον καταστήσοι, ὁ τοῦτο ποιῶν ἐπίσκοπος ἀπὸ τῆς τῶν λοιπῶν κοινωνίας χωριζόμενος, τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθῇ μόνῃ· ἐκεῖνος δὲ, μηδὲ κληρικὸς, μηδὲ ἡγούμενος ἐπιμείνῃ.

---

ΖΩΝΑΡ. Ἀπὸ μοναστηρίου ὑποχωρήσαντα μοναχὸν, δέχεσθαι παρ' ἑτέρου ἀπηγόρευται. Ἐὰν οὖν ἐπίσκοπός, φησι, τοιοῦτον δέξηται μοναχὸν, καὶ ἢ κληρικὸν αὐτὸν χειροτονήσῃ, ἢ ἡγούμενον μοναστηρίου ποιήσῃ, ὁ μὲν ἐπίσκοπος ἔσται τῇ τοῦ ἰδίου λαοῦ μόνου κοινωνίᾳ ἀρκούμενος, ἑτέρων αὐτῷ μὴ συγκοινωνούντων, ὁ δὲ μοναχὸς καὶ τοῦ κλήρου, καὶ τῆς ἡγουμενείας ἐκπεσεῖται.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κολάζει τὸν ἐπίσκοπον ὑποδεχόμενον ἀπὸ ἀλλοτρίου μοναστηρίου μοναχὸν, καὶ προάγοντα τοῦτον εἰς βαθμὸν κληρικοῦ, ἢ εἰς ἡγουμενείαν ἰδίου μοναστηρίου· καὶ τὸν κληρωθέντα δὲ τοιοῦτον μοναχὸν, ἢ καὶ γεγονότα ἡγούμενον, ἐξωθεῖ ἀπὸ τοῦ κλήρου καὶ ἀπὸ τῆς ἡγουμενείας. Μὴ ἐναντιωθῇ δέ σοι πρὸς ταῦτα ὁ δ'. κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, διοριζόμενος ἔχειν ἐπ' ἀδείας τοὺς ἐπισκόπους, μὴ μόνον ἀπὸ τῆσδε τῆς μονῆς μετάγειν εἰς ἑτέραν μονὴν μοναχοὺς, ἀλλὰ καὶ εἰς κοσμικῶν οἰκιῶν προστασίαν αὐτοὺς καθιστᾷν. Ἀλλ' εἰπὲ, ὅτι ἐνταῦθα μὲν κεκώλυται τὸ ἀπὸ ἀλλοτρίας ἐνορίας ἀναλαμβάνεσθαι τὸν ἐπίσκοπον μοναχὸν, καὶ καθιστᾷν τοῦτον ἡγούμενον ἢ καὶ κληρικόν· ἐκεῖσε δὲ ἐξεχωρήθη τῷ ἐπισκόπῳ τὸ ἀπὸ τῆς οἰκείας ἐνορίας μοναχοὺς μετατιθέναι ἀπὸ τῆσδε τῆς μονῆς εἰς ἑτέραν, ἢ καὶ εἰς κοσμικὴν προστασίαν καθιστᾷν, ὅπερ παρὰ γνώμην τῶν ἐγχω-

ρίων ἐπισκόπων γενέσθαι οὐ δύναται. Τότε δὲ τὰ τοῦ παρόντος κανόνος ἕξουσι χώραν, ὅταν ὁ ἀπὸ ἀλλοτρίας ἐνορίας μοναχὸς οὐκ ἐπιφέρηται ἀπολυτικὴν γραφὴν τοῦ ἐπισκόπου αὐτοῦ· τηνικαῦτα γὰρ ἀπαρεμποδίστως εἰς ἀλλοτρίαν ἐνορίαν ἡγούμενος γενήσεται καὶ κληρικός. Τὸ μέντοι σήμερον γινόμενον παρὰ τῶν ἡγουμενευόντων, καὶ ἀπολυόντων μετὰ γραφῆς τοὺς ὑπ' αὐτῶν ἀποκαρέντας, ὥστε μονάσαι εἰς ἑτέραν μονὴν, οὐκ ἔστιν, ὡς ἐμοὶ δοκεῖ, ἀκριβές· ἐπισκοπικῆς γὰρ μᾶλλον ἀπολυτικῆς γραφῆς χρεία τῷ μεταπεσεῖν βουλομένῳ, οὐχὶ τῆς τοῦ ἡγουμενεύοντος, ὅτι καὶ τοῖς ἐπισκόποις μᾶλλον ὑπόκεινται οἱ μοναχοὶ, ἢ τοῖς ἡγουμένοις. Ταῦτα δὲ κρατήσουσιν εἰς τοὺς ἄλλους ἐπισκόπους, οὐ μὴν καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως· αὐτῷ γὰρ, ὡς πολλάκις εἴρηται, ἐνεδόθη ἀπὸ ἀλλοτρίων ἐνοριῶν ἀπαρεμποδίστως δέχεσθαι μοναχούς τε καὶ κληρικοὺς, καὶ οὐχ ὑποκειμένους (1) πάντως τῷ θρόνῳ αὐτοῦ· οὐ μὴν καὶ τῷ θρόνῳ τοῦ Ἀντιοχείας, ἢ τοῦ Ἱεροσολύμων, ἢ ἄλλου.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀλλοτρίας τινὰ μονῆς δεχόμενος, ἐὰν ἄγοι τοῦτον εἰς κλήρωσιν, ἢ τῆς οἰκείας μονῆς ἡγουμενείαν, ἕξει τὸ ἀκοινώνητον.

Οἱ μοναχοὶ τῷ κατὰ χώραν ἐπισκόπῳ ὀφείλουσιν ὑποτάσσεσθαι, καὶ προσκαρτερεῖν ἐν τοῖς μοναστηρίοις, ἐν οἷς ἀπετάξαντο, καὶ μὴ καταλιμπάνειν αὐτὰ, εἰ μήπου ἄρα ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου δι' ἀναγκαίαν χρείαν ἐπιτραπῶσι, καθὼς ὁ τέταρτος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διαλαμβάνει. Εἰ δέ τινα μοναχὸν ἐξ ἀλλοτρίας μονῆς ἐπίσκοπος παραδέξεται, καὶ ἢ κληρικὸν τοῦτον ποιήσει, ἢ τῆς ἰδίας μονῆς ἡγούμενον, ὡς πρὸς τοὺς λοιποὺς συναδελφοὺς καὶ συνεπισκόπους αὐτοῦ, ἕξει τὸ ἀκοινώνητον, καὶ μόνῃ τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθήσεται.

(1) Βευερ. — ὑποκειμένους Χ. Τρ. — παρὰ δὲ Ἑ. ἡ ἑρμηνεία περαιοῦται εἰς τὸ, κληρικοὺς, ἡ δὲ λατινικὴ μετάφρασις ἐστι πλήρης.

## Κανὼν ΠΑ'. (ΠΘ'.)

*Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ ἕλληνας κληρονόμους καταλιμπανόντων.*

Ὁμοίως ὡρίσθη, ἵνα, ἐάν τις ἐπίσκοπος κληρονόμους συγγενεῖς, ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας αἱρετικούς, ἢ ἕλληνας, προτιμήσῃ τῆς ἐκκλησίας, καὶ μετὰ θάνατον ἀνάθεμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ τοῖς τοῦ Θεοῦ ἱερεῦσιν ἀνενεχθῇ, μηδὲ δυνηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπογένηται, ἐπειδὴ γενόμενος (1) ἐπίσκοπος, εἰκότως ὀφείλει τῶν πραγμάτων αὐτοῦ τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι.

—

ΖΩΝΑΡ. Ὁ τεσσαρακοστὸς τῶν ἁγίων Ἀποστόλων κανὼν, Ἔστω, φησὶ, φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, καὶ φανερὰ τὰ Κυριακὰ, ἵν' ἐξουσίαν ἔχῃ ὁ ἐπίσκοπος τελευτῶν οἷς βούλεται καταλεῖψαι τὰ ἴδια· τὰ ὅμοια δὲ καὶ ὁ κδ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται. Ἔχει γοῦν ἐκ τούτων ἄδειαν ὁ ἐπίσκοπος τὰ ἑαυτοῦ πράγματα καταλιμπάνειν οἷς βούλεται, πιστοῖς μέντοι καὶ ὀρθοδόξοις, οὐ μὴν αἱρετικοῖς ἢ ἀπίστοις, ἀλλ' οὐδὲ συγγενέσιν αὐτοῦ τοιούτοις· εἰ δὲ τοιούτους τινὰς κληρονόμους τελευτῶν γράψει, ἐκεῖνος μὲν καὶ μετὰ θάνατον ἀναθεματίζεται, καὶ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλείφεται. Ταῦτα μὲν, εἰ διαθέμενος αἱρετικοὺς καταλείψει κληρονόμους· τὸ δ' ἑξῆς τοῦ κανόνος δύσφραστόν ἐστι, κἀντεῦθεν δυσνόητον. Οἶμαι δὲ λέγειν, ὅτι, ἐὰν ἀδιάθετος τελευτήσῃ ὁ ἐπίσκοπος, ἀναπολόγητος ἔσται ὁ μετ' αὐτὸν ἐπίσκοπος, πάσης ἀπολογίας (2) στερούμενος, εἰ μὴ οἰκονομήσει τὰ ἴδια αὐτοῦ πράγματα εἰκότως, ἐπειδὴ ὀφείλει καὶ χρέος ἔχει τὴν διατύπωσιν, ἤγουν τὴν οἰκονομίαν τῶν πραγμάτων τοῦ τελευτήσαντος ἐπισκόπου, ἁρμοδίαν ποιῆσαι, ἤτοι ἀξίαν

---

(1) ὁ μετ' αὐτὸν γενόμενος Χ. Τρ. — (2) Χ. Τρ. — ἀναπολογίας Βευερ.

τοῦ ἐπαγγέλματος αὐτοῦ· ὁ γὰρ γινόμενος ἐπίσκοπος ἐπαγγέλλεται τοὺς κανόνας φυλάττειν· οἱ δὲ κανόνες φιλόπτωχον αὐτὸν εἶναι καὶ φιλόξενον ἀπαιτοῦσι, καὶ ὑπερόπτην χρημάτων. Ἡ δὲ ρλά. νεαρὰ, κειμένη εἰς βιβλίον τῶν βασιλικῶν έ. τιτ. γ'. κεφ. ί. (1) τοὺς ἐπισκόπους καὶ κληρικοὺς ἀδιαθέτους τελευτῶντας, καὶ νομίμων διαδόχων χωρὶς, παρὰ τῶν ἐκκλησιῶν αὐτῶν κελεύει κληρονομεῖσθαι.

ΒΑΛΣ. Πᾶς ἐπίσκοπος ὀφείλει μετὰ τὸ ψηφισθῆναι ἀπογράφεσθαι τὰ οἰκεῖα πράγματα· καὶ ἐὰν τοῦτο ποιήσῃ κατὰ τὸν μ'. ἀποστολικὸν κανόνα, ἔχει ἐπ' ἀδείας διατίθεσθαι ἐπ' αὐτοῖς κατὰ νόμους. Φησὶν οὖν ὁ παρὼν κανὼν, ὅτι, ἐὰν ὁ ἀπογραψάμενος τὰ οἰκεῖα ἐπίσκοπος ποιήσῃ τελευτῶν διαθήκην, καὶ γράψῃ κληρονόμους αἱρετικοὺς, κἂν συγγενεῖς αὐτοῦ ὦσι, κἂν ἀλλότριοι, καὶ τὴν ἐκκλησίαν παραγκωνίσηται, ὑποκείσεται τῷ ἀναθέματι καὶ μετὰ θάνατον, καὶ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλειφθήσεται· καὶ αὐτὸς μὲν οὕτω κολασθήσεται· ἡ δὲ διαθήκη τούτου, ὡς παράνομος, πεσεῖται, καὶ οἱ αἱρετικοὶ κληρονόμοι αὐτοῦ οὐδὲν λήψονται, ὡς τοῦ ἐπισκόπου ἀδιαθέτου δοκοῦντος τελευτῆσαι· τοῦτο γάρ ἐστι τὸ, μὴ δυνηθείη (2) ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπογένηται, καὶ τὰ ἑξῆς· τουτέστιν, ἐὰν ἡ διαθήκη αὐτοῦ, ὡς εἴρηται, πέσῃ, οὐ δυνήσεται ἀπολογίαν εὑρεῖν εἰς τὸ μὴ διανεμηθῆναι (3) κατὰ τὸ αὐτοῦ βούλημα τὰ οἰκεῖα· ἤγουν ἐὰν ἐν τοῖς ζῶσιν ὑπῆρχεν, οὐ μὴ αἰτιάσαιτο τὴν ἀθέτησιν τῆς διαθήκης αὐτοῦ· γενόμενος γὰρ ἐπίσκοπος, ὤφειλε κατὰ νόμους καὶ ἀξίως τῷ ἐπαγγέλματι (4) αὐτοῦ διαθέσθαι, οὐ μὴν παρανόμως καὶ ἀναξίως ἀρχιερεῖ· ποία γὰρ κοινωνία ὀρθοδόξῳ καὶ αἱρετικῷ; Οὕτως ἑρμηνεύεται ὁ κανὼν, ὡς ἐμοὶ δοκεῖ· καὶ ἀνάγνωθι τὸν κδ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ κεφ. ή. τοῦ ί. τίτλου τοῦ παρόντος συντάγματος· καὶ κεφ. ί. τοῦ γ'. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ ρλά. νεαρὰ, διδάσκουσα τοὺς ἀδιαθέτως τελευτῶντας ἐπισκόπους καὶ κληρικοὺς παρὰ τῶν ἐκκλησιῶν κληρονομεῖσθαι. Καὶ μὴ ἐναντιωθῇ σοι ἡ

(1) κεφ. ιά. ἐκδ. Ἄιμβαχ. — (2) τὸ, μηδὲ δυνηθῆναι Χ. Τρ. — (3) δευτέρα = διοικηθῆναι Χ. Τρ. — νεμηθῆναι Κ. — (4) τῷ πολιτεύματι Χ. Τρ.

νεαρὰ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, διαλαμβάνουσα τοὺς ἀδιαθέτως τελευτῶντας παίδων χωρὶς, μὴ κληρονομεῖσθαι παρὰ τῶν ἐκ πλαγίου συγγενῶν αὐτῶν, ἀλλὰ τὸ τρίτον τῆς οὐσίας τῶν οὕτω τελευτώντων προχωρεῖν εἰς ψυχικὰς διαδόσεις, συνεισαγομένων τούτῳ καὶ τῶν τιμημάτων τῶν οἰκετῶν (1) τοῦ τελευτήσαντος, ὡς ἀπεντεῦθεν ἐλευθερουμένων. Ἡ γὰρ νεαρὰ αὕτη εἰς τοὺς λαϊκοὺς ἐξεφωνήθη καὶ μόνους, καὶ ὀφείλει κρατεῖν εἰς τούτους, ὥσπερ εἰς τοὺς ἀδιαθέτους ἐπισκόπους καὶ κληρικοὺς ἐνεργήσει ἡ ῥηθεῖσα Ἰουστινιάνειος νεαρά.

ΑΡΙΣΤ. Ἐπίσκοπος αἱρετικοὺς, ἢ ἕλληνας, κληρονόμους γράφων, ἔστω ἀνάθεμα.

Οὗτοι καὶ ἀπὸ νόμων κωλύονται διατίθεσθαι, καὶ ἀπὸ διαθήκης κληρονομίαν, ἢ λεγάτον λαμβάνειν· καταλειφθέντες γοῦν κληρονόμοι παρ᾽ ἐπισκόπου, αὐτοὶ μὲν οὐδέν τι κερδήσουσιν, ἀλλ᾽ ὁ δημόσιος λήψεται τὰ καταλειφθέντα αὐτοῖς· οἱ δὲ γράψαντες αὐτοὺς κληρονόμους, κληρονομήσουσι τὸ ἀνάθεμα.

## Κανὼν ΠΒ΄. (ϥ.)

*Περὶ ἐλευθεριῶν.*

**Ὁμοίως ἤρεσεν, ἵνα περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων ἐλευθεριῶν, ἀπὸ τοῦ βασιλέως αἴτησις γίνηται.**

---

ΖΩΝΑΡ. Δοῦλοι διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις ἠλευθεροῦντο, τοῦτο τῶν ἐπισκόπων δίκαιον εἶναι δοκιμαζόντων, οὓς οἱ δεσπόται ἐπειρῶντο αὖθις εἰς δουλείαν ἕλκειν· περὶ τούτων οὖν ἔδοξεν ὑπομνησθῆναι τὸν βασιλέα.

ΒΑΛΣ. Δοῦλοι διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις, ἠλευθεροῦντο κατὰ διάγνωσιν ἐπισκοπικήν. Ἐπεὶ δὲ οἱ δεσπόται τούτων ἐπεχείρουν αὐτοὺς δουλαγωγεῖν, ἔδοξε περὶ τούτων ὑπομνησθῆναι τὸν βασιλέα, ὥστε ἀνασταλῆναι τὴν τῶν δεσποτῶν δυναστείαν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις.

(1) τῶν οἰκετῶν, οὐ κεῖται παρὰ Βευερ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Σὺ δὲ γίνωσκε, ὅτι ἀπὸ τοῦ βιβλίου τοῦ ἀποκειμένου ἐν τῷ σεκρέτῳ τοῦ πρωτεκδίκου, τοῦ ἔχοντος τὰ διατυπωθέντα παρὰ τοῦ ἀοιδίμου κτήτορος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τοῦ βασιλέως Ἰουστινιανοῦ, πολλὰ προνόμια ἔχουσιν οἱ παρὰ τοῦ μέρους τῆς ἐκκλησίας ἐλευθερούμενοι δοῦλοι. Ἀνάγνωθι καὶ τὸν κς'. τίτλον τοῦ μή. βιβλίου περὶ ἐλευθερουμένων δούλων διδάσκοντα, καὶ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν διοριζομένην μὴ ἔχειν χώραν τοὺς περὶ τῶν ἀντιπαραγωγῶν τῶν μαρτύρων νόμους, ὅταν περὶ ἐλευθερίας δικάζηταί τις, ἀλλὰ μόνην γίνεσθαι παραγωγὴν μαρτύρων παρὰ τοῦ δουλαγωγουμένου, ἢ τοῦ ἐλευθεροβοῶντος.

**ἈΡΙΣΤ.** Περὶ τῶν ἐν ἐκκλησίαις γινομένων ἐλευθεριῶν, ἐκ βασιλέως αἴτησις γινέσθω.

Τὰ αὐτὰ τῷ ἑξηκοστῷ τετάρτῳ κανόνι διαλαμβάνει, καὶ ἡρμηνεύθη ἐκεῖσε.

## Κανὼν ΠΓ'. (ϞΑ'.)

*Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων.*

Ὁμοίως ἤρεσεν, ἵνα τὰ (1) πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς καὶ τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μαρτύρων καθιστάμενα, ἐν οἷς οὐδὲ ἓν σῶμα, ἢ λείψανον μαρτύρων, ἀποκείμενα (2) δείκνυνται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων, εἰ ἔστι δυνατὸν, καταστρέφωνται· εἰ δὲ τοῦτο θορύβοις δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νουθετηθῶσι μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους. Καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται· καὶ παντελῶς (3) μηδὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μήπου ἢ σῶμα, ἤ τινα λείψανα ὦσιν, ἢ ἀρχαιογονία τινὸς

---

(1) ἄνευ τοῦ, τά, Π. Ἰουστ. — (2) ἐναποκείμενα Χ. Τρ. — (3) μηδαμῶς Βευερ.

οἰκήσεως, ἢ κτήσεως, ἢ πάθους πιστῇ (1) ἀρχαιότητι παραδιδῶνται· ὅσα γὰρ δι' ἐνυπνίων, καὶ ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδήποτε καθίστανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδοκιμασθῶσι.

—

ΖΩΝΑΡ. Τινὲς εὐσεβεῖν δοκοῦντες, ἐν ἀγροῖς καὶ ἐν ἀμπελῶσιν ᾠκοδόμουν εὐκτήρια ἐπὶ μαρτύρων ὀνόμασιν, ὡς δι' ἐνυπνίων ταῦτα καὶ ἀποκαλύψεων ἀνεγείροντες. Προστάσσει τοίνυν ὁ κανὼν τὰ τοιαῦτα, εἰ μήτε σώματα μαρτύρων ἔχοιεν αὐτοῖς ἐναποκείμενα, μήτε τινὰ λείψανα μαρτύρων, παρὰ τῶν κατὰ τόπους ἐπισκόπων καταστρέφεσθαι. Εἰ δὲ οἱ δῆμοί, φησιν, ἀνθίστανται θορυβοῦντες, καὶ οὐκ ἐῶσι καθαιρεῖσθαι αὐτὰ, νουθετεῖσθαι τὰ πλήθη κελεύει, μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους, τουτέστι μὴ συνάγεσθαι τοὺς ὄχλους ἐκεῖ, μηδὲ τοὺς ὀρθοδόξους καταδεσμεῖσθαι τῇ τούτων δεισιδαιμονίᾳ, μηδὲ μνήμας μαρτύρων ἐν αὐτοῖς ἐπιτελεῖν, εἰ μὴ σῶμα μάρτυρος, μηδὲ λείψανα ἐκεῖ κεῖνται, ἢ ἐξ ἀρχαίων χρόνων ἦν ᾠκοδομημένον τὸ θυσιαστήριον ἐκεῖνο· ἃ γάρ, φησι, συνέστησαν, ὡς ἐξ ἐνυπνίων καὶ ἀποκαλύψεων οἰκοδομησάντων αὐτά τινων, πάντα ἀποδοκιμαζέσθωσαν.

ΒΑΛΣ. Κεκανόνισται, μὴ ἄλλως εὐκτήριον οἶκον ἀνεγείρεσθαι ὁπουδήποτε, εἰ μὴ κατ' ἐπιτροπὴν ἐπισκοπικήν, ἢ καὶ παρουσίαν εὐχὴ θεμελίου τελεσθῇ κατὰ τόπον, καὶ σταυροπήγιον ἐντεθῇ, καὶ διὰ καταθέσεως ἁγίων λειψάνων μαρτυρικῶν καθιερωθῇ ὁ ναός. Ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἀπὸ ὀνειράτων, ἢ καὶ πεπλασμένων ἀποκαλύψεων ἀνήγειρον εἰς ἀγροὺς καὶ ἀμπελῶνας παρὰ γνώμην τῶν ἐπισκόπων θυσιαστήρια, καὶ διὰ παρασυνάξεων καὶ ψευδῶν ἐνυπνίων τοὺς ἁπλουστέρους πλανῶντες, τὴν ὀρθόδοξον πίστιν διέστρεφον, ἤρεσε, τὰ τοιαῦτα θυσιαστήρια, τὰ εἰς μνήμην τάχα μαρτύρων καθιστάμενα, καὶ μὴ ἔχοντα σώματα, ἢ λείψανα μαρτύρων, μηδὲ ἀρχῆθεν ἀνεγερθέντα διὰ τὸ οἰκῆσαι ἐν αὐτοῖς ὁσίους, ἢ μάρτυ-

(1) Σ. Ρ. Βευερ. — ἀρχαιογονία . . . πιστῇ, οὐ κεῖται παρὰ Π. Χ. Τρ. Ἰουστ. Κ. Ε. — ἀλλὰ λατινιστὶ παρὰ τοῖς τελευταίοις.

ρας, ἢ κτησίδια εἶναι τούτων, ἢ ἐν αὐτοῖς πάθη μαρτυρίου ὑποστῆναι, καὶ, ὡς εἴρηται, μὴ καθιερωθέντα, παρὰ τῶν ἐγχωρίων ἐπισκόπων καταστρέφεσθαι. Εἰ δὲ οἱ δῆμοί, φασιν, ἀνθίστανται θορυβοῦντες, νουθετεῖσθαι καὶ τούτους μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους, τουτέστι μὴ συνάγεσθαι τοὺς ὄχλους ἐκεῖ, μηδὲ τοὺς ὀρθοδόξους καταδεσμεῖσθαι τῇ τούτων δεισιδαιμονίᾳ, μηδὲ μνήμας μαρτύρων ἐν αὐτοῖς ἐπιτελεῖν. Σημείωσαι τὸν παρόντα κανόνα πολλὰ χρησιμεύοντα εἰς τὰς ἀγροικικὰς ἐκκλησίας· γίνονται γὰρ πολλὰ τοιαῦτα παρὰ χωριτικῶν ἀνδραρίων προσλαμβανόντων γυναῖκας ἐνθουσιώσας κατὰ δαιμονικὴν ἐπήρειαν, καὶ προφοιβαζούσας τάχα τὰ μέλλοντα, καὶ ἄνδρας προσποιουμένους δαιμονᾷν, καὶ ποιοῦντάς τινα μηδὲ λέγεσθαι ἄξια εἰς τὰς τοιαύτας ἐκκλησίας.

* Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὰ ἐνύπνια, κἂν οἷα ἂν ὦσιν, ἀπαράδεκτά εἰσι, καὶ οἱ τούτοις ἀκολουθοῦντες κολάζονται ὡς σκιαμαχοῦντες καὶ παρὰ τῶν δαιμόνων κλεπτόμενοι. Ὑπέξελέ μοι τὰ ἀποκαλυφθέντα παρὰ Θεοῦ ἀνθρώποις ἀξίοις θείας ἀποκαλύψεως, ὡς τῷ Ἰωσὴφ, τῷ Δανιὴλ, καὶ ἑτέροις· ὥστε ὁ βίος καὶ ἡ ἁγιοπρέπεια τοῦ διδόντος τὸν ὄνειρον ἢ συνίστησι τοῦτον ὡς ἀποκάλυψιν, ἢ ἀναιρεῖ ὡς δαιμονικὴν πλάνην, καὶ ὑποβολήν· οἱ γὰρ δαίμονες πολλάκις προλέγουσι καὶ τὰ μέλλοντα δι' ἐνυπνίων τοῖς ἀναξίοις, ἵνα δι' αὐτῶν τούτους μεθελκύσωσι καὶ πλανήσωσι, δι' ὧν ἀποφοιβάζωσι στοχαστικῶς ἀλλ' οὐκ ἀκριβῶς * (1).

**ΑΡΙΣΤ.** Θυσιαστήριον ἐν ἀγροῖς ἢ ἐν ἀμπελῶσι γινόμενον, ἐν οἷς οὐ λείψανον ἀπόκειται μάρτυρος, εἰ μὴ δημόσιος γίνεται θόρυβος, καταστρεφέσθω· καὶ ὅσα δι' ἐνυπνίων καὶ ἀποκαλύψεων ματαίων συνίσταται θυσιαστήρια.

Ὅσοι τῶν εὐκτηρίων οἴκων οὐ δι' εὐχῆς ἐπισκόπων συνέστησαν, καὶ λείψανα μαρτύρων τούτοις ἐναπετέθησαν, ἀνίεροι εἰσί. Διὰ τοῦτο γοῦν, καὶ τὰ ἐν ἀγροῖς ἢ ἀμπελῶσι γινόμενα θυσιαστήρια, χωρὶς εὐχῆς ἐπισκόπου καὶ τοῦ ἐναποτεθῆναι μαρ-

(1) Ἡ σημ.: αὕτη ἀναγινώσκεται ἐν περισελίδῳ τοῦ Χ. Τρ. — οὐ κεῖται δὲ παρὰ Βευερ. καὶ Ε.

τύρων λείψανα, εἰ δυνατὸν καταστρεφέσθωσαν· εἰ δὲ μὴ δημοτικὸς θόρυβος τοῦτο κωλύει γενέσθαι, κἂν νουθεσίαν δεχέσθωσαν μὴ ποιεῖν ἐν αὐτοῖς ὀχλαγώγια. Καταστρεφέσθωσαν δὲ καὶ τὰ δι' ἐνυπνίων καὶ ἀποκαλύψεων ματαίων συνιστάμενα θυσιαστήρια· σκότος γὰρ ὢν ὁ διάβολος, φῶς ὑποκρίνεται, καὶ προφάσει δῆθεν εὐλαβείας τὰς τῶν ἀνθρώπων δελεάζει ψυχάς.

## Κανὼν ΠΔ'. (ϞΒ'.)

*Περὶ τοῦ, τὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι.*

Ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα τὰ λείψανα τῆς εἰδωλολατρείας, μὴ μόνον τὰ ἐν ξοάνοις, ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις, ἢ ἄλσεσιν, ἢ δένδροις, παντὶ τρόπῳ ἐξαλειφθῶσι.

---

ΖΩΝΑΡ. Καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος πλατυνθέντος, ἔτι λείψανα τῆς εἰδωλολατρείας τινὰ, ἤγουν ἐγκαταλείμματα, περιελιμπάνοντο, καὶ ἐσώζοντο, καὶ ἀγάλματα, καὶ βωμοὶ ἐν διαφόροις τόποις καὶ ἄλσεσι· περὶ τούτου ἔδοξε τοῖς Πατράσιν ὑπομνησθῆναι τοὺς βασιλεῖς ἵνα ἐξαλειφθῶσιν, ὥστε μή τι περιλειφθῆναι αὐτῶν.

ΒΑΛΣ. Παρακαλοῦσιν οἱ Πατέρες τοὺς βασιλεῖς, τὰ ἔτι περιλειφθέντα ἀγάλματα τῶν εἰδώλων, καὶ ὁπουδήποτε ὄντα, ἐξαλειφθῆναι.

ΑΡΙΣΤ. Τὰ εἴτε ἐν ξοάνοις, ἢ τόποις τισὶν, ἢ ἄλσεσιν, ἢ δένδροις, λείψανα τῆς εἰδωλολατρείας, ἐξαλειφέσθω.

Οὐ μόνον τὰ τῶν εἰδώλων ξόανα δεῖ συντρίβεσθαί τε καὶ ἐξαλείφεσθαι, καὶ τοὺς βωμοὺς αὐτῶν καταστρέφεσθαι, ἀλλὰ καὶ εἴ τι λείψανον τῆς εἰδωλολατρίας ὑπελείφθη, ἢ ἐν τόποις, ἢ ἄλσεσιν, ἢ δένδροις, (τί γὰρ, ὅτι τινὰ τούτων ἐτίμων οἱ Ἕλληνες, ἢ ἐμαντεύοντο ἐν αὐτοῖς, καὶ τῆς πλάνης ἀπελαθείσης, ἢ ὁ τρίπους, ἢ τὸ μαντεῖον ἐναπέμεινεν;) ἀφανιζέσθω καὶ τοῦτο, ὡς μηδὲ μνήμην αὐτῷ ὑπεῖναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## Κανὼν ΠΕ'. (ϟΓ'.)

*Ὥςτε γράφεσθαι καὶ ὑπογράφεσθαι, ὁσάκις γένηται χρεία, ἐκ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων τῶν ἐπισκόπων, ἐπιστολάς.*

Ἀπὸ συμπάντων τῶν ἐπισκόπων ἐλέχθη, ἵνα, ἐὰν ἤρεσέ (1) τινα γράμματα ὀφείλειν ὑπαγορευθῆναι ἐν τῇ συνόδῳ, ὁ προσκυνητὸς ἐπίσκοπος ὁ ἐν τῷ θρόνῳ τούτῳ προκαθήμενος καταξιοῖ ἐπ' ὀνόματι πάντων ὑπαγορεύειν καὶ ὑπογράφειν. Ἐν οἷς ἤρεσεν (2) ἔτι μὴν τοῖς τοποτηρηταῖς ἐπισκόποις, τοῖς ὀφείλουσιν ἀποσταλῆναι εἰς τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, ἕνεκεν τῶν Δοναπιστῶν, γράμματα δοθῆναι, δύναμιν ἐντολικοῦ περιέχοντα, ἣν δύναμιν μὴ παρεξέλθωσι. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

**ΖΩΝΑΡ.** Ἤρεσε πᾶσι τοῖς ἐν τῇ συνόδῳ, ἵνα, εἰ χρεία γένηται ἐπιστολὰς γραφῆναι· πρός τινας ἐκ τῆς συνόδου, ὁ προκαθήμενος ἐν τῷ θρόνῳ τῆς Καρχηδονίων ἐκκλησίας, ὃν καὶ πάπαν ἐν ἀρχῇ τῆς συνόδου ὠνόμασαν, ταύτας ὀνόματι πάντων τῶν ἐπισκόπων ὑπαγορεύῃ. Ἤρεσε δὲ καὶ δοθῆναι γράμματα ἐντολῆς δύναμιν ἔχοντα, καὶ τυποῦντα, τί ποιῆσαι ὀφείλουσι, τοῖς μέλλουσιν ἀπελθεῖν εἰς τὴν τῆς Ἀφρικῆς ἐπαρχίαν ἕνεκεν τῶν Δονατιστῶν, ἵνα μὴ παρεξέλθωσι τὰ ἐνταλθέντα αὐτοῖς.

**ΑΡΙΣΤ.** Ἔδοξε, τὰ ὀφείλοντα παρὰ τῇ συνόδῳ γίνεσθαι γράμματα, παρὰ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων γράφεσθαι καὶ ὑπογράφεσθαι.

Ὡς γὰρ πρωτεύων τῶν ἐν Ἀφρικῇ πάντων ἐπισκόπων, τὰ παρὰ τῆς συνόδου ὀφείλοντα σταλῆναι γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας ἕνεκα τῶν Δονατιστῶν, ἢ πρὸς ἑτέρους, γράψει καὶ ὑπογράψει· ᾠκονομήθη δὲ τοῦτο διὰ τὸ δυσχε-

---

(1) ἀρέσῃ Βευερ. —(2) τὰ ἀπὸ τοῦ, ἐν οἷς ἤρεσε, μέχρι τέλους τοῦ Καν. οὐ κεῖται ἐν Π.

ρὲς εἶναι, καὶ φόρτον ὁλόκληρον, πάντας τοὺς τῆς συνόδου, τοῖς στελλομένοις παρ' αὐτῶν πρὸς βασιλεῖς, ἢ πρὸς ἄρχοντας, γράμμασιν ὑπογράφειν.

## ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

*Ἐν ταύτῃ τῇ συνόδῳ τὰ προλαβόντα ψηφίσματα κυροῦνται.*

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου καὶ Ὀνωρίου τῶν αὐγούστων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν Σεπτεμβρίων, ἐν Μιλεβιτανῇ πόλει εἰς τὸ σήκρητον τῆς ἐκκλησίας, Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας προκαθίσας ἐν πάσῃ τῇ συνόδῳ, παρεστώτων τῶν διακόνων, εἶπεν· Ἐπειδὴ (1) τῆς ἁγιωτάτης ἐκκλησίας ἓν σῶμα ὑπάρχει, καὶ πάντων τῶν μελῶν μία ἐστὶ κεφαλὴ, συνέβη θέλοντος τοῦ Θεοῦ καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐνδυναμοῦντος, ὥστε πρὸς ταύτην τὴν ἐκκλησίαν ἐλθεῖν ἡμᾶς, ἀγάπης καὶ ἀδελφότητος χάριν (2) προτραπέντας. Διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, ἐπειδὴ οὕτως ἐςὶ πιςευτέον, ὅτι ἡ ἡμετέρα παρ' ὑμῖν προσέλευσις, οὔτε περισσὴ, οὔτε ἡδυτάτη (3) πᾶσίν ἐστιν, ἵνα ἡ συναίνεσις πάντων ἡμῶν φανερωθῇ ὁμονοεῖν τοῖς συνδόξασι, τῶν ψηφισμάτων τῶν πάλαι εἴτε κατὰ τὴν ἐν Ἱππῶνι σύνοδον βεβαιωθέντων, εἴτε μετὰ ταῦτα τῇ ἐν Καρχηδόνι κρείττονι συνόδῳ ὁρισθέντων, ὁμοίως δὲ καὶ νῦν κατὰ τάξιν ἡμῖν ἀναγινωσκομένων. Τότε γὰρ τῆς ὑμετέρας ἀδελφότητος ἡ ὁμόνοια λαμπροτέρα τοῦ φωτὸς ἀναδειχθήσεται, ἐὰν τὰ παρ' ἡμῶν ἐν ταῖς ἀνωτέραις συνόδοις νομίμως ὁρισθέντα (4), μὴ μόνον τῇ ἐν τοῖς παροῦσι πεπραγμένοις συναινέσει ὑμῶν, ἀλλὰ καὶ ὑπογραφαῖς ἔτι μὴν φανερώσητε (5). Σάγκτιππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδίας, εἶπε· Πιστεύω, ὅτι συμπάσῃ τῇ ἀδελφότητι ἤρεσεν· ὑπογράφοντες δὲ ἡμεῖς τῇ ἰδίᾳ ὑποσημειώσει βεβαιοῦμεν ἀρέσαι. Καὶ τὰ ὁρισθέντα ἰδιοχείρως ἐβεβαίωσαν. Νικήτιος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Μαυριτανίας Σιτιφένσης εἶπε· Τὰ ἀναγνωσθέντα ψη-

(1) Κανὼν πδ', ἐν Π. — ἀλλ' ἐν Χ. Τρ. Ε. 'Ρ. καὶ παρὰ 'Ιουστ. ἡ διαλαλιὰ αὕτη οὐ κατατάσσεται ἐν τοῖς κανόσι.—(2) χάριτι, 'Ιουστ. —(3) λατιν. παρὰ Βρ. — nec insuavis, οὔτε ἀηδής. —(4) κριθέντα Π. — (5) ἐνταῦθα τὸ τέλος τοῦ Κανόνος ἐν Π.

φίσματα, ἐπειδὴ λογισμοῦ οὐκ ἐστέρηνται, καὶ ἀπὸ πάντων ἐκυρώθησαν, ἔτι μὴν καὶ τῇ ἐμῇ βραχύτητι ταῦτα ἀρέσκουσιν, ἅπερ τῇ οἰκείᾳ ὑπογραφῇ (1) βεβαιώσω.

ΖΩΝΑΡ. Ἐνταῦθα ὁ προέχων τῆς συνόδου Αὐρήλιος ἀξιοῖ τοὺς ἐπισκόπους συναινέσαι τοῖς πάλαι δόξασιν ἐν συνόδοις, εἴτε ἐν Ἱππῶνι τῇ πόλει, εἴτε ἐν Καρχηδόνι γενομέναις, καὶ δεῖξαι, ὡς ὁμονοοῦσιν ἐκείνοις συναινοῦντες, καὶ ὑπογραφαῖς βεβαιοῦντες τὰ ψηφισθέντα, ἃ καὶ ὑπογράψαντες ἐβεβαίωσαν.

ΒΑΛΣ. Τοῦ Αὐρηλίου τοῦ ἐπισκόπου Καρχηδόνος ἀξιώσαντος συναινέσαι πάντας τοὺς ἐπισκόπους τοῖς ὁρισθεῖσι, καὶ δεῖξαι ὡς ὁμονοοῦσιν, εἶπον ἅπαντες ἀποδέχεσθαι τὰ θεσπίσματα ἐν διαφόροις συνόδοις, καὶ διὰ τοῦτο ἐβεβαίωσαν αὐτὰ διὰ τῶν οἰκείων ὑπογραφῶν.

## Κανὼν Πϛ'. (ϞΕ'.)

*Περὶ τάξεως ἐπισκόπων, ὥστε τοὺς μεταγενεστέρως χειροτονηθέντας μὴ τολμᾷν ἑαυτοὺς προτιμᾷν τῶν προτέρων.*

**Βαλεντῖνος ἐπίσκοπος εἶπε· Τὸ ἀγαθὸν τῆς ὑμετέρας ἀνεξικακίας ἐὰν ἐπιτρέπῃ (2), ἀκολούθως ἐξηγήσομαι τὰ ἐν τῷ προλαβόντι χρόνῳ εἰς τὴν Καρχηδονίων ἐκκλησίαν πραχθέντα, καὶ ταῖς τῶν ἀδελφῶν ὑπογραφαῖς φανερῶς κυρωθέντα, καὶ ἡμᾶς ἔτι μὴν φυλάξοντας ὁμολογήσω. Ἐκεῖνο τοίνυν ἐπιστάμεθα, ἀμίαντον ἀεὶ τὴν ἐκκλησιαστικὴν φυλάττεσθαι κατάστασιν, οὕτως ὡς (3) μηδένα τῶν ἀδελφῶν τολμᾷν ἑαυτὸν προτιμᾷν προπετῶς τῶν πρὸ αὐτοῦ, ἀλλὰ ταῖς τῆς ἀγάπης τάξεσιν ἀεὶ παρεσχέθη τοῖς προτέροις, ὅπερ οἱ ἐπακολουθοῦντες χαριέντως κατεδέξαντο. Ταύτην οὖν τὴν τάξιν κελεύσει ἡ ὑμετέρα ἁγιωσύνη κρειττόνως ταῖς ὑμετέραις διαλαλιαῖς βεβαιῶσαι. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Οὐκ ἐχρῆν μὲν ταῦτα ἡμᾶς ἐπαναλαμβάνειν, εἰ μὴ ἐὰν τυχὸν ἀκατανόητοι διάνοιαί τινων ἀνεφύησαν, αἱ πρὸς τοὺς ὅρους τούτους**

(1) Βευερ. — γραφῇ Ἰουστ. Κ. Ἑ. — (2) ἐπιτραπῇ Χ. Τρ. — (3) Ὥστε μηδένα κτλ. τοιαύτη ἡ ἀρχὴ τοῦ Καν. ϞΕ ἐν Π.

τὰς ἡμετέρας αἰσθήσεις ὀξύνουσαι· ἀλλ' ἐπειδὴ αὕτη κοινή ἐστιν αἰτία, ἣν νῦν ἐνεφάνισεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν, ὥστε ἕκαστον (1) ἡμῶν ἐπιγινώσκειν τὴν παρὰ τοῦ Θεοῦ ψηφισθεῖσαν αὐτῷ τάξιν, καὶ ἵνα οἱ μεταγενέστεροι τοῖς προτέροις ἀναφέρωσι, καὶ μὴ τολμήσωσι παρὰ γνώμην τούτων τίποτε πράττειν, διὰ (2) τοῦτο λέγω, καθὼς τὸν ἐμὸν ὑποτρέχει λογισμὸν, τοὺς καταφρονοῦντας τῶν πρὸ αὐτῶν, καί τινα ἀποτολμῶντας, κωλυτέους ἁρμοδίως εἶναι ἀπὸ πάσης τῆς συνόδου (3). Σάγκτιππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδίας εἶπεν· Ἤκουσεν ἡ πάντων τῶν ἀδελφῶν παρουσία τὴν ἐξακολούθησιν τοῦ ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Αὐρηλίου, τί πρὸς ταῦτα ἀποκρίνεται; Διατίμιος ἐπίσκοπος εἶπε· Τὰ παρὰ τῆς ψήφου τῶν ἀρχαίων ὁρισθέντα, τῇ ὑμετέρᾳ συναινέσει ἐκδοθήσονται, ἵνα τὰ περιεχόμενα τοῖς πεπραγμένοις τῶν προτέρων συνόδων ἐν τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ κατὰ τὴν ἡμετέραν συναίνεσιν πεπληρωμένως βέβαια παρὰ πᾶσι φυλαχθῶσι. Σύμπαντες οἱ ἐπίσκοποι εἶπον· Ἡ τάξις αὕτη καὶ ἀπὸ τῶν Πατέρων καὶ ἀπὸ τῶν ἀρχαίων ἐφυλάχθη, καὶ ἀφ' ἡμῶν κατὰ συγχώρησιν Θεοῦ φυλαχθήσεται, σωζομένου ἔτι μὴν τοῦ δικαίου τῶν πρωτευόντων τῆς Νουμιδίας καὶ Μαυριτανίας.

*Περὶ τοῦ χαρτοθεσίου καὶ ματρικίου τῆς Νουμιδίας.*

Ἔπειτα ἤρεσε πᾶσι τοῖς ἐπισκόποις τοῖς ἐν ταύτῃ τῇ συνόδῳ ὑπογράψασιν, ἵνα τὸ ματρίκιον καὶ ἀρχαιότυπον (4) τῆς Νουμιδίας καὶ εἰς τὴν πρώτην καθέδραν ᾖ, καὶ εἰς τὴν μητρόπολιν Κωνσταντίναν.

---

**ΖΩΝΑΡ.** Οὔπω τότε πάσαις ταῖς ἐκκλησίαις βαθμὸς καὶ

(1) ἀλλ' ἕκαστον κτλ. Π. ὅπου παραλείπεται τὰ ἀπὸ τοῦ, ἀλλὰ καὶ ἁ ταῖς τῆς ἀγάπης, ἕως τοῦ, καὶ συλλειτουργὸς ἡμῶν.—(2) διὰ τοῦτο . . . . λογισμὸν, παραλείπεται ἐν Π.—(3) ἐνταῦθα τὸ τέλος τοῦ Κανόνος ἐν Π. — (4) Χ. Τρ. — ἀρχέτυπον οἱ λοιποί.

τάξις ἐτέτακτο, μόναις δὲ ταῖς ὑπερεχούσαις, ὡς ἔστιν εὑρεῖν ἐκ τοῦ τέλους τοῦ παρόντος κανόνος· οἱ δὲ τῶν ἄλλων ἐκκλησιῶν ἐπίσκοποι πρὸς τοὺς χρόνους τῶν χειροτονιῶν αὐτῶν προετιμῶντο. Τοῦτο οὖν οἱ τῆς συνόδου φυλάττεσθαι διατάττονται, ὥστε τοὺς προχειροτονηθέντας ἐπισκόπους τῶν μεταγενεστέρων προτετιμῆσθαι, ταῖς δὲ πρωτευούσαις ἐκκλησίαις τῆς Νουμιδίας καὶ Μαυριτανίας φυλαχθῆναι τὸ δίκαιον ἐκ τοῦ χαρτοθεσίου καὶ τοῦ ματρικίου τῆς Νουμιδίας. Ἦν γὰρ, ὡς ἔοικεν, ἐν τῇ Νουμιδίᾳ ἀπογραφή τις, (αὕτη γάρ ἐστι τὸ ματρίκιον), περιέχουσά τινα περὶ τάξεως καὶ βαθμῶν τῶν εἰρημένων ἐκκλησιῶν· ἀποκεῖσθαι δὲ ἔδοξε τὸ ματρίκιον τὸ ἀρχαιότυπον εἰς τὴν πρώτην καθέδραν, καὶ εἰς τὴν μητρόπολιν Κωνσταντίναν.

ΒΑΛΣ. Ὡς ἔοικεν, οὐκ ἐτάχθησαν ἔτι οὐδὲ ὡρίσθησαν κατὰ τὸν τότε καιρὸν οἱ θρόνοι τῶν ἐκκλησιῶν, καὶ διὰ τοῦτο ὥρισαν οἱ Πατέρες προτιμᾶσθαι τοὺς προγενεστέρως χειροτονηθέντας. Σήμερον δὲ τοῦτο οὐκ ἐνεργεῖ· ἀλλὰ κατὰ τὴν γενομένην ὑποτύπωσιν παρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, τὴν ἐν τῷ χαρτοφυλακείῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἀποκειμένην, οἱ θρόνοι τιμῶνται τῶν ἐκκλησιῶν. Τὸ δὲ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαινόμενον δίκαιον τῆς προγενεσίας ἐνεργεῖ εἰς τὰ τῶν κληρικῶν τάγματα· τιμᾶται γὰρ ἕκαστος κατὰ τὴν προγενεσίαν τοῦ χρόνου τῆς οἰκείας χειροτονίας. Ἐπὶ δὲ τῷ βαθμῷ τῶν ἐκκλησιαστικῶν ἀρχοντικίων πάντων(1) τοῦτο οὐ φυλάττεται, ἀλλὰ κατὰ τὴν προαίρεσιν τῶν σφραγιζόντων ἀρχιερέων ἡ στάσις φιλοτιμεῖται, καὶ ὁ μεταγενέστερος πολλάκις προτιμᾶται τοῦ προγενεστέρου, *διὰ τὸ καταχρηστικῶς καλεῖσθαι βαθμοὺς τὰ ὀφφίκια· κυρίως γὰρ βαθμοὺς καὶ τάγματα λέγομεν τὴν τῶν ἱερέων συστοιχίαν, τῶν διακόνων, τῶν ὑποδιακόνων, καὶ τῶν ἀναγνωστῶν * (2).

ΑΡΙΣΤ. Οὐ προτιμήσεις τοῦ πρό σου σεαυτὸν, ἀλλ' ἐπακολουθήσεις· ὁ δὲ περιφρονῶν τοὺς προτέρους εὐκαταφρόνητος.

---

(1) Χ. Τρ. — πῶς Ἐ. Βευερ. — (2) τὰ ἐντὸς * κεῖται ἐν Χ. Τρ. οὐχὶ δὲ παρὰ Βευερ. καὶ Ἐ. ὅπου τὸ τέλος τῆς ἑρμηνείας ἔχει οὕτω, πῶς τοῦτο οὐ φυλάττεται . . . προτιμᾶται τοῦ προγενεστέρου, θαυμάζω· ἀλλὰ λατιν. ὡς τὸ Χ. Ἀρ.

Ἐν τῇ Ἀφρικῇ τῷ τότε, οὐδὲ ἀλλαχοῦ εἶχον αἱ ἐπισκοπαὶ διαφοράν τινα εἰς τὴν τοῦ θρόνου τιμὴν, ἀλλὰ πᾶσαι ἦσαν ἰσότιμοι, ὁ δὲ πρῶτος χειροτονηθεὶς ἐπίσκοπος, τοῦ μετ᾽ αὐτὸν χειροτονηθέντος, ἔν τε τῇ καθέδρᾳ, καὶ ἐν ταῖς λοιπαῖς ζητήσεσι ταῖς κανονικαῖς προετιμᾶτο, καὶ οὕτως οἱ ἐφεξῆς κατὰ τοὺς χρόνους τῶν χειροτονιῶν αὐτῶν ἐπηκολούθουν. Τὸν γοῦν μὴ κατὰ τὸν τύπον τοῦτον ποιοῦντα ἐπίσκοπον ἐν τῇ τῶν Ἄφρων χώρᾳ, ἀλλ᾽ ἀπαυθαδιαζόμενον, καὶ τοὺς προτέρους περιφρονοῦντα, ὥρισεν ἡ σύνοδος εὐκαταφρόνητον εἶναι καὶ ἀπὸ πάσης συνόδου.

## Κανὼν ΠΖ'. (κϛ'.)

*Περὶ Κουοδβουλτδέου ἐπισκόπου.*

Περὶ Κουοδβουλτδέου ἔτι μὴν τοῦ Κεντυριάτου, ἐπειδὴ τοῦ ἐναντίου αὐτοῦ αἰτήσαντος παρὰ τῇ ἡμετέρᾳ εἰσενεχθῆναι συνόδῳ, ἐρωτηθεὶς, εἰ ἄρα βούλεται μετ᾽ αὐτοῦ παρὰ τοῖς ἐπισκόποις ἀποπειραθῆναι, πρῶτον μὲν ὑπέσχετο, τῇ δὲ ἄλλῃ ἡμέρᾳ τοῦτο μὴ ἀρέσκειν αὐτῷ ἀπεκρίνατο, καὶ ἀνεχώρησεν, ἤρεσε πᾶσι τοῖς ἐπισκόποις, ἵνα μηδεὶς τῷ αὐτῷ Κουοδβουλτδέῳ κοινωνήσῃ, ἕως οὗ τὸ κατ᾽ αὐτὸν πρᾶγμα περατωθῇ. Τὴν γὰρ ἐπισκοπὴν ἀπ᾽ αὐτοῦ ἀφαιρεθῆναι, πρὸ τῆς ἐκβάσεως τοῦ κατ᾽ αὐτὸν πράγματος, οὐδενὶ Χριστιανῷ δύναται δοκεῖν.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Κατηγόρησέ τις τοῦ ῥηθέντος ἐπισκόπου, καὶ ἠρωτήθη ὁ κατηγορηθεὶς, εἰ βούλεται παρὰ τῇ συνόδῳ μετὰ τοῦ κατηγόρου ἐξετασθῆναι (1)· ὁ δὲ ὑποσχόμενος, μετὰ μικρὸν παρῃτήσατο, καὶ ἀνεχώρησε· καὶ ἡ σύνοδος ἐψηφίσατο, μηδένα αὐτῷ κοινωνῆσαι ἕως οὗ δικασθῇ· τὴν δὲ ἐπισκοπὴν ἀπὸ τοῦ κατηγορηθέντος μὴ ἀφαιρεθῆναι. Δείκνυται οὖν κἀκ τούτου, ὅτι κἂν ὑπὸ κατηγορίαν γένηταί τις ἢ καὶ ὑπὸ ἀφορισμὸν, ἑωσοῦ λυθῇ τὸ κατ᾽ αὐτοῦ δικαστήριον, ἐπίσκοπός ἐστι, καὶ τῆς ἐπισκοπῆς οὐκ ἐξωθεῖται.

ΑΡΙΣΤ. Ἐπειδὴ Κουοδβουλτδέος, τοῦ ἐναντίου αὐτῷ αἰτήσαν-

---

(1) Χ. Τρ. Κ. — δικάσασθαι Βιϋρ. Ἐ.

τος παρὰ τῇ ἡμετέρᾳ συνόδῳ εἰσενεχθῆναι, πρῶτα μὲν εἰσελθεῖν κατέθετο, ὕστερον δὲ ἀπαρέσκεσθαι εἰπὼν ὑπεχώρησεν, ἔστω ἀκοινώνητος, ἕως τὸ πρᾶγμα περατωθῇ· καθαιρεθῆναι γὰρ πρὸ δίκης, οὐ δίκαιον.

Οὐκ᾽ εὐκόλως δὲ τοὺς ἱερατικοὺς καθαιρεῖσθαι, οὐδ᾽ ἀπὸ τυχούσης προφάσεως. Κἂν γὰρ ὁ Κουοδβουλτδέος οὗτος ἐπίσκοπος παρὰ τῇ συνόδῳ ταύτῃ κριθῆναι κατέθετο, τοῦ ἀντιδίκου αὐτῷ τοῦτο αἰτήσαντος, εἶτα ὑπεχώρησεν, ὡς ἀπαρεσθεὶς παρ᾽ αὐτῇ τῇ συνόδῳ κριθῆναι, ἀκοινώνητος μὲν ἔσται, ἕως ἂν κριθῇ, καὶ τὰ κατ᾽ αὐτὸν πέρας δέξηται, τὴν δ᾽ ἐπισκοπὴν αὐτοῦ οὐκ ἀφαιρεθήσεται, ἀλλὰ καθέξει ταύτην, ὅτι μηδὲ δίκαιον πρὸ καταδίκης καθαιρεθῆναί τινα.

## Κανὼν ΠΗ'. (1)

*Περὶ Μαξιμιανοῦ ἐπισκόπου.*

Περὶ Μαξιμιανοῦ δὲ τοῦ Βαγενσίου, ἤρεσεν ἐκ τῆς συνόδου γράμματα δοθῆναι καὶ πρὸς αὐτὸν καὶ πρὸς τὸν λαὸν, ἵνα κἀκεῖνος ἐκ τῆς ἐπισκοπῆς ἀναχωρήσῃ, κἀκεῖνοι ἑαυτοῖς ἄλλον ἀναζητήσωσι.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν προσωπικός ἐστιν.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν προσωπικός ἐςι, καὶ ἑρμηνείας οὐ δεῖται.

ΑΡΙΣΤ. Μαξιμιανὸς ὁ Μαγένσιος ἐξωσθήτω τῆς ἐκκλησίας, καὶ ἄλλος ἀντικαταστήτω. Σαφής.

## Κανὼν ΠΘ'. (ϞΖ'.)

*Περὶ ἀπολυτικῶν (2) ὥστε τοὺς χειροτονουμένους ἐπισκόπους ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥ τε ἡμέρα καὶ ὁ ὕπατος προφέρεται.*

Ἔπειτα ἤρεσεν, ἵνα οἱτινεσδήποτε μετὰ ταῦτα χειροτονῶνται ἀνὰ τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, γράμματα λάβωσι παρὰ τῶν χειροτονούντων αὐτοὺς, τῇ χειρὶ αὐτῶν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν,

(1) τὸν Κανόνα τοῦτον, καθὸ προσωπικὸν, παραλείπει τὸ Π. — (2) Σ. Ρ. — τὸ, Περὶ ἀπολυτικῶν, οὐ κεῖται παρ᾽ ἄλλοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὥστε μηδεμίαν ἀμφισβήτησιν περὶ ὑστέρων ἢ προτέρων ἀναφυῆναι.

---

ΖΩΝΑΡ. Εἶπεν ἀνωτέρω, τοὺς ἐπισκόπους κατὰ τοὺς χρόνους καθ᾽ οὓς ἐχειροτονήθησαν, τετάχθαι, ἤτοι προτετιμῆσθαι τοὺς προγενεστέρους. Ἵνα οὖν μή τινες ἀμφιβολίαι φύωνται περὶ τοῦ καιροῦ τῆς ἑκάςου χειροτονίας, ὥρισεν ἡ σύνοδος ἕκαστον τῶν χειροτονουμένων παρὰ τῶν χειροτονούντων γράμματα λαμβάνειν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον, καὶ τὴν ἡμέραν· καὶ ἐκ τοῦ ὑπάτου γὰρ ὁ καιρὸς ἐδείκνυτο, ἐν δημοσίαις ἀπογραφαῖς ἑκάστου τῶν ὑπάτων δηλουμένου πότε ὑπάτευσεν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἀλυσιτελής ἐστι, διὰ τὸ τὴν προγενεσίαν μὴ ὠφελεῖν τοὺς ἐπισκόπους· εἰς δὲ τοὺς ἄλλους ἐκκλησιαστικοὺς βαθμοὺς χρησιμεύει· γίνονται γὰρ κατὰ τὴν τούτου περίληψιν τοῖς χειροτονουμένοις πιττάκια μετὰ μηνολογήματος εἰς δήλωσιν τῆς προγενεσίας. Ἀνάγνωθι καὶ τὸν πς'. κανόνα τῆς παρούσης συνόδου καὶ τὴν ἑρμηνείαν αὐτοῦ.

ΑΡΙΣΤ. Ὁ εἰς τὴν Ἀφρικὴν κεχειροτονημένος, ἐπιφερέσθω τοῦ ἐπιτεθεικότος χεῖρα γραφὴν ἰδιόχειρον, τὴν ἡμέραν ἔχουσαν, καὶ τὸν ὕπατον.

Διὰ τὸ μή τινα ὑπεῖναι ἀμφιβολίαν περὶ τῶν πρῶτον ἢ ὕστερον χειροτονηθέντων ἐπισκόπων ἐν Ἀφρικῇ, δεῖ τοὺς χειροτονοῦντας αὐτοὺς γράμματα διδόναι αὐτοῖς οἰκειόχειρα, δηλοῦντα τὴν ἡμέραν καθ᾽ ἣν ἐχειροτονήθησαν, καὶ τὸν ἐκεῖσε τῷ τότε ἄρχοντα.

## Κανὼν Ϛ'. (ϚΗ'.)

*Περὶ τοῦ, τοὺς κἂν ἅπαξ ἐν τῇ ἐκκλησίᾳ ἀναγνόντας μὴ δύνασθαι ἀπὸ ἄλλων προχειρίζεσθαι.*

Ὁμοίως ἤρεσεν, ἵνα ὁστιςδήποτε ἐν ἐκκλησίᾳ κἂν ἅπαξ ἀναγνῷ, ἀπ᾽ ἄλλης ἐκκλησίας πρὸς κλήρωσιν μὴ καταδέχηται (2). Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι

---

(1) μὴ κατέχηται Σ. Ρ. καὶ ὁ Βρ. δὲ λατιν. non teneatur. — (2) ἐνταῦθα λήγει ὁ Καν. ἐν Π.

συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Μυρίοι εἰσὶν οἱ κωλύοντες τοὺς κληρικοὺς κανόνες, καταλιμπάνειν (1) τὰς οἰκείας ἐκκλησίας, καὶ προσέρχεσθαι ἄλλαις. Τοῦτο οὖν καὶ ὁ παρὼν κανὼν μετὰ προσθήκης ὁρίζει· ἡ δὲ προσθήκη ἐστὶ τὸ, κἂν ἅπαξ ἀνέγνω ἐν ἐκκλησίᾳ, ὡς ἐκεῖσε καταταγεὶς, μὴ παραδέχεσθαι παρ' ἑτέρας ἐκκλησίας. Ἔοικε γὰρ, ὅτι προεβάλλοντο τοῦτό τινες ὡς δικαιολόγημα, ὅτι οἱ κανόνες περὶ τῶν χρόνον τινὰ διαρκῆ ποιησάντων ἐν κλήρῳ φασὶν, εἰ δέ τις ἅπαξ ἐν ἐκκλησίᾳ ἀνέγνω, ἐξέσται αὐτῷ, ὡς μηδενὸς καιροῦ γεγονότος, ἀναχωρεῖν ἐκεῖθεν. Τοῦτο οὖν ἡ σύνοδος ἀνατρέπουσα ἔφη, ὅτι, κἂν ἅπαξ ἀνέγνω ἐν ἐκκλησίᾳ, ἀπρόσδεκτος ἔσται ἐκκλησίᾳ ἑτέρᾳ.

ΒΑΛΣ. Τινὲς μὲν λέγουσι περὶ τοῦ κανόνος τούτου, ὅτι βούλεται τὸν καταταγέντα κληρικὸν εἰς ἐκκλησίαν μὴ δέχεσθαι μηδὲ χειροτονεῖσθαι παρ' ἑτέρου ἐπισκόπου, κἂν ἅπαξ ἀνέγνω εἰς ἣν κατετάγη ἐκκλησίαν· προεβάλλοντο γάρ τινες ὡς δικαιολόγημα, τὸ μὴ λογίζεσθαι κληρικὸν ἐκκλησίας, τὸν ἅπαξ ἐν αὐτῇ ἀναγνόντα. Ἕτεροι δὲ λέγουσιν, ὅτι τὸ τοιοῦτον δικαιολόγημα σαθρὸν ἐστίν· ἀπὸ μόνου γὰρ τοῦ καταταγῆναι καὶ σφραγισθῆναι κληρικός τις γίνεται, κἂν ἐπ' ἐκκλησίας οὐκ ἀναγνῷ· καὶ ἑρμηνεύουσι τὸν κανόνα εἰς τοὺς δεξαμένους μόνην ἐπικουρίδα παρὰ ἀρχιερέως, καὶ κατὰ τὴν συνήθειαν εἰπόντας, ὡς ἐν εἴδει ἀναγνώσματος, τὴν πρὸς Τιμόθεον ἀποστολικὴν ἐπιστολὴν, ἤγουν τὸ, Τέκνον, Τιμόθεε, νῆφε ἐν πᾶσι· καὶ λέγουσι, μηδὲ τούτους δύνασθαι ἀπὸ τοῦ παρόντος κανόνος ἐκ τῆς χειρὸς τοῦ σφραγίσαντος αὐτοὺς διὰ μόνης ἐπικουρίδος ἐπισκόπου μεταπίπτειν χωρὶς γνώμης ἐκείνου, καὶ εἰς ἑτέραν ἐκκλησίαν μεταβαίνειν· κἂν γὰρ οὐκ ἔφθασαν καταταγῆναι εἰς κλῆρον, ἀλλ' ὅμως σφραγῖδα ἐπισκοπικὴν ἐδέξαντο, καὶ λογίζονται μέρος τῆς ἐκκλησίας τοῦ χειροθετήσαντος αὐτούς· καὶ δοκοῦσί μοι μᾶλλον οὗτοι ἀκριβέστερον τὸν κανόνα ἑρμηνεύειν.

---

(1) τινὶ καταλιμπάνειν Κ. Βευερ.

ΑΡΙΣΤ. Ὁ κἂν ἅπαξ εἰς ἐκκλησίαν ἀναγνοὺς, ὑπ' ἄλλης μὴ δεχέσθω εἰς κλήρωσιν.

Τὸ ἀλλότριον κληρικὸν ὑφ' ἑτέρου παραδέχεσθαι ἐπισκόπου, πᾶσαι αἱ σύνοδοι διεκώλυσαν· κἂν γοῦν ἅπαξ εἰς ἐκκλησίαν ὁ κληρωθεὶς ἐν αὐτῇ τὰς ἱερὰς βίβλους τῷ λαῷ ὑπανέγνω, ὑφ' ἑτέρας εἰς κλῆρον παραδεχθῆναι οὐ συγκεχώρηται.

*Ἐν ταύτῃ τῇ συνόδῳ ἐμφανίζονται τὰ πραχθέντα ὑπὸ τῶν πέραν τῆς θαλάσσης ἀποσταλέντων τοποτηρητῶν ἐπισκόπων.*

Ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου τοῦ αὐγούστου, καὶ Ῥουμορίδου τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ὀκτὼ καλανδῶν Σεπτεμβρίων, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν Σεκούνδου.

Αὐρήλιος ἐπίσκοπος συμπάσῃ τῇ συνόδῳ προκαθίσας, παρεστώτων τῶν διακόνων, εἶπε· Λόγου ἀπαιτήσαντος ἡ ὑμετέρα ἀδελφότης παρὰ τῆς ἐμῆς μετριότητος εἰς ταύτην τὴν σύνοδον προετράπη. Ἔκπαλαι γὰρ, ὡς μέμνηται ἡ ὑμετέρα ἁγιωσύνη, συνόδου σχεθείσης ἀπεστείλαμεν ἀδελφοὺς ἡμῶν πρὸς τὰ πέραν τῆς θαλάσσης τοποτηρητὰς, οὓς ἐχρῆν ἐν τῇ συνελεύσει τῆς ὑμετέρας ἁγιωσύνης τὴν κίνησιν διηγήσασθαι τῆς ἐξανυθείσης πρεσβείας. Καὶ κἂν ἐν τῇ χθεσινῇ ἡμέρᾳ περὶ τοῦ αὐτοῦ πράγματος καθεσθέντων ἐκτὸς τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐπιμελῶς ἃ ἔπραξαν ἐψηλαφήσαμεν, ὅμως πρέπει σήμερον τὴν ἀναζήτησιν τῆς χθεσινῆς ἡμέρας τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐκβεβαιῶσαι.

*Περὶ τῶν ἐπισκόπων τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς, τῶν μὴ παραγενομένων ἐν τῇ παρούσῃ συνόδῳ.*

Ἡ τάξις οὖν ἀπαιτεῖ τῶν πραγμάτων, ἵνα ἐν πρώτοις παρὰ τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν, τῶν πρὸς ταύτην τὴν σύνοδον εἴτε ἐκ τοῦ Βυζακίου, εἴτε ἀπὸ Μαυριτανίας παραγενομένων, ζητήσωμεν πῶς συμφέρειν ψηφίζονται τῇ παρούσῃ συνόδῳ. Καὶ προσενεγκόντων Φιλολογίου, Γέτα, Βενουστιανοῦ, Φιλικιανοῦ, τῶν ἐπισκόπων τῆς Βυζακινῆς χώρας, τὰ γράμματα τῆς τοποτηρησίας, τὰ καὶ ἀναγνωσθέντα, ἔτι

δὲ προσενεγκόντων Λουκιανοῦ καὶ Σιλβανοῦ, τῶν τοποτηρητῶν τῆς Μαυριτανίας χώρας τῆς Σιτιφένσης, τὰ γράμματα τῆς τοποτηρησίας, καὶ τούτων ἀναγνωσθέντων, Αὐρήλιος ἐπίσκοπος εἶπε· Τούτων τῶν ἐγγράφων ἡ ὑφὴ τοῖς πεπραγμένοις συζευχθείη.

*Περὶ τῶν τοῦ Βυζακίου ἐπισκόπων.*

Νουμίδιος ἐπίσκοπος εἶπε· Προσέχομεν τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν τοὺς τῆς Βυζακηνῶν χώρας καὶ Μαυριτανίας Σιτιφένσης εἰς τὴν σύνοδον τοποτηρητὰς ἀποστεῖλαι· νῦν ζητήσωμεν, ἐὰν τοποτηρηταὶ τῆς Νουμιδίας παρεγένοντο, ἢ δηλαδὴ τῆς Τριπολιτανῆς χώρας, ἢ τῆς Καισαρειανῆς Μαυριτανίας.

*Περὶ τῶν τῆς Μαυριτανίας Σιτιφένσης ἐπισκόπων.*

Λουκιανὸς καὶ Σιλβανὸς ἐπίσκοποι, τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφένσης, εἶπον· Βραδέως πρὸς τοὺς τῆς Καισαριανῆς ἀδελφοὺς ἡμῶν ἡ συνοδικὴ ἦλθεν· ἐπεὶ κἀκεῖνοι λοιπὸν εἶχον φθάσαι, ὅμως ἐλεύσονται πάντως· καὶ θαῤῥοῦμεν περὶ τῶν ψυχῶν αὐτῶν, ὅτι εἰτιδήποτε ἐν ταύτῃ τῇ συνόδῳ πραχθήσεται, καὶ αὐτοὶ ἀναμφιβόλως τὰς ἰδίας συναινέσεις παρέξοιεν.

*Περὶ τῶν τῆς Νουμιδίας ἐπισκόπων.*

Ἀλύπιος ἐπίσκοπος τῆς ἐκκλησίας Νουμιδίας εἶπεν· Ἡμεῖς μὲν ἀπὸ τῆς Νουμιδίας ἤλθομεν, ἐγώ τε καὶ οἱ ἁγιώτατοι ἀδελφοὶ Αὐγουστῖνος καὶ Ποσείδιος· ἀλλ' ἀπὸ τῆς αὐτῆς Νουμιδίας τοποτηρηταὶ πεμφθῆναι οὐκ ἠδύναντο, ὅτι ἀκμὴν τῷ θορύβῳ τοῦ τιρωνάτου οἱ ἐπίσκοποι ἰδίαις ἀνάγκαις ἐν ταῖς πόλεσιν αὐτῶν ἀπασχολοῦνται ἐμποδιζόμενοι· ἐπεὶ καὶ τὴν συνοδικὴν τῆς ὑμετέρας ἁγιωσύνης τῷ ἁγιωτάτῳ γέροντι Σαγκτίππῳ ὡς ἀνήγαγον, συνεῖδε περὶ τῆς παρούσης ζητήσεως σύνοδον καταμηνυθῆναι, ὅπως καταρτισθεῖσα τοποτηρησία πρὸς ταύτην ἀποσταλῇ τὴν σύνοδον· ἀλλὰ δευτέροις γράμμασιν ἐμοῦ τοῦτον ἀναμνήσαντος, ἀπελογήσατο δι' οἰκείων γραμμάτων περὶ τοῦ ἀπὸ τῶν τιρώνων ἐμποδισμοῦ, ὡς ἀνωτέρω εἶπον. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Οὐκ ἔστιν ἀμφίβολον, ὅτι οἱ προλεχθέντες ἀδελφοὶ καὶ συνεπίσκοποι ἡμῶν, οἱ ἐκ τῆς Νουμι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δίας, ὅτε τὰ πεπραγμένα τῆς συνόδου λάβωσιν, εὐθέως καὶ τὰς ἰδίας παρέξουσι συναινέσεις, καὶ εἰς πέρας ἀγαγεῖν σπουδάσουσιν ὁσαδήποτε ἀρέσουσιν. Ἀνάγκη τοίνυν ἐστὶ τῇ φροντίδι τῆς καθέδρας ταύτης προνοηθῆναι, τοῦτο αὐτὸ τοῖς προλεχθεῖσιν ἐμφανὲς καταστῆναι.

*Περὶ τῶν Τριπολιτανῶν ἐπισκόπων.*

Περὶ τῶν ἀπὸ Τριπόλεως ἀδελφῶν ἡμῶν τοῦτο ἠδυνήθην γνῶναι, ὅτι Δουλκίτιον ἀδελφὸν ἡμῶν ἀπέστειλαν τοποτηρητήν· ἀλλ' ἐπειδὴ ἀπαντῆσαι οὐκ ἠδυνήθη, τοῦτό τινες τῶν τέκνων ἡμῶν διεβεβαιώσαντο, ἐλθόντες ἐκ τῆς προλεχθείσης χώρας, ὅτι ὁ μνημονευθεὶς Δουλκίτιος εἰς πλοῖον εἰσῆλθε, καὶ δεῖ πιστεῦσαί τινα παρολκὴν ἐκ τοῦ χειμῶνος αὐτῷ συμβῆναι, τὴν αὐτὸν ἀναγκάσασαν βραδῦναι. Ὅμως καὶ περὶ τούτων, ἐὰν ἀρέσκῃ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ αὐτὸς τύπος φυλαχθείη, ἵνα τὰ ἀρέσαντα τῇ συνόδῳ πρὸς αὐτοὺς ἀποσταλῶσιν. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Τὰ ὁρισθέντα ὑπὸ τῆς σῆς ἁγιωσύνης πᾶσιν ἀρέσκει.

ΖΩΝΑΡ. ΒΑΛΣ. Πολλὰ μὲν ἡ γραφὴ αὕτη διέξεισι περὶ τῶν μὴ στειλάντων εἰς τὴν σύνοδον ταύτην τοποτηρητάς. Ἀπολογησαμένων δὲ ὕστερον ὑπὲρ ἐκείνων τινῶν, ἔδοξε συγγνωμονηθῆναι αὐτούς, εἰ κἀκεῖνοι δέξονται ὅσα τῇ συνόδῳ ἀρέσει καὶ ψηφισθήσεται.

## Κανὼν ϞΑ'. (ϞΘ')

*Περὶ τοῦ, τοῖς Δονατισταῖς συνελθεῖν.*

Αὐρήλιος ἐπίσκοπος εἶπε· Τὸ εἰς ψηλάφησιν ἐλθὸν τῆς ὑμετέρας ἀγάπης, λογίζομαι ὀφείλειν τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις βεβαιωθῆναι· ἡ γὰρ ὑπόσχεσις(1) πάντων ἡμῶν τοῦτο προεβάλετο, ὀφείλειν ἕνα ἕκαστον ἡμῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν συνελθεῖν τοῖς ἀρχηγοῖς τῶν Δονατιστῶν, ἢ προσζεῦξαι ἑαυτῷ γείτονα ἕτερον, ἵνα ὁμοίως τοῖς τοιούτοις ἐν ἑκάστῃ πόλει καὶ τόπῳ διὰ τῶν ἀρχόντων, ἢ τῶν πρῶτα φερόντων ἐν τοῖς αὐτοῖς τόποις συνέλθωσι· τοῦτο ἐὰν ἀρέσκῃ πᾶσι,

(1) ἐνταῦθα ἄρχεται ὁ Καν. ἐν Π. καὶ λήγει εἰς τό, συνέλθωσι.

παραγγελθείη. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πᾶσιν ἀρέσκει, καὶ πάντες τοῦτο τῇ ἡμετέρᾳ ὑπογραφῇ ἐκυρώσαμεν. Αἰτοῦμεν ἔτι μὴν, ἵνα ταῖς ἐπιστολαῖς ταῖς ὀφειλούσαις ἐκ τῆς συνόδου πρὸς τοὺς ἄρχοντας ἀποπεμφθῆναι, ὑπὲρ πάντων ἡ σὴ ὑπογράψῃ ἁγιωσύνη. Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ τύπος τῆς πρὸς ἐκείνους συνελεύσεως ἀναγνωσθείη, ὅπως τοῦτον τὸν τόνον τῆς ἐπακολουθήσεως πάντες, ἐὰν ἀρέσκῃ, κρατήσωμεν. Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Ἀναγνωσθείη. Λαῖτὸς νοτάριος ἀνέγνω.

---

ΖΩΝΑΡ. Ἔδοξε τῇ συνόδῳ, ἕκαστον τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ πόλει τοῖς προέχουσι τῶν Δονατιστῶν ὁμοῦ γενέσθαι, ἢ καὶ ἕτερον ἐπίσκοπον προσλαβέσθαι, καὶ ὁμιλῆσαι αὐτοῖς καὶ διαλεχθῆναι, ἢ διὰ τῶν ἀρχόντων καὶ τῶν πρωτευόντων ἐν ταῖς χώραις προσκαλεῖσθαι αὐτοὺς, τουτέστιν εἰ μὴ ἑκόντες συνέρχοιντο.

ΒΑΛΣ. Ὁ τύπος τῆς πρὸς τοὺς Δονατιστὰς συνελεύσεως, καὶ τὰ ἐν τῇ παρούσῃ συνελεύσει λαληθέντα, εἰδικά εἰσι περὶ τῶν Δονατιστῶν.

ΑΡΙΣΤ. Ἕκαστος τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ πόλει τοῖς ἀρχηγοῖς τῶν Δονατιστῶν συνελθέτω, ἢ προσλαβέσθω καὶ τὸν γείτονα, ἵνα τοῖς αὐτοῖς συνέλθωσι.

Σπεύδοντες οἱ θεῖοι Πατέρες προσενῶσαι τῇ καθολικῇ ἐκκλησίᾳ τοὺς Δονατιστὰς, οἵ τινες ἐξ αὐτῆς κακῶς ἑαυτοὺς ἀπέσχισαν, οὐ διέλειπον παρακαλοῦντες αὐτοὺς ἀποστῆναι τῆς παλαιᾶς πλάνης, καὶ τὴν ἀλήθειαν παραδέξασθαι. Διὰ τοῦτο γοῦν ἔδοξεν αὐτοῖς καὶ ἔτι δέον εἶναι, ἕκαστον τῶν ἐπισκόπων τῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν τοῖς τῶν Δονατιστῶν ἀρχηγοῖς προσελθεῖν, ἢ καὶ ἕτερον προσλαβέσθαι γείτονα, καὶ μετ' αὐτοῦ συνελθεῖν αὐτοῖς, καὶ πρὸς αὐτοὺς εἰπεῖν τὰ ἐν τῷ ἐφεξῆς κανόνι ῥητῶς γεγραμμένα· καὶ εἰ μὴ πεισθῶσιν οὕτω παρακαλούμενοι, διὰ τῆς βασιλικῆς ἐξουσίας ἀπελαθῆναι τῶν ἐκκλησιῶν, ὧν ἐπέβησαν.

## Κανὼν ϞΒ'.

*Ὁ τύπος τῆς πρὸς τοὺς Δονατιστὰς συνελεύσεως.*

Ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εἶπε (1)· Τὸ παρὰ τῆς αὐθεντίας ἐκείνης τῆς μεγίστης καθέδρας ἡμῖν ἐπιτραπὲν αἰτοῦμεν τὴν ὑμετέραν τιμιότητα ἀναγνωσθῆναι (2), καὶ εἰς πέρας ἀχθῆναι κελεῦσαι. Ἀναγνωσθείσης δὲ τῆς κελεύσεως καὶ τοῖς πεπραγμένοις ἐντιθεμένης, ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εἶπε· Τὸ διὰ τῆς ὑμετέρας τιμιότητος πρὸς τοὺς Δονατιστὰς ὀφεῖλον ἀπενεχθῆναι ἐντολικὸν ἀκοῦσαι, καὶ πεπραγμένοις ἐμβαλεῖν, καὶ πρὸς αὐτοὺς ἀποκομίσαι καταξιώσατε, καὶ τὴν τούτων ἀπόκρισιν πάλιν διὰ τῶν ὑμετέρων πεπραγμένων ἡμῖν ἐμφανίσαι. Συνερχόμεθα ὑμῖν, αὐθεντικῶς ἀποσταλέντες ἐκ τῆς ἡμετέρας καθολικῆς (3) συνόδου, ἐπιθυμοῦντες χαρῆναι περὶ τῆς ὑμετέρας διορθώσεως· ἐπιστάμεθα γὰρ τὴν ἀγάπην τοῦ Κυρίου εἰπόντος· Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται· ὑπέμνησε δὲ καὶ διὰ τοῦ Προφήτου, ὥστε ἔτι μὴν καὶ τοῖς μὴ βουλομένοις λέγεσθαι ἀδελφοῖς ἡμῶν, λέγειν ἡμᾶς, Ἀδελφοὶ ἡμῶν ἐστέ. Ταύτην τοίνυν τὴν ἐξ ἀγάπης εἰρηνικῆς ἐρχομένην ἡμετέραν ἀνάμνησιν ἐξουθενῆσαι οὐκ ὀφείλετε, ἵνα ἐάν τί ποτε ἀληθείας (4) ἔχειν ἡμᾶς οἴεσθε, ἀντιλαβέσθαι (5) τούτου μὴ ἀμφιβάλητε· τουτέστιν, ἵνα συναχθείσης συνόδου ὑμῶν ἐπιλέξησθε ἐξ ὑμῶν αὐτῶν τοὺς ὀφείλοντας τὸ πρᾶγμα ἐμπιστευθῆναι τῆς τοιαύτης ὑμῶν δικαιολογίας, ὅπως καὶ ἡμεῖς δυνηθῶμεν τὸ αὐτὸ ποιῆσαι· τουτέστιν, ἵνα ἐκ τῆς ὑμετέρας συνόδου ἐπιλεγῶσιν οἱ ὀφείλοντες μετὰ τῶν ἐξ ὑμῶν ἐπιλεγέντων ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ, πᾶν τὸ τῆς ζη-

(1) Αὐρήλιος ἐπίσκοπος εἶπε· Βευερ. — (2) [καὶ τοῖς πεπραγμένοις ἐντιθεῖναι] Βρ. λατιν. et gestis innecti. — (3) Ἰους. Χ. Τρ. Βρ. λατιν. — αὐθεντικῆς Βευερ. — (4) ἀληθὲς Χ. Τρ. — (5) ἀντιλαμβάνεσθαι Χ. Τρ.

τήσεως ἐχόμενον, τὸ τὴν ὑμετέραν ἀφ᾽ ἡμῶν κοινωνίαν χωρίζον, εἰρηνικῶς ἐξετάσαι, καὶ κἂν ὀψέποτε τῇ βοηθείᾳ Κυρίου τοῦ Θεοῦ ἡμῶν τέλος ἡ παλαιὰ δέξηται πλάνη, μή ποτε διὰ πεῖσμα ἀνθρώπων ἀσθενεῖς ψυχαὶ καὶ ἄπειροι λαοὶ ἱεροσύλῳ τινὶ χωρισμῷ ἀπόλωνται. Ἐὰν γὰρ τοῦτο ἀδελφικῶς καταδέξησθε, εὐχερῶς ἡ ἀλήθεια διαφανήσεται· εἰ δὲ τοῦτο ποιῆσαι μὴ θελήσετε, ἡ ἀπιστία ὑμῶν εὐθέως γνωρισθήσεται. Καὶ ἀναγνωσθέντος τοῦ τοιούτου τύπου, ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Πάνυ ἀρέσκει· τοῦτο γενήσεται. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

*Αὕτη ἡ σύνοδος κατὰ τῶν Δονατιστῶν πρεσβευτὰς πρὸς τοὺς αὐτοκράτορας ἀποστέλλει.*

Τῷ ἐνδοξοτάτῳ βασιλεῖ Ὀνωρίῳ αὐγούστῳ τῷ ἕκτῳ ὑπάτῳ, τῇ πρὸ δεκαὲξ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τῆς βασιλικῆς Σεκούνδης. Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Θεάσιος καὶ Εὐόδιος κατὰ τῶν Δονατιστῶν, ἐν ᾗ συνόδῳ συνετάχθη κομμονιτόριον περιέχον οὕτως.

ΖΩΝΑΡ. Ἐζητήθη ἀναγνωσθῆναι τῇ συνόδῳ, ἃ ἐνετάλθησαν εἰπεῖν οἱ ἀποσταλέντες πρὸς τοὺς Δονατιστάς· τὰ δὲ ἦσαν τοιαῦτα, ὡς ἀπὸ τῶν πρέσβεων λεγόμενα, ὅτι συνερχόμεθα ὑμῖν αὐθεντικῶς, ἤγουν ἐξουσίαν λαβόντες παρὰ τῆς συνόδου, προσομιλῆσαι ὑμῖν ἐπιθυμοῦντες, χαρῆναι ἐπὶ τῇ διορθώσει ὑμῶν. Οἴδαμεν γὰρ τὸν Κύριον μακαρίζοντα τοὺς εἰρηνοποιούς, καὶ μὴ θέλοντας ὑμᾶς καλεῖσθαι ἀδελφοὺς ἡμῶν ἀλλ᾽ ἀποσχίζοντας ἀφ᾽ ἡμῶν, ἡμεῖς λέγομεν, ὅτι ἀδελφοὶ ἡμῶν ἐστέ. Διὸ μὴ ἐξουθενήσητε τὴν ἐξ ἀγάπης εἰρηνικὴν ἀνάμνησιν ἡμῶν, τουτέστιν, ὅτι ἀναμιμνήσκομεν ὑμᾶς τῶν σφαλμάτων ὑμῶν. Ἀλλ᾽ ἐὰν οἴεσθε ἀληθείας ἔχεσθαι, ἀντιλαμβάνεσθαι ταύτης, ἤγουν ὑπεραγωνίσασθαι τῆς νομιζομένης ὑμῖν ἀληθείας μὴ ἀμφιβάλλετε. Ἐπιλέξασθε δέ τινας ἐξ ὑμῶν τοὺς διαλεχθησομένους τοῖς ἐπιλε-

γησομένοις ἐκ τῆς ἡμετέρας συνόδου, περὶ τῶν χωριζόντων ὑμᾶς ἐκ τῆς ἡμῶν κοινωνίας, ἵνα, κἂν βραδέως τέλος ἡ παλαιὰ δέξηται πλάνη, μή ποτε διὰ πεῖσμα, ἤτοι διὰ ματαίαν ἔνστασιν, ἀνθρώπων ἀπόλωνται ἀσθενεῖς ψυχαὶ, καὶ ἄπειροι λαοὶ, (ἄπειροι ἢ κατὰ πλῆθος, ἢ δι' ἁπλότητα καὶ ἄγνοιαν τοῦ καλοῦ,) χωριζόμενοι τῆς καθολικῆς ἐκκλησίας ἱεροσύλῳ χωρισμῷ. Τὸ γὰρ ψυχὰς ἀνθρώπων, ἱερὸν οὔσας καὶ θεῖον χρῆμα, ἀπόλλυσθαι ἐκ τοῦ χωρισμοῦ τῆς καθολικῆς ἐκκλησίας, ἱεροσυλίαν ἐκάλεσαν, ὡς συλουμένων τῶν ἱερῶν ψυχῶν παρὰ τῶν ἀπατώντων αὐτὰς, ἢ ὅτι μὴ κατὰ τὴν παράδοσιν τῆς ἐκκλησίας τὰ ἱερὰ μετιόντες, ὡς δὲ αὐτοῖς δοκοῦν αὐτὰ ψηλαφῶντες, καὶ μεταχειριζόμενοι, συλῶσιν αὐτὰ, μὴ χρώμενοι αὐτοῖς κατὰ τὸ τοῦ Δεσπότου θέλημα· ὁ γὰρ παρὰ γνώμην τινὸς ψηλαφῶν πρᾶγμα αὐτοῦ, κλέπτης κρίνεται τοῖς τῆς πολιτείας θεσμοῖς.

ΒΑΛΣ. Οὔτε τὰ ἐν τῇ παρούσῃ ὁμιλίᾳ ἑρμηνείας δέονται· ἰδικὰ γάρ εἰσι περὶ Δονατιστῶν.

ΑΡΙΣΤ. Ἤτω τὰ πρὸς τοὺς Δονατιστὰς λεχθησόμενα, τάδε· Ἐπιθυμοῦμεν χαρῆναι ἐπὶ τῇ ὑμῶν διορθώσει· ἐκελεύσθημεν γὰρ καὶ πρὸς τοὺς μὴ ἀνεχομένους εἶναι ἡμῶν ἀδελφοὺς λέγειν, ἀδελφοὶ ἡμῶν ἐστέ. Διὸ συνερχόμεθα ὑμῖν, καὶ ὑπομιμνήσκομεν, ὡς ἂν εἴ τινα δικαιολογίαν ἔχειν οἴεσθε, ἐπιλέξησθε τοὺς ταύτην πιστευθησομένους, ἀπαντῆσαι ὀφείλοντας ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ· εἰ δὲ μὴ, ἡ ἀπιστία ὑμῶν ἐντεῦθεν γνωρισθῇ. Σαφής.

## Κανὼν ϞΓ'. (Ρ'.)

*Τὸ Κομμονιτόριον, ὅπερ ἔλαβον οἱ κατὰ τῶν Δονατιστῶν πρεσβευταί.*

**Κομμονιτόριον τοῖς ἀδελφοῖς Θεασίῳ καὶ Εὐοδίῳ, τοῖς πεμφθεῖσι πρεσβευταῖς ἐκ τῆς ἐν Καρχηδόνι συνόδου, πρὸς τοὺς ἐνδοξοτάτους καὶ θρησκευτικωτάτους αὐτοκράτορας. Ἡνίκα τῇ τοῦ Κυρίου βοηθείᾳ τοῖς εὐσεβεστάτοις προσέλθωσι (1) βασιλεῦσι, τούτοις ἐμφανίσουσι, ποίῳ τρόπῳ τελείᾳ τῇ παῤῥησίᾳ κατὰ τὴν τοῦ ἀνωτέρου**

(1) προσελθοῦσι Βευερ. Κ. 'Ε.

ἐνιαυτοῦ σύνοδον οἱ πρωτεύοντες τῶν Δονατιστῶν τοῖς πολιχνιωτικοῖς πεπραγμένοις συνελθεῖν προετράπησαν· ἵνα, εἰ ἐθάῤῥουν τοῦ οἰκείου δόγματος ἀντιλαβέσθαι, ἐπιλεγέντων τινῶν ἱκανῶν ἐκ τοῦ αὐτοῦ ἀριθμοῦ, μεθ' ἡμῶν εἰρηνικῶς ἀμφέβαλλον, καὶ ἡμερότητι Χριστιανικῇ ἀναμφιβόλως εἶχον ἐπιδεῖξαι, εἰ τίποτ' (1) ἀληθείας μετεῖχον, ὅπως ἐκ τούτου ἡ καθολικὴ εἰλικρινότης, ἡ ἔκπαλαι τοῖς ἀνωτέρω διαλάμψασα χρόνοις, καὶ νῦν ὁμοίως διὰ τῆς ἀπειρίας καὶ μονοτονιας τῶν ἀντιλεγόντων ἐγνωρίζετο, ἀλλ' ἐπειδὴ τῷ μὴ θαῤῥεῖν συνείχοντο, σχεδὸν οὐδὲν ἐτόλμησαν ἀποκρίνασθαι. Διὸ, ἐπειδὴ ἐπισκοπικὴ καὶ εἰρηνικὴ τάξις περὶ τοὺς τοιούτους πεπλήρωται, κἀκεῖνοι τῇ ἀληθείᾳ μὴ δυνηθέντες ἀποκριθῆναι, εἰς ἀτόπους βίας μετεστράφησαν, ὡς πολλοὺς ἐπισκόπους, καὶ πολλοὺς κληρικοὺς, ἵνα τὸ περὶ τῶν λαϊκῶν σιωπήσωμεν, ἐπιβουλαῖς συσχεῖν, καί τισι δὲ ἔτι μὴν ἐκκλησίαις ἐπέβησαν, καὶ ἄλλαις ἐπελθεῖν ὁμοίως ἐπειράθησαν, τῆς αὐτῶν φιλανθρωπίας λοιπόν ἐστι προνοήσασθαι, ἵνα (2) ἡ καθολικὴ ἐκκλησία ἡ αὐτοὺς θρησκευτικῇ γεννήσασα γαστρὶ, καὶ τῇ βεβαιώσει τῆς πίστεως ἐκθρέψασα, τῇ αὐτῶν ἔτι μὴν προνοίᾳ ὀχυρωθῇ· μή ποτε προπετεῖς ἄνθρωποι ἐπὶ τῶν εὐσεβῶν αὐτῶν χρόνων φόβῳ τινὶ τῶν ἀσθενῶν λαῶν καταδυναστεύσωσιν, ἐπειδὴ ὑποπείθοντες τούτους ἀποφαυλίσαι οὐ δύνανται. Ἔγνωσται γὰρ, καὶ πολλάκις τοῖς νόμοις ἐκβοᾶται, τῶν παρασυναγόντων ἡ βδελυκτὴ πληθὺς ποῖα διαπράττεται, ἅτινα καὶ πολλάκις τοῖς θεσπίσμασιν αὐτῶν τῶν προλεχθέντων εὐσεβεστάτων αὐτοκρατόρων κατεδικάσθησαν· κατὰ οὖν τῆς ἐκείνων μανίας δυνάμεθα συμμαχίας θείας τυχεῖν, οὐκ ἀήθους δὲ, οὐδὲ ἀλλοτρίας, ἀπὸ τῶν

(1) εἴτι ποτ' ἀληθείας Ἰουστ.—(2) ὁ Κανὼν ἐν Π. ἄρχεται ἀπὸ τοῦ, Αἰτῆσαι δεῖ ἵνα κτλ., καὶ λήγει εἰς τὸ, παρασχεθῇ.

ἁγίων Γραφῶν, ὁπόταν Παῦλος ὁ Ἀπόστολος, ὡς ταῖς ἀληθιναῖς Πράξεσι τῶν Ἀποστόλων δεδήλωται, τὴν σύμπνοιαν τῶν ἀτάκτων στρατιωτικῇ ἀπεκίνησε βοηθείᾳ (1). Ἡμεῖς τοίνυν τοῦτο αἰτοῦμεν, ἵνα ταῖς καθολικαῖς τάξεσι τῶν ἐκκλησιῶν, ἀνὰ ἑκάστην πόλιν καὶ ἀνὰ διαφόρους τόπους τῶν γειτονευουσῶν ἑκάστων κτήσεων, ἀνυπερθέτως παραφυλακὴ παρασχεθῇ. Ἅμα δὲ (2) καὶ τοῦτο δεῖ αἰτῆσαι, ὥστε τὸν νόμον τὸν ἐκτεθέντα παρὰ τοῦ τῆς εὐσεβοῦς μνήμης πατέρος αὐτῶν Θεοδοσίου (3), τὸν περὶ τῶν δέκα τοῦ χρυσίου λιτρῶν, τὸν κατὰ τῶν χειροτονούντων καὶ χειροτονουμένων αἱρετικῶν φυλάξωσιν, ἔτι μὴν καὶ κατὰ τῶν κτητόρων τῶν παρ' οἷς ἡ ἐκείνων εὑρεθῇ συναγωγή· εἶθ' οὕτως βεβαιωθῆναι τὸν τοιοῦτον νόμον κελεύσωσιν, ὡς ἰσχύειν κατὰ τούτων, ὧν διὰ τὰς ἐπιβουλὰς οἱ τῆς καθολικῆς προτραπέντες διαμαρτυρίαν ἀπέθεντο, ἵνα κἂν τούτῳ τῷ φόβῳ ἐκ τοῦ ποιεῖν σχίσματα καὶ ἀπὸ τῆς τῶν αἱρετικῶν φαυλότητος παύσωνται, οἱ τῇ κατανοήσει τῆς αἰωνίας κολάσεως καθαρθῆναι καὶ διορθωθῆναι ὑπερτιθέμενοι. Κἀκεῖνο (4) ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα τῇ αὐτῶν εὐσεβείᾳ ὁ μέχρι τοῦ παρόντος νόμος ἐπαναληφθείη (5), ὁ τὴν εὐχέρειαν τῶν αἱρετικῶν ἀφαιρούμενος τοῦ εἴτε ἀπὸ κληρονομιῶν, εἴτε ἀπὸ διαθηκῶν τούτους δύνασθαι λαμβάνειν τί ποτε, ἢ καταλιμπάνειν, καὶ ἁπλῶς εἰπεῖν, τοῦ εἴτε τι καταλιμπάνειν, εἴτε λαμβάνειν τὰ δίκαια, καὶ ἀφέληται τῶν τῇ μανίᾳ τοῦ ἰδίου πείσματος τυφλωθέντων καὶ ἐν τῇ τῶν Δονατιστῶν πλάνῃ ἐπιμένειν βουλομένων. Τοῖς δὲ τῇ κατανοήσει τῆς ἑνότητος καὶ εἰρήνης ἑαυτοὺς διορθώσασθαι βουλομένοις, ὑπερκειμένου τοῦ τοιούτου νόμου, ἀνοιχθείη ἡ ἀκρόασις τοῦ λαμβάνειν κληρονομίαν, εἰ καὶ ἔτι τούτοις αὐτοῖς ἐν τῇ

(1) Πράξ ΚΑ', 33. ΚΓ', ΚΔ', ΚΕ'. — (2) Καν. ΡΑ'. ἐν Π. — (3) Κώδ. Θεοδ. 21, 38 καὶ 39 — (4) Καν. ΡΒ', ἐν Π. — (5) 4. Κώδ. Θεοδ. 4. 16.

τῶν αἱρετικῶν πλάνῃ καθεστῶσι, προσαρμόζει τίποτε ἀπὸ δωρεᾶς ἢ κληρονομίας, ἐξῃρημένων ἐκείνων δηλαδὴ, οἵτινες, μετὰ τὸ εἰς δίκην ἀναχθῆναι, ἐλογίσαντο ὀφείλειν πρὸς τὴν καθολικὴν μετελθεῖν· περὶ γὰρ τῶν τοιούτων πιστευτέον ἐστὶ, μὴ τῷ φόβῳ τῆς οὐρανίου κρίσεως, ἀλλὰ τῇ ἀπληστίᾳ τῆς γηΐνης λυσιτελείας, τὴν καθολικὴν ἑνότητα ἐπιποθῆσαι. Πρὸς τούτοις δὲ πᾶσι, τῆς βοηθείας χρεία ἐστὶ τῶν δυναστειῶν ἑκάστης ἐπαρχίας ἰδίας· καὶ ἄλλο δὲ εἰτιδήποτε κατανοήσουσι τῇ ἐκκλησιαστικῇ χρησιμότητι λυσιτελοῦν, τοῦτο διαπράττεσθαι καὶ ἐξανύειν αὐτεξούσιον ψηφιζόμεθα τοποτηρησίαν(1). Κἀκεῖνο δὲ πρὸς τούτοις ἤρεσεν, ἵνα γράμματα ἐκ τῆς ἡμετέρας συνελεύσεως πρὸς τοὺς ἐνδοξοτάτους βασιλεῖς καὶ τὰς ὑπερεχούσας ἐξουσίας (2) ἀποσταλῶσι, δι' ὧν πληροφοροῦνται, ὡς τῇ συναινέσει πάντων ἡμῶν ἐπὶ τὸ εὐτυχέστατον κομιτάτον τοὺς τοποτηρητὰς παρ' ἡμῶν εἶναι ἀποσταλέντας· ἀλλ' ἐπειδὴ τοῖς αὐτοῖς γράμμασι πάντας ἡμᾶς ὑπογράψαι βραδύτατόν ἐστι, ἵνα μὴ ταῖς ἑκάστου ἡμῶν ὑπογραφαῖς τὰ αὐτὰ γράμματα φορτωθῶσιν, αἰτοῦμεν, ἀδελφὲ Αὐρήλιε, ἵνα ἐν τούτοις ἡ σὴ ἀγάπη ὑπογράψαι ἐπ' ὀνόματι πάντων ἡμῶν καταξιώσῃ. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν. Γράμματα ἔτι μὴν πρὸς τοὺς ἄρχοντας πέμψαι δεῖ, ἵνα ἕως οὗ ὁ Κύριος τοὺς τοποτηρητὰς ὑποστρέψαι πρὸς ἡμᾶς καταξιώσῃ, παραφυλακὴν ἀνὰ τὰς τῶν πόλεων τάξεις, καὶ κτήτορας τῶν χωρίων τῇ καθολικῇ ἐκκλησίᾳ ἐπιμερίσωσιν. Ἔτι μὴν δεῖ προσζεῦξαι καὶ περὶ τοῦ Αἰκυτίου, ἵνα ἡ ἀναίδεια αὐτοῦ ἐξωθηθῇ ἀπὸ τῶν διοικήσεων, ἃς ἐκ τῶν φροντιστῶν τῆς ἐν Ἵππωνι ἐκ-

(1) ἐνταῦθα λήγει ὁ Καν. ΡΒ'. ἐν Π. — (2) ἀξίας Ἰουστ.

κλησίας ἱερατικῶν δικαίων πρὸς ἑαυτὸν διεκδικεῖ. Καὶ γράμματα δὲ πρὸς τὸν ἐπίσκοπον τῆς Ῥωμαϊκῆς ἐκκλησίας περὶ τοῦ παραθέσθαι τοὺς τοποτηρητὰς πεμφθῆναι ὀφείλουσι, καὶ πρὸς τοὺς ἄλλους δὲ, ὅπου ἐστὶν ὁ βασιλεύς. Καὶ ὑπέγραψαν. Ὁμοίως Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Τῶν Δονατιστῶν μὴ δεξαμένων τὴν πρὸς αὐτοὺς τῆς συνόδου πρεσβείαν, οἱ Πατέρες ἀθροισθέντες, πάλιν πρεσβείαν στεῖλαι κατ᾽ αὐτῶν πρὸς τὸν βασιλέα Ὀνώριον ἐβουλεύσαντο, (ἦρχε γὰρ τότε τῆς Ῥώμης καὶ τῶν Ἑσπερίων Ὀνώριος), καὶ τοῖς στελλομένοις ἔγγραφον ἐνταλτήριον δεδώκασιν, εἰς ὑπόμνησιν ὧν ἔμελλον πρὸς τὸν βασιλέα εἰπεῖν, ὃ κομμονιτόριον ὠνόμασαν. Ἦσαν δὲ τὰ ἐντεταλμένα ταῦτα, ὅτι μετὰ παῤῥησίας ἡμῶν προσκαλεσαμένων τοὺς πρωτεύοντας τῶν Δονατιστῶν συνελθεῖν, καὶ εἰ θαῤῥοῦσιν ἀντιλαβέσθαι τοῦ οἰκείου δόγματος, ὅπως καὶ νῦν ἐγνωρίζετο, ἀντὶ τοῦ, καὶ νῦν ἐφανεροῦτο διὰ τῆς ἀπειρίας καὶ μονοτονίας, ἤγουν τῆς ἀμαθείας καὶ τῆς αὐτογνώμου (1) ἐνστάσεως τῶν ἀντιλεγόντων, ἡ καθολικὴ εἰλικρινότης, ἡ καθαρότης δηλαδὴ τῶν τῆς καθολικῆς ἐκκλησίας δογμάτων· εἰ γὰρ συνῆλθόν, φησιν, ἐγνώσθησαν ἂν ὅτι ἐξ ἀμαθείας καὶ ματαίας ἐνστάσεως ἐνίστανται περὶ ὧν δοξάζουσιν, ἀλλ᾽ ὅτι οὐκ ἐθάῤῥουν, οὐδὲν σχεδὸν ἀπεκρίθησαν. Ἐπεὶ οὖν ὅσα ἔδει ἡμᾶς ὡς ἐπισκόπους ποιῆσαι, εἰρηνικῶς ἐποιήσαμεν, ἐκεῖνοι δὲ εἰς ἀτόπους βίας μετεστράφησαν καὶ ἐπιβουλὰς, τῆς βασιλικῆς φιλανθρωπίας φασὶν εἶναι φροντίσαι, ἵνα ἡ καθολικὴ ἐκκλησία ὀχυρωθῇ, ἡ τούτους γεννήσασα ὀρθοδοξίᾳ, καὶ ἐκθρέψασα ἐν τῇ βεβαιώσει τῆς πίστεως, ἤγουν βεβαίαν αὐτοῖς τὴν πίστιν παραδοῦσα, μή ποτε ἀναιδεῖς ἄνθρωποι καταδυναστεύσωσι τῶν λαῶν, φόβον αὐτοῖς ἐπάγοντες· πειθοῖ γὰρ

(1) αὐτογνωμόνου Βευερ.

τούτους οὐ δύνανται ἀποφαυλίσαι, ἀντὶ τοῦ, εἰς τὰ φαῦλα καὶ εἰς τὴν ἑαυτῶν κακίαν ἑλκύσαι· οἷα γὰρ οἱ παρασυνάγοντες διαπράττονται, ἔγνωσται τοῖς νόμοις. Αἰτοῦσιν οὖν τυχεῖν συμμαχίας οὐκ ἀσυνήθους, οὐδὲ ἀλλοτρίας τῶν Γραφῶν, ἀλλ' οἵας καὶ ἡ θεία Γραφὴ μέμνηται· καὶ τὴν τῶν Πράξεων βίβλον παράγουσι περὶ τοῦ ἁγίου Παύλου λέγοντος (1), ὅτι κἀκεῖνος τὴν σύμπνοιαν τῶν ἀτάκτων στρατιωτικῇ βοηθείᾳ διεκρούσατο· σύμπνοιαν δὲ τῶν ἀτάκτων, ἢ τῶν ἐν τῷ ἱερῷ συσχόντων αὐτὸν λέγουσιν, ὅτε ἡγνίσθη, καὶ οἱ ἐξ Ἀσίας Ἰουδαῖοι ἠρέθισαν κατ' ἐκείνου τὸν λαὸν, ὅτε μετὰ στρατιωτῶν καταβὰς ὁ χιλίαρχος ἐξήρπασεν αὐτὸν τῶν ζητούντων αὐτὸν ἀποκτεῖναι, ἢ τὴν συστροφὴν τῶν τεσσαράκοντα Ἰουδαίων, οἳ ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως ἂν ἀποκτείνωσι τὸν Παῦλον (2)· καὶ τότε γὰρ ὁ χιλίαρχος μαθὼν τοῦτο, διὰ στρατιωτῶν αὐτὸν εἰς Καισάρειαν ἔστειλε πρὸς τὸν ἡγεμόνα Φήλικα, ἢ καὶ ἄμφω ταῦτα λέγουσι. Ζητοῦσιν οὖν ὁμοίως καὶ οὗτοι ταῖς ἐν ταῖς πόλεσιν ἐκκλησίαις, καὶ ταῖς ἐν διαφόροις τόποις, παρασχεθῆναι φυλακήν· φυλάττεσθαι δὲ καὶ τὸν νόμον τὸν παρὰ τοῦ μεγάλου Θεοδοσίου τεθέντα, ὥστε δέκα χρυσίου λίτρας ζημιοῦσθαι τοὺς χειροτονοῦντας αἱρετικοὺς καὶ τοὺς χειροτονουμένους, καὶ τοὺς ὑποδεχομένους αὐτοὺς ἐν κτήσεσιν οἰκείαις· κρατεῖν δὲ αὐτὸν καὶ κατὰ τῶν Δονατιστῶν, ἵνα, κἂν διὰ τὸν φόβον τοῦτον τῆς ζημίας παύσωνται ποιεῖν σχίσματα οἱ αἱρετικοὶ, οἵτινες τῷ φόβῳ τῆς αἰωνίου κολάσεως οὐ διορθοῦνται. Αἰτοῦσι δὲ ἀνανεωθῆναι καὶ τὸν νόμον τὸν θεσπίζοντα τοὺς αἱρετικοὺς μήτε κληρονομίαν λαμβάνειν, μήτε δωρεὰν, καὶ κρατεῖν αὐτὸν καὶ κατὰ τῶν Δονατιστῶν· εἰ δέ τινες ἐξ αὐτῶν διορθώσονται, κατὰ τούτων τὸν νόμον χώραν μὴ ἔχειν· εἰ δὲ περὶ κληρονομίας τινὲς τῶν Δονατιστῶν εἰς δικαστήριον ἤδη ἑλκύσθησαν, ἐκνικωμένης ἐξ αὐτῶν, ὡς αἱρετικῶν, κληρονομίας, ἢ ληγάτου, ἤ τινος κέρδους περιελθόντος αὐτοῖς, καὶ μετὰ τὸ ἐναχθῆναι

(1) Πράξ. ΚΒ'. — (2) Πράξ. ΚΓ', 12, 13.

προσέλθωσι τῇ καθολικῇ ἐκκλησίᾳ, οὗτοί, φασιν, οὐ πιστεύονται ὅτι καταγνόντες τῆς αἱρέσεως αὐτῶν προσέρχονται, ἀλλὰ διὰ τὸ μὴ ζημιωθῆναι τὰ χρήματα, οὐδὲν οὖν ἐκ τοῦ προσιέναι κερδήσουσι. Χρεία δέ, φασι, βοηθείας καὶ ἐκ τῶν δυναστειῶν ἑκάστης ἐπαρχίας, ἤγουν τοῦ βοηθεῖν ταῖς ἐκκλησίαις τοὺς ἑκάστης ἐπαρχίας ἄρχοντας· οὗτοι γάρ εἰσιν οἱ δυνάσται τῶν ἐπαρχιῶν· ἐκχωροῦμεν δέ, φασι, τοῖς στελλομένοις αὐτεξουσίαν τοποτηρησίαν, ὥστε καὶ ἄλλο εἴ τι νοήσουσιν ἀναγκαῖον ταῖς ἐκκλησίαις, τοῦτο αἰτεῖν. Ἔδοξε δὲ τῇ συνόδῳ γράμματα γενέσθαι πρὸς τὸν βασιλέα, καὶ πρὸς τοὺς ἄρχοντας, ὥστε γνῶναι αὐτούς, ὅτι συναινέσει τῶν τῆς συνόδου Πατέρων ἐστάλησαν οἱ τοποτηρηταὶ εἰς τὸ κομιτάτον, ἤγουν εἰς τὸ παλάτιον. Θρησκευτικωτάτους δὲ τοὺς βασιλεῖς ἐκάλεσεν, ἤτοι πιστοτάτους καὶ χριστιανικωτάτους, ὡς τῆς θρησκείας τῶν Χριστιανῶν ἀντιποιουμένους. Εἰς ἀνακοπὴν τῆς βίας καὶ ἀταξίας τῶν Δονατιστῶν γράψαι δέον τοῖς ἄρχουσι τῶν μερῶν ἐκείνων ἔκριναν, ἵνα παρ' αὐτῶν φυλάσσωνται αἱ ἐκκλησίαι, καὶ οἱ ἔχοντες τὰ χωρία, ἤγουν ὅσοι τῆς καθολικῆς ἐκκλησίας εἰσί· καὶ περὶ τοῦ Αἰκυτίου, ἵνα ἐκδιωχθῇ καὶ μή τι ὡς ἱερεὺς ἐκδικῇ (1). Καὶ πρὸς τὸν Ῥώμης γράψαι τετύπωται, περὶ τοῦ παραθέσθαι τοὺς τοποτηρητάς, ἤγουν συστῆσαι, καὶ γνωρίσαι τῷ βασιλεῖ, καὶ πρὸς τοὺς ἄλλους ἐπισκόπους τῶν χωρῶν, ἐν αἷς ἐνεδήμει τότε ὁ βασιλεύς.

ΒΑΛΣ. Καὶ τὰ ἐν τῇ παρούσῃ διαλαλιᾷ τυπωθέντα παρὰ τῶν Πατέρων διὰ τοὺς Δονατιστάς, ἰδικά εἰσι, καὶ μὴ ἐξακουόμενα εἰς τὴν τῶν ἐκκλησιῶν κατάστασιν· καὶ διὰ τοῦτο οὐδὲ ἑρμηνείας ἐδέησεν ἡμῖν χάριν τούτων.

ΑΡΙΣΤ. Οἱ γεννηθέντες εὐσεβείᾳ, καὶ πίστει τραφέντες βασιλεῖς, χεῖρα παρέχειν ταῖς ἐκκλησίαις ὀφείλουσιν· ἐπεὶ καὶ Παύλου δεομένου, στρατιωτικὴ χεὶρ τὴν τῶν ἀτάκτων διέλυσε σύμπνοιαν.

Τῆς τῶν εὐσεβῶν βασιλέων συμμαχίας καὶ βοηθείας αἱ ἐκ-

(1) καὶ μή τι . . . ἐκδικῇ, οὐ κεῖται ἐν Χ. Τρ.

κλησίαι ἀεὶ προσδέονται· καὶ ὀφείλουσι ταύτην παρέχειν αὐταῖς ὡς τῆς πίστεως ὄντες πρόμαχοι, ἵνα μὴ παρὰ τῶν αἱρετικῶν ἢ τῶν ἀτάκτων καταφρονῶνται· καὶ γὰρ καὶ ὁ Παῦλος τὴν τῶν ἀτάκτων σύμπνοιαν στρατιωτικῇ βοηθείᾳ διέλυσεν.

## ΠΡΑΞΙΣ ΕΚΤΗ.

*Ἐν ταύτῃ τῇ συνόδῳ τὰ ὁρισθέντα ἡ βραχεῖα σαφηνίζει πρόσθεσις.*

Ἐπὶ Στελίχωνος πάλιν καὶ Ἀνθεμίου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ἐν Καρχηδόνι, εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος. *Τὰ πεπραγμένα* (1) *τῆς παρούσης συνόδου, διὰ τοῦτο ἐξ ὁλοκλήρου οὐκ ἐγράφησαν, ἐπειδὴ μᾶλλον τὰ κατὰ τὸν καιρὸν ἀναγκαῖα, ἤπερ τινὰ γενικὰ ὡρίσθησαν, δι' ὧν βραχεῖα σύνθεσις* (2) *τῶν σπουδασμάτων τῆς αὐτῆς συνόδου διετυπώθη.*

## Κανὼν ϞΔ'. (ΡΓ'.)

*Τὸ βρέβιον τῶν κεφαλαίων.*

Ἵνα ἐλευθέρα τοποτηρησία ἐκ πασῶν τῶν ἐπαρχιῶν εἰς τὴν σύνοδον ἀποσταλῇ. Πρὸς Μιζόνιον τοποτηρηταὶ καὶ γράμματα ἀποσταλῆναι παρηγγέλθησαν, διὰ τὸ ὀφείλειν ἐλευθέραν ἐκπέμψαι τοποτηρησίαν· ἵνα(3), ἐπειδὴ ἐν Καρχηδόνι μόνον ἕνωσις ἐγένετο, πεμφθῶσι γράμματα πρὸς τοὺς ἄρχοντας, ὅπως καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις καὶ πόλεσιν οἱ αὐτοὶ ἄρχοντες σπουδὴν ἐπιχορηγηθῆναι κελεύσωσι τῇ ἑνότητι· ἵνα ἐν Καρχηδόνι εὐχαριστίαι ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ πάσης τῆς Ἀφρικῆς περὶ τοῦ ἀπελαθῆναι τοὺς Δονατιστὰς μετὰ γραμμάτων τῶν ἐπισκόπων ἐπὶ τὸ κομιτάτον πεμφθῶσι. Γράμματα ἀνεγνώσθησαν Ἰννοκεντίου τοῦ πάπα, ἵνα οἱ ἐπίσκοποι ὡς ἔτυχε πρὸς τὰ περαματικὰ ἀπιέναι μὴ

(1) Λέξεις τοῦ συλλέξαντος τοὺς Κανόνας. Ἀρδ. — (2) Βευερ. — σύνεσις Ἰουστ. Ε. Κ. — θέσις Χ. Τρ. — (3) ἄρχεται ὁ Καν. ἐν Π. λήγει δὲ εἰς τὸ, πεμφθῶσι.

δύνανται· ὅπερ τοῦτο αὐτὸ ταῖς γνώμαις τῶν ἐπισκόπων βεβαιοῦται· ἵνα διὰ τὴν εὐχαριστίαν τὴν περὶ τοῦ διωχθῆναι τοὺς Δονατιστὰς δύο κληρικοὶ τῆς ἐν Καρχηδόνι ἐκκλησίας ἐπὶ τὸ κομιτάτον πεμφθῶσιν.

—

*Ἐν ταύτῃ τῇ συνόδῳ τινὰ ἐκ τῶν ἀνωτέρω ὁρισθέντων διορθοῦνται.*

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὁνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ δεύτερον, αὐγούστων ὑπάτων πάλιν, εἰδοῖς Ἰουλίαις, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος, Αὐρηλίου τοῦ ἐπισκόπου ἅμα τοῖς συνεπισκόποις αὐτοῦ προκαθίσαντος, παρεστώτων τῶν διακόνων, ἔφη· Ἐπειδὴ πάλαι ὡρίσθη εἰς τὴν ἐν Ἱππῶνι σύνοδον, ὥστε καθ' ἕκαστον ἐνιαυτὸν πλήρη συνάγεσθαι σύνοδον τῆς Ἀφρικῆς, μὴ μόνον ἐνταῦθα ἐν Καρχηδόνι, ἀλλὰ καὶ ἀνὰ τὰς διαφόρους ἐπαρχίας τῇ ἰδίᾳ αὐτῶν τάξει, καὶ τοῦτο δὲ ἐφυλάχθη, ὥστε μηνύειν ἡμᾶς ποτὲ μὲν εἰς τὴν Νουμιδίαν, ποτὲ δὲ εἰς τὸ Βυζάκιον, καὶ τοῦτο ἐπίπονον πᾶσι τοῖς ἀδελφοῖς ἔδοξε.

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Βρέβιον λέγεται ἡ κατ' ἐπιτομὴν σύντομος γραφή· βρεβίω γὰρ κατὰ Λατίνους τὸ τέμνω, καὶ βρεβίτα ἡ συντομία· τὰ δὲ ἑξῆς τοῦ κανόνος, ὡς μὴ χρησιμεύοντα, οὐδὲ ἑρμηνείας ἠξιώθησαν.

## Κανὼν ϞΕʹ. (ΡΔʹ.)

*Σύνοδον μὴ γίνεσθαι κοινήν τε καὶ ὁλοτελῆ, εἰ μὴ ἐξ ἀνάγκης.*

Ἤρεσεν, ὥστε μὴ εἶναι περαιτέρω ἐνιαυσίαν ἀνάγκην τοῦ συντρίβεσθαι τοὺς ἀδελφούς, ἀλλ' ὁσάκις ἂν κοινὴ χρεία καλέσοι, τουτέστι πάσης τῆς Ἀφρικῆς, γραμμάτων διδομένων ὁθενδήποτε πρὸς ταύτην τὴν καθέδραν, σύνοδον ὀφείλειν συνάγεσθαι (1) ἐν ταύτῃ τῇ

(1) γίνεσθαι Βευερ. — πρὸς ταύτην τὴν καθέδραν, σύνοδον ὀφείλειν συνάγεσθαι, οὐ κεῖται ἐν Π. οὐδ' ἐν τῇ πρώτῃ, οὐδ' ἐν τῇ δευτέρᾳ ἐκδόσει!

**ἐπαρχίᾳ, ἔνθα ἡ χρεία καὶ ἐπιτηδειότης συνωθήσει· αἱ δὲ αἰτίαι αἱ μὴ οὖσαι κοιναί, ἐν ταῖς ἰδίαις ἐπαρχίαις κριθῶσι.**

---

ΖΩΝΑΡ. Ἔδοξε μὴ κατ' ἐνιαυτὸν γίνεσθαι τῶν ἐπισκόπων σύνοδον ἐν Καρχηδόνι, ἵνα μὴ συντρίβωνται, φησίν, οἱ ἀδελφοί, ἀλλ' ὅτε χρεία κοινὴ καλέσει, γράμμασι καλουμένων τῶν ἐπισκόπων· τὰς δὲ μὴ οὔσας κοινὰς αἰτίας, ἐν ἐπαρχίᾳ ἑκάστῃ ζητεῖσθαι.

ΒΑΛΣ. Διαφόρων κανόνων διοριζομένων ἐτησίως γίνεσθαι συνόδους, ὁ παρὼν κανὼν παρακελεύεται, μὴ πρὸς ἀνάγκης εἶναι τοῖς ὑπὸ τὴν σύνοδον τῆς Ἀφρικῆς ἐτησίως συνέρχεσθαι ἐν Καρχηδόνι, ἀλλ' ὅτε χρεία κοινὴ καλέσει, γράμμασι καλουμένων τῶν ἐπισκόπων, ἵνα μὴ συντρίβωνται οἱ ἀδελφοί. Ὥσπερ δέ τινος εἰπόντος, καὶ παρὰ τίνων λυθήσονται αἱ ἀνακύπτουσαι ἐκκλησιαστικαὶ ζητήσεις, φησίν, ὡς, εἰ μὲν κοιναί εἰσιν αὗται, δογματικαὶ δηλονότι, διὰ γραμμάτων κληθήσονται οἱ ἐπίσκοποι, καί, συνόδου γενομένης, λυθήσεται τὸ ἀμφίβολον· εἰ δὲ μὴ τοιαῦται ἀλλ' ἰδικαί, τυχὸν μέσον κληρικῶν ἢ καὶ ἐπισκόπων ἀναφυεῖσαι, ἐν ἑκάςῃ ἐπαρχίᾳ ζητηθήσονται. Ὥςε σημείωσαι, ὅτι οἱ μὲν ἐπαρχεῶται ἀναγκαστικῶς ὀφείλουσιν ἐτησίως παρὰ τῷ πρώτῳ αὐτῶν συνέρχεσθαι, * οἱ δὲ λοιποὶ ὁσάκις κληθῶσι· τῷ τοι καὶ παρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, οἱ ἐπαρχίας ἔχοντες οἰκείας, ἤτοι οἱ μητροπολῖται, οὐκ ἀναγκάζονται, καὶ μὴ μετακαλούμενοι, ἐτησίως συνέρχεσθαι, ὡς παρὰ ταῖς ἐκκλησίαις αὐτῶν ὀφείλοντες τὰς ἐτησίους συνόδους ποιεῖν * (1). Ἀνάγνωθι καὶ τὸν ὄγδοον κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου καὶ τὰ ἐν αὐτῷ.

ΑΡΙΣΤ. Ἔδοξε γράμματα πεμφθῆναι πρὸς τοὺς ἄρχοντας, ὅπως σπουδὴν ἐπιχορηγήσωσιν ἀπελαθῆναι τοὺς Δονατιστάς. **Κοινῆς χρείας καλούσης, γράμματα πρὸς τὴν αὐθεντικὴν πεμπέσθω καθέδραν, καὶ σύνοδος γινέσθω, ἔνθα εὔθετον· αἱ δὲ μὴ κοιναὶ αἰτίαι ἐν ταῖς ἰδίαις ἐπαρχίαις κρινέσθωσαν.**

---

(1) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευηρ. καὶ 'Ε. ἀλλ' ἐν Χ. Τρ. καὶ λατιν. παρὰ 'Ε.

Τὸ μὲν ἐν ἑκάστῃ ἐπαρχίᾳ σύνοδον κατ' ἔτος τῶν ἐπισκόπων αὐτῆς γίνεσθαι, καὶ τὰς παρεμπιπτούσας ἐν αὐταῖς ἰδικῶς ἐκκλησιαστικὰς ἀμφιβολίας κανονικῶς ζητεῖν τε καὶ λύειν, καὶ ἡ σύνοδος αὕτη προστάττει· τὸ δὲ, πασῶν τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς τοὺς ἐπισκόπους συνέρχεσθαι ἔν τινι τόπῳ, καὶ κοινὴν ποιεῖν σύνοδον, εἰ μὴ κοιναί εἰσιν αἱ αἰτίαι δι' ἃς ὀφείλουσι συνελθεῖν, ἄλλως γίνεσθαι οὐ συγχωρεῖ. Ὁπηνίκα δέ τις κοινὴ αἰτία κοινὴν ἀπαιτεῖ γενέσθαι σύνοδον, πρὸς τὸν τὴν πρώτην καθέδραν ἔχοντα ἐπίσκοπον ὀφείλουσι παρὰ τῶν ἐπισκόπων πέμπεσθαι γράμματα, καὶ ἔνθα ἂν ἐκεῖνος ἐπιτήδειον εἶναι κρίνῃ συνελθεῖν, ἐκεῖσε καὶ συναχθήσονται.

## Κανὼν ϟς΄. (ΡΕ΄. Ρς΄.)

*Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἴη ἐκκαλεῖσθαι.*

Ἐὰν δὲ γένηται ἔκκλητος, καὶ ἐπιλέξηται ὁ ἐκκαλεσάμενος δικαστὰς, καὶ μετ' αὐτοῦ κἀκεῖνος καθ' οὗ ἐξεκαλέσατο, τοῦ λοιποῦ ἀπὸ (1) τούτων μηδενὶ ἐξέστω ἐκκαλεῖσθαι (2).

*Περὶ τοποτηρησιῶν διαφόρων ἐπαρχιῶν.*

Ὑφ' ἓν τοποτηρησίαι διαφόρων ἐπαρχιῶν ἐμφανισθεῖσαι, χαριέντως προσεδέχθησαν· τουτέστι, τῶν Νουμιδίων, τῶν Βυζακηνῶν, τῶν Μαύρων Σιτιφενσιῶν, ὁμοίως δὲ καὶ Καισαρειανῶν, ἀλλὰ καὶ τῶν ἀπὸ Τριπόλεως.

*Περὶ ἐκβιβαστῶν τῆς ἐκκλησίας.*

Ἤρεσε (3) πρὸς τούτοις, ὥστε ἐκβιβαστὰς ἐν πᾶσι τοῖς τῆς ἐκκλησίας χρειώδεσι πέντε ἐπιλεγῆναι αἰτηθῆναι, οἵτινες ἐν ταῖς διαφόροις ἐπιμερισθήσονται ἐπαρχίαις.

---

**ΖΩΝΑΡ.** Κατὰ αἱρετῶν δικαστῶν καὶ τοῖς πολιτικοῖς νόμοις οὐ δίδοται ἔκκλητος. Τοῦτο οὖν καὶ ὁ κανὼν οὗτος λέ-

---

(1) κατὰ τούτων Σ. Ῥ. — (2) ἐκκαλέσασθαι Σ. Ῥ. ἐνταῦθα λήγει ὁ καν. παρὰ Ἰουστ. Σ. Ῥ. Π. καὶ Χ. Τρ. — (3) ἐνταῦθα ἄρχεται ὁ κανὼν Ρς΄. ἐν Π.

γει· ἐὰν γὰρ κριθῇ τίς, φησι, καὶ ἐκκαλεσάμενος ἕληται δικαστήριον ἐκκλητάριον, καὶ μετ' αὐτοῦ κἀκεῖνος ἕληται τοῦτο, καθ' οὗ ἐξεκαλέσατο, ἤγουν ὁ ἀντίδικος αὐτοῦ, οὐδενὶ τούτων τοῦ λοιποῦ ἐξέσται ἐκκαλεῖσθαι κατὰ τῆς ψήφου τοῦ δικαστοῦ, ὃν ἄμφω οἱ ἀντίδικοι ᾑρετίσαντο. Οὓς ἤλπιζον ἐλθεῖν εἰς τὴν σύνοδον τοποτηρητάς, ὑφ' ἕν, ἤγουν ὁμοῦ ἐλθόντας, μετὰ χαρᾶς προσεδέξαντο οἱ τῆς συνόδου. Καὶ ταῦτα οὐκ εἰς κοινὴν οἰκονομίαν δρῶσιν.

ΒΑΛΣ. Τὰ μὲν ἄλλα τοῦ παρόντος κανόνος εἰσὶν ἀλυσιτελῆ. Ὃ δέ φησι περὶ αἱρετικῶν δικαστῶν, τοιοῦτον ἐστίν· αἱρετικοί εἰσιν, οἱ καὶ αἱρετοὶ δικασταὶ λέγονται, οἱ κατὰ θέλησιν δικάζοντες τῶν δικαζομένων. Φησὶν οὖν ὁ κανών, ὅτι, ἐὰν κριθῇ τις, καὶ ἐκκαλεσάμενος ἕληται παρὰ τῷδέ τινι τῷ ἐπισκόπῳ τὰ τῆς ἐκκλήτου γυμνάσαι, καὶ οὐδὲ ὁ ἀντίδικος πρὸς τοῦτο ἀντιπέσῃ, οὐδενὶ τούτων τοῦ λοιποῦ ἐξέσται ἐκκαλεῖσθαι κατὰ τῆς ἀποφάσεως τοῦ δικαστοῦ, ὃν ἄμφω οἱ ἀντίδικοι ᾑρετίσαντο. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις, ἀκολούθως τοῖς πολιτικοῖς νόμοις, τοῖς κειμένοις ἐν τῷ δευτέρῳ τίτλῳ τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν, καὶ διοριζομένοις, κατὰ τῆς ψήφου τῶν αἱρετῶν δικαστῶν ἔκκλητον μὴ δίδοσθαι. Μὴ εἴπῃς δὲ τοὺς τοιούτους αἱρετοὺς δικαστὰς καθίστασθαι μετὰ δόσεως προστίμου κατὰ τὴν φύσιν τῶν αἱρετῶν δικαστῶν. Εἰ δέ τις εἴπῃ, ὡς προστίμου μὴ ἐπερωτηθέντος, ἀκινδύνως ὁ καταδικασθεὶς οὐ πειθαρχήσει τῇ ψήφῳ, ἀκούσει, ὅτι τὸν μὴ ἔχοντα δικαιοδοσίαν, ἐὰν αἱρετίσηταί τις, καὶ πρόστιμον οὐκ ἐπερωτηθῇ, μὴ ἐμμένων τῇ ψήφῳ αὐτοῦ, ἀπροκριματίστως ἀθετήσει τὴν κατ' αὐτοῦ ἀπόφασιν, ἐπιλεξάμενος δὲ δικαστήν, ἐκκαλέσασθαι κατὰ τῆς ψήφου αὐτοῦ οὐ δύναται, καθὼς τοῦτο παρίσταται καὶ ἀπὸ τοῦ παρόντος κανόνος. Ταῦτα δὲ κρατήσουσιν, ὡς ἐμοὶ δοκεῖ, εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, κατὰ τὸν παρόντα κανόνα· ὁ γὰρ πολιτικὸς νόμος ἐκχωρεῖ τῷ ζητήσαντι δικαστήν, ἢ καὶ ἄλλως πως ἐπιλεξαμένῳ, πλὴν ἔχοντα δικαιοδοσίαν, ἐκκαλεῖσθαι κατὰ τῆς ψήφου αὐτοῦ.

ΑΡΙΣΤ. Ἑνὸς τῶν ἀντικρινομένων ἐκκαλεσαμένου, ἂν ἄμφω αἱρετὸν ἐπιλέξωνται δικαστήν, μηκέτι ἐκκαλείσθωσαν.

Ὁ μὲν πολιτικὸς νόμος οὕτω φρονεῖ περὶ τῶν αἱρετῶν δικαστῶν, ὥστε μὴ ἄλλως αἱρετὸν συνίστασθαι δικαστήριον, εἰ μὴ πρότερον ἕκαστος τῶν κρινομένων πρόστιμον ἐπερωτηθῇ, ὡς οἷος ἂν ἐξ αὐτῶν οὐκ ἐμμείνῃ τῇ ἀποφάσει τοῦ ἐπιλεγέντος παρ' αὐτῶν δικαστοῦ, καταβαλεῖται τοῦτο τὸ πρόστιμον πρὸς τὸν ἕτερον τὸν δεχόμενον τὴν διάγνωσιν· οὐ γὰρ ἀναγκασθήσονται δέχεσθαι τὴν ψῆφον αὐτοῦ, ἀλλὰ παρ' αὐτοῖς τοῦτο κεῖται. Διὰ τοῦτο οὐδὲ ἔκκλητος κατὰ τῆς ἀποφάσεως αὐτοῦ χώραν ἔχει, διὰ τὸ καὶ χωρὶς ἐκκλήτου δύνασθαι τὸν ἀπαρεσκόμενον μόνον τὸ πρόστιμον καταβαλόντα ὑπαναχωρεῖν αὐτοῦ. Λέγει δὲ καὶ τοῦτο ὁ νόμος, ὡς ὁ πρόσφορος ὢν τοῖς μέρεσι δικαστὴς, καὶ δυνάμενος δικάζειν αὐτοῖς ἀπὸ ἐξουσίας ἰδίας, αἱρετὸς δικαστὴς οὐ γίνεται. Οἱ δὲ κανόνες οὐχ οὕτω περὶ τῶν αἱρετῶν δικαστῶν διατάττονται, ἀλλὰ προστάσσουσιν, ὡς, ἐὰν οἱ ἀντικρινόμενοι ἐπίσκοποι, ἢ κληρικοὶ, ἐπιλέξωνταί τινας τῶν ἐπισκόπων αἱρετοὺς δικαστὰς, καὶ παρ' αὐτοῖς δικασθῆναι θελήσωσιν, οὐκέτι ὁ καταδικασθεὶς παραδεχθήσεται, κατὰ τῆς ἀποφάσεως αὐτῶν ἐκκαλούμενος, ἀλλὰ στέρξει ταύτην καὶ ἄκων· ἡ δὲ αἰτία, κατὰ τὸ ἡμῖν δοκοῦν, δι' ἣν οὐ συγχωρεῖται κατὰ τῆς διαγνώσεως αὐτῶν ἐκκαλεῖσθαι, ἐγράφη παρ' ἡμῶν ἐν τῷ πεντεκαιδεκάτῳ κανόνι τῆς παρούσης συνόδου.

## Κανὼν ϞΖ'. (ΡΖ'. ΡΗ'.)

*Ἵνα ἀπὸ τῶν βασιλέων αἰτηθῇ συνηγόρων ἀντίληψις ὑπὲρ τῶν κεφαλαίων τῆς ἐκκλησίας.*

Ἤρεσεν ἔτι μὴν, ἵνα ἐξ ὀνόματος πασῶν τῶν ἐπαρχιῶν οἱ πορευθησόμενοι πρεσβευταὶ Βικέντιος καὶ Φορτουνατιανὸς, αἰτήσωσιν ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων ὥστε δοθῆναι ἄδειαν τοῦ καταστῆσαι ἐκδίκους σχολαστικοὺς, οἵτινες αὐτὸ τοῦτο τὸ λειτούργημα, τοῦ ἐκδικεῖν τὰ πράγματα, ἐπιτήδευμα ἔχουσι· καὶ ἵνα ὡς ἱερεῖς τοῖς τῆς ἐπαρχίας οἱ αὐτοὶ, οἱ τὴν ἐκδίκησιν τῶν ἐκκλησιῶν ἀναδεξάμενοι, εὐχερῶς δυνηθῶσιν ὑπὲρ τῶν

τῆς ἐκκλησίας πραγμάτων, ὁσάκις ἀνάγκη ἀπαιτήσει, πρὸς τὸ ἀντιστῆναι τοῖς ἀνακύπτουσι, καὶ ἀναφέρειν τὰ ἀναγκαῖα, καὶ εἰς τὰ σήκρητα τῶν δικαστηρίων εἰσιέναι.

---

ΖΩΝΑΡ. Αἰτῆσαι τοῖς πρεσβευταῖς ἐντέλλονται ἀπὸ τῶν κρατούντων ἄδειαν τοῦ καταστῆσαι ἐκδίκους σχολαστικούς, τουτέστι σχολάζειν ὀφείλοντας, καὶ ἐπιτήδευμα ἔχειν, ἤγουν ἔργον καὶ λειτούργημα, ἤτοι δουλείαν, τὸ ἐκδικεῖν τὰ πράγματα· καὶ ὅσα μὲν δύνανται, αὐτοὶ ἐκδικοῦσιν, ἀνθιστάμενοι τοῖς ἀνακύπτουσι· τὰ δὲ λοιπὰ ἀναφέρειν, ἤτοι ὑπομιμνήσκειν εἰς τὰ σήκρητα τῶν δικαστηρίων· σήκρητα δὲ τὰ κριτήρια τοῖς Λατίνοις ὠνόμασται· σεκέρνω γὰρ παρ' ἐκείνοις τὸ διακρίνω.

ΑΡΙΣΤ. Ἐκ βασιλέως αἰτηθήτω συνηγόρων ἀντίληψις ὑπὲρ τῶν ἐκκλησιαστικῶν κεφαλαίων, οἵτινες ἐπιτήδευμα ἕξουσι διεκδικεῖν τὰ πράγματα, καὶ ὡς ἱερεῖς περὶ τῶν ἀνακυπτόντων εὐχερῶς ἀναφέρειν δυνήσονται.

Καὶ αὖθις ἔδοξε τῇ συνόδῳ, ὡς καὶ ἐν τῷ ἑβδομηκοστῷ πέμπτῳ κανόνι ἤρεσεν, ἐκ βασιλέως αἰτήσασθαι, ὥστε δοθῆναι ἄδειαν καταστῆσαι ἐκδίκους τῇ ἐκκλησίᾳ, τοῦτο αὐτὸ λειτούργημα καὶ ἐπιτήδευμα ἔχοντας, τὸ τὴν ἐκκλησίαν ἐκδικεῖν, καὶ ὡς ἱερεῖς ἀνθίστασθαι πρὸς τὰ ἀνακύπτοντα, ὁσάκις ἂν ἀνάγκη ἀπαιτήσῃ, καὶ εὐχερῶς δύνασθαι τῷ βασιλεῖ περὶ αὐτῶν ἀναφέρειν, καὶ ἐκεῖθεν τὴν ἐπισύστασιν δέχεσθαι.

*Περὶ τοῦ, εἶναι ἐλευθέραν τὴν τοποτηρησίαν.*

Ἤρεσεν(1), ὥστε αὐτεξούσιον τὴν τοποτηρησίαν ἔχειν τοὺς ἐπὶ τὸ κομιτάτον πεμφθέντας ἐπιλέκτους τοποτηρητάς.

---

ΖΩΝΑΡ. Τὸ ἔχειν τοὺς τοποτηρητὰς τὸ αὐτεξούσιον· τουτέστι, τὸ μὴ μόνον ἃ ἐνετάλθησαν λέγειν καὶ ποιεῖν, ἀλλὰ καὶ ὅσα συνίδωσιν ἕτερα τῇ ἐκκλησίᾳ συμφέροντα.

---

(1) Κανὼν ΡΗ' ἐν Π. παρὰ δὲ Ἰουστ. καὶ ἐν Σ. Τρ. οὐκ ἀριθμεῖται ἰδίως.

*Προμαρτυρία τῶν Μαυριτανῶν ἱερέων περὶ Πριμόσου.*

Προσεπιτούτοις δῆλόν ἐστι, προμαρτυρουμένους εἶναι γράμμασιν ἰδίοις τοὺς Μαυριτανοὺς Καισαρειανοὺς, Πρίμοσον διὰ τῶν ἐξεχόντων (1) τῆς Θιγαβενσίας πόλεως περὶ τοῦ συνελθεῖν, ἵνα κατὰ τὰς βασιλικὰς διατυπώσεις ἐντελῶς παράσχῃ τὴν ἑαυτοῦ παρουσίαν· καὶ ὡς ἐχρῆν, ἀναζητηθεὶς ὁ αὐτὸς Πρίμοσος οὐχ εὑρέθη, ὡς οἱ διάκονοι ἀνήγγειλαν· ἀλλ' ἐπειδὴ ᾔτησαν οἱ αὐτοὶ Μαῦροι ἐκ πάσης τῆς συνόδου ὀφείλειν γράμματα ἀποσταλῆναι τῷ προσκυνητῷ ἀδελφῷ γέροντι Ἰννοκεντίῳ, ἤρεσε πεμφθῆναι, ἵνα γνῷ ζητηθέντα τὸν Πρίμοσον ἐν τῇ συνόδῳ, καὶ μηδαμῶς εὑρεθέντα.

ΖΩΝΑΡ. Ὁ Πρίμοσος κατηγορηθῆναι ἔοικε παρὰ τῶν Μαυριτανῶν, καὶ ἐπιφωνηθῆναι παρ' αὐτῶν διὰ τῶν προεχόντων τῆς Θιγαβενσίας πόλεως συνελθεῖν εἰς τὴν σύνοδον, ζητηθῆναι δὲ ἐν τῇ συνόδῳ, καὶ μὴ εὑρεθῆναι· διὸ ᾔτησαν οἱ Μαῦροι, δηλωθῆναι τῷ πάπᾳ Ἰννοκεντίῳ διὰ γραμμάτων τῆς συνόδου, ὅτι ζητηθεὶς ὁ Πρίμοσος ἐν τῇ συνόδῳ οὐχ εὑρέθη.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος ἀχρήσιμά εἰσιν, ὡς ἰδικὰ, καὶ διὰ τοῦτο οὐδὲ ἡρμηνεύθησαν.

## Κανὼν ϞΗ΄. (ΡΘ΄.)

*Περὶ τῶν λαῶν τῶν μηδέποτε ἐπισκόπους ἐσχηκότων.*

Ἤρεσε κἀκεῖνο, ἵνα οἱ ὄχλοι, οἱ μηδέποτε ἰδίους ἐσχηκότες ἐπισκόπους, εἰ μὴ ἐκ πάσης τῆς συνόδου ἑκάστης ἐπαρχίας καὶ τοῦ πρωτεύοντος ψήφισμα γένηται, καὶ κατὰ συναίνεσιν ἐκείνου, οὗ τινος ὑπὸ τὴν διοίκησιν καθίστατο ἡ αὐτὴ ἐκκλησία, μηδαμῶς δέξωνται.

(1) ἐξαρχόντων Χ. Γρ.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἐν ἄλλοις κανόσι διαφόρων συνόδων ὡρίσθη, τὸ μὴ γίνεσθαι ἐπίσκοπον ἐν παροικίαις, ἐν αἷς οὐκ ἦν ἔθος ἔκπαλαι γίνεσθαι, εἰ μὴ ὁ μητροπολίτης θελήσει, (οὗτος γάρ ἐστιν ὁ πρωτεύων τῆς ἐπαρχίας, ἐν ᾗ αἱ παροικίαι ὑπόκεινται,) καὶ ὁ ἐπίσκοπος συναινέσει, ᾧ ἴσως ἡ παροικία διαφέρει, ὡς ὑπὸ τὴν διοίκησιν αὐτοῦ οὖσα, καὶ ἡ τῆς ἐπαρχίας ψηφίσεται σύνοδος.

ΒΑΛΣ. Τοῦτο καὶ ἐν ἄλλοις κανόσι διαφόρων συνόδων ὡρίσθη, δηλονότι τὸ μὴ γίνεσθαι ἐπίσκοπον ἐν παροικίᾳ, ἐν ᾗ οὐκ ἦν ἔθος ἔκπαλαι γίνεσθαι, εἰ μὴ ὁ μητροπολίτης θελήσει, ( οὗτος γάρ ἐστιν ὁ πρωτεύων τῆς ἐπαρχίας, ) καὶ ὁ ἐπίσκοπος συναινέσει, ᾧ ἴσως ἡ παροικία διαφέρει ὡς ἐνορία, καὶ ἡ τῆς ἐπαρχίας ψηφίσηται σύνοδος· * εἰ μὴ βασιλεὺς θελήσει, κατὰ τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν, ἕτερόν τι ποιῆσαι· τηνικαῦτα γὰρ τὸ ὁρισθησόμενον γενήσεται, καθὼς ἐν διαφόροις κανόσιν ἐγράψαμεν * (1).

ΑΡΙΣΤ. Οἱ μηδέποτε σχόντες ἴδιον ἐπίσκοπον, εἰ μὴ πᾶσα ἡ τῆς ἐπαρχίας σύνοδος καὶ ὁ πρωτεύων αὐτῆς γράψειε κατὰ γνώμην τοῦ ὑφ' ὃν ἡ ἐπαρχία ἐν ᾗ ἡ αὐτὴ ἐκκλησία, ἄλλως οὐχ ἕξουσιν.

Ἐὰν παροικία τις ἐτέλει ὑπὸ ἐπίσκοπον, καὶ ἠβουλήθη ὁ ἐν αὐτῇ ὄχλος ἴδιον σχεῖν ἐπίσκοπον, ὡς ἔτυχεν, οὐκ εἰσακουσθήσεται· ἀλλὰ μετὰ δοκιμασίας πάσης τῆς συνόδου τῆς ἐπαρχίας, καὶ τοῦ μητροπολίτου αὐτῆς, πρὸς δὲ καὶ συναινέσεως τοῦ ἐπισκόπου, ὑφ' ὃν ἡ τοιαύτη παροικία καθίσταται, τοῦτο γενήσεται.

## Κανὼν ϞΘ΄. (ΡΙ΄.)

### *Περὶ λαῶν καὶ διοικήσεων τῶν ἀπὸ Δονατιστῶν ἐπιστρεφόντων.*

Ἵνα κἀκεῖνοι δηλαδὴ οἱ λαοί, οἱ ἀπὸ τῶν Δονατιστῶν ἐπιστρέφοντες, καὶ ἐπισκόπους ἐσχηκότες παρὰ γνώμην τῆς συνόδου, τούτους ἀναμφιβόλως ἔχειν ἀξιωθῶσιν· οἵτινες δὲ λαοὶ ἐσχήκασιν ἐπίσκοπον, καὶ τούτου τελευ-

(1) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. καὶ 'Ε. ἀλλ' ἐν Χ. Τρ.

τήσαντος οὐκ ἠθέλησαν ἴδιον ἐπίσκοπον ἔχειν, ἀλλὰ πρὸς ἄλλου τινὸς ἐπισκόπου διοίκησιν ἀναδραμεῖν ἀνήκειν (1), τοῦτο μὴ ὀφείλειν τούτοις ἀρνηθῆναι. Οὐ μὴν ἀλλὰ κἀκεῖνο ἀνηνέχθη, ὅτι οἱ ἐπίσκοποι οἱ πρὸ τοῦ βασιλικοῦ νόμου, τοῦ περὶ ἑνότητος προκομιζομένου, οἵτινες δήποτε πρὸς τὴν καθολικὴν ἐπιστρέψουσι τοὺς λαοὺς, οὓς εἶχον αὐτοὶ, τούτους κατέχειν ὀφείλουσι· μετὰ δὲ τὸν νόμον τῆς ἑνότητος καὶ ἐπέκεινα, χρὴ πάσας τὰς ἐκκλησίας καὶ τὰς διοικήσεις αὐτῶν, καὶ ἐάν τινα τυχὸν ὦσι δικαιώματα τοῖς δικαίοις ἀνήκοντα τῶν αὐτῶν ἐκκλησιῶν, διεκδικεῖσθαι ὑπὸ τῶν καθολικῶν ἐπισκόπων, τῶν ἐν τοῖς τόποις ἐκείνοις ἐν οἷς κατείχοντο παρὰ τῶν αἱρετικῶν, εἴτε ἐπιστρεφόντων λοιπὸν πρὸς τὴν καθολικὴν, εἴτε μὴ ἐπιστρεφόντων· καὶ ἐάν τινές τισιν (2) ἐκ τούτου κατεχρήσαντο μετὰ τὸν βασιλικὸν νόμον (3), ὀφείλει ταῦτα ἀποκαθίστασθαι.

---

ΖΩΝΑΡ. Οἱ ἐπιστρέφοντες λαοὶ, φασὶν οἱ τῆς συνόδου, ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν, ἵνα ἔχωσι τοὺς ἐπισκόπους, οὓς εἶχον, εἰ κἀκεῖνοι δηλαδὴ ἐπέστρεφον. Εἰ δέ τινες τῶν ἐπιστρεφόντων, τῶν ἐπισκόπων αὐτῶν τελευτησάντων, οὐκ ἔσχον ἄλλον ἐπίσκοπον, ἀλλ' ἑτέρας διοικήσεως ἐπισκόπῳ τοῦ τόπου ἀνήκοντος ἐκείνῳ προσετέθησαν, ἔστωσαν ὑπ' ἐκεῖνον, καὶ μὴ τοῦτο αὐτοῖς ἀρνηθείη, ἀντὶ τοῦ, μὴ ἀπαγορευθείη, μὴ κωλυθείη, καὶ ὅσοι δὲ ἐπίσκοποι τῶν Δονατιστῶν τοὺς ὑπ' αὐτοὺς λαοὺς προσαγάγωσι τῇ ἐκκλησίᾳ, αὐτοὶ καὶ μετὰ τὴν προσαγωγὴν ἔστωσαν τούτων ἐπίσκοποι. Μετὰ δὲ τὸν νόμον τῆς ἑνότητος (γέγονε γὰρ παρὰ τῶν κρατούντων τότε νόμος ἑνωθῆναι τὰς ἐκκλησίας τῆς Ἀφρικῆς,) χρὴ, φασι, πάσας τὰς ἐκκλησίας καὶ τὰς διοικήσεις, ἤτοι τὰς οἰκονομίας, ἢ τὰς ἐνορίας, καὶ τὰ δικαιώματα τῶν αὐτῶν ἐκκλησιῶν, διοικεῖσθαι ὑπὸ τῶν καθολικῶν ἐπισκόπων· καθολικοὺς δ' ἐπισκόπους, ἢ τοὺς τῆς κα-

---

(1) ἀνήκει Π. — (2) τὴν αἴσθησιν Ἰους. Βευερ. — (3) ὁρισμὸν Βευερ.

θολικῆς ἐκκλησίας ἐξάρχους ὄντας λέγει, ἢ τοὺς πρώτους, ἤγουν τοὺς μητροπολίτας, εἴτε ἐπιστρέφουσιν οἱ αἱρετικοί, εἴτε καὶ μή. Εἰ δὲ καί τισιν ἐκ τῶν δικαίων τῶν ἐκκλησιῶν κατεχρήσαντο οἱ αἱρετικοὶ μετὰ τὸν νόμον, ἀντὶ τοῦ, ἐξεποιήσαντο, ὀφείλουσι καὶ ταῦτα ἀποκαθίστασθαι. Προσφόρως δ' ἐχρήσαντο τῇ λέξει τοῦ, κατεχρήσαντο· κατάχρησις γάρ ἐστιν ἡ παρὰ τὸ δέον χρῆσις. Καὶ οἱ ἐκποιούμενοι οὖν τὰ τῶν ἐκκλησιῶν, καταχρῶνται αὐτοῖς· οὐ γὰρ ὡς δέον αὐτοῖς χρῶνται. Ἀκουέτωσαν ταῦτα οἱ ἀδεῶς τὰ τῶν ἐκκλησιῶν ἐκποιούμενοι, καὶ οἱ συναινοῦντες αὐτοῖς.

ΒΑΛΣ. Τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν Δονατιστῶν ἐπιστρέφοντας, διορίζεται ὁ κανὼν εἶναι ὑπὸ τοὺς ἐπισκόπους αὐτῶν, ἐὰν καὶ αὐτοὶ ἐπιστρέψωσι. Καὶ ἄλλα δέ τινά φησιν ἀποβλέποντα πρὸς σωτηρίαν τῶν Δονατιστῶν καὶ τῶν κατ' αὐτοὺς ἐκκλησιῶν, μετὰ διόρθωσιν.

ΑΡΙΣΤ. Οἱ ἀπὸ Δονατιστῶν ἐπιστρέψαντες ἐχέτωσαν τοὺς ἰδίους ἐπισκόπους, εἰ καὶ παρὰ γνώμην τῆς συνόδου τούτους ἔσχον· καὶ τελευτῶντος ἐπισκόπου, εἰ μὴ βούλονται ἄλλον ἀντικαταστῆναι, ἀλλ' ἑτέρῳ προσχωρῆσαι, ἐξέστω· καὶ οἱ ἐπίσκοποι, οἱ πρὸ τῆς ἑνώσεως ἐπιστρέψαντες, τοὺς λαοὺς οὓς εἶχον, ἐχέτωσαν· μετὰ δὲ τὴν περὶ ἑνότητος βασιλικὴν κέλευσιν, ἑκάστη ἐκκλησία τὰ ἴδια δίκαια ἐκδικείτω.

Οἱ Δονατισταὶ ἀποσχίσαντες ἑαυτοὺς τῆς ἐκκλησίας, καὶ ἰδίους ἔχοντες ἐπισκόπους, ὡρίσθησαν, ὡς, ἐὰν ἐπιστραφῶσιν αὐτοί τε καὶ οἱ ἐπίσκοποι αὐτῶν πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἀναμφιβόλως αὐτοὺς πάλιν ἐπισκόπους ἔχειν, κἂν παρὰ γνώμην τῆς συνόδου γεγόνασιν. Εἰ δὲ τελευτησάντων αὐτῶν δὴ τῶν ἐπισκόπων, οὐ θελήσουσιν ἑτέρους σχεῖν ἀντ' ἐκείνων ἐπισκόπους ἰδιαιτάτους, ἀλλ' ὑπὸ ἐξουσίαν τε καὶ διοίκησιν καὶ ἄλλων τινῶν ἐπισκόπων γενέσθαι, ὥστε μὴ λογίζεσθαι αὐτοὺς αὖθις σχισματικούς, καὶ καθ' ἑαυτοὺς ἐθέλειν εἶναι, ἀλλ' ὑπὸ τὴν καθολικὴν τάττεσθαι ἐκκλησίαν, ἐξέσται τοῦτο ποιεῖν αὐτοῖς. Ἀλλὰ καὶ οἱ τῶν Δονατιστῶν ἐπίσκοποι, οἱ πρὸ τοῦ βασιλικοῦ νόμου ὑποστρέψαντες, τοῦ κελεύσαντος ἃς κατέσχον οἱ Δονατισταὶ ἐκκλησίας καὶ διοικήσεις, ταῖς ἐκκλησίαις τῶν καθολικῶν ἐπισκόπων προσανωθῆναι, τῶν ἐν ἐκείνοις ὄντων τοῖς τόποις, τοὺς λα-

οὓς οὓς κατεῖχον πάλιν καθέξουσι, καὶ ἔσονται οἱ ἐπίσκοποι ἐν αὐτοῖς· μετὰ δὲ τὴν τοιαύτην βασιλικὴν κέλευσιν, κἄν τε ἐπιστρέψωσι πρὸς τὴν καθολικὴν ἐκκλησίαν, κἄν τε καὶ μὴ, ἑκάστη ἐκκλησία διεκδικήσει τὰ οἰκεῖα δίκαια.

## Κανὼν Ρ΄. (ΡΙΑ΄.)

*Περὶ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ ἐπισκόπου.*

Κατὰ τὴν ἀναφορὰν καὶ αἴτησιν τοῦ ἐπισκόπου Μαυρεντίου, ἀναγνωσθέντος τοῦ σχεδαρίου, ὅπερ προσήνεγκε Πλακέντιος ὁ ἐπίσκοπος, ὁ τὸ πρόσωπον τοῦ τοποτηρητοῦ τῶν Νουμιδιῶν ἀναπληρῶν, ὅπερ κατὰ τὴν γνώμην τοῦ αὐτοῦ Πλακεντίου ἀνεγνώσθη ἐνώπιον τῶν ἐπισκόπων, καὶ ζητηθέντων πρὸ τῶν θυρῶν τῶν λεγομένων παρεστάναι διακόνων, τουτέστι τῶν γερόντων τῶν ἀπὸ τῆς νέας Γερμανοῦ, καὶ μηδαμῶς εὑρεθέντων, καὶ δεύτερον καὶ τρίτον ζητηθέντων, ἔκρινε διὰ τοῦτο ἡ ἁγία σύνοδος, ὥστε γράμματα πρὸς τὸν αὐτὸν γέροντα Σάγκτιππον ἐκπεμφθῆναι διὰ τὸ γνῶναι, ὅτι οὐ προαιρέσει τοῦ μνημονευθέντος λαοῦ ὕβρει ὑποπέπτωκεν ὁ ἐπίσκοπος. Μαυρέντιος ἐπίσκοπος εἶπεν· Ἐπειδή περ ἐζητήθησαν οἱ γέροντες οἱ ἀπὸ νέας Γερμανοῦ δεύτερον καὶ τρίτον, καὶ οὐχ εὑρέθησαν, οἷς ἦν παραγγελθὲν ἀπὸ τοῦ πρωτεύοντος πρὸς τὴν νῦν ἐν ταῖς εἰδοῖς γινομένην προσκυνητὴν σύνοδον ἀπαντῆσαι, τῆς νηστείας(1) ἑαυτῶν ἅπαντες ἐφρόντισαν· καὶ διὰ τοῦτο κρίνῃ ἡ ὑμετέρα ἁγιωσύνη περὶ τούτου τοῦ πράγματος, ἀναιτίως μὴ συντριβῆναί με τῇ ἐπιμονῇ τῆς ἐκείνων συκοφαντίας. Ἡ ἁγία σύνοδος ὥρισεν ὀφείλειν μὲν κατὰ τὴν ἱερατικὴν κρίσιν ἐκ τῆς συνόδου ταύτης κατὰ τῶν μονοτονούντων ψῆφον ἐκφέρεσθαι· ἀλλ᾽ ἐπειδὴ ἡμερότητα ἐκκλησιαστικὴν δεῖ φυλάττειν ἐν ὅλοις τοῖς πράγμασιν, ἐπεσχέθησαν γράμματα πρὸς τὸν γέροντα Σάγκτιππον, ὅπως γνῶ

(1) absentiam ἀπουσίαν, λατιν. παρά τε Βρ. Βεβερ. Ἰουστ. κτλ.

κριτὰς ἐπιλεγέντας ἀπὸ τῆς συνόδου, τοὺς ὀφείλοντας ἀνυπερθέτως σκοπῆσαι ἐν Θουβουρσικένσῃ τῇ πόλει, πρὸς τὸ ἁρμοδίαν τῷ πράγματι παρασχεθῆναι διάγνωσιν. Μαυρέντιος (1) ἐπίσκοπος εἶπε· Κριτὰς αἰτῶ τὸν ἁγιώτατον γέροντα Σάγκτιππον, Αὐγουστῖνον τὸν ἁγιώτατον, Φλωρεντῖνον, Θεάσιον, Σαμψύχιον, Σεκοῦνδον, καὶ Ποσείδιον· τοῦτο ψηφισθῆναί μοι κελεύσατε. Ἡ ἁγία σύνοδος ἐπένευσε τοὺς αἰτηθέντας κριτάς· τοὺς λοιποὺς δὲ ἀναγκαίους δικαστὰς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ αὐτοῖς τοῖς ἀπὸ τῆς νέας Γερμανοῦ γέρουσιν ἐπιλέξασθαι ψηφίσεται ὁ γέρων Σάγκτιππος.

---

ΖΩΝΑΡ. Κατεῖπόν τινες τοῦ Μαυρεντίου, καὶ ἀπεστάλησαν πρὸς τὴν σύνοδον κἀκεῖνοι καὶ ὁ ἐπίσκοπος. Ζητηθέντες οὖν οἱ κατήγοροι, οὐχ εὑρέθησαν· ἔμελλεν οὖν ἡ σύνοδος διαγνῶναι περὶ αὐτῶν· ἀλλ' ἔτι φιλανθρωπευσαμένη, γράμματα πρὸς τὸν Σάγκτιππον ὥρισε στεῖλαι (ἐκείνῳ γὰρ ἔοικεν ὑποκεῖσθαι τοὺς κατηγόρους καὶ τὸν κατηγορούμενον) δηλοῦντα, ὅτι οὐ προαιρέσει τοῦ λαοῦ ὁ ἐπίσκοπος ὑβρίσθη, ὕβριν τὴν κατηγορίαν λέγοντες. Ζητηθέντων τῶν κατηγόρων τοῦ ἐπισκόπου Μαυρεντίου καὶ μὴ εὑρεθέντων, ἡ σύνοδος ἔκρινε μηκέτι προσκαρτερεῖν τὸν Μαυρέντιον, ὅτι οἱ κατήγοροι αὐτοῦ παραγγελθέντες ἐλθεῖν εἰς τὴν σύνοδον τὴν ἐν ταῖς εἰδοῖς γινομένην, οὐκ ἀπηντήκασιν· εἰδοὶ δὲ λέγονται αἱ τελευταῖαι τοῦ μηνὸς ἡμέραι, ὡς καὶ ἐν ἑτέρᾳ συνόδῳ προείρηται. Ἐπετράπη δὲ ὁ Μαυρέντιος αἰτῆσαι δικαστὰς τοὺς κατὰ χώραν διαγνῶναι μέλλοντας περὶ τοῦ πράγματος, ἤτοι τῆς ὑποθέσεως· ὁ δὲ Μαυρέντιος τὸν Σάγκτιππον ᾔτησε καὶ ἑτέρους ἕξ, διαγνωμονήσοντας περὶ τῶν κατηγοριῶν αὐτῶν· πρὸς ὅπερ ἡ σύνοδος ἐπένευσε, καὶ τοὺς αἰτηθέντας ὥρισε δοκιμάσαι τὴν ὑπόθεσιν, προσθεμένη, ὅτι τοὺς λοιποὺς ἀναγκαίους δικαστὰς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ, ὁ Σάγκτιππος ἐπιλεγῆναι ψηφίσεται. Ἀναγκαίους δὲ λέγει δικαστάς, τοὺς τὸν δώδεκα ἀριθ-

(1) ἐντεῦθεν ἄρχεται ἐν Η. ὁ Κανὼν ΡΙΑ΄.

μὸν ἀναπληρῶσαι μέλλοντας, ὡς τοῦ δωδεκάτου κανόνος τῆς παρούσης συνόδου, ἐπίσκοπον ὑπὸ ιβ'. ἐπισκόπων θεσπίσαντος κρίνεσθαι. Ἐπεὶ οὖν οἱ παρὰ τοῦ Μαυρεντίου αἰτηθέντες ἑπτὰ ἦσαν, ἔδει ἀναγκαίως διὰ τὸν κανόνα ἐκεῖνον, καὶ ἑτέρους πέντε τοῖς ἑπτὰ προσζευχθῆναι, ἵν' εἴη καὶ ἀριθμὸς πληρέστατος.

ΒΑΛΣ. Καὶ τὰ ἐν τῷ παρόντι κανόνι διειλημμένα, ἰδικά εἰσι, καὶ διὰ τοῦτο οὐδὲ ἡρμηνεύθησαν.

ΑΡΙΣΤ. Τῶν ἀπὸ τῆς νέας Γερμανοῦ παρεῖναι λεγομένων ὑποδιακόνων, τρὶς ζητηθέντων, καὶ μὴ εὑρεθέντων, ψῆφον ἐχρῆν ἐξενεχθῆναι· ἀλλὰ διὰ τὴν ἐκκλησιαστικὴν ἡμερότητα, πεμφθήτωσαν οἱ περὶ τοῦ πράγματος διαγνῶναι ὀφείλοντες.

Οὗτοι οἱ ὑποδιάκονοι, τοῦ ἐπισκόπου Μαυρεντίου κατηγορήσαντες, καὶ παραγγελθέντες εἰς τὴν σύνοδον ταύτην ἀπαντῆσαι, καὶ προθεῖναι ἅπερ εἰσῆγον κατὰ τοῦ ἐπισκόπου αἰτιάματα, εἶτα δεύτερον καὶ τρίτον ψηλαφηθέντες, καὶ μὴ εὑρεθέντες, ὡς συκοφάνται κατακριθῆναι ἔμελλον· ἀλλὰ διὰ τὴν ἐκκλησιαστικὴν ἡμερότητα ὡρίσθη σταλῆναί τινας ἀπὸ συνόδου κριτὰς, καὶ κατὰ χώραν σκοπῆσαι τὰ αἰτιάματα, παρουσίᾳ καὶ αὐτῶν τῶν κατηγόρων, καὶ ἁρμοδίαν τῷ πράγματι παρασχεῖν τὴν διάγνωσιν.

## Κανὼν ΡΑ'. (ΡΙΒ'.)

*Περὶ τοῦ, εἰρηνοποιηθῆναι τὰς ἐκκλησίας Ῥώμης καὶ Ἀλεξανδρείας.*

**Ἤρεσεν ἔτι μὴν, ὥστε περὶ τῆς διχονοίας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς ἐκκλησίας πρὸς τὸν ἁγιώτατον πάπαν Ἰννοκέντιον γραφῆναι, ὅπως ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας εἰρήνην φυλάξωσιν, ἣν ὁ Κύριος παραγγέλλει.**

---

ΖΩΝΑΡ. Διαφορά τις, ὡς ἔοικεν, ἐγένετο τοῖς ἐν Ῥώμῃ καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ, περὶ ἧς ἔδοξε τῇ συνόδῳ ταύτῃ γράψαι τῷ Ἰννοκεντίῳ τῆς Ῥωμαίων ἐκκλησίας τότε προεστῶ-

τι, ἵνα καταλύσωσι τὴν διαφορὰν, καὶ εἰρηνεύσωσι πρὸς ἀλλήλας κατὰ τὴν τοῦ Κυρίου παραγγελίαν λέγοντος· Εἰρήνην δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν (1)· καὶ πάλιν· Εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσι (2).

ΒΑΛΣ. Διαφορά τις ἐγένετο μέσον τῶν δύο ἐκκλησιῶν, καὶ ἐτυπώθη γενέσθαι εἰρήνην.

ΑΡΙΣΤ. Ἔδοξε πεμφθῆναι γράμματα πρὸς Ἰννοκέντιον, εἰρηνεύειν πρὸς ἀλλήλας τὴν Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίαν.

Διὰ τὰς παρεμπεσούσας μεταξὺ τῆς Ῥωμαίων ἐκκλησίας καὶ τῆς Ἀλεξανδρινῶν διχονοίας, ἤρεσεν ὡς ἀπὸ τῆς συνόδου γράμματα πρὸς τὸν πάπαν τὸν Ἰννοκέντιον σταλῆναι, ὥστε πρὸς ἀλλήλας εἰρήνην φυλάττειν ἑκατέρας τὰς ἐκκλησίας.

## Κανὼν ΡΒ'. (ΡΙΓ'.)

*Περὶ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων, ἵνα οὕτω μείνωσιν.*

**Ἤρεσεν, ὥστε κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν ἐπιστήμην, μήτε ὁ ἀπὸ γυναικὸς ἐαθεὶς, μήτε ἡ ἀπὸ ἀνδρὸς καταλειφθεῖσα, ἑτέρῳ συζευχθῇ· ἀλλ' ἢ οὕτω μείνωσιν, ἢ ἑαυτοῖς καταλλαγῶσιν· οὗπερ ἐὰν καταφρονήσωσι, πρὸς μετάνοιαν καταναγκασθῶσιν· ἐν ᾧ πράγματι νόμον βασιλικὸν ἐκτεθῆναι χρεὼν (3) αἰτῆσαι.**

---

ΖΩΝΑΡ. Ὁ μὲν βασιλεὺς Ἰουστινιανὸς ῥητὰς αἰτίας ἔθετο τῆς τῶν γάμων λύσεως ἐν νεαρᾷ κειμένῃ εἰς βιβλίον τῶν βασιλικῶν κή. τίτ. ζ'. ὧν ἄνευ μὴ λύεσθαι γάμον ἐθέσπισεν· ἡ δὲ σύνοδος αὕτη προγενεστέρα οὖσα πολλῷ τοῦ Ἰουστινιανοῦ, καὶ κατὰ παλαιὸν ἔθος ὁρῶσα λυομένους τοὺς γάμους ὅτε ἕκαστος τῶν συνοικούντων ἐβούλετο, ὥρισε τοὺς ἀπ' ἀλλήλων διϊσταμένους ἢ καταλλάττεσθαι ἀλλήλοις, καὶ μένειν τὸν γάμον, ἢ οὕτω μένειν, ἀγάμους δηλαδὴ μετὰ τὴν διάστασιν· εἰ δὲ τούτου κατα-

(1) Ἰωάνν. ΙΔ', 27. (2) α', Θεσσαλ. Ε', 13. — (3) χρεών ἐστι Χ. Τρ. Σ. Ρ.

φρονήσωσι, πρὸς μετάνοιαν καταναγκασθῶσιν, ἀντὶ τοῦ, μετανοῆσαι ἀνάγκην ἕξουσιν, ὡς ἡμαρτηκότες μοιχείαν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν, ὅτι, Ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ χωρὶς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται (1). Ἔδοξε δὲ τῇ συνόδῳ καὶ αἰτῆσαι νόμον περὶ τοῦ μὴ λύεσθαι τοὺς γάμους ἀναιτίως γενέσθαι βασιλικόν· εὐαγγελικὴν δὲ καὶ ἀποστολικὴν ἐπιστήμην, τὴν τοῦ Κυρίου διαταγήν φασι, καὶ τὴν τοῦ μεγάλου Παύλου διδασκαλίαν· ὁ μὲν γὰρ Κύριος, Οὓς ὁ Θεὸς συνέζευξε, φησιν, ἄνθρωπος μὴ χωριζέτω (2)· ὁ δὲ μακάριος Παῦλος· Δέδεσαι γυναικί; Μὴ ζήτει λύσιν· Λέλυσαι ἀπὸ γυναικός; Μὴ ζήτει γυναῖκα (3).

ΒΑΛΣ. Ἡ μὲν παροῦσα σύνοδος θεσπίζουσα, μὴ ἑτέρῳ συνάπτεσθαι τὴν μεταστᾶσαν ἐκ τοῦ συζύγου αὐτῆς, καὶ τὸ ἐναντίον, μηδὲ τὸν ἄνδρα μετὰ ἑτέρας συνοικεῖν, ἀλλ᾽ ἢ ἀζύγας εἶναι, ἢ καταλλάττεσθαι, παρακαλεῖ διὰ βασιλικοῦ προστάγματος καταναγκάζεσθαι πάντας οὕτω ποιεῖν. Σὺ δὲ γίνωσκε, ὅτι ἡ ριζ΄. Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν τῷ ζ΄. τίτλῳ τοῦ κή. βιβλίου, ἄλλως τὰ περὶ τῶν λύσεων τῶν γάμων μετετύπωσε· καὶ ἀνάγνωθι τὸν πζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ εὑρήσεις πολλὰ χάριν τῆς τοιαύτης ὑποθέσεως· τὰ γὰρ ἐν τῷ παρόντι κανόνι περιεχόμενα, προγενέστερα ὄντα κατὰ πολὺ, ἠπράκτησαν.

ΑΡΙΣΤ. Τεμνόμεναι συζυγίαι, εἰ μὴ καταλλάττοιντο, μενέτωσαν οὕτως· εἰ δὲ μὴ, πρὸς μετάνοιαν ἀναγκάζονται.

Ἤρεσε τῇ συνόδῳ ταύτῃ, κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν, μή τινα τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλλειν ὡς ἔτυχε, καὶ χωρίζεσθαι ταύτης· εἰ δὲ συμβῇ ἢ ἀπὸ τοῦ ἀνδρὸς, ἢ ἀπὸ τῆς γυναικὸς, διατμηθῆναι τὴν συζυγίαν, καὶ οὐ καταλλαγῶσι, καὶ συνελθεῖν αὖθις θελήσουσι, μένειν οὕτως αὐτοὺς ἀπολύτους, καὶ γάμον ἕτερον μὴ συναλλάττειν· διότι καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται· εἰ δὲ συζευχθῇ ὁ ἀνὴρ ἑτέρᾳ γυναικὶ, ἢ ἡ γυνὴ ἑτέρῳ ἀνδρὶ, πρὸς μετάνοιαν ἀναχθήσονται, καὶ τοῖς τῆς μοιχείας ἐπιτιμίοις ὑποπεσοῦνται· καὶ ζήτει

(1) Ματθ. Ε΄, 32. — (2) Μάρκ. Ι΄, 9. — (3) α΄, Κορ. Ζ΄, 27.

κανόνα ὀγδοηκοστὸν ἕβδομον τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τοῦ μεγάλου Βασιλείου κανόνα ἔννατον, τριακοστὸν πέμπτον, τεσσαρακοστὸν ὄγδοον, καὶ ἑβδομηκοστὸν ἕβδομον.

## Κανὼν ΡΓ'. (ΡΙΔ'.)

*Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλουσῶν λέγεσθαι ἱκεσιῶν.*

Ἤρεσε καὶ τοῦτο, ὥστε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας, εἴτε προοίμια, (1) εἴτε παραθέσεις, εἴτε τὰς τῆς χειρὸς ἐπιθέσεις, ἀπὸ πάντων ἐπιτελεῖσθαι (2), καὶ παντελῶς ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προσενεχθῆναι, ἀλλ' αἵτινεςδήποτε ἀπὸ τῶν συνετωτέρων συνήχθησαν, λεχθήσονται.

---

ΖΩΝΑΡ. Αἱ παρὰ τῶν ἱερέων λεγόμεναι εὐχαὶ ἐν ταῖς πρὸς Θεὸν ὑμνῳδίαις, διάφοροι εἰσίν· αἱ μὲν γὰρ προλέγονται, ἃς καὶ προοίμια εἶπον· αἱ δὲ ἐπιλέγονται μετὰ τὴν ὑμνῳδίαν, ἃς ὑποθέσεις ἐκάλεσαν, ὡς ὑποτιθεμένας τοῖς ὕμνοις, καὶ μετ' αὐτοὺς λεγομένας· τὰς δὲ παραθέσεις ὠνόμασαν, ὡς παρατιθεμένας τὸν λαὸν τῷ Κυρίῳ. Τὰς οὖν κεκυρωμένας ἐν τῇ συνόδῳ λέγεσθαι ὁρίζει ἡ σύνοδος, ὁποῖαι ἂν εἶεν, καὶ ὡς ἂν καλοῖντο, καὶ μὴ ἑτέρας προσφέρεσθαι, ἀλλὰ τὰς παρὰ τῶν συνετωτέρων συνταχθείσας λέγεσθαι. Διὰ δὲ τῆς ἐπιθέσεως τῶν χειρῶν, τῶν ἐν χειροτονίᾳ εὐχῶν ἐμνημόνευσεν· ἐν γὰρ ταῖς χειροτονίαις ὁ ἀρχιερεὺς ἐπιτιθεὶς τὴν χεῖρα τῇ τοῦ χειροτονουμένου κεφαλῇ, οὕτω τὰς εὐχὰς ἐπιλέγει. Ἐν πᾶσιν οὖν τοῖς εἰρημένοις, ἐκείνας ὁρίζει λέγεσθαι, τὰς ἤδη κυρωθείσας εὐχὰς, καὶ μὴ νέας παρά τινων εἰσαγομένας κατὰ τῆς πίστεως· ἃ γὰρ οὐκ ἐδοκίμασαν οἱ Πατέρες, ἀμφίβολα εἰσί· φόβος δ' ὑποτρέχει ἐν τοῖς τοιούτοις, μή ποτε καὶ ἀσεβῆ ὦσί τινα καὶ κατὰ τῆς πίστεως· διὸ καὶ ἀποβάλλεται τὰ νέα ἡ σύνοδος.

ΒΑΛΣ. Ὡς ἔοικε, τινὲς ἐπίσκοποι ἐπεχείρουν λέγειν εὐχὰς ἀσυνήθεις ἢ κατὰ τὰ προοίμια τῶν θείων δοξολογιῶν, ἤγουν

---

(1) εἴτε ὑποθέσεις, εἴτε παραθέσεις. Π., Χ. Τρ. — (2) ἐκτελεῖσθαι Π.

εἰς τὰς ἀρχὰς, ἢ κατὰ τὰς παραθέσεις, ἤγουν ἐν τῷ μέσῳ, ἢ κατὰ τὸν καιρὸν τῶν χειροτονιῶν. Κωλύοντες οὖν τοῦτο οἱ Πατέρες φασὶ μόνας ἐκείνας τὰς εὐχὰς λέγεσθαι τὰς προκεκυρωμένας, ἤτοι τὰς συνήθεις. Καὶ ὁ μὲν κανὼν ταῦτα. Ἐν δὲ τῇ συνόδῳ τῆς βασιλευούσης ταύτης τῶν πόλεων, διάφορα γεγόνασι σημειώματα, ἀφορισμῷ ἀλειτουργησίας καθυποβάλλοντα τοὺς ἐν τοῖς μνημοσύνοις τῶν ἀποιχομένων (1) εὐγενῶν καὶ μεγιστάνων ἱερουργοῦντας ἀρχιερεῖς, καὶ λέγοντας ἐπαινετηρίους εὐχὰς, μετὰ ἰαμβείων, ἢ καὶ λογοειδῶς· πολλοὶ γὰρ ἐφωράθησαν ταῦτα ποιοῦντες. Ὡσαύτως ἀφωρίσθησαν διὰ συνοδικοῦ σημειώματος καὶ οἱ ἀναγνῶσται, οἱ κατὰ τὰ αὐτὰ μνημόσυνα μουσικὰ λέγοντες καὶ ὀργανικὰ μινυρίσματα, καὶ ποιοῦντες τὸν ἐπιτάφιον ἐπιγάμιον. Καὶ αὐτοὶ μὲν καλῶς ἀφωρίσθησαν· οἱ δὲ διὰ ψαλτῳδημάτων εὐλαβῶν μὴ παραβιαζομένων τὴν φύσιν, καὶ ἀλληλουϊαρίων ἐξεχομένων τῆς τεχνικῆς καλλιφωνίας, ἤτοι τοῦ θεμελίου, ταῦτα ποιοῦντες, κακῶς ἀφορίζονται (2)· οὐδὲ γὰρ πενθικῶς, ἀλλ' ἑορταστικῶς καὶ πανηγυρικῶς τελοῦμεν σήμερον τὰ τῶν ἀποιχομένων μνημόσυνα, εὐχαριστοῦντες τῷ Θεῷ τῷ εὐδοκήσαντι μετὰ τῆς ὀρθοδόξου πίστεως ἐκδημῆσαι τὸν τελευτήσαντα, καὶ καταξιώσαντι (3) ἡμᾶς ἀπερικαλύπτως θάπτειν καὶ μετὰ πάσης ἀδείας τοὺς ἐξ ἡμῶν μεθισταμένους (4), καὶ μὴ ῥίπτειν ἐν γωνίαις (5) αὐτοὺς ὡς πτώματα, καθὰ καὶ τὸ πρότερον, *ὅτε τὰ μὲν τῶν αἱρετικῶν ἀνυψοῦντο, τὰ δὲ ἡμέτερα ἐταπεινοῦντο καὶ ἐδιώκοντο* (6), καθά φησιν ὁ θεολόγος Γρηγόριος ἐν τοῖς κατὰ τοῦ Ἰουλιανοῦ στηλιτευτικοῖς λόγοις αὐτοῦ· ὃ καὶ νῦν γίνεται ἐν τοῖς μετὰ τῶν Μουσουλμάνων οἰκοῦσι Χριστιανοῖς (7)· *διὸ καὶ θυμιάμασι, λαμπάσι τε

(1) κατοιχομένων Χ. Τρ. — (2) Χ. Τρ. — παρὰ δὲ Βευερ. τὰ ἀπὸ τοῦ, οἱ δὲ διὰ ψαλτῳδημάτων, ἀναγινώσκεται οὕτω· Οἱ δὲ μετ' εὐλαβείας ψάλλοντες, μὴ παραβιαζόμενοι τὴν φύσιν, ἀλλ' ἐξακολουθοῦντες τῇ τέχνῃ καὶ τῷ θεμελίῳ, κακῶς ἀφορίζονται. — Παρὰ δὲ Ἑ. οὐ κεῖται τὸ μέρος τοῦτο τῆς ἑρμηνείας εἰ μὴ λατιν. σελ. 1124 — (3) καταξιώσαντι, οὐ κεῖται παρὰ Βευερ. — (4) Χ. Τρ. — ἐκδημοῦντας, Βευερ. (5) Χ. Τρ. — λαθραίως Βευερ. — (6) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. μόνον. — (7) ὃ καὶ νῦν γίνεται ... Χριστιανοῖς, οὐ κεῖται ἐν Χ. Τρ.

καὶ μεγαλοπρεπέσι συνελεύσεσι τὸν ἀποιχόμενον δεξιούμεθα ὡς ἡγιασμένον διὰ τὸ βάπτισμα· ψάλλομεν δὲ καὶ τὸν ἄμωμον ἐπ' αὐτῷ, λέγοντες προσώπῳ αὐτοῦ· Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, Κύριε· ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου· ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐπορεύθην, καὶ τὰ λοιπά, ὅσα λέγουσι πρὸς τὸν Θεὸν οἱ ἐκλεκτοὶ αὐτοῦ* (1).

ΑΡΙΣΤ. Ἤρεσε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας ἀπὸ πάντων ἐπιτελεῖσθαι, εἴτε προοίμια, εἴτε παραθέσεις, εἴτε χειρῶν ἐπιθέσεις· καὶ παντελῶς ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προενεχθῆναι.

Τὰς παρὰ τῶν συνόδων κεκυρωμένας Γραφὰς, καὶ τὰς εὐχὰς, ἃς ἡ ἐκκλησία παρέλαβε, πάντες ἐπιτελεῖν ὀφείλουσιν, ἤγουν τὰς ἄχρι τοῦ Εὐαγγελίου ὑμνῳδίας, καὶ ἀναγνώσεις τῶν ἱερῶν Γραφῶν, εἴτε παραθέσεις, τουτέστι τὰς ἐπὶ τοῖς κατηχουμένοις εὐχάς, δι' ὧν αὐτοὺς τῷ Κυρίῳ παρατιθέμεθα, εἴτε ἐπιθέσεις χειρῶν, ἤτοι τὰς γινομένας πρὸς τὸν λαὸν εὐλογίας τῇ τοῦ ἐπισκόπου χειρί.

## Κανὼν ΡΔ'. (ΡΙΕ'.)

*Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων.*

Ἤρεσεν, ἵνα ὀστισδήποτε ἀπὸ τοῦ βασιλέως διάγνωσιν δημοσίων δικαστηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς στερηθείη· ἐὰν δὲ κρίσιν ἐπισκοπικὴν ἀπὸ τοῦ βασιλέως αἰτήσοι, μηδὲν αὐτῷ ἐμποδίσοι.

---

ΖΩΝΑΡ. Διάφοροι κανόνες ὥρισαν, τοὺς ἐπισκόπους παρὰ ταῖς συνόδοις τῶν ἐπαρχιῶν δικάζεσθαι, καὶ τοὺς κληρικοὺς παρὰ τοῖς ἐπισκόποις αὐτῶν. Εἰ δέ τις, φησὶν ὁ κανὼν οὗτος, ἱερωμένος ὢν, προσέλθῃ τῷ βασιλεῖ αἰτῶν διάγνωσιν δημοσίων δικαστηρίων, ἤτοι πολιτικῶν καὶ ἀρχοντικῶν, στε-

(1) τὰ μεταξὺ τῶν * κεῖται παρὰ Βευερ. οὕτω· διὸ καὶ λαμπρῶς προπεμπούομεν τὸν ἐξοδευόμενον μετὰ λαμπάδων καὶ μύρων, ὡς ἡγιασμένον διὰ τοῦ ἁγίου βαπτίσματος· διὸ καὶ τὸν ἄμωμον ψάλλομεν ὡς [illegible].

ρηθήσεται τῆς ἰδίας τιμῆς, ἀντὶ τοῦ, καθαιρεθήσεται· ἐὰν δὲ βασιλεῖ προσελθὼν, ἐπισκοπικὸν αἰτήσῃ δικαστήριον, ἤτοι συνέλευσιν ἐπισκόπων κατὰ βασιλικὴν πρόσταξιν γενησομένην καὶ διαγνωμονήσουσαν, οὐ βλαβήσεται περὶ τὴν ἐπιτιμίαν. Ἀνάγνωθι τῆς τετάρτης συνόδου κανόνα θ'.

ΒΑΛΣ. Σαφής ἐστιν ὁ παρὼν κανών· διορίζεται γὰρ τοὺς ἱερωμένους (1) καθαιρεῖσθαι τοὺς παραιτουμένους τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ζητοῦντας ἀπὸ τοῦ βασιλέως δικάσαι τὰς αὐτῶν ὑποθέσεις δημοσίους δικαστὰς, ἤτοι πολιτικούς· τοὺς δὲ ποριζομένους βασιλικὰς προστάξεις χάριν τοῦ δικάσασθαι παρ' ἐπισκόποις, οὐ θέλει βλάπτεσθαι. Ἀνάγνωθι τὸν ιέ. κανόνα τῆς παρούσης συνόδου, καὶ τὴν αὐτοῦ ἑρμηνείαν· λέγει γὰρ καὶ οὗτος τὰ αὐτὰ πλατύτερον· καὶ σημείωσαι, ὅτι οὐδὲ μετὰ βασιλικῆς προστάξεως δύναται ἱερωμένος παραιτεῖσθαι τὸ ἐκκλησιαστικὸν δικαστήριον, ἀλλὰ τοῦτο ποιῶν καθαιρεῖται. Τί δέ; ἐὰν λαϊκὸς διὰ προστάξεως βασιλικῆς ἑλκύσῃ ἱερωμένον εἰς πολιτικὸν δικαστήριον, προκριματισθήσεται; Λύσις. Τινὲς λέγουσι μήτε προκριματίζεσθαι τοῦτον, μήτε χώραν ἔχειν ἐνταῦθα τὴν τοῦ φόρου παραγραφήν. Ἐμοὶ δὲ δοκεῖ, ὅτι ὁ οὕτως ἐναγαγὼν λαϊκὸς, ἤγουν διὰ προστάξεως, οὐ προκριματισθήσεται μὲν, ὡς εἰς ἀπρόσφορον δικαστήριον ἑλκύσας τὸν ἱερωμένον, ἀναγκασθήσεται δὲ, εἴπερ ἡ ὑπόθεσίς ἐστιν ἐκκλησιαστικὴ, εἰς τὸ ἐκκλησιαστικὸν δικαστήριον ἀπαντῆσαι, ὅτι καὶ τὰ βασιλικὰ προστάγματα πρὸς νόμους καὶ κανόνας ἐκλαμβάνονται καὶ ἑρμηνεύονται. Οὕτω νόει μοι καὶ τὸ ιζ'. (2) κεφ. τοῦ ά. τίτ. τοῦ τρίτου βιβλίου, λέγον· Ἀλλ' οὐδὲ ὑπέρ τινος χρηματικῆς, ἢ ἐγκληματικῆς αἰτίας, ἐπίσκοπον πρὸς ἄρχοντα πολιτικὸν, ἢ στρατιωτικὸν, ἄκοντα ἢ διάγεσθαι, ἢ παρίστασθαι, δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν.

ΑΡΙΣΤ. Δημοσίαν κρίσιν ὁ παρὰ βασιλέως αἰτῶν, οὐκ ἐπίσκοπος.

---

(1) Χ. Τρ. — τοὺς ἱερωμένους, οὐ κεῖται παρὰ Βευερ. ἀλλὰ παρὰ Ἑ. λατινιστί. — (2) Κεφ. ιϛ'. ἐν τῇ ἐκδόσει Λιμβέχ.

Ἐπίσκοπος, ἢ κληρικὸς, ἐπ' ἐγκλήμασιν αἰτιώμενος, καὶ τὸ ἐκκλησιαστικὸν παραιτούμενος δικαστήριον, καὶ παρὰ βασιλέως αἰτῶν κοσμικοὺς δικαστὰς, τῆς ἰδίας τιμῆς στερηθήσεται.

## Κανὼν ΡΕ'. (ΡΙϚ'.)

*Περὶ τῶν ἐν Ἀφρικῇ μὴ κοινωνούντων, καὶ θελόντων πέραν τῆς θαλάσσης ὑποσυρῆναι.*

Ὁστισδήποτε μὴ κοινωνῶν ἐν τῇ Ἀφρικῇ, εἰς τὰ περαματικὰ πρὸς τὸ κοινωνεῖν ὑφερπύσει, τὴν ζημίαν τῆς κληρώσεως ἀναδέξεται.

---

ΖΩΝΑΡ. Ἐάν τις, φησὶν, ἀποστὰς τῆς κοινωνίας τοῦ ἐπισκόπου αὐτοῦ ἐν τῇ Ἀφρικῇ, μεταστῇ ἐκεῖθεν λάθρα, καὶ εἰς τὰ πέραν τῆς Ἀφρικῆς ἀπέλθῃ, ἵνα μὴ ἀπαιτοῖτο συγκοινωνεῖν, ζημιωθήσεται περὶ τὴν κλήρωσιν αὐτοῦ, τουτέστιν, ἐκπεσεῖται τοῦ κλήρου καὶ τῆς διὰ τοῦ κληρικὸς εἶναι τιμῆς.

ΒΑΛΣ. Τοὺς ἀποστάντας ἀπὸ τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν λάθρα, καὶ εἰς τὰς περαματικὰς ἐκκλησίας, ἤγουν ἐν τῇ Ῥώμῃ ἱερουργοῦντας, καθαιρεῖσθαι ὁ κανὼν φησίν. Ὥστε σημείωσαι, ὅτι οἱ δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς ἱερουργοῦντες εἰς ἑτέραν ἐνορίαν, ἀκοινώνητοι ἔσονται, τουτέστι, κωλυθήσονται τῆς ἱερουργίας.

ΑΡΙΣΤ. Ὁ ἐν τῇ Ἀφρικῇ ἀκοινώνητος, τοῖς πέραν ὑφέρπων πρὸς κοινωνίαν, ἀκλήρωτος.

Ὁ ἐν τῇ Ἀφρικῇ ἀφωρισμένος ἐπίσκοπος, ἢ κληρικὸς, ἐὰν πέραν θαλάσσης ὑφέρπων, ἤγουν ἀπερχόμενος, τοὺς ἐκεῖσε ἐπισκόπους ὑποσύρῃ, καὶ εἰς κοινωνίαν αὐτὸν προσδέξωνται, τὸν βαθμὸν αὐτοῦ ζημιωθήσεται.

## Κανὼν Ρϛ'. (ΡΙΖ'.)

*Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι, τὴν αἰτίαν ἑαυτῶ καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ Ῥωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι.*

Ἤρεσεν, ἵνα, ὁστισδήποτε πρὸς τὸ κομιτάτον πορευ-

θῆναι θελήσοι, ἐν τῇ ἀπολυτικῇ τῇ ἐπὶ τὴν ἐκκλησίαν (1) Ῥώμης πεμπομένῃ κατάδηλος γένηται, καὶ ἵνα ἐκεῖθεν ἔτι μὴν ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτάτον. Διὸ, ἐὰν ὁ λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ῥώμην μόνον, σιωπήσας τὴν ἀνάγκην, δι' ἣν εἰς τὸ κομιτάτον αὐτὸν χρὴ πορευθῆναι, θελήσῃ εὐθέως (2) εἰς τὸ κομιτάτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας. Ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ῥώμῃ αἰφνηδία ἀνάγκη ἀναφυῇ τοῦ ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἐμφανίσῃ αὐτὴν τὴν ἀνάγκην τῷ ἐπισκόπῳ Ῥώμης, καὶ παρακομίσῃ ἀντίγραφον (3) τοῦ αὐτοῦ τῆς Ῥώμης ἐπισκόπου. Αἱ ἀπολυτικαὶ δὲ αἱ ἀπὸ τῶν πρωτευόντων, ἢ τῶν οἱωνδήποτε ἐπισκόπων, τοῖς ἰδίοις κληρικοῖς διδόμεναι, σχῶσι τὴν ἡμέραν τοῦ Πάσχα· ἐὰν δὲ ἀκμὴν ἡμέρα τοῦ Πάσχα τοῦ αὐτοῦ ἐνιαυτοῦ κατάδηλος οὐκ ἔστιν, ἡ τοῦ προηγησαμένου προσζευχθείη, ὃν τρόπον εἴωθε μετὰ τὴν ὑπατείαν γράφεσθαι ἐν τοῖς δημοσίοις πεπραγμένοις (4). Ἤρεσε δὲ κἀκεῖνο, ὥστε κατὰ τῶν Δονατιστῶν, καὶ τῶν ἑλλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, τοὺς πεμφθέντας τοποτηρητὰς ἐκ τῆς τιμίας ταύτης συνόδου πανταχοῦ χρήσιμον συνίδωσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτήσασθαι βασιλέων. Ἤρεσεν ἔτι μὴν τῇ αἰτήσει πάντων τῶν ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ἐκ τῆς συνόδου ἐπιστολαῖς, ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι (5) ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Καὶ ἄλλοι κανόνες διάφοροι, περὶ τοῦ μὴ ἐξεῖ-

(1) Χ. Τρ. — τῇ ἐπὶ τῇ ἐκκλησίᾳ, Ἰουστ. — (2) ἀμέσως Βεβέρ. — (3) ἀντίγραφα Σ. Ῥ. — (4) ἐνταῦθα λήγει ὁ καν. ἐν Π. — (5) ἀναγνωσθέντι, Ἰουστ.

ναι τοῖς ἐπισκόποις χωρὶς ἐπιστολῶν ἀπολυτικῶν τῶν πρωτευόντων αὐτῶν καὶ τῆς συνόδου τῆς ἐπαρχίας ἐκείνης ἀπιέναι πρὸς βασιλέα ὁρίζουσιν. Αὕτη δὲ καί τι πλέον ὁρίζει, τὸ τὰς ἀπολυτικὰς ἐπιστολὰς καὶ τῷ πάπᾳ Ῥώμης ἐμφανίζεσθαι· καὶ ἔοικε τοῦτο τοῖς ἐν Ἀφρικῇ ἐπιτάττεσθαι, ἵνα ἐμφανιζομένων τῷ πάπᾳ τῶν ἀπολυτικῶν, καὶ ἐξ ἐκείνου λάβῃ ἀπολυτικὴν ἐπὶ τὸ κομιτάτον. Ἐὰν οὖν ὁ λαβών, φησιν, ἀπολυτικὴν ἀπὸ τῆς οἰκείας συνόδου, καὶ ἀπελθὼν εἰς τὴν Ῥώμην, οὐκ εἴπῃ κἀκεῖ τὴν αἰτίαν δι' ἣν ἄπεισι πρὸς τὸν βασιλέα, ἀλλὰ σιωπήσας ἀπέλθῃ, ἀφορισθήσεται. Ἐὰν δέ τις τῇ Ῥώμῃ ἐνδημῶν σχῇ ἀνάγκην, αναφυείσης ἀθρόον αἰτίας, ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἵνα τῷ Ῥώμης ἀρχιερεῖ δηλώσῃ τὴν αἰτίαν, καὶ λάβῃ γραφὴν τοῦ Ῥώμης ἀπολυτικήν. Αἱ δὲ ἀπὸ τῶν πρωτευόντων, φησί, γινόμεναι ἀπολυτικαὶ τοῖς ἐπισκόποις, ἢ ἐκ τῶν οἱωνδήποτε ἐπισκόπων τοῖς κληρικοῖς αὐτῶν, ἐχέτωσαν τὴν ἡμέραν τοῦ Πάσχα· ἐὰν δὲ ἔτι ἄδηλός ἐστιν ἡ ἡμέρα τοῦ Πάσχα τοῦ ἐνιαυτοῦ ἐκείνου, γραφέσθω ἡ τοῦ παρελθόντος Πάσχα ἡμέρα. Τοῦτο δέ, οἶμαι, ἔδοξεν οὕτω γίνεσθαι, ἵνα κηρύττοιτο ἡ ἡμέρα τοῦ Πάσχα τοῦ ἐνιαυτοῦ ἐκείνου, (ἤδη γὰρ καὶ ἐν προλαβοῦσι κανόσιν ἀπῄτησεν ἡ σύνοδος, δήλην γίνεσθαι τὴν ἡμέραν τοῦ Πάσχα ἑκάστου ἐνιαυτοῦ), ἢ καὶ ἵνα ὁ χρόνος καθ' ὃν ἄπεισιν ὁ ἀπιὼν πρὸς τὸν βασιλέα (2) δῆλος ᾖ, ὅπερ, φησίν, εἴωθε γίνεσθαι καὶ ἐπὶ τῶν δημοσίων πράξεων. Ἐν γὰρ βιβλίῳ τῶν βασιλικῶν κβ'. τίτ. ι. γέγραπται, τὰ ἀγοραῖα συμβόλαια πρωτόκολλα ἔχειν, καὶ ἐν αὐτοῖς γεγράφθαι τὰ τῶν κρατούντων ἑκάστοτε βασιλέων ὀνόματα, καὶ τὰς ὑπατείας, καὶ ὅσα ἐκεῖ ἀπαιτεῖται· ἃ ἐφ' ἡμῶν, ἐν μὲν τοῖς ἄλλοις κατεπεφρόνητο, ἐν δὲ τοῖς ἐμφυτευτικοῖς ἐγγράφοις ἔτι ἐσώζετο. Ἐνεδόθη δὲ τοῖς στελλομένοις πρὸς τὸν βασιλέα, ὃ ἂν νοήσωσι χρήσιμον, ἤτοι ὠφέλιμον τοῖς πιστοῖς κατὰ τῶν Δονατιστῶν καὶ τῶν ἑλλήνων, αἰτεῖσθαι τοῦτο ἐκ τοῦ κρατοῦντος. Ἔδοξε δὲ καὶ

(1) ἵνα κηρύττοιτο ... ἐνιαυτοῦ, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Χ. Τρ. — πρὸς τὰ βασίλεια Βενετ. Κ.

τὰ μέλλοντα γενέσθαι γράμματα ἐκ τῆς συνόδου ὑπογραφῆναι παρὰ τοῦ ἐπισκόπου Αὐρηλίου.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν θεσπίζει, μετὰ ἀπολυτικῆς γραφῆς τοῦ πρωτεύοντος, ἤτοι τοῦ μητροπολίτου, ἀποδημεῖν τοὺς ἐπισκόπους εἰς τὸ κομιτάτον, ἤγουν ἔνθα ἐστὶν ὁ κόμης, ἤτοι ὁ βασιλεύς· καὶ ἄλλα δέ τινα ὁρίζει ἰδικῶς καὶ μὴ κοινῇ χρησιμεύοντα, καὶ διὰ τοῦτο οὐδὲ ἡρμηνεύθησαν.

ΑΡΙΣΤ. Ὁ δι' ἀνάγκην τινὰ πρὸς τὸ κομιτάτον ἀπελευσόμενος, ἐμφανῆ ταύτην ποιείτω τῷ Καρχηδόνος ἱερεῖ, καὶ τῷ Ῥώμης, καὶ ἀπολυτικὴν ἐπιστολὴν λαμβανέτω, ἢ ἀκοινώνητος ἔστω. Πᾶν ὁτιοῦν τοῖς τοποτηρηταῖς δόξαν χρήσιμον κατὰ Δονατιστῶν, καὶ ἑλλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, αἰτείσθω ἐκ βασιλέως.

Ὁ ἀπὸ Ἀφρικῆς δι' ἀνάγκην τινὰ μέλλων ἀπελθεῖν ἐν τῷ κομιτάτῳ, τουτέστιν, ἔνθα ὁ βασιλεύς ἐστι, κἂν κληρικός ἐστι, κἂν ἐπίσκοπος, κατάδηλον τὴν αἰτίαν ποιείτω τῷ τῆς Καρχηδόνος ἐπισκόπῳ, κἀκεῖθεν γράμματα λαμβάνων, καὶ πρὸς τὸν Ῥώμης παραγινόμενος, ἐμφανιζέτω ἑαυτὸν τῷ ἐπισκόπῳ Ῥώμης, καὶ τὴν αἰτίαν λεγέτω δι' ἣν εἰς τὸν βασιλέα πορεύεται· καὶ τοῦ Ῥώμης δοκιμάσαντος ταύτην, καὶ εὔλογον εἶναι κρίναντος, λαμβανέτω καὶ ἐξ ἐκείνου γράμματα, προστασίαν αὐτοῦ πρὸς τὸν βασιλέα παρέχοντα· ὅστις δὲ ἢ τῶν ἐπισκόπων, ἢ τῶν κληρικῶν, ἄλλως πρὸς τὸ κομιτάτον ἀπέλθῃ, ἀκοινώνητος ἔσται· καὶ ζήτει κανόνα ια'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τῆς ἐν Σαρδικῇ συνόδου κανόνα θ'. Πρέσβεις ἐκ τῆς συνόδου πρὸς τὸν βασιλέα σταλέντες ἐπίσκοποι κατὰ τῶν ἑλλήνων, καὶ τῶν αἱρετικῶν, ἄδειαν ἔλαβον, πᾶν ὅ,τι ἂν συμφέρον τῇ καθολικῇ ἐκκλησίᾳ συνίδωσι, κατὰ τῆς θρησκείας τῶν ἑλλήνων, καὶ τῶν Δονατιστῶν, τοῦτο αἰτῆσαι ἐκ βασιλέως, κἂν μὴ ἰδικῶς αὐτὸ εἶχον ἐντεταλμένον.

## *Σύνοδος κατὰ τῶν ἑλλήνων, καὶ τῶν αἱρετικῶν.*

Ἐπὶ Βάσσου καὶ Φιλίππου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καὶ δεκάτη καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης ἐκκλησίας(1). Ἐν ταύτῃ τῇ συνόδῳ πρε-

(1) Ἐν τῷ λατινικῷ κειμένῳ ἀναγινώσκεται ἐνταῦθα τὰ ἑξῆς, ἅπερ παραλείπονται ἐν τῇ ἑλληνικῇ μεταφράσει.

σδείαν ἀνεδέξαντο Ῥεστιτοῦτος καὶ Φλωρέντιος, οἱ ἐπίσκοποι, κατὰ τῶν ἑλλήνων, καὶ τῶν αἱρετικῶν ἐν ἐκείνῳ τῷ καιρῷ, καθ᾽ ὃν Σευῆρος καὶ Μακάριος ἀνῃρέθησαν, καὶ διὰ τὴν τούτων αἰτίαν Εὐόδιος, Θεάσιος, καὶ Βίκτωρ, οἱ ἐπίσκοποι, ἐσφάγησαν.

## Κανὼν ΡΖ'. (ΡΙΗ'.)

*Σύνοδος περὶ διαγνώσεως ἐπισκόπων.*

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὁνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ τρίτον, τῶν αὐγούστων ὑπάτων, τῇ πρὸ ἑπτακαιδεκάτῃ καλανδῶν Ἰουλίων, εἰς Καρχηδόνα, ἐν τῇ Σεκούνδου ἐκκλησίᾳ. Εἰς ταύτην τὴν σύνοδον ἤρεσεν (1), ὥστε ἕνα ἐπίσκοπον μὴ ἐκδικεῖν ἑαυτοῦ διάγνωσιν. *Τὰ πεπραγμένα τῆς παρούσης συνόδου διὰ τοῦτο οὐκ ἐγράφη, ἐπειδὴ ἐπιχωρίως καὶ οὐ κατὰ κοινοῦ ἐπετελέσθη.*

---

ΖΩΝΑΡ. Ὁ ἔννατος κανὼν τῆς τετάρτης συνόδου, τοὺς κληρικοὺς ὁρίζει παρὰ τοῖς οἰκείοις ἐπισκόποις δικάζεσθαι. Εἰ δὲ κληρικὸς πρὸς τὸν ἐπίσκοπον αὐτοῦ ἔχει ὑπόθεσιν, ἢ ἐπίσκοπος πρὸς ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικάζεσθαι. Τοῦτο οὖν ἔοικε καὶ ὁ παρὼν κανὼν διατάττεσθαι, ὥστε ἐπισκόπων δύο δίκην ἐχόντων, ἢ κληρικοῦ κατὰ ἐπισκόπου ἐνάγοντος, μὴ ἕνα ἐπίσκοπον ζητεῖν τὴν περὶ αὐτῶν ποιεῖσθαι διάγνωσιν, ἀλλὰ τὴν σύνοδον τῆς ἐπαρχίας δικάζειν.

ΒΑΛΣ. Τὰ ἐν τῷ παρόντι κανόνι δηλωθέντα, ὡς ἰδικῶς ἐκφωνηθέντα, ἐξηγήσεως οὐ δέονται. Τὸ δὲ ῥηθὲν χάριν τοῦ μὴ διεκδικεῖν ἕνα ἐπίσκοπον ἑαυτῷ διάγνωσιν, ἐκληπτέον κατὰ τὸν ἑνδέκατον κανόνα τῆς παρούσης συνόδου.

ΑΡΙΣΤ. Εἷς ἐπίσκοπος μὴ ἐκδικείτω ἑαυτῷ διάγνωσιν.

---

In hoc concilio legationem iterum suscepit Fortunatianus Episcopus contra paganos, et hæreticos. Item concilium contra paganos et hæreticos. Basso et Philippo. VV. CC. Coss. III. Idus Octobris Carthagine, in secretario basilicæ restitutæ.

(1) ἐν Π. καὶ Χ. Τρ. ὁ Κανὼν ἄρχεται ἀπὸ τοῦ, ἤρεσε, καὶ λήγει, εἰς τὸ, διάγνωσιν.

Οὐ μόνον ἑνὸς ἐπισκόπου διάγνωσις, ἀλλ' οὐδὲ δύο ἀρκέσουσιν εἰς καθαίρεσιν πρεσβυτέρου, ἢ διακόνου· ἀλλ' εἰ μὲν ἐπίσκοπός ἐστιν ὁ κατηγορούμενος, εἰ μὴ δυνατὸν πολλοὺς συνελθεῖν ἐπισκόπους, παρὰ δώδεκα τὸ ἐλάχιστον ἐπισκόπων κριθήσεται· εἰ δὲ πρεσβύτερος, παρὰ ἓξ ἐπισκόπων, καὶ τοῦ ἰδίου ἐπισκόπου· εἰ δὲ διάκονος, παρὰ τριῶν, καὶ τοῦ ἰδίου ἐπισκόπου· ὡς ὁ δωδέκατος κανὼν καὶ ὁ εἰκοστὸς τῆς συνόδου ταύτης διαλαμβάνουσιν. Οὐκ οὖν ἐπίσκοπος εἰς δικαστὴν ἑαυτὸν ἐπ' ἐγκλήμασι καταστήσει πρεσβυτέρου, ἢ διακόνου, καὶ τὴν οἰκείαν διεκδικήσει διάγνωσιν, καὶ εἰς ἔργον ταύτην ἀγάγῃ, εἰ μήπου τῶν λοιπῶν κληρικῶν εἰσιν οἱ κρινόμενοι τῶν ὑποκάτωθεν διακόνων ὄντων· ἐπ' αὐτοῖς γὰρ καὶ μόνος ἐπίσκοπος εἷς, ὁ ἐντόπιος, διαγνώσεται, ὡς ἐν τῷ τέλει τοῦ εἰκοστοῦ κανόνος τῆς παρούσης συνόδου διείληπται.

## Κανὼν ΡΗ'. (ΡΙΘ'.)

*Σύνοδος κατὰ τῶν Δονατιστῶν* (1).

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ὄγδοον, καὶ Θεοδοσίου τὸ τέταρτον, τῶν αὐγούστων, πρὸ ὀκτωκαιδεκάτῃ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ κλίματος Σεκούνδης. Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἐδέξαντο κατὰ τῶν Δονατιστῶν, Φλωρέντιος, Ποσείδιος, Πραισίδιος, καὶ Βενάντιος, οἱ ἐπίσκοποι. Ἐν τούτῳ τῷ καιρῷ νόμος ἐδόθη, (2) ἵνα ἐλευθέρᾳ προαιρέσει ἕκαστος τῆς Χριστιανότητος τὴν ἄσκησιν ἀναδέξηται.

---

ΖΩΝΑΡ. Αἱρετὴν εἶναι χρὴ τὴν ἀρετὴν, ἀλλ' οὐ βεβιασμένην, οὐδ' ἀκούσιον, ἀλλ' ἑκούσιον (3). Διὸ καὶ τοὺς ἀναδεχομένους τὸν Χριστιανισμὸν, ἐλευθέρᾳ προαιρέσει καὶ αὐτεξουσίως ἐνομοθετήθη προσιέναι τῇ πίστει, ἀλλὰ μὴ βίᾳ, μηδ' ἐξ ἀνάγκης· τὰ γὰρ

(1) παρὰ Ἰουστ. καὶ Βρ. τοῦτο οὐ φέρει ἀριθμὸν κανόνος· ἀλλ' ἠκολουθήσαμεν τῇ γραφῇ τοῦ Τραπεζουντίου Κώδικος.—(2) ἀλλ' ἑκούσιον οὐ κεῖται ἐν Χ. Τρ. —(3) ἐντεῦθεν ἄρχεται ὁ κανὼν ΡΗ'. ἐν Χ. Τρ. καὶ ΡΙΘ'. ἐν Π.

ἀναγκαστικῶς καὶ βιαίως γινόμενα, οὐ βέβαια, οὐδὲ μόνιμα. Διὸ καὶ ἐν τῷ ιβ'. ἡ ἐν Νεοκαισαρείᾳ σύνοδος κανόνι φησὶ, τὸν ἐν κινδύνῳ γενόμενον καὶ οὕτω βαπτισθέντα, μὴ προάγεσθαι εἰς ἱερωσύνην. Τῆς Χριστιανότητος δὲ εἶπε τὴν ἄσκησιν ὁ κανὼν, ἐμφαίνων, ὅτι τὸν Χριστιανὸν πᾶσαν δεῖ ἀσκεῖν ἀρετὴν, καὶ ἐγκρατῆ εἶναι, καὶ σώφρονα, καὶ ἀληθῆ, καὶ μετριόφρονα, καὶ πρὸ τῶν ἄλλων ἀγάπην πρὸς ἅπαντας ἐνδεικνύμενον, ὡς ὅ γε μὴ ταῦτα ἀσκήσας, ὀνόματι μόνον Χριστιανὸς λέγεται, ἀλλ' οὐ πράγματι.

ΒΑΛΣ. Ὁ ιβ'. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τὸν ἐν κινδύνῳ γενόμενον, καὶ οὕτω βαπτισθέντα, μὴ προσάγεσθαι εἰς ἱερωσύνην φησί. Καὶ οἱ Πατέρες δὲ οὗτοι ὁρίζουσιν ἐλευθέρᾳ προαιρέσει τῇ πίστει προσιέναι, ἀλλὰ μὴ βίᾳ, μηδὲ ἐξ ἀνάγκης· τῆς Χριστιανότητος δὲ εἶπε τὴν ἄσκησιν, ἐμφαίνων, ὅτι ὁ Χριστιανὸς, ὁ μὴ ἀσκήσας πᾶσαν ἀρετὴν, ὀνόματι μόνῳ Χριστιανὸς λέγεται, ἀλλ' οὐ πράγματι.

ΑΡΙΣΤ. Ἐλευθέρᾳ προαιρέσει ἕκαστος τὴν ἄσκησιν ἀναδεχέσθω.

Τὸ ἀγαθὸν ἑκουσίως τις ἐργάζεται, οὐ μὴν ἀναγκαστικῶς. Διὰ τοῦτο ἕκαστος καὶ τὴν ἄσκησιν, καὶ τὸν Χριστιανισμὸν, οὐ κατὰ βίαν ἀπαιτηθήσεται ἀναδέξασθαι, ἀλλ' αὐτοπροαιρέτῳ γνώμῃ καὶ ἐλευθέρᾳ.

## Κανὼν ΡΘ'. (ΡΚ'.)

*Σύνοδος κατὰ τῆς αἱρέσεως Πελαγίου καὶ Κελεστίου.*

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν ὑπάτων, καλάνδαις Μαΐαις, εἰς Καρχηδόνα ἐν τῷ σηκρήτῳ τῆς Φαύστου ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου συμπάσῃ τῇ συνόδῳ προκαθίσαντος, παρεστώτων τῶν διακόνων, ἤρεσε πᾶσι τοῖς ἐπισκόποις τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ἁγίᾳ συνόδῳ καθεστῶσιν, ὧν τὰ ὀνόματα καὶ αἱ ὑπογραφαὶ ἐνετέθησαν (1).

(1) ταῦτα ἀποτελοῦσι τὸν Καν. ΡΗ'. παρὰ Ἰουστ. ὁ δ' ἑπόμενος τὸν ΡΘ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

*Ὅτι Ἀδὰμ θνητὸς ἀπὸ τοῦ Θεοῦ οὐκ ἐγένετο.*

Ἵνα (1) ὅστις λέγῃ τὸν Ἀδὰμ, τὸν πρωτόπλαστον ἄνθρωπον, θνητὸν γενόμενον οὕτως, ὡς, εἴτε ἁμαρτήσοι, εἴτε μὴ ἁμαρτήσοι, τεθνηξόμενον (2) ἐν τῷ σώματι, τουτέστιν, ἐξελθεῖν ἐκ τοῦ σώματος μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνάθεμα ἔστω.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Τὸν Ἀδὰμ ὁ Θεὸς οὐ θνητὸν ἔπλασεν, οὐδὲ μέντοι ἀθάνατον, μέσον δὲ μεγέθους καὶ ταπεινότητος, καὶ αὐτεξούσιον ποιήσας αὐτὸν, εἴασεν, ὥστε ὁποτέρωσε νεύσῃ, εἴτε πρὸς ἀρετὴν, εἴτε πρὸς κακίαν, κληρώσασθαι αὐτὸν ἢ τὴν ἀθανασίαν, ἢ τὴν θνητότητα. Κἂν γὰρ σάρκα καὶ τότε εἶχεν ὁ ἄνθρωπος, ἀλλ' οὐχ οἵαν νῦν· καὶ τοῦτό φησιν ὁ θεολόγος Γρηγόριος λέγων, Τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον, ὥστε πρὸ τῆς παραβάσεως οὔτε παχεῖα ἦν ἡ σὰρξ τῷ Ἀδὰμ, οὔτε φύσει θνητή. Ἦσαν δ' οἱ λέγοντες, ὅτι θνητὸς ἐξ ἀρχῆς ἐπλάσθη, καὶ θανεῖν ἔμελλε, κἂν μὴ παρέβη τὴν ἐντολὴν, καὶ οὐχὶ διὰ τὴν ἁμαρτίαν ἐπεισῆλθεν ὁ θάνατος, ἀλλὰ διὰ τὴν φύσιν, τοιαύτην γεγονυῖαν ἀρχῆθεν. Τῶν οὖν ταῦτα φρονούντων οἱ τῆς συνόδου ταύτης Πατέρες κατεψηφίσαντο τὸ ἀνάθεμα.

ΑΡΙΣΤ. Ὁ τὸν πρωτόπλαστον δογματίζων καὶ δίχα τῆς ἁμαρτίας τεθνηξόμενον διὰ ἀνάγκην τῆς φύσεως, ἤτω ἀνάθεμα.

## Κανὼν ΡΙ'. (ΡΚΑ'.)

*Ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὁστισδήποτε τὰ μικρὰ καὶ νεογέννητα ἐκ τῶν γαστέρων τῶν μητέρων βαπτιζόμενα, ἀρνεῖται, ἢ λέγει, εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ ἕλκειν προγονικῆς ἁμαρτίας τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας,

---

(1) ἐν Π. καὶ Χ. Τρ. ὁ Καν. ΡΘ'. (ΡΚ'.) ἄρχεται ἀπὸ τοῦ, Ἤρεσεν, ἵνα, ὅστις λέγει. — (2) Χ. Τρ. Ἰουστ. — τεθνήξεται Π. — τεθνήξεσθαι Βενετ.

(ὅθεν γίνεται ἀκόλουθον, ὅτι ἐν τούτοις ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθὴς, ἀλλὰ πλαστὸς νοεῖται,) ἀνάθεμα εἴη· ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τῷ Ἀποστόλῳ, Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος (1)· καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὃν τρόπον ἡ καθολικὴ ἐκκλησία, ἡ πανταχοῦ διακεχυμένη καὶ ἡπλωμένη, ἀεὶ ἐνόησε. Διὰ γὰρ τὸν κανόνα τοῦτον τῆς πίστεως, καὶ οἱ μικροὶ ἔτι μὴν, οἱ μηδὲν ἁμαρτημάτων εἰς ἑαυτοὺς ἔτι μὴν πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθινῶς βαπτίζονται, ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ τῆς παλιγγενεσίας, ὅπερ εἵλκυσαν ἐκ τῆς ἀρχαιογονίας.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ἔλεγόν τινες τὰ νεογνὰ παιδία, μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι, μηδὲ γὰρ ἔχειν αὐτὰ ἁμαρτίας, ἐπεὶ μηδὲ πεφύκασιν ἁμαρτάνειν, ἔτι μὴ ἔχοντα διάκρισιν τοῦ καλοῦ καὶ τοῦ χείρονος· τοῦτο οὖν ἀπαγορεύει ἡ σύνοδος, καὶ τοὺς φρονοῦντας οὕτω καὶ λέγοντας μή τι ἐκ τῆς τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἐφέλκεσθαι τοὺς ἐξ ἐκείνου, ὥστε καθάρσεως δέεσθαι τῆς ἐκ τοῦ θείου λουτροῦ τοῦ βαπτίσματος τὰ παιδία, ποιεῖται ὑπὸ ἀνάθεμα, λέγουσα, ὅτι ἐκ τούτου ἀκολουθεῖ τὸ νοεῖσθαι, ὡς ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθής ἐστιν, ἀλλὰ πεπλασμένος ἐν τούτοις τοῖς νεογνοῖς δηλαδή· εἶτα κατασκευάζει τὸν οἰκεῖον λόγον, χρήσεις ἐκ τοῦ μεγάλου Παύλου παράγουσα· Πῶς γὰρ, φησιν, ἄλλως νοητέον τὸ, Δι' ἑνὸς ἀνθρώπου εἰσῆλθεν ἡ ἁμαρτία εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὡς ἐνόησε τοῦτο ἡ καθολικὴ ἐκκλησία, ἡ πανταχοῦ διακεχυμένη τε καὶ ἡπλωμένη, ἤγουν ἡ ἐν ὅλῳ τῷ κόσμῳ ἐσκεδασμένη πληθὺς τῶν πιστῶν.

---

(1) Ῥωμ. Ε, 12.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΡΙΣΤ. Ὁ τὰ νεογνὰ καὶ βαπτιζόμενα λέγων μηδὲν ἕλκειν ἐκ τῆς τοῦ Ἀδὰμ ἁμαρτίας ὀφεῖλον καθαρθῆναι τῷ βαπτίσματι, ἐπάρατος· διὰ γὰρ τοῦ ἑνὸς καὶ ὁ θάνατος καὶ ἡ ἁμαρτία παγκόσμιος.

## Κανὼν ΡΙΑ΄. (ΡΚΒ΄.)

*Ὅτι ἡ τοῦ Θεοῦ χάρις οὐ μόνον ἄφεσιν χαρίζεται ἁμαρτιῶν, ἀλλὰ καὶ βοήθειαν παρέχει τοῦ μηκέτι ἁμαρτάνειν.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὁστισδήποτε εἴποι τὴν χάριν τοῦ Θεοῦ, ᾗ τινι δικαιοῦται διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, πρὸς μόνην ἄφεσιν ἁμαρτιῶν ἰσχύειν τῶν ἤδη πεπλημμελημένων, καὶ μὴ παρέχειν ἔτι μὴν βοήθειαν πρὸς τὸ μὴ ἕτερα πλημμελεῖσθαι, ἀνάθεμα εἴη.

---

## Κανὼν ΡΙΒ΄. (ΡΚΓ΄.)

*Ὅτι ἡ χάρις τοῦ Θεοῦ οὐ μόνον γνῶσιν παρέχει ὧν δεῖ πράττειν, ἀλλὰ καὶ ἀγάπην ἔτι μὴν ἐμπνέει ἡμῖν, ἵνα ὃ ἐὰν ἐπιγινώσκωμεν, καὶ πληρῶσαι ἰσχύσωμεν.*

Ὁμοίως ὁστισδήποτε εἴποι τὴν αὐτὴν χάριν τοῦ Θεοῦ τὴν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν εἰς τοῦτο μόνον ἡμῖν βοηθεῖν, πρὸς τὸ μὴ ἁμαρτάνειν, ὅτι δι' αὐτῆς ἡμῖν ἀποκαλύπτεται καὶ φανεροῦται ἡ γνῶσις τῶν ἁμαρτημάτων, ὥστε γινώσκειν ἃ δεῖ ἐπιζητεῖν, καὶ ἃ δεῖ ἐκκλίνειν, οὐ μὴν δι' αὐτῆς ἡμῖν παρέχεται, ἵνα, ὅπερ γνῶμεν ποιητέον, καὶ ποιῆσαι ἔτι μὴν ἀγαπήσωμεν καὶ ἰσχύσωμεν, ἀνάθεμα εἴη· τοῦ γὰρ Ἀποστόλου λέγοντος, ὅτι ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ (1); ἀσεβὲς πάνυ ἐστὶ πιστεύειν, πρὸς μὲν τὸ φυσιοῦν ἡμᾶς ἔχειν τὴν χάριν τοῦ Χριστοῦ, πρὸς δὲ τὸ οἰκοδομεῖν μὴ ἔχειν·

(1) ά, Κορ. Η, 1.

ὁπόταν ἑκάτερον δῶρόν ἐστι τοῦ Θεοῦ, καὶ τὸ εἰδέναι τί ποιεῖν δεῖ, καὶ τὸ ἀγαπᾷν ὃ δεῖ ποιεῖν· ἵνα τῆς ἀγάπης οἰκοδομούσης, ἡ γνῶσις φυσιοῦν μὴ δυνηθῇ· ὥσπερ γὰρ ἐκ τοῦ Θεοῦ γέγραπται, Ὁ διδάσκων ἄνθρωπ ονγνῶσιν (1), οὕτως ἔτι μὴν γέγραπται, Ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστίν (2).

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Τὴν ἐν τῷ ἁγίῳ βαπτίσματι χορηγουμένην ἡμῖν χάριν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πιστεύομεν μὴ μόνον ἄφεσιν διδόναι τῶν πεπραγμένων ἡμῖν ἁμαρτημάτων, ἀλλὰ καὶ δύναμιν πρὸς τὸ μὴ πάλιν ἡμᾶς ἁμαρτάνειν, εἰ μὴ ἡμεῖς διὰ ῥᾳθυμίαν ἐκδῶμεν ἑαυτοὺς ἁμαρτίαις· τοὺς δὲ μὴ οὕτω δοξάζοντας, ἀλλὰ μόνον τῶν προημαρτημέων λέγοντας ἄφεσιν διδόναι τὸ θεῖον λουτρόν, μὴ μέντοι καὶ πρὸς τὸ μέλλον βοήθειαν, ἀναθέματι κατεδίκασαν οἱ Πατέρες. Καὶ τοῦτό τινες ἔλεγον, ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο ἡμῖν βοηθεῖ, εἰς τὸ μὴ ἁμαρτάνειν· δι' αὐτῆς γὰρ γνῶσιν λαμβάνομεν τίνα δεῖ ποιεῖν, καὶ τίνα φεύγειν, οὐ μὴν καὶ εἰς τὸ ἀγάπην τῶν καλῶν καὶ τῆς ἀρετῆς ἐμποιεῖν ἡμῖν, ἵνα, ὅπερ γνῶμεν καλόν, τοῦτο καὶ ἀγαπήσωμεν, καὶ ποιῆσαι ἰσχύσωμεν. Τοὺς οὖν τοιαῦτα δοξάζοντας ἀναθεματίζει ἡ σύνοδος λέγουσα, ὅτι καὶ ἄμφω δῶρά εἰσι τοῦ Θεοῦ, ἥ τε γνῶσις καὶ ἡ ἀγάπη, καθὸ γέγραπται, Ὁ διδάσκων ἄνθρωπον γνῶσιν· καὶ πάλιν· Ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστί· καὶ ἄλλως δὲ ἀσεβές ἐστι τὸ λέγειν, ὅτι γινώσκειν μὲν τὸ καλὸν δίδωσιν ἡμῖν ἡ θεία χάρις, ἀγάπην δὲ αὐτοῦ οὐκ ἐντίθησιν, οὐδὲ ἐνδυναμοῖ ἡμᾶς εἰς τὸ ἐργάζεσθαι τὸ ἀγαθὸν ἐν ἀγάπῃ αὐτοῦ· καὶ προφέρει τὰ ἀποστολικὰ ῥητά, εἰς τὴν τοῦ λόγου κατασκευὴν τὰ λέγοντα, Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. Πῶς οὖν οὐκ ἀσεβὲς τὸ λέγειν, πρὸς μὲν τὸ φυσιοῦν, ἤγουν τὸ οἴησιν ἐμποιοῦν, συνεργεῖν ἡμῖν τὴν θείαν χάριν, πρὸς δὲ τὸ οἰκοδομοῦν μὴ ἐπικουρεῖν;

ΑΡΙΣΤ. Ὁ δοξάζων τὴν τοῦ Θεοῦ χάριν μόνην ἄφεσιν τῶν ἤδη πεπλημμελημένων ἔχειν, ἀλλὰ μὴ καὶ τῶν μελλόντων βοήθειαν, δισεπάρατος.

(1) Ψαλμ. ϞΓ', 10. —(2) Ἰωάνν. Δ', 9.

ΑΡΙΣΤ. Ὁ λέγων, ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο μόνον ἡμῖν βοηθεῖ, τὸ εἰδέναι τί δεῖ ποιεῖν, καὶ τί ἐκκλίνειν, ἀλλ' οὐχὶ καὶ εἰς τὸ ἀγαπᾷν τὸ ἐπιγνωσθὲν, καὶ ποιεῖν δύνασθαι, ἤτω ἀνάθεμα.

## Κανὼν ΡΙΓ'. (ΡΚΔ'.)

*Ὅτι ἄνευ τῆς τοῦ Θεοῦ χάριτος οὐδὲν ἀγαθὸν δυνάμεθα πληροῦν.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὅστιςδήποτε εἴποι, διὰ τοῦτο τὴν χάριν ἡμῖν τῆς δικαιοσύνης δεδόσθαι, ἵνα, ὅπερ ποιεῖν διὰ τοῦ αὐτεξουσίου δυνάμεθα, εὐχερεστέρως πληρῶμεν διὰ τῆς χάριτος, ὡς ἂν εἰ καὶ ἡ χάρις μὴ ἐδίδοτο, οὐκ εὐχερῶς μὲν, ἀλλ' ὅμως ἐδυνάμεθα καὶ δίχα ἐκείνης ἔτι μὴν πληρῶσαι τὰς θείας ἐντολὰς, ἀνάθεμα εἴη. Περὶ γὰρ τῶν καρπῶν τῶν ἐντολῶν ὁ Κύριος ἐλάλει, ὅπου οὐκ εἶπε, Χωρίς ἐμοῦ δυσχερῶς δύνασθε ποιεῖν· ἀλλ' εἶπε, Χωρίς ἐμοῦ οὐδὲν δύνασθε ποιεῖν (1).

---

ΖΩΝΑΡ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν μία καὶ αὕτη ἡ λέγουσα, ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολὰς, ἡ δὲ θεία χάρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν συνεργεῖ· ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ. Τοῖς οὖν ταῦτα λέγουσιν, ἀνάθεμα ἐπάγει ἡ σύνοδος, λέγουσα τὸ πᾶν τῆς θείας χάριτος εἶναι, καὶ ἄνευ ἐκείνης μηδὲν ἡμᾶς κατορθοῦν. Φέρει δὲ καὶ μαρτυρίαν ἐκ τοῦ Κυρίου, λέγοντος· Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· καὶ οὐκ εἶπέ, φησιν, Οὐ δύνασθε εὐχερῶς ποιεῖν, ἀλλ', Οὐδὲν δύνασθε ποιεῖν.

ΒΑΛΣ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν μία καὶ αὕτη ἡ λέγουσα, ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολὰς, ἡ δὲ θεία χά-

(1) Ἰωάνν. ΙΕ, 5.

ρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν ποιεῖ· ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ· τοῖς οὖν ταῦτα λέγουσιν ἀνάθεμα ἐπάγει ἡ σύνοδος.

ΑΡΙΣΤ. Ὁ κηρύττων, ὅτι καὶ δίχα τῆς χάριτος δυσχερεστέρως, ἀλλ' οὖν ἐκπληροῦμεν τὰς ἐντολάς, τρισκατάρατος· χωρὶς γὰρ ἐμοῦ, φησὶν ὁ Κύριος, οὐ δύνασθε ποιεῖν οὐδέν.

Τοῦ Πελαγίου, καὶ Κελεστίνου, καὶ Νεστορίου τοῦ ματαιόφρονος, ὁμοφρόνων γεγονότων, ἀλλὰ καὶ τὰ τῶν δυσσεβῶν Μανιχαίων φρονούντων καὶ δογματιζόντων, καὶ ταῦτα ἅπερ ἡ σύνοδος ἀναθεματίζει, οὔ ποτέ τις ταῦτα φρονήσας τοῖς Χριστιανοῖς συνταχθήσεται, ἀλλὰ τῆς ἐκκλησίας ἐξοστρακισθήσεται ὡς ἀλλότριος, καὶ χωρισμὸν ἀπὸ ταύτης καὶ τοῦ Θεοῦ κληρώσεται. Φασὶ δέ τινες τοὺς ἀνοσίους τούτους, τὸν Κελεστῖνον δηλαδή, καὶ Πελάγιον, μήτε ἐπισκόπους, μήτε πρεσβυτέρους, μήτε ὅλως τοῦ ἱερατικοῦ γενέσθαι τάγματος, ἀλλ' ὡσανεὶ μονάζοντας ὄντας, καὶ διερχομένους τὰς πόλεις, καὶ συμφωνοῦντας κατὰ τῆς ἀληθείας, ἐπαναστάντας δὲ τῇ ἐκκλησίᾳ ἐπὶ Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, καὶ Ἰννοκεντίου τοῦ Ῥώμης, καὶ μετὰ πολλοὺς ἀγῶνας ὑπ' αὐτῶν δὴ τῶν ἐπισκόπων ἐγγράφως κατακριθέντας· ὅστις γοῦν ἢ τὸν Ἀδὰμ θνητὸν ἐξ ἀρχῆς ἀπὸ Θεοῦ γενέσθαι δογματίζει, καὶ διὰ ἀνάγκην τῆς φύσεως τεθνηξόμενον, κἄν τε ἥμαρτε κἄν τε μή· ἢ τὰ νήπια λέγει μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι, ὡς μηδὲν ἐκ τῆς τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἕλκοντα, καὶ ταῦτα τοῦ Ἀποστόλου βοῶντος, ὡς δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· ἢ πάλιν φρονεῖ τὸ βάπτισμα τῶν μὲν ἤδη ἡμαρτημένων δωρεῖσθαι ἄφεσιν, μὴ παρέχειν δὲ βοήθειαν καὶ εἰς τὸ μηκέτι ἁμαρτῆσαι, ἀλλ' ἐξ ἡμετέρας μόνης σπουδῆς τοῦτο κατορθοῦσθαι· ἢ καὶ τοῦτο μὲν παραδέχεται, καὶ τὴν τοῦ Θεοῦ χάριν δοξάζει ἐνισχύειν ἡμᾶς εἰς τὸ τὰς ἐντολὰς ἐκπληροῦν· διδάσκει δὲ, ὡς καὶ δίχα τῆς χάριτος κατορθοῦν αὐτὰς ἠδυνάμεθα, πλὴν μετὰ δυσχερείας, ἤτω ἀνάθεμα· οὐδὲ γὰρ εἶπεν ὁ Κύριος· ὡς, Χωρὶς ἐμοῦ δυσχερῶς δύνασθε ποιεῖν αὐτάς, ἀλλ' ὅτι, Χωρὶς ἐμοῦ οὐδὲν δύνασθε ποιεῖν.

## Κανὼν ΡΙΔ'. (ΡΚΕ'.)

*Ὅτι οὐ μόνον ταπεινή, ἀλλὰ καὶ ἀληθινὴ ἡ φωνὴ τῶν ἁγίων ἐστὶν αὕτη, ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν.*

Ὁμοίως ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ Ἀπόστολος· Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν(1), ὅστισδήποτε οὕτω παραληπτέον νομίσῃ, ὡς εἰπεῖν διὰ ταπεινοφροσύνην μὴ ὀφείλειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, οὐχ ὅτι ἀληθῶς οὕτως ἐστίν, ἀνάθεμα εἴη· ἐπακολουθεῖ γὰρ ὁ Ἀπόστολος καὶ προσζεύγνυσιν οὕτως· Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας (2)· ἔνθα πάνυ δεδήλωται τοῦτο μὴ μόνον ταπεινοφρόνως, ἀλλ' ἔτι μὴν ἀληθῶς λέγεσθαι. Ἠδύνατο γὰρ ὁ Ἀπόστολος εἰπεῖν, ἐὰν εἴπωμεν, οὐκ ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ἐξυψοῦμεν, καὶ ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστιν· ἀλλ' εἰπὼν, ὅτι ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστι, πάνυ ἀπέδειξε τὸν λέγοντα ἑαυτὸν μὴ ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν, ἀλλὰ ψεύδεσθαι.

---

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Τινὲς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον, Ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, οὕτως ἐξελαμβάνοντο, ὅτι διὰ ταπεινοφροσύνην δεῖ τοῦτο λέγειν, καὶ οὐ πρὸς ἀλήθειαν· τοὺς οὖν οὕτως ἑρμηνεύοντας τὰ εἰρημένα τῷ Ἀποστόλῳ ἀναθέματι καταδικάζουσιν οἱ Πατέρες, λέγοντες, ὅτι ἐκ τῶν ἑξῆς ῥημάτων τῆς ἐπιστολῆς δείκνυται προδήλως τοῦ Ἀποστόλου ἡ ἔννοια, ἐπάγοντος· Ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, καὶ ὅσα ἐφεξῆς. Καὶ ὁ Δαβὶδ δὲ λέγει· Ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου (3).

(1) α. Ἰωανν. Α, 8. — (2) αὐτόθι 9. — (3) Ψαλμ. Ν.

εἰ μὴ γὰρ ὁ νόμος ἐπεκούρει τῷ γάμῳ, ἁμαρτία ἂν ἐλογίζετο ἡ μίξις, φιλοσαρκίαν καὶ ὄρεξιν σαρκικὴν ἔχουσα κινοῦσαν εἰς αὐτὴν, κἂν διὰ παιδοποιΐαν γίνηται. Διὸ καὶ ἐν ἁμαρτίαις, εἶπεν ὁ Δαβὶδ, ἐκίσσησέ με ἡ μήτηρ μου· εἰ γὰρ αἰτίαν ἔχει τὴν τῆς σαρκὸς ἐπιθυμίαν τῶν σωμάτων ἡ γένεσις, τοιαῦτα πάντως καὶ τὰ ἐξ αὐτῶν γεννώμενα.

ΑΡΙΣΤ. Ὁ τοῦ Θεολόγου λέγοντος, Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτία ἐν ἡμῖν οὐκ ἔστιν, ἑαυτοὺς ἀπατῶμεν, παρερμηνεύων, ὅτι οὐκ ἀληθῶς, ἀλλὰ ταπεινοφρόνως εἴρηκε τοῦτο, ἀνάθεμα.

Ἐπειδὴ πάντες ἐν ἁμαρτίαις ἐσμὲν, καὶ οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ὅλος ὁ βίος αὐτοῦ ἐστιν, ἀναθέματι ἔσται ἔνοχος ὁ λέγων, ταπεινοφρόνως, καὶ μὴ ἀληθῶς παρὰ τοῦ Ἀποστόλου εἰρῆσθαι τὸ, Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτία ἐν ἡμῖν οὐκ ἔστιν, ἑαυτοὺς ἀπατῶμεν. Ἐὰν γὰρ διὰ ταπεινοφροσύνην τοῦτο εἴρηκεν, οὐκ ἂν εἶπεν, ὅτι ἑαυτοὺς ἀπατῶμεν, ἀλλὰ ὑψοῦμεν· ἐκεῖνος γὰρ ἀπατᾷ ἑαυτὸν ὁ πλανώμενος καὶ ψευδόμενος, οὐ μὴν ὁ τὴν ἀλήθειαν λέγων.

## Κανὼν ΡΙΕ'. (ΡΚϚ'.)

*Ὅτι ἐν τῇ δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν λέγουσιν, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.*

Ὁμοίως ἤρεσεν, ἵνα ὀστισδήποτε εἴποι, ἐν τῇ δεσποτικῇ εὐχῇ διὰ τοῦτο λέγειν τοὺς ἁγίους, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν(1), οὐχ ὅτι ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ' ὅτι ὑπὲρ ἄλλων τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρτωλῶν, καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων, ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ' ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς ὑπὲρ ἄλλων τοῦτο μᾶλλον ἢ ὑπὲρ ἑαυτοῦ τὸν δίκαιον αἰτοῦντα νοεῖσθαι, ἀνάθεμα εἴη· ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ Ἀπόστολος, ὅτε ἔλεγεν (2)· Ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες. Ἐπεὶ διὰ τί προστέθειται τὸ, πάντες, εἰ μὴ ἵνα ἡ ἔννοια αὕτη

(1) Ματθ. ϛ', 12. Λουκ. ΙΑ', 4. — (2) Ἰακώβ. Γ', 2.

ἁρμοσθῇ καὶ τῷ ψαλμῷ, ὅπου ἀναγινώσκεται· Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν (1)· καὶ ἐν τῇ εὐχῇ τοῦ σοφωτάτου Σολομῶντος· Οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἥμαρτε (2)· καὶ ἐν τῇ βίβλῳ τοῦ ἁγίου Ἰώβ, τὸ, ἐν χειρὶ παντὸς ἀνθρώπου (3) σημαίνει, ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ. Ὅθεν ἔτι μὴν ὁ ἅγιος καὶ δίκαιος Δανιὴλ ὁ Προφήτης, πληθυντικῶς λέγων, τὸ, ἡμάρτομεν, ἠνομήσαμεν (4), καὶ τὰ λοιπὰ, ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμολογεῖ, ἵνα μὴ νομισθείη, ὥς τινες νοοῦσι τοῦτο, μὴ περὶ τῶν ἰδίων, ἀλλὰ περὶ τῶν τοῦ λαοῦ αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν, μετὰ ταῦτα εἶπεν, ὅτι ηὐχόμην καὶ ἐξωμολογούμην τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ τῷ Θεῷ μου· οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπε, καὶ ἑαυτοῦ· ἐπειδὴ μέλλοντας τούτους οὕτω κακῶς νοεῖν ὡσανεὶ προεῖδεν ὁ Προφήτης.

---

ΖΩΝΑΡ. Καὶ τοῦτο τῆς αὐτῆς ἀπονοίας ἐστὶ, τὸ λέγειν, ὅτι οἱ ἅγιοι εὐχόμενοι, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ' ὑπὲρ τοῦ λαοῦ· διὸ καὶ τοὺς ταῦτα φρονοῦντας ποιοῦνται ὑπὸ ἀνάθεμα οἱ τῆς συνόδου ταύτης, λέγοντες, οὐχ ὑπὲρ τῶν ἄλλων μόνον τοὺς δικαίους αἰτεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν· καὶ μαρτυρίας ἐπιφέρουσι γραφικὰς, μίαν ἐκ τῆς ἐπιστολῆς τοῦ ἀδελφοθέου Ἰακώβου, τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας Γραφῆς.

ΒΑΛΣ. Ἀπόνοιά ἐστι τὸ λέγειν, ὅτι οἱ ἅγιοι εὐχόμενοι, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ' ὑπὲρ τοῦ λαοῦ· διὸ καὶ τοὺς ταῦτα φρονοῦντας, ἀναθεματίζουσιν οἱ Πατέρες λέγοντες, οὐχ ὑπὲρ τῶν ἄλλων μόνον τοὺς δικαίους αἰτεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν· καὶ μαρτυρίας ἐπιφέρουσι γραφικὰς, μίαν ἐκ τῆς ἐπιστολῆς

(1) Ψαλμ. ΡΜΒ'. — (2) γ', Βασιλειῶν, Η', 46. — (3) Ἰὼβ ΛΖ', 7. — (4) Δαν. Θ', 5. 20.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῦ ἀδελφοθέου Ἰακώβου, τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας Γραφῆς (1).

**ΑΡΙΣΤ.** Ὁ παραφράζων τὸ, Ἄφες τὰ ὀφειλήματα ἡμῶν, τὰ τῶν πολλῶν λέγειν, καὶ οὐχ ἑκάστου καὶ τὰ οἰκεῖα, ἀνάθεμα· μετὰ πολλῶν καὶ Δανιὴλ βλέπων λέγοντα, ἐξωμολογούμην τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου.

Ὁ παρερμηνεύων, ὡς οἱ ἅγιοι τὸ, Ἄφες ἡμῖν τὰ ὀφειλήματα, λέγοντες, οὐχ ὑπὲρ ἑαυτῶν εὐχόμενοι τοῦτο λέγουσιν, ὡς μὴ ἔχοντες ἁμαρτίας, καὶ διὰ τοῦτο μηδὲ δεόμενοι τῆς αἰτήσεως ταύτης, ἀλλ' ὑπὲρ τῶν ἁμαρτωλῶν τὴν ἱκεσίαν ταύτην προσφέρουσι τῷ Θεῷ, ἤτω ἀνάθεμα· ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ Ἀπόστολος, ὅτε ἔλεγεν· Ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες· καὶ ὁ Δανιὴλ ἐν τῇ προσευχῇ αὐτοῦ πληθυντικῶς λέγων· Ἡμάρτομεν, ἠνομήσαμεν καὶ τὰ λοιπά· εἶτα καὶ ἰδικῶς ἐπάγων, Ἐξωμολογούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ τῷ Θεῷ μου.

## Κανὼν ΡΙϛ'. (ΡΚΖ'.)

*Ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται τὸ, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.*

Ὁμοίως ἤρεσεν, ἵνα οἱτινεσδήποτε αὐτὰ τὰ ῥήματα τῆς δεσποτικῆς εὐχῆς, ὅπου λέγομεν, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν (2), οὕτω βούλονται ἀπὸ τῶν ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀληθῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. Τίς γὰρ ὑπενέγκοι τὸν εὐχόμενον, μὴ ἀνθρώποις, ἀλλ' αὐτῷ τῷ Κυρίῳ ψευδόμενον, τὸν τοῖς χείλεσιν αὐτοῦ λέγοντα θέλειν ἀφεθῆναι, τῇ δὲ καρδίᾳ λέγοντα (3), τὰς ὀφειλούσας ἀφεθῆναι ἁμαρτίας αὐτῷ μὴ ἔχειν.

—

**ΖΩΝΑΡ.** Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ (4), καὶ

---

(1) ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται τὸ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, προστίθησιν ὁ Ἑ. —(2) Ματθ. Ϛ', 12. Λουκ. ΙΑ', 4. — (3) θέλειν ἀφεθῆναι, τῇ δὲ καρδίᾳ λέγοντα, παραλείπεται ἐν Π. — (4) τοῖς προλαβοῦσίν ἐστι Χ. Τρ.

ἀναθέματι ἔνοχον ποιεῖται τὸν τὰ αὐτὰ δοξάζοντα, λέγων, Τίς γὰρ ὑπενέγκοι, ἀντὶ τοῦ, τίς γὰρ ὑπομείνοι, καὶ καταδέξηται τὸν τοῖς ῥήμασι μὲν ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Κυρίῳ ψευδόμενον;

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ, λέγων, Τίς γὰρ ἀνέξεται τὸν τοῖς ῥήμασι μὲν ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Κυρίῳ ψευδόμενον;

## Κανὼν ΡΙΖ'. (ΡΚΗ'.)

*Περὶ τῶν λαῶν τῶν ἀπὸ τῶν Δονατιστῶν ἐπιστρεφόντων.*

Ὁμοίως ἤρεσεν, ἐπειδὴ πρό τινων ἐνιαυτῶν ἐν ταύτῃ τῇ ἐκκλησίᾳ πεπληρωμένῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα οἱαιδήποτε ἐκκλησίαι, ἐν διοικήσει καθεστῶσαι, πρὸ τῶν νόμων τῶν περὶ τῶν Δονατιστῶν ἐκτεθέντων (1) καθολικαὶ γένωνται, ἐκείνοις τοῖς θρόνοις ἀνήκωσιν, ὧν τινων διὰ τῶν ἐπισκόπων προτραπεῖσαι τῇ καθολικῇ ἑνότητι ἐκοινώνησαν, μετὰ δὲ τοὺς νόμους οἱαιδήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν (2), οἷς καὶ ὅτε ἦσαν εἰς τὸ μέρος τοῦ Δονάτου. Καὶ ἐπειδὴ πολλαὶ φιλονεικίαι ὕστερον μεταξὺ τῶν ἐπισκόπων περι τῶν διοικήσεων ἀνεφύησαν καὶ ἀναφύονται, οἷς τότε οὐ τελεία δοκεῖ γενέσθαι πρόνοια, νῦν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ ἤρεσεν, ἵνα ὁπουδήποτε καθολικὴ ἐγένετο, καὶ τοῦ μέρους (3) τοῦ Δονάτου, και διαφόροις θρόνοις ἀνήκουσαι ἦσαν, ἐν οἱῳδήποτε καιρῷ ἕνωσις ἐκεῖ ἐγένετο ἢ ἔσται, εἴτε πρὸ τῶν νόμων, εἴτε μετὰ τοὺς νόμους, ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν, ᾧ τινι ἡ ἔκπαλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν (4).

---

(1) ἐντεθέντων Ἰουστ. — (2) ἀνήκωσι τοῖς θρόνοις Χ. Τρ, — (3) ἐκ τοῦ μέρους — (4) ἐξακολουθεῖ ὁ Καν. ἐν Π. ἑνούμενος μετὰ τοῦ ἑπομένου· Οὕτω δηλαδὴ, ἵνα εἴπερ κτλ,

## Κανὼν ΡΙΗ'. (1)

*Περὶ τοῦ, πῶς μεταξὺ ἀλλήλων μερίσονται τὰς διοικήσεις οἱ ἐπίσκοποι, τοῦτο μὲν οἱ καθολικοὶ, τοῦτο δὲ οἱ ἐκ τοῦ Δονάτου ἐπιστρέψαντες.*

Οὕτω δηλαδὴ, ἵνα εἴπερ ἐπίσκοποι ἀπὸ τῶν Δονατιστῶν πρὸς τὴν καθολικὴν ἑνότητα ἐπέστρεψαν, ἐξίσου πρὸς ἀλλήλους διέλωσι τὰς οὕτως εὑρισκομένας διοικήσεις, ἔνθα ἦσαν ἀμφότερα τὰ μέρη· τουτέστιν, ἵνα ἄλλοι τόποι πρὸς ἐκεῖνον, καὶ ἄλλοι πρὸς ἐκεῖνον ἀνήκωσιν οὕτως, ἵνα ὁ παλαιότερος ἐν τῇ ἐπισκοπῇ μερίζῃ, καὶ ὁ ἥττων ἐπιλέγηται· εἰ δὲ τυχὸν εἷς ἔσται τόπος, ἐκείνῳ προσχωρήσῃ ᾧ τινι μᾶλλον γειτνιάζων εὑρίσκεται· ἐὰν δὲ ἀμφοτέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται. Εἰ δὲ τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσουσι, καὶ οἱ ἐκ τοῦ μέρους τοῦ Δονάτου μεταστρέψαντες τὸν ἴδιον, τῶν πλειόνων ἡ γνώμη προτιμηθῇ τῶν ὀλιγωτέρων· εἰ δὲ τὰ μέρη εἰσὶν ἴσα, τῷ παλαιοτέρῳ ἐπισκόπῳ καταλογισθείη. Ἐὰν δὲ οὕτω πλεῖστοι οἱ τόποι εὑρεθῶσιν, ἐν οἷς ἀμφότερα τὰ μέρη εἰσὶν, ὡς μὴ δύνασθαι ἐξίσου μερισθῆναι, τοῦ ἀριθμοῦ τῶν αὐτῶν τόπων ἀνίσου ὑπάρχοντος, πρῶτον μερισθῶσιν οἱ ἴσοι ἀριθμοὶ, καὶ τῷ ἀπομένοντι τόπῳ τοῦτο φυλαχθῇ, ὅπερ ἀνωτέρω λέλεκται, ὅτε περὶ τοῦ ἑνὸς ἐζητεῖτο τόπου.

---

ΖΩΝΑΡ. Οἱ τοῦ Δονάτου αἱρεσιῶται πολλοὶ γενόμενοι, καὶ εἰς πλήθη συστάντες, ἐν διαφόροις διοικήσεσιν ἥρπασαν ἐκκλησίας, ἀλλὰ καὶ ἐνορίας, καὶ ταύτας κατεῖχον, καὶ ᾠκειώσαντο. Ἐπιστρεφόντων δὲ αὐτῶν πρὸς τὴν ὀρθόδοξον πίστιν, ἀμφιβολίαι ἐγίνοντο περὶ τῶν ἐνοριῶν τῶν παρ' ἐκείνων πρώην κατεχομένων, τῶν ἐπισκόπων στασιαζόντων πρὸς ἀλλήλους, καὶ ἑκάστου

(1) Ὁ κανὼν οὗτος συνέχεται μετὰ τοῦ προηγουμένου ἐν Π.

εἰς ἑαυτοὺς ταύτας μεθελκόντων. Περὶ τούτου οὖν τοῦ κεφαλαίου καὶ ἄμφω οἱ κανόνες οὗτοι ἐξεφωνήθησαν, τυποῦντες πῶς χρὴ παρὰ τοῖς ἐπισκόποις μερίζεσθαι τοὺς τόπους, οὓς κατεῖχον οἱ Δονατισταί. Ἐξηγηθῆναι δὲ τοὺς κανόνας κατὰ μέρος, οὐκ ἀναγκαῖον, ὅτι τε οὐκ ἀσάφειαν ἔχουσι, καὶ ὅτι μηδὲ εἰς κοινὴν ὁρῶσιν οἰκονομίαν, ἀλλὰ τοῖς ἐν Ἀφρικῇ μόνοις προσήρμοζον, κἀκείνοις κατὰ τὸν τότε καιρόν.

ΒΑΛΣ. Ἐξηγηθῆναι τοὺς δύο τούτους κανόνας οὐκ ἔστιν ἀναγκαῖον, ὡς μηδὲ εἰς κοινὴν ἀφορῶντας οἰκονομίαν, ἀλλ' εἰς τοὺς ἐν Ἀφρικῇ ἀπὸ τῶν Δονατιστῶν προσελθόντας ἐπισκόπους τῇ καθολικῇ ἐκκλησίᾳ.

ΑΡΙΣΤ. Αἱ ὁτεδήποτε γενόμεναι τῶν Δονατιστῶν ἐπιστροφαὶ καὶ ἑνώσεις, ἐκείνῳ τῷ θρόνῳ ἀνηκέτωσαν, ᾧ καὶ ἡ ἔκπαλαι ἐκεῖσε καθολική.

Ἐπειδὴ πολλαὶ γεγόνασιν ἀμφιβολίαι περὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων, τίνι θρόνῳ οὗτοι προσκυρωθήσονται· πρὸ μὲν γὰρ τῶν νόμων τῶν βασιλικῶν, τῶν περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν διαταττομένων, ἐκείνῳ τῷ ἐπισκόπῳ ὑπέκειντο, δι' οὗ τῆς πλάνης ὑπέστρεψαν, καὶ τῇ καθολικῇ ἐκοινώνησαν ἐκκλησίᾳ, μετὰ δὲ τοὺς νόμους ἐκείνοις τῶν ἐπισκόπων ἦσαν ἀνήκοντες, τοῖς πλησίον οὖσι τῶν τόπων, τῶν παρ' αὐτῶν δὴ τῶν Δονατιστῶν κατεχομένων, ὥρισεν ἡ σύνοδος, τὰς μεταξὺ τῶν ἐπισκόπων ἀναφυομένας ἀμφιβολίας λύουσα, ἐκείνῳ τῷ θρόνῳ τούτους ἀνήκειν, ᾧ τινι καὶ ἡ ἔκπαλαι ἐκεῖσε ὑπάρξασα καθολικὴ ἐκκλησία διαφέρει.

ΑΡΙΣΤ. Οἱ ἐπιστρέψαντες ἀπὸ Δονάτου, διελέσθωσαν τὰς διοικήσεις, καὶ ὁ μὲν παλαιότερος ἐπιμερίζοι, ὁ δὲ νέος ἐκλέγοιτο.

Ἐὰν οἱ τῶν Δονατιστῶν ἐπίσκοποι πρὸς τὴν καθολικὴν ἐπιστρέψωσιν ἐκκλησίαν, καὶ μεταξὺ αὐτῶν, ἢ καὶ ἑτέρων καθολικῶν ἐπισκόπων, παροικίαι τινὲς ἦσαν, ἐν αἷς καὶ ἀμφότεροι ἐπισκοπικὰ δίκαια εἶχον, γενέσθω ἡ διαίρεσις τῶν οὕτως ἀνακεκοινωμένων παροικιῶν καὶ διοικήσεων μεταξὺ αὐτῶν ἐπίσης, πλὴν οὕτως, ὥστε τὸν μὲν παλαιότερον ἐπίσκοπον ποιεῖσθαι

τὸν μερισμὸν, τὸν δὲ ὑστέρως μετ' ἐκεῖνον γενόμενον ἔχειν τὴν ἐπιλογήν. Εἰ δὲ εἷς ἐστι τόπος, εἰς ὃν ἦσαν καὶ Δονατισταὶ οἰκοῦντες καὶ ὀρθόδοξοι, εἰ μὲν γειτνιάζει τῷ ἐπισκόπῳ τῷ ἀπὸ τῶν Δονατιστῶν ἐπιστρέψαντι, ἐκείνῳ κατὰ τὸ ἀκέραιον παραχωρηθῇ· εἰ δὲ μᾶλλον τῷ καθολικῷ ἐπισκόπῳ πλησιάζει, καὶ οἱ ἐν αὐτῷ ὄντες ἀρχαῖοι ὀρθόδοξοι τὸν ἴδιον θελήσουσιν ἔχειν ἐπίσκοπον, οἱ δὲ ἐκ τοῦ Δονάτου μεταστρέψαντες πάλιν τὸν ἴδιον, τῶν πλειόνων ἡ ψῆφος κρατείτω· εἰ δὲ τὰ μέρη ἴσα εἰσι, τῷ ἀρχαιοτέρῳ ἐπισκόπῳ ὁ τόπος ἅπας προσκυρωθήσεται.

## Κανὼν ΡΙΘ΄. (ΡΚΘ΄.)

*Περὶ τοῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ ἐπὶ τριετίαν κατάσχῃ, μηδένα ταύτην ἀναζητεῖν.*

Ὁμοίως ἤρεσεν, ἵνα, ἐάν τις μετὰ τοὺς νόμους, τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτον ἐπὶ τριετίαν μηδενὸς ἀναζητοῦντος (1) κατάσχῃ, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ, ἐὰν μέντοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι, καὶ ἡσύχασεν· εἰ δὲ μὴ ἦν, μὴ προκριματισθῇ ἐν τῇ μάτρικι· ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι. Ὁμοίως δὲ, καὶ ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθῇ ἐν τῇ μάτρικι περὶ τοῦ ὁρισθέντος χρόνου, ἀλλ' ἐξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἐξουσίαν ἀναζητεῖν ἐντὸς τριετίας τοὺς τόπους τοὺς τῇ αὐτοῦ (2) ἀνήκοντας καθέδρᾳ.

---

ΖΩΝΑΡ. Ἐξ ἀναφορῶν τῶν τῆς συνόδου ταύτης Πατέρων νόμοι ἐτέθησαν, οἶμαι, παρὰ Ὀνωρίου τοῦ βασιλέως· ἐκεῖνος γὰρ ἦρχε τότε τῶν Ἑσπερίων. Φησὶν οὖν ὁ κανὼν, ὡς, εἰ μετὰ τοὺς

(1) ἐπιζητοῦντος Χ. Τρ. — (2) Ζ. 'Ρ. Χ. Τρ. — τῇ αὐτοῦ Π. 'Ιουστ.

νόμους ἐπιστρέψει τόπον τινὰ, ἤγουν ἐνορίαν, ἢ παροικίαν, ἤτοι τὸν ἐν αὐτῇ λαὸν, ἐπίσκοπος πρὸς τὴν ἑνότητα τῆς καθολικῆς ἐκκλησίας, καὶ τὴν ἐνορίαν κατάσχῃ ἐν τριετίᾳ, μηδενὸς ἀντιποιουμένου αὐτῆς, ἔκτοτε αὐτοῦ ἔσται, τουτέστιν οὐδενὶ ἐξέσται αὐτὴν ἐκνικᾷν. Ἐὰν δὲ ἐν τῇ ἐπισκοπῇ, ᾗ λέγεται διαφέρειν ὁ τόπος, οὐκ ἦν ἐπίσκοπος κατὰ τὴν τριετίαν ἐκείνην, ὅστις ἔμελλεν ἐκνικῆσαι αὐτὸν, ἀλλ' ἐχήρευεν ἡ ἐπισκοπὴ προεστῶτος, οὐ προκριματισθήσεται ἐν τῇ μάτρικι, ἀντὶ τοῦ, οὐ βλαβήσεται ἐκ τοῦ καταγραφῆναι ἐν τῇ ἀπογραφῇ τῶν διαφερόντων τῇ ἐκκλησίᾳ, ἢ ἐπὶ τριετίαν ἐνεμήθη αὐτόν· ἀλλ' ἐξέσται τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ ζητῆσαι καὶ ἐκνικῆσαι αὐτὸν ἐντὸς τριετίας ψηφιζομένης ἀπ' αὐτῆς τῆς ἡμέρας, καθ' ἣν ἐγένετο. Τοῦτο δὲ κρατεῖν καὶ ἐπὶ τῶν Δονατιστῶν, ὥστε, ἐὰν ἐπίσκοπος αὐτῶν ἐπιστρέψῃ καὶ ἑνωθῇ τῇ καθολικῇ ἐκκλησίᾳ, οὗ τόπον τινὰ ἕτερος κατεῖχεν ἐπίσκοπος, ἔχειν αὐτὸν ἄδειαν, ἐντὸς τριετίας ψηφιζομένης ἐξ ὅτου ἐπέστρεψεν, ἀναζητεῖν τοὺς τόπους τοὺς ἀνήκοντας τῇ ἐκκλησίᾳ αὐτοῦ.

ΒΑΛΣ. Ὡς ἔοικε, νόμοι προεθεσπίθησαν περὶ τῶν ἐνοριῶν. Ἐπεὶ δε καὶ μετὰ τὸ τούτους ἐκφωνηθῆναι ἀμφιβολίαι ἀνέκυπτον, ὥρισαν οἱ Πατέρες, ἵνα, ἐὰν ἐπίσκοπός τις μεταστρέψῃ πρὸς τὴν ὀρθόδοξον πίστιν τόπον τινὰ, ἤγουν παροικίαν ἔχουσαν αἱρετικοὺς, καὶ κατέχῃ αὐτὴν ἐπὶ τριετίαν, ζῶντος καὶ ταῦτα τοῦ δικαιουμένου ἐπ' αὐτῇ ἐπισκόπου καὶ ἡσυχάζοντος, μηκέτι περὶ ταύτης ὀχληθῇ. Ἐὰν δὲ ἐν τῇ ἐπισκοπῇ, ᾗ λέγεται διαφέρειν ὁ τόπος, οὐκ ἦν ἐπίσκοπος, ἡ παραδρομὴ τῆς τριετίας οὐκ ἐμποδίσει τὸν μετὰ ταῦτα ψηφισθέντα ἀνακαλεῖσθαι τὴν ἐνορίαν· τὸ αὐτὸ δὲ κρατεῖν καὶ ἐπὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ γίνωσκε, ὅτι τὰ ἐκκλησιαστικὰ δίκαια, τὰ περὶ τῶν ἐνοριῶν δηλαδὴ καὶ τῶν ἄλλων, εἰ μὲν κατὰ ἐκκλησίας ἁρμόζουσι, διὰ τριακονταετίας ἀποκλείονται· εἰ δὲ κατὰ προσώπων, διὰ τεσσαρακονταετίας· καὶ ἀνάγνωθι τὸ τρίτον κεφ. τοῦ γ'. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν, καὶ τὸ τελευταῖον κεφάλαιον τοῦ δευτέρου τίτλου τοῦ αὐτοῦ βιβλίου, λέγον· Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ, εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμο-

ζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους· ὥστε τὰ τοῦ παρόντος κανόνος ἐσχόλασαν ἀπὸ τῶν τοιούτων κεφαλαίων, ἀπὸ νεαρῶν Ἰουστινιανείων ὄντων.

ΑΡΙΣΤ. Ὁ μεταστρέφων εἰς ὀρθοδοξίαν, καὶ κατέχων ἐπὶ τριετίαν τὴν ἐπιστραφεῖσαν χώραν, ἔστω ἀνέγκλητος· καὶ ὁ μεταστρέφων ἐπίσκοπος ἀπὸ Δονάτου, εἰ ἐντὸς τριετίας ἀφ' ἧς ἐπέστρεψεν ἐνάγει, ἐναγέτω.

Πρὸ μὲν τῶν βασιλικῶν νόμων, καθὼς καὶ ἐν τῷ ριζ'. κανόνι ἐγράφη, εἴτις ἐπίσκοπος ἀπὸ αἱρέσεώς τινος εἰς ὀρθοδοξίαν μετέστρεψε παροικίαν τινὰ, κατεῖχε ταύτην ἀπεντεῦθεν, καὶ οὐκ ἠδύνατό τις τῶν ἐπισκόπων, ᾧ τινι ἡ τοιαύτη ἀνῆκε διοίκησις, ἀνακαλεῖσθαι αὐτήν· μετὰ δὲ τοὺς περὶ τούτου νόμους, ἤρεσε τῇ συνόδῳ, τὸν μεταστρέψαντα εἰς τὴν ὀρθοδοξίαν χώραν τινὰ, καὶ ἐπὶ τριετίαν κατασχόντα αὐτὴν, μὴ παρά τινος ὀχληθέντα, ὡς ταύτην ἀναζητήσαντος, μένειν ἀνέγκλητον, καὶ μηκέτι ταύτην ἀναζητεῖσθαι ἀπ' αὐτοῦ, εἴπερ ἐντὸς τῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος, ὁ μέλλων ἀναζητῆσαι αὐτὴν, καὶ ἡσύχασεν· εἰ γὰρ ἐχήρευεν ἐπισκόπου ἡ ἐκκλησία, ἡ δικαιουμένη ἐπὶ τῇ χώρᾳ ἐκείνῃ τῇ ἀπὸ τῆς αἱρέσεως μεταστραφείσῃ, ἔκτοτε ἡ παραδρομὴ τοῦ τριετοῦς χρόνου αὐτὸν βλάψει, μεθ' ὃ γένηται ἐπ' αὐτῇ ἐπίσκοπος· ἀλλὰ καὶ παροικία τις ἐπισκόπου τῶν Δονατιστῶν, ἐὰν πρὸς τὴν καθολικὴν μεταστρέψῃ ἐκκλησίαν, καὶ κατασχεθῇ ἐπὶ πολὺν χρόνον παρὰ τοῦ μεταστρέψαντος αὐτὴν εἰς τὴν ὀρθοδοξίαν, εἶτα προσέλθῃ τῇ ἑνότητι τῆς καθολικῆς πίστεως καὶ ὁ Δονατιστὴς ἐπίσκοπος, ἔξεσται αὐτῷ ἐντὸς τριετίας, ἀφ' οὗ ὑπέστρεψεν, ἀνακαλεῖσθαι τὴν ἀνήκουσαν τῷ θρόνῳ αὐτοῦ παροικίαν.

## Κανὼν ΡΚ'. (ΡΑ'.)

*Περὶ τῶν τοῖς λαοῖς, οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν, ἐπιβαινόντων (1) παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων.*

**Ὁμοίως ἤρεσεν, ἵνα, οἱοιδήποτε ἐπίσκοποι τὰ πλήθη**

(1) ἐπιβαλλόντων Σ. Ρ.

ἃ νομίζουσι τῷ θρόνῳ αὐτῶν ἀνήκειν, μὴ οὕτως ἀναζητῶσιν, ὥστε ἄλλων ἐπισκόπων κρινόντων τοῦτο πράττειν, ἀλλ' ὑπὸ ἑτέρου κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς, εἴτε θέλουσιν, εἴτε μὴ θέλουσι (1), τοῦ ἰδίου πράγματος τὴν ζημίαν ὑπομείνωσι. Καὶ οἵτινεςδήποτε τοῦτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν ἐπισκόπων συνέλευσις (2) ἐπερατώθη (3), ἀλλ' ἀκμὴν περὶ τοῦ αὐτοῦ φιλονεικοῦσιν (4), ἐκεῖνος ἀποστῇ ἐκεῖθεν, περὶ οὗ δειχθείη, ὅτι παρεάσας τοὺς ἐκκλησιαστικοὺς δικαστὰς, ἔφοδον ἐποίησε. Καὶ μὴ ἑαυτόν τις κολακεύσῃ, εἰ ἐκ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατέχειν ἔλαβεν, ἀλλ' εἴτε γράμματα ἔχει, εἴτε οὐκ ἔχει, συνέλθοι τῷ κατέχοντι, καὶ παρ' αὐτοῦ γράμματα λάβοι, ὥστε φανῆναι τοῦτον εἰρηνικῶς τὴν αὐτῷ ἀνήκουσαν κατασχεῖν ἐκκλησίαν. Ἐὰν δὲ κἀκεῖνός τινα ζήτησιν ἀντεναγάγῃ (5), καὶ αὐτὴ περατωθῇ μεταξὺ ἐπισκόπων κρινόντων, εἴτε οὓς ὁ πρωτεύων αὐτοῖς δῷ, εἴτε οὓς γειτνιῶντας κατὰ συναίνεσιν ἐπιλέξωνται.

---

**ΖΩΝΑΡ.** Ἀπαγορεύει ὁ κανὼν οὗτος τὸ τὸν λέγοντα δίκαιον ἔχειν ἐπίσκοπον ἐπὶ λαῷ τινι δυναστείᾳ χρῆσθαι, καὶ ἐπέρχεσθαι αὐτοῖς· βούλεται δὲ εἰς κρίσιν ἐπισκόπων κατάγειν τὴν ὑπόθεσιν, καὶ οὕτως ἐκνικᾷν ὃ οἴεται διαφέρειν τῇ ἐκκλησίᾳ αὐτοῦ. Εἰ δὲ ἐπέλθῃ τις τοῖς λαοῖς τοῖς ὑπὸ ἑτέρου ἐπισκόπου κατεχομένοις, εἴτε βούλονται αὐτὸν οἱ λαοὶ ἐκεῖνοι ἔχειν ἐπίσκοπον, εἴτε μὴ βούλονται, ἐκπεσεῖται τοῦ οἰκείου δικαίου, ζημιούμενος τὸ δυναστείᾳ ἀφαιρεθὲν, ὥστε, κἂν δίκαιον ἐπ' ἐκείνῳ εἶχεν, ἀπολέσαι αὐτό. Εἰ δὲ καί τινες, φησὶ, τοῦτο ἐποίησαν· τοῦτο, ποῖον; τὸ παρὰ ἐπισκόπων κριθῆναι περὶ τοῦ ἀναζητουμένου λαοῦ, εἰ μὴ μέχρι πέρατος τῆς ὑποθέσεως ἐνέμειναν τῷ δικαστηρίῳ, ἀλλ' ἔτι φιλονεικουμένου

---

(1) εἴτε θελήσουσιν, εἴτε μὴ θελήσουσι, Σ. Ῥ. — (2) συναίνεσις Βευερ. — (3) ἐπερωτηθῇ Ἰουστ. Π. — (4) φιλονεικούντων Χ. Τρ. — (5) Ἰουστ. Βευερ. Π. — ἀντεπαγάγῃ Σ. Ῥ. — ἀντεπάγῃ Χ. Τρ.

καὶ δικαζομένου τοῦ πράγματος, ἓν τῶν δύο μερῶν ἀποστῇ τοῦ ἐκκλησιαστικοῦ δικαστηρίου, καὶ ἔφοδον ποιήσῃ κατὰ τοῦ ἐκνικωμένου λαοῦ, κἀκεῖνο ἐκπεσεῖται τοῦ ἰδίου δικαίου· καὶ μή τις, φησὶν, ἑαυτὸν κολακεύσῃ, ἀντὶ τοῦ, ἀπατήσῃ· ἡ γὰρ κολακεία ἀπάτη ἐστὶν, οὐδὲν ὑγιὲς τοῦ κολακεύοντος λέγοντος, ἀλλὰ πάντα πρὸς χάριν καὶ θεραπείαν τοῦ κολακευομένου· μή τις οὖν, φησιν, ἑαυτὸν ἀπατήσῃ, ὅτι ἐκ τοῦ πρωτεύοντος, ἤτοι τοῦ μητροπολίτου τῆς ἐπαρχίας, γράμματα ἔλαβεν, ἐπιτρέποντα αὐτῷ τὴν τοῦ τόπου κατάσχεσιν· εἴτε γὰρ ἔχει γράμματα, εἴτε οὐκ ἔχει, εἰ μὴ τοῦ κατέχοντος τὸν λαὸν τὸν ἐκνικώμενον λάβοι γράμματα, δι' ὧν φανήσεται κατὰ γνώμην ἐκείνου εἰρηνικῶς κατασχὼν τὴν διαφέρουσαν αὐτῷ ἐκκλησίαν, ἐκπεσεῖται τοῦ δικαίου αὐτοῦ. Ἐὰν δὲ καὶ ὁ ἐναγόμενος ἀντεναγάγῃ, τουτέστιν ἀνταιτιάσηται τὸν ἐνάγοντα, ἵνα καὶ αὕτη ἡ ὑπόθεσις περατωθῇ κρινόντων ἐπισκόπων· οἱ δὲ κρίνοντες, ἢ παρὰ τοῦ πρωτεύοντος δοθήσονται, ἢ κατὰ συναίνεσιν τῶν ἀντιδίκων ἐπιλεγήσονται.

**ΒΑΛΣ.** Καὶ ὁ πολιτικὸς νόμος διορίζεται τὸν ἀνάρχως τὸ ἴδιον ἀφελόμενον ἐκπίπτειν αὐτοῦ(1)· καὶ ὁ παρὼν δὲ κανὼν διορίζεται τοὺς ἐπισκόπους τοὺς νομίζοντας ἔχειν δίκαιον πλήθους, ἤγουν ἐνορίας, μὴ αὐθεντικῶς ἐπιδράττεσθαι ταύτης, κἂν θέλωσι τοῦτο οἱ λαοὶ, κἂν μὴ θέλωσιν, ἀλλ' ἐκνικᾷν τὰς κατεχομένας παρ' ἑτέρων ἐπισκόπων τοιαύτας ἐνορίας μετὰ κρίσεως ἐπισκοπικῆς· εἰ δὲ αὐτεκδίκητοι γένωνται, ζημίαν ὑπομένειν τοῦ ἰδίου πράγματος, ἤγουν ἐκπίπτειν τοῦ οἰκείου δικαίου. Τοῦτο δὲ ἔσται καὶ εἰς τοὺς μετὰ προκάταρξιν μὴ ἀναμείναντας τὴν ἐπισκοπικὴν δικαίωσιν, ἀλλ' αὐθεντικῶς ἐπιλαβομένους τῆς ἐνορίας. Καὶ μή τις, φησὶν, ἑαυτὸν κολακεύσῃ, ἀντὶ τοῦ, ἀπατήσῃ, ὅτι ἐκ τοῦ πρωτεύοντος, ἤγουν τοῦ μητροπολίτου, γράμματα ἔλαβεν ἐπιτρέποντα αὐτῷ τὴν τοῦ τόπου κατάσχεσιν· εἴτε γὰρ ἔχει γράμματα, εἴτε οὐκ ἔχει, εἰ μὴ τοῦ κατέχοντος τὸν λαὸν τὸν ἐκνικώμενον λάβῃ γράμματα, δι' ὧν φανήσεται κατὰ γνώμην ἐκείνου εἰρηνικῶς κατασχὼν τὴν διαφέρουσαν αὐτῷ ἐνορίαν, ἐκπεσεῖται τοῦ δικαίου αὐτοῦ. Ἐὰν δὲ

(1) ιη'. Βασ. Ξ', 18.

καὶ ὁ ἐναγόμενος ἀντεναγάγῃ, τουτέστιν ἀνταιτιάσηται τὸν ἐνάγοντα, ἵνα καὶ αὕτη ἡ ὑπόθεσις περατωθῇ κρινόντων ἐπισκόπων· οἱ δὲ κρίνοντες ἢ παρὰ τοῦ πρωτεύοντος δοθήσονται, ἢ κατὰ συναίνεσιν τῶν ἀντιδίκων ἐπιλεγήσονται. Ἐρωτήσει δέ τις, ὡς διαφόρων κανόνων διοριζομένων καθαιρεῖσθαι τοὺς ἐν ἀλλοτρίαις ἐνορίαις ἐπισκοπικόν τι ἐνεργοῦντας παρὰ γνώμην τῶν κατεχόντων αὐτὰς, πῶς ὁ παρὼν κανὼν ἐπὶ μόνῃ τῇ ἐκπτώσει τοῦ προσόντος ἴσως δικαίου αὐτῷ κατακρίνει τὸν τὴν ἔφοδον ποιήσαντα; Λύσις. Ἐνταῦθα ὑπόθου δίκαια ἔχειν ἐνορίας τὸν αὐτονομήσαντα ἐπίσκοπον, καὶ διὰ τοῦτο καθαιρέσει μὲν οὐχ ὑπόκειται, ἐκπίπτει δὲ τοῦ οἰκείου δικαίου· εἰ γὰρ φανῇ μετ' ἀληθείας εἶναι ἀλλοτρίαν τὴν τοιαύτην ἐνορίαν, ἐξ ὀχλήσεως τοῦ παθόντος τὴν ἔφοδον ἐπισκόπου καὶ καθαιρεθήσεται ὁ ἀτακτήσας. Ἔτι ἐρωτήσει τις, ὡς τοῦ πεποιηκότος τὴν ἔφοδον ἐπισκόπου οὕτως ἐκπεσόντος τοῦ ἐπισκοπικοῦ δικαίου αὐτοῦ, ἐνδυνάμως ὡς ἐπὶ οἰκείᾳ ἐνορίᾳ ἐπισκοπεύσει ὁ κατέχων αὐτὴν, ἢ τιμωρηθήσεται, ὡς ἐν εἰδήσει ἀλλοτρίαν ἐνορίαν κατέχων, καὶ ἱερουργῶν ἐν αὐτῇ; Λύσις. Νόμος ἐστὶν ὁ λέγων, Κελεύοντος ἄρχοντος, δικαίως νεμόμεθα(1)· καὶ ἐπεὶ ὁ παθὼν τὴν ἔφοδον ἐπίσκοπος ἀπὸ τοῦ κανόνος δεδικαίωται, ὡς τοῦ ἀτακτήσαντος λογισθέντος μηδέποτε σχεῖν δίκαιον εἰς τὴν ἐνορίαν, ἀπροκριματίστως ἐνεργήσει ἐπισκοπικὰ δίκαια εἰς ἣν κατέχει ἐνορίαν, κἂν ἦν ποτε ἀλλοτρία. Τί δέ; Ἡ ἀταξία καὶ ἔφοδος τοῦ κατακριθέντος ἐπισκόπου λυμανεῖται τὰ δίκαια τῆς ἐκκλησίας, καὶ ἀποκλεισθήσεται ὁ μετὰ τοῦτον χειροτονηθησόμενος ἐπίσκοπος ἀνακαλεῖσθαι τὰ δίκαια τῆς ἐκκλησίας αὐτοῦ, ἢ οὔ; Λύσις. Ἐμοὶ δοκεῖ μὴ καταβλάπτεσθαι τὴν ἐκκλησίαν ἐξ ὧν ἁμαρτάνει ὁ ἐπίσκοπος, καὶ διὰ τοῦτο ἐνδυνάμως ἵνα ἀνακαλέσηται τὴν ἐνορίαν ὁ διαδεξάμενος τὸν ποιήσαντα τὴν ἔφοδον, κἂν καὶ πολὺς παρέλθῃ καιρός. Ἐλαλήθη δὲ τοιοῦτόν τι καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ. Τινὸς γὰρ ἐπισκόπου τῆς μεγάλης Βρύσεως δικαζομένου μετὰ τοῦ ἀρχιεπισκόπου τῆς μικρᾶς Βρύσεως, καὶ προκομίσαντος διαλυτέον ἔγγραφον τοῦ προ-

(1) ρλζ'. Βασ. Β'. 8.

τελευτήσαντος * ἀρχιερέως καὶ *(1) ἀρχιεπισκόπου, χάριν τοῦ μὴ ἀνακαλεῖσθαι τοῦτον ἐνορίαν κατεχομένην ὑπὸ τοῦ ἐπισκόπου, ἡ σύνοδος ἀπεφήνατο, μὴ καταβλάπτεσθαι τὴν ἀρχιεπισκοπὴν ἐξ ὧν ὁ ταύτης πρόεδρος ἔπραξε παρὰ γνώμην τῶν οἰκείων κληρικῶν καὶ τῆς μεγάλης συνόδου. Γεγόνασι δὲ καὶ ἄλλαι πολλαὶ τοιαῦται κρίσεις συνοδικαί.

ΑΡΙΣΤ. Μηδεὶς ἑαυτῷ ἐκδικείτω τὸ νομιζόμενον διαφέρειν, ἀλλ' ἐπίσκοποι κρινέτωσαν, ἢ οὓς ὁ πρωτεύων δώσει, ἢ οἱ γειτονοῦντες ἐκ συναινέσεως· ὁ δὲ παρὰ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατασχεῖν λαβών, ἑαυτὸν κολακεύει.

Εἴ τις ἐπίσκοπος οἴεται ἔχειν δίκαιον ἐπί τινι παροικίᾳ παρ' ἑτέρου ἐπισκόπου κατεχομένῃ, τοῖς προσφόροις αὐτῷ ἐπισκόποις ὀφείλει προσέρχεσθαι, καὶ περὶ τούτου διεγκαλεῖν· οὐ μὴν αὐτεκδίκητον γίνεσθαι, καὶ αὐθεντικῶς κατασχεῖν πειρᾶσθαι, ὅπερ οἴεται αὐτῷ διαφέρειν. Εἰ δὲ καὶ γράμματα λάβῃ περὶ τοῦ κατασχεῖν τὸν λαὸν, τὸν ὑφ' ἑτέρου κατεχόμενον ἐπισκόπου, ἑαυτὸν ἀπατᾷ· οὐδὲ γὰρ ὠφεληθήσεταί τι ἐξ αὐτῶν, εἰ μὴ ὁ κατέχων αὐτὸν εἰρηνικῶς θελήσει ἀποστῆναι, ἢ δικαστικῶς μετακινηθῆναι.

## Κανὼν ΡΚΑ'. (ΡΛΑ'.)

*Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.*

**Ὁμοίως ἤρεσεν, ἵνα, οἵτινεσδήποτε ἀμελῶσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ, πρὸς τὸ τούτους κερδᾶναι εἰς τὴν καθολικὴν ἑνότητα, ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν ἐπισκόπων, περὶ τοῦ μὴ ἀναβάλλεσθαι τοῦτο πρᾶξαι. Διὸ, ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδᾶναι προσκυρωθῶσιν· οὕτω μέντοι, ἵνα, ἐὰν ἐκεῖνος, πρὸς ὃν ἐνδείκνυνται (2) ἀνήκειν οἱ τοιοῦτοι, ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετι-**

(1) τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Ε. εἰ μὴ λατιν. — (2) δείκνυται Ἰουστ. — δείκνυνται Π.

κῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι· καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ἀπὸ ἑτέρου προελήφθη, ᾗ τινι εἰ κατεχρήσατο (1), τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζε, τούτου μεταξὺ ἐπισκόπων κρινόντων διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκατασταθῶσι. Τῶν δὲ κρινόντων ἐπισκόπων, ἐκ διαφόρων ὄντων ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαστὰς δώσει, οὗτινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται. Ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν γείτονας ἐπιλέξωνται κριτάς, ἢ εἷς ἐπιλεγῇ, ἢ τρεῖς· καὶ ἐὰν τρεῖς ἐπιλέξωνται (2), ἢ τῇ τῶν ὅλων ψήφῳ ἐξακολουθήσωσιν (3), ἢ τῇ τῶν δύο (4).

---

ΖΩΝΑΡ. Ἐάν τινες ἐπίσκοποι, φησὶν ὁ κανών, ἀμελῶσι τῶν τόπων τῶν ἀνηκόντων ταῖς ἐκκλησίαις αὐτῶν, πρὸς τὸ αὐτοὺς κερδᾶναι, ἀντὶ τοῦ, ὥστε αὐτοὺς ἐκνικῆσαι καὶ ἔχειν, ἵνα αἰτιαθῶσιν εἰς τὴν καθολικὴν ἑνότητα, εἰς τὴν σύνοδον δηλαδὴ τὴν ἡνωμένην τῇ καθολικῇ πίστει, ἐγκαλούντων αὐτοῖς περὶ τούτου τῶν γειτνιώντων τοῖς τόποις ἐπισκόπων· ἐὰν δὲ αἰτιαθέντες, ἐντὸς μηνῶν ἓξ μετὰ αἰτίασιν ψηφιζομένων, οὐδὲν ἀνύσωσιν εἰς ἐκδίκησιν τῶν διαφερόντων ταῖς ἐκκλησίαις αὐτῶν ῥαθυμοῦντες, προσκυρωθήσονται τῷ δυναμένῳ κερδᾶναι αὐτούς, τουτέστιν ἐκνικῆσαι. Ἐὰν δὲ ὁ ἐπίσκοπος, ᾧ ἀνῆκον οἱ τόποι, οὐ διὰ ῥαθυμίαν ἀλλὰ δι' οἰκονομίαν ὑπερετίθετο, ἴσως τῶν κατεχόντων τοὺς τόπους αἱρετικῶν ἐπισκόπων ἑνωθέντων τῇ καθολικῇ ἐκκλησίᾳ, ἐπὶ συμφωνίᾳ τοῦ ἀθορύβους αὐτοὺς διατηρηθῆναι, καὶ διὰ τοῦτο ὑπερτιθεμένου τὴν ἐκνίκησιν τοῦ ἐπισκόπου, προέλαβεν ἄλλος, οἱ τόποι τῷ ἐπισκόπῳ, ᾧ διέφερον, ἀποκαταστήσονται, ἐπισκόπων περὶ τούτου διαγινωσκόντων· εἰ γὰρ ἐσπούδασεν ὁ ἐπίσκοπος ἐκνικῆσαι τοὺς τόπους ἀπὸ τῶν κατεχόντων αὐτοὺς αἱρετικῶν, πλέον ἂν ἐκάκιζεν αὐτούς, ἀντὶ τοῦ, χείρονας ἂν ἐποίησεν αὐτούς, καὶ εἰς πλείονα κακίαν ἠρέθισεν ἄν. Τοὺς δὲ περὶ τούτου μέλλον-

---

(1) εἰ κατεχρήσαντο Ἰουστ. — (2) ἐπιλέξωνται καὶ ἀρεστῶσι Π. Ἰουστ. Κ. — (3) ἐπακολουθήσωσιν Σ, Ρ. — (4) ἐν Π. ὁ κανὼν οὗτος ἑνοῦται μετὰ τοῦ ἑπομένου.

τας διαγνωμονεῖν ἐπισκόπους ὁ πρωτεύων τῆς ἐπαρχίας δώσει, ἐν ᾗ ὁ ἐκνικώμενος διάκειται τόπος. Ἐὰν δὲ οἱ περὶ τῶν τόπων δικαζόμενοι αὐτοὶ ἐπιλέξωνται δικαστάς, ἢ εἷς ἐπιλεγέσθω, φησὶν ὁ κανών, ἢ τρεῖς. Εἰ μὲν γὰρ εἷς ἐπιλεγῇ, τῇ ψήφῳ ἐκείνου ἕψονται· αἱρετὸς γὰρ ὢν δικαστὴς ἐκκλήτῳ οὐχ ὑποπεσεῖται· εἰ δὲ τρεῖς εἰσιν, ἢ σύμψηφοι ἔσονται, καὶ ἐξ ἀνάγκης ἡ ψῆφος αὐτῶν κρατήσει, ἢ μερισθήσονται αἱ γνῶμαι αὐτῶν, ὡς τοὺς μὲν δύο ὁμογνωμονῆσαι, τὸν δ' ἕτερον ἄλλης γενέσθαι διαγνώσεως, καὶ κρατήσει λοιπὸν τῶν πλειόνων ἡ ψῆφος.

ΒΑΛΣ. Ἄλλοι μὲν ἐξελάβοντο τὸν κανόνα εἰς ἐπισκόπους ἀμελῶς διατιθεμένους ἐπὶ τῇ ἐκδικήσει τῶν ἀνηκόντων κατὰ δεσποτείαν ταῖς ἐκκλησίαις αὐτῶν τόπων· ἐγὼ δὲ πρὸς τὴν ἐπιτίτλωσιν τοῦ κανόνος ἑρμηνεύων αὐτὸν, φημὶ, ὅτι ἤρεσε τοῖς Πατράσιν, ἵνα, ἐὰν ἐπίσκοποί τινες ἀμελῶσι τοῦ διδάσκειν τοὺς ἐν ταῖς ἐνορίαις αὐτῶν, εἴτε κερδαίνειν τὰς ψυχὰς τούτων, ὀφείλουσιν εἰς τὴν καθολικὴν ἑνότητα, ἤγουν εἰς τὴν ἐτησίαν σύνοδον ἐγκαλεῖσθαι, ἤγουν παραγγέλλεσθαι παρὰ τῶν γειτνιαζόντων ἐπιμελῶν ἐπισκόπων περὶ τοῦ μὴ ῥαθυμεῖν, ἀλλὰ διδάσκειν τὸν ὑπ' αὐτοὺς λαόν. Ἐὰν δὲ μετὰ τὸ γενέσθαι τὴν παραγγελίαν οὐ διορθωθῶσιν οἱ ἐπιφωνηθέντες, καὶ εἰς διδασκαλίαν ἐπαγρυπνήσωσιν ἐντὸς μηνῶν ἕξ, ἔκτοτε ὀφείλουσιν οἱ τοιοῦτοι τόποι προσκυροῦσθαι ἑτέρῳ πλησιοχώρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ τούτους κερδᾶναι, ἤγουν διὰ τῆς διδασκαλίας οἰκειώσασθαι· ἐὰν δὲ ὁ ἐπίσκοπος ὁ πρὸ τούτου τὴν τοιαύτην ἐνορίαν ἔχων λέγῃ διά τινα οἰκονομίαν ἀμελῆσαι τοῦ διδάσκειν τὸν ἐν αὐτῇ λαὸν, ὡς τυχὸν τῶν ἐν ἐκείνῃ ὄντων αἱρετικῶν θελησάντων χωρίς τινος ἐλέγχου ἐπιστραφῆναι, καὶ ἀξιωσάντων σεσιγημένως τὸν λόγον τῆς ἀληθείας παραδέξασθαι, καὶ διὰ τοῦτο ἀμελῆσαι τῆς διδασκαλίας, ἵνα μὴ καταχρώμενος ταύτῃ τοὺς αἱρετικοὺς ἐπὶ πλέον εἰς κακίαν παροξύνῃ διὰ τοὺς ἐλέγχους ὑβριοπαθοῦντας, καὶ τοῦτο αὐτὸ διαγνωσθῇ παρ' ἐπισκόπων, ἀντιστραφήσεται ἡ ἐνορία πρὸς τὸν αὐτὸν ἐπίσκοπον. Ἐπεὶ δὲ εἰκὸς ἦν εἰπεῖν τινας, τίνες δικάσαι ὀφείλουσι τὴν τοιαύτην ὑπόθεσιν, ὥρισαν οἱ Πατέρες, ἐκείνους δίδοσθαι δικαστὰς ἐπισκόπους παρὰ τοῦ πρωτεύον-

πος τῆς ἐπαρχίας, ἤτοι τοῦ μητροπολίτου, οὓς ἂν αὐτὸς ὁρίσῃ, ἅτε καὶ τοῦ τόπου ὑπὸ τὴν ἐπαρχίαν τούτου διακειμένου· ἐὰν δὲ οἱ περὶ τῆς ἐνορίας δικαζόμενοι ἐπιλέξωνται δικαστὰς ἐκ γειτόνων ἐπισκόπων, μὴ πολλοὺς ἐπιλεγέσθωσαν, ἀλλ' ἢ ἕνα, ἢ τρεῖς· εἰ μὲν γὰρ εἷς ἐπιλεγῇ, τῇ ψήφῳ ἐκείνου ἕψονται· αἱρετὸς γὰρ ὢν δικαστὴς, ἐκκλήτῳ οὐχ ὑποπεσεῖται· εἰ δὲ τρεῖς εἰσιν, ἢ σύμψηφοι ἔσονται, καὶ ἐξ ἀνάγκης ἡ ψῆφος αὐτῶν κρατήσει, ἢ μερισθήσονται, καὶ κρατήσει λοιπὸν ἡ τῶν πλειόνων ψῆφος. Καὶ οὗτος μὲν ὁ κανὼν οὕτω κολάζει τοὺς μὴ διδάσκοντας τοὺς ὑπ' αὐτοὺς λαούς. Ὁ δὲ νη. κανὼν τῶν ἁγίων Ἀποστόλων φησὶν οὕτω ῥητῶς· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἀμελῶν τοῦ κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ, καθαιρείσθω. Καὶ δοκεῖ μοι μᾶλλον ὀφείλειν κρατεῖν τὰ τοῦ ἀποστολικοῦ κανόνος· ἄδικον γάρ ἐστι διὰ τὴν ἀμέλειαν τοῦ ἐπισκόπου στερηθῆναι τὴν ἐπισκοπὴν τῆς ἀνηκούσης ταύτῃ ἐνορίας· πλὴν καὶ τὰ τοῦ ἀποστολικοῦ κανόνος γενήσεται μετὰ τὸ παραγγελθῆναι τὸν ἐπίσκοπον, κατὰ τὸν παρόντα κανόνα. Τὰ δὲ τῷ παρόντι κανόνι περιεχόμενα χάριν οἰκονομίας ἐκλαβοῦ καὶ εἰς ἑτέρας εὐλόγους αἰτίας· οὐ γὰρ ἀμελὴς λογισθήσεται ὁ ἐπίσκοπος νοσῶν, ἢ ἐκκλησιαστικαῖς μείζοσιν ἐνασχολούμενος ὑποθέσεσιν. Ἀνάγνωθι καὶ τὸν ρκγ'. κανόνα τῆς παρούσης συνόδου, ἀκοινωνησίᾳ καταδικάζοντα τὸν τοιοῦτον ἀμελῆ ἐπίσκοπον, ἀκολούθως τῷ ῥηθέντι ἀποστολικῷ κανόνι.

ΑΡΙΣΤ. Οἱ τῶν ἀνηκόντων ἀμελοῦντες ὑπομιμνησκέσθωσαν· καὶ εἰ μηδὲν ἐντὸς μηνῶν ἓξ δράσουσι, τῷ δυναμένῳ κερδᾶναι προσκυρούσθωσαν. Εἰ μέντοι οἰκονομικῶς κατημέλησαν, ὥστε μὴ προσερεθίσαι τοὺς αἱρετίζοντας, καὶ τοῦτο δειχθῇ κρινόντων ἐπισκόπων, τῶν ἢ δοθέντων, ἢ ἐπιλεγέντων, τῇ καθέδρᾳ τούτων ἀποκαθιστάσθωσαν.

Ἐάν τινες τῶν ἐπισκόπων, τῶν ἀνηκόντων τόπων τῇ αὐτῶν καθέδρᾳ ἀμελήσωσι, καὶ ὑπομνησθέντες παρὰ τῶν γειτνιώντων αὐτοῖς ἐπισκόπων ἐπιμελῶν, ὥστε διεγερθῆναι εἰς τὸ παντοίως πεῖσαι τοὺς ἐκεῖσε ὄντας αἱρετικοὺς μεταστρέψαι πρὸς τὴν ὀρ-

θοδοξίαν, καὶ ἐντὸς μηνῶν ἓξ μετὰ τὴν αἰτίασιν, οὐδέν τι ἀνύσωσιν, ἀλλ' ἐν τῇ αὐτῇ μείνωσι καταφρονήσει καὶ ῥᾳθυμίᾳ, ἑτέρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ τούτους κερδᾶναι, προσκυρωθήσονται. Εἰ μέντοι κατ' οἰκονομίας λόγον οὐ διανέστησαν πρὸς ἐπιμέλειαν, ἵνα μὴ τοὺς αἱρετικοὺς ἴσως πρὸς ἀναισχυντίαν μείζονα διεγείρωσιν, ἀλλ', ὡς ἐλπίζοντες αὐτοὺς μεθ' ὑπομονῆς μᾶλλον καὶ μακροθυμίας κερδᾶναι, ἡσύχασαν, καὶ ἐν τῷ μεταξὺ ἕτεροί τινες τῶν ἐπισκόπων τὴν ἐπιμέλειαν αὐτῶν προσέλαβον, καὶ προσεκυρώθησαν ἐκείνοις τῶν αἱρετικῶν οἱ τόποι, καὶ τοῦτο δειχθῇ κρινόντων ἐπισκόπων, τῶν ἢ παρὰ τοῦ πρωτεύοντος δοθέντων, ἢ παρ' ἀμφοτέρων τῶν ἐπισκόπων ἐπιλεγέντων, ὡς διὰ τοιαύτην οἰκονομίαν τῆς διδασκαλίας δῆθεν αὐτῶν ἠμέλησαν, ἀποκαταστῶσιν αὖθις τῇ καθέδρᾳ αὐτῶν οἱ τοιοῦτοι ἐπίσκοποι.

## Κανὼν ΡΚΒ'.

*Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν ἡ γνώμη ἐξουθενεῖσθαι.*

Ἀπὸ δὲ (1) τῶν δικαστῶν, τῶν κατὰ κοινὴν συναίνεσιν ἐπιλεγέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. Ὁστισδήποτε δὲ ἀποδειχθείη διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρχῆσαι, τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος δώσει γράμματα, ὥστε μηδένα τῶν ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως οὗ πειθαρχήσῃ.

---

ΖΩΝΑΡ. Ἐὰν κατὰ κοινὴν γνώμην οἱ δίκην ἔχοντες πρὸς ἀλλήλους αἱρετίσωνται δικαστάς, οὐκ ἐξέσται αὐτοῖς ἐκκαλεῖσθαι κατὰ τῆς ψήφου αὐτῶν· τοῦτο δὲ καὶ ὁ πολιτικὸς νόμος οὕτω θεσπίζει ἐν βιβλίῳ ζ'. τίτλῳ β'. κεφ. ιθ'. λέγων· Ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ· εἶτα ἐπάγει ὁ κανών· Ὅστις δὲ διὰ μονοτονίαν, ἤγουν ἰσχυρογνωμοσύνην, ἢ ἀναισχυντίαν, οὐ πειθαρχεῖ τοῖς δικασταῖς, ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος ἐντε-

---

(1) Κατὰ δὲ Σ. Ῥ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λεῖται διὰ γραμμάτων τοῖς ἐπισκόποις μὴ συγκοινωνῆσαι αὐτῷ, ἕως οὗ πειθαρχήσῃ.

ΒΑΛΣ. Σαφὴς ὁ κανών· διορίζεται γὰρ, μὴ ἐκκαλεῖσθαί τινα κατὰ τῆς ψήφου τῶν ἐξ ἐπιλογῆς τῶν μερῶν δικαζόντων ἐπισκόπων, τὸν δὲ τοῦτο ποιήσαντα, ἀκοινωνησίᾳ κατακρίνεσθαι παρὰ τοῦ πρωτεύοντος, ἤγουν τοῦ μητροπολίτου. Ταῦτα τοῦ κανόνος διοριζομένου, τινὲς μὲν εἶπον, τοῦτο γίνεσθαι ἀκολούθως τῷ ιθ'. κεφαλαίῳ τοῦ β'. τίτλου τοῦ ζ'. βιβλίου τῷ λέγοντι· Ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ· ἐμοὶ δὲ δοκεῖ, μὴ περὶ τοιούτων αἱρετῶν διδάσκειν τὸν κανόνα· τούτους γὰρ δόσις προστίμου καθίστησι δικαστὰς, ἰδιώτας ὄντας, ἀλλὰ περὶ ἐπισκόπων ἐχόντων δικαιοδοσίαν· εἶναι δὲ ἰδικὸν τοῦτο εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις καὶ μόνας, ὥσπερ καὶ ἄλλα πολλά· οἱ γὰρ πολιτικοὶ νόμοι κατὰ παντὸς δικαστοῦ ἐκκαλεῖσθαι ἐκχωροῦσι, κἂν ἐξ ἐπιλογῆς τῶν μερῶν κατέστη τις δικαστής.

ΑΡΙΣΤ. Ὁ ἐκ τῶν δύο μερῶν αἱρεθεὶς κριτὴς, ἀπαράγραπτος.

Οὔτε ἐπίσκοποι, οὔτε κληρικοὶ κατὰ κοινὴν συναίνεσιν δικαστὰς ἐπισκόπους ἐπιλεξάμενοι, καὶ παρ' αὐτοῖς κριθέντες, κατὰ τῆς ἀποφάσεως αὐτῶν δύνανται ἐκκαλεῖσθαι· καὶ τοῦτο οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις κανόσι τῆς παρούσης συνόδου ὡρίσθη.

## Κανὼν ΡΚΓ'. (ΡΛΒ'.)

*Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως ἐπίσκοπον, στερεῖσθαι τῆς κοινωνίας.*

Ἐὰν ἐν τοῖς ματρικίοις, ἤγουν ἐν ταῖς καθέδραις, ἐπίσκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, ὑπομνησθείη ἀπὸ τῶν γειτνιώντων ἐπιμελῶν ἐπισκόπων, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδία περιφρόνησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν· ἐὰν δὲ, ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ· ἐντὸς μηνῶν ἕξ, ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων εἰς τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν φροντίδα ποιήσηται, τῷ τοιούτῳ μὴ συγκοινωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ. Εἰ δὲ ὁ ἐπεξεργαστὴς εἰς τοὺς αὐ-

τοὺς τόπους μὴ παραγένηται, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ.

---

ΖΩΝΑΡ. Καὶ ἐπισκόπους ἰδίους εἶχον οἱ Δονατισταί, καὶ ματρίκια, ἤγουν ἀπογραφὰς τῶν διαφερόντων ταῖς ἐκκλησίαις αὐτῶν. Λέγει οὖν ὁ κανὼν, ὅτι, ἐὰν ἐπίσκοπος ὀρθόδοξος ἀμελήσῃ ἐκνικῆσαι τὰς καθέδρας τῶν αἱρετικῶν, καὶ τὰ ἐν τοῖς ματρικίοις αὐτῶν, καὶ μὴ φροντίσῃ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἐκκλησίαν ἐπιστραφῆναι, ἵνα ὑπομιμνήσκηται περὶ τούτου ἐκ τῶν γειτόνων ἐπισκόπων, καὶ μετὰ τὴν ὑπόμνησιν, ἐὰν ἐντὸς μηνῶν ἓξ οὐ φροντίσῃ περὶ τῆς ὑποθέσεως ἐκεῖ ἐνδημῶν, ἵνα μὴ συγκοινωνῇ αὐτῷ τις· εἰ δὲ ἐνδημεῖ, φησιν, οὐ πάρεστι δὲ ὁ ἐπεξεργαστὴς, ἤγουν ὁ ἄρχων τῆς χώρας, ὅστις ἐπεξεργάσασθαι δύναται τὴν ὑπόθεσιν, καὶ παραστῆσαι καὶ ἄκοντας τοὺς αἱρετικοὺς ἀπολογησομένους, ἢ ὁ ἐκ βασιλέως δοθεὶς ἴσως εἰς ἐκδίκησιν κατὰ τὸν ϛζʹ. κανόνα, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ εἰς ἀμέλειαν ἡ ὑπέρθεσις, διὰ τὴν ἀπουσίαν τοῦ ἄρχοντος, ἢ τοῦ ἐκδίκου γενομένη.

ΒΑΛΣ. Ἐν τῷ ρκά. κανόνι ἀρκούντως ἐγράψαμεν περὶ τῶν ἀμελούντων ἐπισκόπων τῆς διδασκαλίας τῶν ὑπ᾽ αὐτοὺς λαῶν· περὶ ὧν καὶ ὁ παρὼν κανὼν φησι, προστιθέμενος ἀκολούθως τῷ ἀποστολικῷ κανόνι, ἀφορισμῷ ἀκοινωνησίας καθυποβάλλεσθαι τοὺς μετὰ παραγγελίαν ἀμελοῦντας τοῦ διδάσκειν τοὺς ἐν τοῖς ματρικίοις, ἤγουν τοῖς δικαίοις τῶν καθεδρῶν, ἤτοι τῶν ἐκκλησιῶν αὐτῶν, ὄντας αἱρετικούς. Εἰ δέ, φησιν, ὁ ἐπεξεργαστὴς ἐπιτραπεὶς παρὰ τοῦ ἐπισκόπου κατὰ τόπον ἀφικέσθαι καὶ μετακαλέσασθαι τοὺς αἱρετικοὺς, οὐ ποιήσει τοῦτο, ἀκαταιτίατος ἔσται ὁ ἐπίσκοπος· ἔστι γὰρ καὶ τοῦτο αἰτία εὔλογος ὁποία ἡ τῆς νόσου καὶ αἱ λοιπαί. Ἐπεξεργαστὴς δ᾽ ἐστὶν ἢ ὁ ἐγχώριος ἔξαρχος ὁ ταῦτα οἰκονομῶν, ἢ ὁ ἄρχων τῆς χώρας, ὁ πρὸς ἀνάγκης ἔχων βοηθεῖν τῷ ἐπισκόπῳ ἐν τοῖς τοιούτοις, καὶ μᾶλλον ἢ ὁ ἐγχώριος ἔκδικος ὁ δηλούμενος ἐν τῷ ϛζʹ. κανόνι τῆς παρούσης συνόδου.

ΑΡΙΣΤ. Περιφρονῶν ἐπίσκοπος τὴν ὑπὲρ τῶν αἱρετικῶν ἐπι-

μέλειαν, καὶ ὑπομιμνησκόμενος, εἰ ἐπὶ τῆς ἰδίας διάγοι περιφρονήσεως ἐπὶ ἓξ μῆνας, καὶ μὴ φροντίσει τούτων τῆς ἐπιστροφῆς, ἤτω ἀκοινώνητος.

Ὁ μὲν προγραφεὶς ἑκατοστὸς πρῶτος κανὼν, τὸν καταφρονητικῶς διατεθέντα ἐπίσκοπον περὶ τὴν τῶν αἱρετικῶν διόρθωσιν, καὶ μηδὲ μετὰ τὴν ὑπόμνησιν τῆς τούτων ἐπιστροφῆς ἐπὶ ἓξ μῆνας φροντίσαντα, καταδικάζει εἰς τὸ προσκυρωθῆναι τοὺς τόπους αὐτοῦ ἑτέρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ εἰς τὴν καθολικὴν πίστιν αὐτοὺς μεταστρέψαι· ὁ δὲ παρὼν κανὼν ἀκοινωνησίαν αὐτῷ ἐπάγει, καὶ ἀφωρισμένον εἶναι προστάττει, ἕως οὗ τὸ ἀνῆκον αὐτῷ ἔργον πληρώσῃ. Καὶ δοκεῖ ὁ κανὼν οὗτος οἱονεὶ ἐναντιοῦσθαι τῷ ρκά. κανόνι, ἄλλο παρ' ἐκεῖνον ἐπάγων ἐπιτίμιον τῷ ἐπισκόπῳ, τῷ τῆς ἐπιστροφῆς τῶν αἱρετικῶν ἀμελοῦντι· οὐκ ἔστι δὲ ἐναντίος· ἀλλ' ὅταν μὲν εὑρίσκεται ἐπίσκοπος ἕτερος, τὴν ἐπιμέλειαν αὐτῶν ἀναδεχόμενος, ἀφαιρεθήσεται ὁ καταφρονήσας τῆς σωτηρίας αὐτῶν ἐπίσκοπος, ὅπερ εἶχεν ἐπ' αὐτοῖς ἐπισκοπικὸν δίκαιον, καὶ προσκυρωθήσεται ἐκείνῳ· ὅταν δὲ οὔτε ἄλλος τὴν φροντίδα αὐτῶν ἀναδέχηται, οὔτε αὐτὸς τῆς ἐπιστροφῆς τούτων ἐπιμελῆται, τηνικαῦτα τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ ὑποβληθήσεται. Εἰ δὲ μετὰ τὸν ἀφορισμὸν τῇ τοιαύτῃ ῥαθυμίᾳ ἐπιμένει, καὶ καθαιρεθήσεται, κατὰ τὸν πεντηκοστὸν ὄγδοον κανόνα τῶν ἁγίων Ἀποστόλων.

## Κανὼν ΡΚΔ'. (ΡΛΓ'.)

*Περὶ τῶν τοὺς Δονατιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων.*

Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον περὶ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται συνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι, καὶ τὴν ἐπισκοπὴν ἔτι μὴν ἀπολέσει.

---

ΖΩΝΑΡ. Ἐὰν δὲ αἰτιώμενος, ὅτι μὴ ἐξενίκησε τὰ παρὰ τῶν αἱρετικῶν κατεχόμενα, λέγῃ κοινωνῆσαι τοὺς αἱρετικοὺς τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ διὰ τοῦτο ἀμελῆσαι αὐτὸς τῆς ἐκνι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

χήσεως, ἐλεγχθῇ δὲ ψευδόμενος μὴ κοινωνησάντων τῶν αἱρετικῶν, ἢ κοινωνησάντων μὲν ἴσως, μὴ συνειδήσει δὲ αὐτοῦ, ἀντὶ τοῦ, μὴ εἰδότος αὐτοῦ, μηδὲ σπουδάσαντος, τῆς ἐπισκοπῆς ἐκπεσεῖται, ἤγουν καθαιρεθήσεται.

ΒΑΛΣ. Διορισάμενοι οἱ Πατέρες, ὅπως ὀφείλουσι κολάζεσθαι οἱ ἀμελοῦντες τοῦ ἐπιστρέφειν διὰ διδασκαλίας τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῶν ὄντας αἱρετικοὺς, καὶ προσθέμενοι συγγινώσκεσθαι τοὺς εὐλόγως πρὸς τοῦτο ἐμποδισθέντας, νῦν ἐπάγουσιν, ὡς, ἐάν τινες ἐξ αὐτῶν εἴπωσιν ὁμιλῆσαι διδασκαλικῶς τοῖς οὖσιν ἐν τῇ τούτων ἐνορίᾳ αἱρετικοῖς, καὶ ἀποδειχθῶσι ψευδόμενοι, οὐ μόνον ἀφορισμῷ, ἀλλὰ καὶ καθαιρέσει καθυποβληθήσονται διὰ τὴν ἄκραν αὐτῶν ἀμέλειαν καὶ τὸν δόλον.

ΑΡΙΣΤ. Ὁ εἰπὼν κοινωνικὸν, ὃν οἶδεν ἀκοινώνητον, ἀνεπίσκοπος. Ὅστις ἐπίσκοπος τοὺς Δονατιστὰς οἶδε πρὸς τὴν καθολικὴν ἐκκλησίαν μὴ ὑποστρέψαντας, εἰ συγκοινωνήσει αὐτοῖς, λέγων, πρὸς τὴν ὀρθοδοξίαν μεταστρέψαι αὐτοὺς, ὁ τοιοῦτος ὡς ψευδόμενος περὶ τῆς κοινωνίας αὐτῶν, καὶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἀπατήσας, ἔσται καθῃρημένος.

## Κανὼν ΡΚΕʹ. (ΡΛΔʹ.)

*Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους.*

Ὁμοίως ἤρεσεν, ἵνα πρεσβύτεροι, διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν αἰτίαις, ἐὰν περὶ τῆς ψήφου τοὺς ἰδίους ἐπισκόπους μέμφωνται, οἱ γειτνιῶντες ἐπίσκοποι τούτων ἀκροάσωνται, καὶ τὰ μεταξὺ τούτων περατώσωσιν οἱ παρ' αὐτῶν κατὰ συναίνεσιν τῶν ἰδίων αὐτῶν ἐπισκόπων προσλαμβανόμενοι. Ἐὰν δὲ καὶ ἀπ' αὐτῶν ἐκκαλέσασθαι θελήσωσι, μὴ ἐκκαλέσωνται εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν. Πρὸς δὲ τὰ πέραν τῆς θαλάσσης ὁ βουλόμενος ἐκκαλεῖσθαι, ἀπὸ μηδενὸς ἐν Ἀφρικῇ δεχθείη εἰς κοινωνίαν.

—

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς τῶν ἐκκλησιῶν δίκας ἔχοντας πρὸς ἀλλήλους, παρὰ τοῖς ἐπισκόποις, οἷς ὑπόκεινται, δικάζεσθαι διάφοροι κανόνες ὡρίσαντο. Ὁ δὲ παρὼν κανὼν περὶ ἐκκλήτων θεσμοθετεῖ, καί φησιν, ὅτι, ἐὰν ἀπαρέσκωνται τῇ ψήφῳ τῶν ἐπισκόπων αὐτῶν οἱ παρ' αὐτοῖς δικασάμενοι κληρικοί, οἱ γειτνιῶντες ἐπίσκοποι τούτων ἀκροάσονται, καὶ διαγνωμονήσουσι περὶ τῆς ψήφου, εἰ ἔστιν ἀνεπισφαλής· ἔσονται δὲ ἐκκλητάριοι, οἵτινες ἂν παρὰ τῶν δικαζομένων ἐπιλεγῶσι κατὰ συναίνεσιν τοῦ ἐπισκόπου αὐτῶν· ἐὰν δὲ καὶ ἡ τῶν ἐκκληταρίων ἐπισκόπων ἀπόφασις ἀπαρέσκῃ, παρὰ ταῖς ἐν Ἀφρικῇ συνόδοις δοκιμασθήσεται, καὶ παρὰ τοῖς πρωτεύουσι τῶν ἐπαρχιῶν, ἤγουν τοῖς προκαθημένοις τῶν ἄλλων. Εἰ δέ τις, φησί, βουληθείη πέραν τῆς θαλάσσης ἐκκαλέσασθαι, ἤγουν πρὸς τοὺς τῆς Ἰταλίας ἐπισκόπους, καὶ τὴν ἐκεῖ σύνοδον, ἀκοινώνητος, φησίν, ἤτω παρὰ τῇ συνόδῳ τῆς Ἀφρικῆς.

ΒΑΛΣ. Φασὶν οἱ Πατέρες, ὅτι, ἐὰν οἱοσδήτις κληρικὸς καταδικασθῇ παρὰ τοῦ οἰκείου ἐπισκόπου καὶ βαρύνηται, οὐκ ὀφείλει πρὸς σύνοδον ἑτέρας ἐπαρχίας πορρωτέρω οὖσαν ἐκκαλεῖσθαι· ἀλλ' ἀνακαλεῖσθαι τὴν τῶν γειτνιώντων ἐπισκόπων ἀκρόασιν, μετὰ καὶ συναινέσεως τοῦ καταδικάσαντος αὐτὸν οἰκείου ἐπισκόπου. Ἐὰν δὲ καὶ ἐπὶ τῇ τῶν τοιούτων ἐκκληταρίων ἀποφάσει ἀπαρέσκηται, οὐκ ὀφείλει πρὸς τὰς πέραν τῆς θαλάσσης συνόδους ἐκκαλεῖσθαι, τὰς ἐν Ῥώμῃ δηλαδή, ἀλλὰ πρὸς τὰς ἐγγυτέρω οὔσας, ἤγουν πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν τῶν πρώτως κρινάντων ἐπισκόπων· εἰ δὲ παρὰ ταῦτά τις ποιήσει, ἀφορισμῷ ἀκοινωνησίας κατακριθήσεται. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἀκολούθως τῷ πολιτικῷ νόμῳ καὶ οἱ Πατέρες ἐξεχώρησαν δὶς ἐκκαλεῖσθαι τοὺς καταδικαζομένους. Ἔτι σημείωσαι, ὅτι κατὰ τὸν καιρὸν τῆς παρούσης συνόδου οὐκ εἶχον οἱ μητροπολῖται τοιαῦτα δίκαια κατὰ τῶν ἐπισκόπων αὐτῶν καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, οἷα ἔχουσι σήμερον· ἠδύναντο γὰρ οἱ παρὰ ἐπισκόπων καταδικαζόμενοι κληρικοὶ τὴν τῶν γειτνιαζόντων ἐπισκόπων ἀνακαλεῖσθαι ἀκρόασιν, ὅπερ ἀρτίως οὐ παραδεχθήσεται διὰ τὴν γενομένην

οἰκονομίαν εἰς τὰς τῶν ἐπαρχιῶν μητροπόλεις, κατὰ τὴν δʹ. σύνοδον. Τοῦ δὲ νόμου λέγοντος βλάπτεσθαι τοὺς ἐκκαλεσαμένους εἰς ἀπρόσφορον δικαστὴν, ὁ παρὼν κανὼν τὴν βλάβην εἰς ἀκοινωνησίαν ἐξελάβετο.

**ΑΡΙΣΤ.** Πρεσβύτεροι, καὶ διάκονοι, μεμφόμενοι ἐπισκόπῳ, γείτοσιν ἐπισκόποις ἐκκαλείτωσαν, ἀλλὰ μὴ τὸ πέλαγος διαπεράτωσαν· ἀκοινώνητοι γὰρ ἔσονται ἐν Ἀφρικῇ.

Τοῦτο καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς παρούσης συνόδου ὡρίσθη, τὸ, μή τινα πρεσβύτερον, ἢ διάκονον, παρὰ τοῦ ἰδίου ἐπισκόπου καταδικασθέντα, καὶ τὴν κρίσιν ἐπιμεμφόμενον, καὶ κατὰ ταύτης ἐκκαλεῖσθαι βουλόμενον, τὸ πέλαγος τῆς Ἀφρικῆς διαπερᾷν, καὶ περὶ ταύτης τῇ Ῥώμῃ προσέρχεσθαι, ἀλλὰ τοῖς γείτοσιν ἐκκαλεῖν ἐπισκόποις, καὶ παρ᾿ αὐτοῖς γυμνάζειν τὴν ἔκκλητον· εἰ δὲ μὴ, ἀκοινώνητον εἶναι ἐν Ἀφρικῇ. Τοῦτο δὲ ἐκωλύθη, ὡς οἶμαι, διά τε τοὺς κατὰ θάλασσαν κινδύνους, καὶ τὸ μὴ συντριβὰς ὑφίστασθαι καὶ καινοτομίας τὰ μέρη διὰ τὴν ἐπὶ ξένης μακρὰν ἀποδημίαν.

## Κανὼν ΡΚϚʹ. (ΡΛΕʹ.)

*Περὶ παρθένων μικρῶν ἔτι μὴν καλυπτέων.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὁστισδήποτε τῶν ἐπισκόπων, δι᾿ ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε ἢ ἐραστὴς δυνατὸς, ἢ ἅρπαξ τίς ἐστιν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου κινδύνου αὕτη αἴσθηται (1) νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, καλύψῃ παρθένον, ἢ ἐκάλυψεν, ἐντὸς χείρας ἐνιαυτῶν εἰκοσιπέντε, μηδὲν τὸν τοιοῦτον βλάψῃ ἡ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν ἐνιαυτῶν(2) κατασταθεῖσα σύνοδος.

---

**ΖΩΝΑΡ.** Ἐν ἕκτῳ κανόνι τῆς συνόδου ταύτης ὥρισται, καθιέρωσιν κορῶν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι, καὶ ἐν μδʹ.

(1) Π. Χ. Τρ. — ἔσηται — (2) τῶν ἐτῶν Χ. Τρ.

, ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίζονται, ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ, αὐτοῦ ἀπόντος, τῇ τοῦ πρεσβυτέρου προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι· ἔθος γὰρ ἦν προσάγεσθαι ταῖς ἐκκλησίαις κόρας, καὶ καθιεροῦσθαι, ἀντὶ τοῦ, ἀνατίθεσθαι τῷ Θεῷ, ὑπισχνουμένας παρθενεύειν, ὥστε ἐν τῇ ἁρμοδίᾳ ἡλικίᾳ καὶ διακονίσσας χειροτονεῖσθαι αὐτάς. Εἰ οὖν τοιαύτης παρθένου ἀνατεθειμένης Θεῷ ἠράσθη τις δυνατὸς, ἢ ὑποψία ἦν ἁρπαγῆναι αὐτὴν παρά τινος ἀκολάστου, καὶ κίνδυνος ἐπήρτητο τῇ σωφροσύνῃ αὐτῆς, ἢ θανεῖν ἐκινδύνευε, καὶ ἐδέετο ἐκείνη τε καὶ οἱ προσήκοντες αὐτῇ, μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι αὐτὴν, ἄδεια ἐδόθη τοῖς ἐπισκόποις καλύπτειν τὴν παρθένον, ἤγουν τὸ σχῆμα αὐτὴν ἐνδύειν καὶ πρὸ τοῦ κέ. ἐνιαυτοῦ, ἵνα ἢ τοὺς ἀκολάστους ἐκφύγῃ, ὡς τελεσθεῖσα, ἢ μὴ τῆς παρούσης ἀτέλεστος ἐξέλθῃ ζωῆς, καὶ μὴ βλάπτεσθαι τοὺς ἐπισκόπους ἐκ τοῦ μὴ τηρηθῆναι τὸν καιρὸν, ὃν περὶ τῶν τοιούτων παρθένων ἡ σύνοδος ὥρισε.

ΒΑΛΣ. Καθιεροῦσθαι μὲν παρθένους διαλαμβάνει ὁ ἕκτος κανὼν τῆς παρούσης συνόδου καὶ ὁ μδ΄, ὥστε ἐν τῇ ἁρμοδίᾳ ἡλικίᾳ καὶ διακονίσσας καθίστασθαι αὐτάς· μετασχηματίζεσθαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος μανθάνομεν μετὰ τὸν κέ. ἐνιαυτόν. Φασὶ γὰρ οἱ Πατέρες, ἵνα, ἐὰν **ἐπίσκοπος ἢ ἐκάλυψε**, τουτέστι μετεσχημάτισε, **παρθένον ἀνατεθεῖσαν Θεῷ, ἢ καλύψῃ** πρὸ τῆς κείρας, ἤγουν πρὸ τῆς ἡλικίας τῶν κέ. ἐνιαυτῶν, (τυχὸν γὰρ ἐπεβουλεύσατο τῇ σωφροσύνῃ ταύτης ἐραστὴς δυνατὸς, ἢ ὑπωπτεύετο ἁρπαγῆναι παρά τινος ἐρωτομανοῦντος, ἢ ὑπὸ θανατηφόρου νόσου κατασχεθεῖσα ἠλπίζετο καταλῦσαι τὸ βίον, καὶ ἵνα μὴ ἀτελείωτος διαμείνῃ, παράκλησις γέγονε παρὰ τῶν γονέων αὐτῆς, ἢ τῶν ἄλλως τὰ κατ᾽ αὐτὴν οἰκονομούντων, μὴ στερηθῆναι ταύτην τοῦ ἁγίου σχήματος· καὶ διὰ τὰς τοιαύτας εὐλόγους αἰτίας καὶ πρὸ τοῦ νενομισμένου (1) καιροῦ μετεσχημάτισε ταύτην,) κατὰ μηδὲν προκριματισθῇ παρὰ τῇ ὀφειλούσῃ τηρῆσαι συνόδῳ τὰ τῆς τοιαύτης ὑποθέσεως, ὡς τάχα πρὸ τῆς συμπληρώσεως τῶν κέ. ἐνιαυτῶν μετασχηματίσας τὴν

(1) ὁμολογουμένου Ἐ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

κόρην, καὶ παραβάτης τῶν κανόνων λογιζόμενος. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὸν μ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ κατ' ἐκεῖνον λέγε μετασχηματίζεσθαι τοὺς προσερχομένους τῷ Θεῷ, κἂν ἄνδρες ὦσι, κἂν γυναῖκες, ἤγουν μετὰ τὸν δεκαετῆ χρόνον· μεταγενέστερος γάρ ἐστι τῆς τε παρούσης συνόδου, καὶ τῶν κανόνων τοῦ ἁγίου Βασιλείου. Εἰ δὲ θέλεις κρατεῖν τὸν παρόντα κανόνα, εἰς τὸ μὴ προκριματίζεσθαι τοὺς ἐπισκόπους διὰ εὔλογον αἰτίαν μετασχηματίζοντάς τινας καὶ πρὸ τοῦ δεκαετοῦς χρόνου, ὁ κωλύσων οὐδείς. Σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἐφεῖταί τις μετασχηματίζειν ἀνθρώπους χωρὶς προτροπῆς ἐπισκοπικῆς.

ΑΡΙΣΤ. Ὅστις ἐκάλυψεν, ἢ καλύψοι παρθένον πρὸ εἰκοσιπέντε ἐνιαυτῶν, τουτέστι, σχῆμα περιέβαλεν, ἢ περιβάλοι δι' ἀνάγκην, οἷον ἐραστὴν δυνατὸν, ἢ ἅρπαγα, ἢ θανατηφόρον νόσον, παρακαλούντων οἷς αὐτῆς μέλει, οὐδὲν ὑπὸ τῆς περὶ τούτου τοῦ ἐνιαυτοῦ συνόδου βλαβήσεται.

Ὁ μὲν ὀκτωκαιδέκατος κανὼν τοῦ μεγάλου Βασιλείου, περὶ τῆς προσαγούσης ἑαυτὴν τῷ Κυρίῳ, καὶ ἀποταττομένης τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμώσης βίον, διαλαμβάνει, καὶ προστάττει μὴ παραδέχεσθαι, εἰ μὴ ὑπὲρ τὰ δεκαὲξ, ἢ καὶ δεκαεπτὰ ἔτη γένηται· τὰς γὰρ παιδικὰς φωνὰς ἐπὶ τῶν τοιούτων βεβαίας οὐκ ἐπιτρέπει λογίζεσθαι. Ὁ δὲ παρὼν κανὼν, περὶ τῆς ἤδη προσελθούσης, καὶ τῷ γάμῳ ἀποταξαμένης, καὶ τὴν παρθενίαν ἐπαγγελλομένης διαγορεύει, καὶ διατάττεται, κατὰ μηδέν τι βλάπτεσθαι τὸν ἐπίσκοπον, εἰ τὴν οὕτω προσαγαγοῦσαν ἑαυτὴν τῷ Θεῷ περιβάλει τὸ σχῆμα πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν, καὶ συγκαλύψει αὐτὴν τῷ ἱερατικῷ τούτῳ κόσμῳ, διὰ ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης· τυχὸν γὰρ δυνατός τις ἔσχεν ἔρωτα εἰς αὐτὴν, καὶ συναλλάξαι γαμικὸν ἐβουλεύσατο συνοικέσιον· ἢ ἕτερός τις ἅρπαξ ἠβουλήθη ἁρπάσαι αὐτὴν, καὶ διὰ τὸ μὴ προφασίσασθαι αὐτοὺς εἰς ἐκπλήρωσιν τῆς ἰδίας ἐπιθυμίας τὸ ἔτι ἀσχημάτιστον μένειν, καὶ ἄδηλον εἶναι λέγειν, εἰ ἀνετέθη τῷ Θεῷ, ἔσπευσεν ὁ ἐπίσκοπος συγκαλύψαι αὐτὴν τῷ ἱερατικῷ ἀμφιάσματι, ἵνα μή τις ἔχῃ πρὸς ἀπολογίαν καταφυγὴν, καὶ ἄρνησιν τοῦ μὴ νύμφην αὐτὴν γενέσθαι

θεοῦ· ἢ πολλάκις καὶ ἐτελεύτα, καὶ συγγενεῖς αὐτῆς παρεκάλεσαν τὸν ἐπίσκοπον καὶ πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν τελειωθῆναι, ἵνα μὴ ἀπέλθῃ χωρὶς τοῦ σχήματος.

## Κανὼν ΡΚΖ'. (ΡΛϚ'.)

*Διὰ τὸ μὴ τοὺς ἐπισκόπους ἐπὶ πολὺ ἐν τῇ συνόδῳ κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ τρεῖς ἐπιλέξωνται δικαστάς.*

Ὁμοίως ἤρεσε πάσῃ τῇ συνόδῳ, διὰ τὸ μὴ ἐπὶ πολὺ τοὺς πρὸς τὴν σύνοδον συναχθέντας ἐπισκόπους σύμπαντας κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ τρεῖς ἐπιλεγῆναι δικαστάς (1). Καὶ ἐπελέγησαν, ἐκ τῆς ἐν Καρχηδόνι ἐκκλησίας, Βικέντιος, Φουρτουνατιανὸς, καὶ Κλάρος· ἐκ τῆς Νουμιδικῆς ἐπαρχίας, Ἀλύπιος, Αὐγουστῖνος, καὶ Ῥεστιτοῦτος· ἐκ τῆς Βυζακηνῆς ἐπαρχίας, μετὰ τοῦ ἁγιωτάτου γέροντος Δονατιανοῦ τοῦ πρωτεύοντος, Κρεσκώνιος, Ἰουκοῦνδος, καὶ Αἰμιλιανός· ἐκ τῆς Μαυριτανίας Σιτιφένσης, Σεβηριανὸς, Ἀσιατικὸς, καὶ Δονάτος· ἐκ τῆς Τριπολιτανῆς ἐπαρχίας, Πλαύτιος, ὁ κατὰ τὸ ἔθος εἰς τοποτηρησίαν πεμφθείς· οἵ τινες πάντες μετὰ τοῦ ἁγιωτάτου γέροντος Αὐρηλίου σύμπαντα σκοπήσουσιν· ἀφ' οὗ ᾔτησε σύμπασα ἡ σύνοδος, ἵνα πᾶσιν εἴτε πεπραγμένοις τοῖς ἤδη ἐκτελεσθεῖσιν, εἴτε ἐπιστολαῖς, αὐτὸς ὑπογράψῃ. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

---

ΖΩΝΑΡ. Ἐν τῇ συνελεύσει ταύτῃ χρονοτριβησάντων τῶν ἀθροισθέντων ἐπισκόπων, ἔτι δέ τινων λοιπαζομένων ζητημάτων, καὶ ἐξετασθῆναι μελλόντων, ἵνα μὴ καὶ ἔτι κατέχωνται, καὶ χρονίσωσιν ἐπὶ πλέον, ἔδοξεν ἐξ ἑκάστης ἐπαρχίας τρεῖς ἐπιλεγῆναι προσμενοῦντας, τοὺς δὲ λοιποὺς ἀπελθεῖν· τοὺς δ' ἐπι-

(1) ἐνταῦθα λήγει ὁ Κανὼν ἐν Π,

λεγέντας μετὰ τοῦ Αὐρηλίου σκοπῆσαι σύμπαντα καὶ οἰκονομῆσαι.

ΑΡΙΣΤ. Ἐπὶ πολὺ μὴ δυναμένων περιμένειν τῶν εἰς τὴν σύνοδον ἐληλυθότων ἐπισκόπων, ἀνὰ τρεῖς ἐξ ἑκάστης ἐπαρχίας ἐπιλεγῶσι.

Πολλῶν προτεθέντων κανονικῶν ζητημάτων, καὶ μήπω πάντων λυθέντων, ἤρεσε τῇ συνόδῳ, μὴ πάντας τοὺς συναθροισθέντας ἐν αὐτῇ ἐπισκόπους καὶ ἔτι προσκαρτερεῖν, διὰ τὸ ἱκανὸν ἤδη παραῤῥυῆναι καιρόν· ἀλλὰ ἀνὰ τρεῖς ἀφ' ἑκάστης ἐπαρχίας ἐπιλεγῆναι, καὶ συνάμα τῷ Αὐρηλίῳ, τῷ ἐπισκόπῳ τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τὰ λείποντα περατῶσαι.

*Πάλιν ἐν ταύτῃ τῇ συνόδῳ παρῆν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἡ τοποτηρησία.*

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν αὐγούστων, τῇ πρὸ τριῶν καλανδῶν Ἰουνίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ῥεστιτούτης ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου, ἅμα Φαυστίνῳ Πικένου τῆς Ποτεντινῆς ἐκκλησίας τῆς Ἰταλῶν χώρας, τοποτηρητῇ τῆς Ῥωμαϊκῆς ἐκκλησίας· Βικεντίῳ Κουλουσιτανῷ, Φορτουνατιανῷ Νεαπολίτῃ, Μαυριανῷ Οὐζιππαρενσιώτῃ, Ἀδεωδάτῳ Σιμηδικίτῃ, Πενταδίῳ Καρπιτανῷ, Ῥουφινιανῷ Μουζουενσιανῷ, Πραιτεξτάτῳ Σικηλιβενσιώτῃ, Κουοδδουλτδέῳ Οὐκρενσιανῷ, Κανδίδῳ Ἀββιριτανῷ, Γαλλωνίῳ Οὐτικενσιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Ἀνθυπατιανῆς χώρας· Ἀλυπίῳ Θαγαβενσινῷ, Αὐγουστίνῳ Ἱππωνηρεγιανῷ, Ποσσειδίῳ Καλαμενσινῷ, τοῖς τοποτηρηταῖς τῆς Νουμιδικῆς χώρας· Μαξιμιανῷ Ἀκυρεγενσιώτῃ, Ἰουκούνδῳ Σουφφετουλενσιανῷ, Μαξιμιανῷ ἐκ τοῦ αὐτοῦ, καὶ Ἱλαριανῷ τῷ ἀπὸ Ὀῤῥεοκελίων, τοῖς τοποτηρηταῖς τῆς Βυζακηνῆς χώρας· Νοβάτῳ Σιτιφενσιώτῃ, καὶ Λέοντι Ὀπτενσιανῷ, τοῖς τοποτηρηταῖς τῆς Μαυριτανῶν χώρας τῆς Σιτιφένσης· Νινέλλῳ Ῥουσσουρπενσιανῷ, Λαυρεντίῳ Ἰκοσιτανῷ, καὶ Νουμεριανῷ Ῥουσουγουνιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Καισαρειανῆς Μαυριτανῶν χώρας, ἐκ πάσης τῆς συνόδου κριταῖς ἐπιλεγεῖσι, παρεστώτων τῶν διακόνων, προκαθίσαντος· καὶ τινων ἐξανυσθέντων, πολλῶν δὲ ἐπισκόπων ἐπὶ τοῖς λοιποῖς ἐξανυσθησομένοις παρέλ-

ἱκειν ὀδυρομένων, καὶ ὑποφέρειν μὴ δυναμένων, διὰ τὸ πρὸς τὰς ἰδίας ἐπείγεσθαι ἐκκλησίας, ἤρεσε συμπάσῃ τῇ συνόδῳ, ὥστε ἀπὸ πάντων ἐπιλεγῆναι ἐκ μιᾶς ἑκάστης ἐπαρχίας τοὺς ὀφείλοντας ἀποκαθίσαι χάριν τοῦ τὰ λοιπὰ περατῶσαι· καὶ ἐγένετο, ὥστε παρεῖναι, ὧν ὑπογραφαὶ τὴν αὐτῶν παρουσίαν μαρτύρονται.

## Κανὼν ΡΚΗ'. (ΡΛΖ'.)

*Ὅτι οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν οὐκ ὀφείλουσι προσδεχθῆναι.*

Ἤρεσε τοίνυν πᾶσιν, ἐπειδὴ τοῖς ἀνωτέροις τῶν συνόδων ψηφίσμασι περὶ προσώπων κληρικῶν, τῶν ὀφειλόντων (1) εἰς κατηγορίαν προσδεχθῆναι ὡρίσθη, καὶ οὐκ ἐπεξεργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσι, διὰ τοῦτο ὁρίζομεν τοῦτον ὀρθῶς πρὸς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὅστις μετὰ τὸ ἀπὸ κοινωνίας γενέσθαι, ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς ὁ (2) κατηγορῆσαι βουλόμενος.

—

ΖΩΝΑΡ. Οὐ πᾶσιν ἐνδέδοται κατηγορεῖν ἐπισκόπων ἢ κληρικῶν, ἀλλὰ τοῖς ὀρθοδόξοις καὶ ἀνεπιλήπτοις, καὶ μήτε ἀκοινωνήτοις, μήτε ὑπὸ κατηγορίαν ἐγκληματικὴν οὖσι, κατὰ τὸν ς'. κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, ὃς πλατύτερον περὶ κατηγοριῶν τοιούτων διαλαμβάνει. Ὁ δέ γε παρὼν κανὼν περὶ μόνων ἀφωρισμένων διορίζεται, ὥστε, εἰ μὴ τοῦ ἀφορισμοῦ λυθῶσι, μὴ δύνασθαι ἑτέρων κατηγορεῖν, κἂν κληρικοὶ εἶεν οἱ κατηγοροῦντες, κἂν λαϊκοί. Εἰ δὲ ἀκοινώνητοι κατηγορεῖν οὐ δύνανται, πολλῷ μᾶλλον οἱ τέλεον ἐκβεβλημένοι τῆς ἐκκλησίας, καὶ οἱ αἱρετικοί, καὶ οἱ σχισματικοί. Ζητητέον δὲ καὶ τὰ γραφέντα εἰς τὸν εἰρημένον ἕκτον κανόνα τῆς δευτέρας συνόδου.

ΒΑΛΣ. Ὁ ἕκτος κανὼν τῆς οἰκουμενικῆς δευτέρας συνόδου πλατύτερον διαλαμβάνει, τίνες εἰσὶ παραδεκτέοι εἰς κατηγορίαν ἐπισκόπου· ὁ γὰρ παρὼν κανὼν περὶ μόνων φησὶ τῶν ἀφωρι-

(1) Ἰουστ. καὶ Βρ. λατιν. — τῶν μὴ ὀφειλόντων, ἐσφαλμένως Π. Βευερ. Κ. Ἑ. Κ. Τρ. καὶ Σ. Ρ. — (2) ὁ κατηγορηθεὶς ἢ ὁ κατηγορῆσαι βουλόμενος Χ. Τρ.

σμένων ἐνιστώντων κατηγορίαν κατά τινος· ἀνάγνωθι οὖν τὸν ῥηθέντα κανόνα.

ΑΡΙΣΤ. Οὐ μαρτυρεῖ ὁ ἀφωρισμένος.

Ἀνεπίληπτον δεῖ εἶναι τὸν μαρτυροῦντα· διὰ τοῦτο οὖν οὔτε κληρικὸς, οὔτε λαϊκὸς ἀφωρισμένος, κατὰ ἐπισκόπου, ἢ κληρικοῦ, εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν παραδεχθήσεται.

## Κανὼν ΡΚΘ'. (ΡΛΗ'.)

*Ὅτι δοῦλοι, καὶ ἀπελεύθεροι, καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα, κατηγορεῖν οὐκ ὀφείλουσιν.*

Ὁμοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι, καὶ οἱ ἴδιοι ἀπελεύθεροι εἰς κατηγορίαν μὴ προσδεχθῶσι· καὶ πάντες οὓς πρὸς κατηγορητέα ἐγκλήματα οἱ δημόσιοι νόμοι οὐ προσδέχονται· πάντες ἔτι μὴν οἱ τοῖς τῆς ἀτιμίας σπίλοις ἐῤῥαντισμένοι, τουτέστι μῖμοι, καὶ ὅσα ταῖς αἰσχρότησιν ὑποβέβληνται πρόσωπα· αἱρετικοὶ ἔτι μὴν, εἴτε ἕλληνες, εἴτε Ἰουδαῖοι· πλὴν ὅμως πᾶσιν, οἷς ἡ τοιαύτη κατηγορία ἀρνεῖται, ἐν ταῖς ἰδίαις αἰτίαις τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

—

ΖΩΝΑΡ. Οἱ δοῦλοι τοῖς νόμοις ἀπρόσδεκτοί εἰσιν εἰς τὸ ἐνάγειν ἢ μαρτυρεῖν, καὶ εἰς ἕτερα· οἱ δὲ ἀπελεύθεροι, κατὰ μὲν ἄλλων δύνανται ἐνάγειν καὶ ἐγκληματικῶς, κατὰ δὲ τῶν ἐλευθερωτῶν αὐτῶν, ἢ τῶν παίδων αὐτῶν, ἢ τῶν κληρονόμων τῶν ἐχόντων κατ' αὐτῶν πατρωνικὰ δίκαια οὐ δύνανται· ἡ πατρωνία δὲ Ῥωμαϊκὴ οὖσα λέξις, καὶ ἐξελληνιζομένη, προστασία νοεῖται. Οὔτε οὖν δούλους δέχεται κατηγορεῖν ἐπισκόπων καὶ κληρικῶν ὁ κανὼν, οὔτε ἀπελευθέρους ἰδίους τῶν κατηγορουμένων, οὔτε τινὰς ἄλλους, οὓς οἱ πολιτικοὶ νόμοι κατηγορεῖν κωλύουσιν ἐπ' ἐγκλήμασιν, οὔτε ἀτίμους, οἷον μίμους, καὶ θηριομάχους, ἢ μονομάχους. Διὰ δὲ τῶν μίμων, τοὺς σκηνικοὺς πάντας ἐδήλωσεν, ὧν οἱ μὲν εἰωθότες ἐνώπιον τοῦ βασιλέως τὰ ἑαυτῶν ἐνδείκνυσθαι ἐπιτηδεύματα ἔντιμοι τοῖς νόμοις λογίζονται,

οἱ δὲ ἐν πανηγύρεσι καὶ δημοτικαῖς συνελεύσεσι παίζοντες ἄτιμοι κρίνονται. Ὁμοίως καὶ οἱ θηριομάχοι, οἳ καὶ κυνηγοὶ ὀνομάζονται, καὶ οἱ μονομαχοῦντες, εἰ μὲν δι' ἐπίδειξιν ἀνδρείας καὶ δόξης ἔρωτα θηριομαχοῦσιν, ἢ μονομαχοῦσιν, ἐπίτιμοί εἰσιν, εἰ δὲ διὰ μισθὸν, ἄτιμοι· ὁ γὰρ τῆς οἰκείας ζωῆς μὴ φειδόμενος, ἀλλὰ μισθοῦ προδιδοὺς αὐτὴν, καὶ θανάτου διὰ κέρδος καταφρονῶν, πῶς ἂν τῆς οἰκείας φείσεται ὑπολήψεως; Ἀλλ' οὐδὲ αἱρετικοῖς ἢ ἀπίστοις δίδωσι κατηγορεῖν. Εἰ δὲ ἰδίας οἱ τοιοῦτοι αἰτίας ἔχουσι, καὶ περὶ τούτων ἐνάγουσι, προσδεχθήσονται, κἂν κατ' ἐπισκόπων, ἢ κληρικῶν ἐνάγωσι. Τὰ αὐτὰ δὲ διορίζεται καὶ ὁ ἕκτος κανὼν τῆς δευτέρας συνόδου· ἀναγνωστέον καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἀπὸ τῶν ἐν τῷ ς'. κανόνι τῆς δευτέρας συνόδου γεγραμμένων σαφηνίζεται· διαλαμβάνει γὰρ, μὴ δύνασθαι δούλους, καὶ ἀτίμους, καὶ αἱρετικοὺς, καὶ πάντας ἁπλῶς οὓς καὶ οἱ νόμοι κωλύουσιν ἐγκληματικὰ δικαστήρια ἐνιστᾷν, καὶ κατηγορεῖν ἱερωμένων· πλὴν, φησιν, οὗτοι πάντες οἰκεῖον διαφέρον ἔχοντες, οὐ κωλυθήσονται κινεῖν ἐγκληματικὰ δικαστήρια κατὰ ἐπισκόπων καὶ κληρικῶν· ὥστε τὰ μὴ αὐτοῖς διαφέροντα ἐγκλήματα, ἤγουν τὰ δημόσια, παρὰ παντὸς δὲ κινεῖσθαι δυνάμενα, οἱ τοιοῦτοι γυμνάζειν κεκώλυνται· καὶ σημείωσαι τοῦτο. Ἐπεὶ δὲ καὶ ἀπελευθέρων μέμνηται ὁ κανὼν, γίνωσκε, ὅτι οἱ ἀπελεύθεροι, κατὰ ἄλλων μὲν ἐγκληματικὸν δικαστήριον ἐνιστᾷν δύνανται, κατὰ δὲ τῶν ἐλευθερωσάντων αὐτοὺς, καὶ τῶν λεγομένων πατρώνων, ἐνιστᾷν οὐ δύνανται· καὶ ἀνάγνωθι τὸ ή. θ'. ί. ιά. κεφ. τοῦ λδ'. τίτλου τοῦ ξ'. βιβλίου, καὶ μάθῃς τίνες εἰσὶν οἱ κωλυόμενοι κινεῖν ἐγκληματικὰ δικαστήρια, καὶ πῶς οἱ ἀπελεύθεροι περὶ τοιούτων κατὰ τῶν οἰκείων πατρώνων οὐκ ἐνάγουσι· φασὶ γάρ· Χωρὶς τῶν κεκωλυμένων οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. Κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικίαν, ὡς γυνὴ, καὶ ἄνηβος, καὶ ἄλλοι, ὡς ἐνόπλως στρατευόμενοι, ἄλλοι, ὡς ἄρχοντες. ἄλλοι, ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς, καὶ λαμβάνοντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, καὶ οἱ δύο κατηγορίας καθ' ἑτέρων ἐγγραψάμενοι· ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν ὡς ἀπελεύθεροι τῶν πατρώνων· ἄλλοι

δι' ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες, ἄλλοι διὰ πενίαν, ὡς μὴ ἔχοντες πεντήκοντα νομισμάτων οὐσίαν. Οὗτοι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον συγγενῶν ἐκδικεῖν δύνανται. Παῖδες δὲ καὶ ἀπελεύθεροι, βιαίως νομῆς ἐκβληθέντες παρὰ τοῦ πατρὸς, ἢ τοῦ πάτρωνος, τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν, εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσι· καὶ ὁ υἱὸς γὰρ κατὰ μητρὸς περὶ ὑποβολιμαίου κινεῖ, διὰ τὸ μὴ σχεῖν αὐτὸν συγκληρονόμον, οὐ μὴν τὸ περὶ πλαστογραφίας. Μίμους μέν τοι ἐκείνους λέγε, τοὺς προσωπεῖα ὑποδυομένους, δούλων τυχὸν, ἢ καὶ γυναικῶν, καὶ μὴ πάντας τοὺς τῆς θυμέλης· ἐκεῖνοι γὰρ, οἱ τὰ μουσικὰ ὄργανα μεταχειριζόμενοι, ἔντιμοι εἰσίν. Αἰσχρότησι δὲ ὑποβέβληνται κατὰ τὸν κανόνα οἱ προαγωγοὶ, οἱ πορνευουσῶν προϊστάμενοι, καὶ ἕτεροι τοιοῦτοι. Ἄτιμοι δέ εἰσι, σὺν ἄλλοις, καὶ οἱ θηριομάχοι, οἱ μισθὸν λαμβάνοντες χάριν τοῦ πολεμῆσαι θηρίον, καὶ διὰ κέρδος τὴν οἰκείαν προδιδόντες ζωὴν, οὐ μὴν οἱ δι' ἐπίδειξιν ἀνδρείας θηριομαχοῦντες· οὐ γὰρ ἡ πρᾶξις, ἀλλ' ἡ προαίρεσις ἐνταῦθα κολάζεται· ὅτι καὶ βασιλεῖς θηριομαχοῦσιν.

ΑΡΙΣΤ. Καὶ ὁ δοῦλος, καὶ ὁ ἀπελεύθερος, καὶ ὁ προκατηγορηθεὶς ἐπί τι τῶν οὐ προσδεχομένων τῷ δημοσίῳ [δικαστηρίῳ], καὶ ὁ μῖμος, καὶ ὁ ἕλλην, καὶ ὁ αἱρετικὸς, καὶ ὁ Ἰουδαῖος.

Οὐ δεῖ ἀνεξετάστως τὰς κατ' ἐπισκόπων, ἢ κληρικῶν, κατηγορίας ἢ μαρτυρίας προσδέχεσθαι, ἀλλ' ἀνακρίνειν τοὺς κατηγοροῦντας, ἢ μαρτυροῦντας, ὁποῖοί εἰσι, κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Κωνσταντινουπόλει συνόδου. Καὶ εἰ μὲν τὸν βίον ἔχουσιν ἄμεμπτον, καὶ τὴν θρησκείαν ὀρθόδοξον, προσίεσθαι αὐτούς· εἰ δὲ ἢ δοῦλοί εἰσιν, (οὗτοι γὰρ καὶ ἀπὸ τῶν πολιτικῶν νόμων οὐδὲ καθ' οἱουδήτινος ἐγκληματικῶς, ἢ χρηματικῶς, ἐνάγειν ἢ μαρτυρεῖν δύνανται·) ἢ ἀπελεύθεροι ἴδιοι τοῦ κατηγορουμένου, (κωλύονται γὰρ καὶ οὗτοι ἀπὸ νόμων κατὰ τῶν ἐλευθερωσάντων αὐτοὺς ἐπ' ἐγκλήμασι μαρτυρεῖν, διὰ τὸ ἀπαιτεῖσθαι, τιμίους καὶ ἁγίους τοὺς πάτρωνας αὐτῶν, ἤτοι τοὺς ἐλευθερωτὰς, λογίζεσθαι·) ἢ προκατηγορηθέντες, καὶ μὴ προφανέντες ἀνεύθυνοι, ἢ ἐν δημοσίῳ κατακριθέντες δικαστηρίῳ, καὶ μήπω ἀπὸ βασιλικῆς εὐεργεσίας εἰς τὴν οἰκείαν ἐπιτιμίαν

ἀποκαταστάντες, ἢ τὸν βίον ἐφύβριστον ἔχοντες, ὡς μῖμοι, καὶ σκηνικοί· ἢ τῆς ἡμετέρας θρησκείας ὄντες ἀλλότριοι, ὡς Ἰουδαῖοι, αἱρετικοί τε, καὶ ἕλληνες· οὐ παραδεχθήσονται εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν ἐπισκόπων, ἢ κληρικῶν, διὰ τὸ μηδέν τι αὐτοὺς ἕτερον σπεύδειν, ἢ μῶμον καὶ σπῖλον ταῖς ὑπολήψεσι προσάπτειν τῶν ἱερέων, καὶ ταραχὰς ἐπάγειν τῇ ἐκκλησίᾳ.

## Κανὼν ΡΛ΄. (ΡΛΘ΄.)

*Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, πρὸς ἕτερον μὴ εἰσδεχθῇ.*

Ὁμοίως ἤρεσεν, ἵνα, ὁσακιςδήποτε κληρικοῖς ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ὑποβάλλονται, καὶ ἓν ἐξ αὐτῶν, περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ προσδεχθῶσι.

---

**ΖΩΝΑΡ.** Ἐὰν διάφορά τις ἐγκλήματα προθήσῃ κατὰ κληρικοῦ ἢ ἐπισκόπου, καὶ ἓν ἐξ αὐτῶν εἰς πρᾶξιν, ἤτοι ζήτησιν καὶ ἐξέτασιν προτεθῇ, καὶ μὴ ἀποδειχθῇ, ἀλλ᾽ ἀναπόδεικτον μείνῃ, ἐπὶ τοῖς λοιποῖς τὸν κατήγορον ἀπρόσδεκτον εἶναι διορίζεται ὁ κανών.

**ΒΑΛΣ.** Ἐνεστήσατό τις διάφορα ἐγκλήματα κατά τινος ἱερωμένου, καὶ ἐγύμνασεν ἐκ τῶν πολλῶν ἕν· μὴ δυνηθεὶς δὲ τοῦτο ἀποδεῖξαι, ἠβούλετο γυμνάσαι τὰ λοιπά. Φησὶν οὖν ὁ κανὼν, ὅτι ὁ τοιοῦτος ἀπαράδεκτός ἐστι, ζητῶν κατεξετασθῆναί τι ἕτερον ἀφ᾽ ὧν προέθετο. Καὶ εἰκότως τοῦτο παρὰ τῶν Πατέρων ὡρίσθη· ὁ γὰρ μὴ ἀποδείξας ὃ προέθετο πρῶτον ἔγκλημα, κἀντεῦθεν καταδικασθεὶς, ἢ ἔφθασε δοῦναι ἐγγραφὰς, καὶ ὑφίσταται τὰ τῆς ταυτοπαθείας, ἤγουν ἀτιμοῦται, καὶ τὰ λοιπὰ πάσχει ὅσα καὶ ὁ κατηγορηθεὶς ἔμελλε παθεῖν, εἰ δ᾽ ἂν κατεδικάσθη, καὶ διὰ τοῦτο γυμνάζειν ἐγκληματικὸν δικαστήριον οὐ δύναται, ἤδη ἀτιμωθείς· ἢ οὐκ ἔφθασε δοῦναι ἐγγραφὰς, καὶ πάλιν ἀτιμοῦται ὡς συκοφάντης. Πλὴν τοῦτό τε καὶ ὁ παρὼν κανὼν χώραν ἔχει, ὡς οἶμαι, ὅταν ὁ δικάζων ἀποφήνηται, κατὰ συκοφαντίαν προτεθῆναι παρὰ τοῦ καταδικασθέντος

τὸ πρώτως λαληθὲν ἔγκλημα· εἰ γὰρ διαγνωσθῇ, ὅτι οὐκ ἀπεδείχθη, ἐπεὶ οὐκ ἀτιμοῦται ὁ καταδικασθεὶς, καλῶς ἵνα γυμνάσῃ καὶ ἕτερον ἔγκλημα ἀφ᾽ ὧν προέθετο. Καὶ ἀνάγνωθι κεφ. ι. τοῦ πρώτου τίτλου τοῦ ξ'. βιβλίου, λέγον· Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται, καὶ τριπλῶς ἡ ἐπεξέλευσις· ἢ γὰρ συκοφαντεῖ τις ὡς πλαστῶς κατηγορῶν, ἢ προδότης τῆς ἰδίας ὑποθέσεως γίνεται, τὰ ἀληθῆ ἐγκλήματα κρύπτων, ἢ φυγοδικεῖ, τελείως ἀναχωρῶν τῆς κατηγορίας. Οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ὅπερ κατηγόρησεν, ἀλλ᾽ ἐν τῇ κρίσει τοῦ δικαστοῦ ἐστι, μετὰ τὸ ἐλευθερῶσαι τὸν κατηγορούμενον ζητῆσαι περὶ τούτου. Καὶ εἰ μὲν εἴπῃ, οὐκ ἀπέδειξας, ἐφείσατο αὐτοῦ· εἰ δὲ εἴπῃ, ἐσυκοφάντησας, κατεδίκασεν αὐτὸν, κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς· ἐπακολουθεῖ γάρ· Ἡ μὲν γὰρ τῆς ὑποθέσεως ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις. Εἰ δὲ εἴπῃ, προπετῶς ἐκίνησας, τουτέστιν οὐκ ἀπέδειξας, οὐ ποιεῖ αὐτὸν συκοφάντην, οὐδὲ ποινὴν ὑφίσταται.

ΑΡΙΣΤ. Καὶ ὁ κατηγορήσας πολλὰ, καὶ ἐλέγξας οὐδέν.

Εὐλόγως καὶ οὗτος εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν οὐ παραδέχεται, ὡς συκοφάντης φανεὶς, καὶ διὰ τοῦτο καὶ ἄτιμος ὢν, ἐκ τοῦ πολλὰ προθεῖναι κατά τινος αἰτιάματα, καὶ μηδέν τι ἐλέγξαι.

## Κανὼν ΡΛΑ'. (ΡΜ'.)

*Τίνας δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν.*

Μάρτυρας δὲ εἰς μαρτυρίαν μὴ εἰσδέχεσθαι, τοὺς μηδὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν οὓς αὐτὸς ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου προσκομίσει· μαρτυρία δὲ ἐντὸς χείρας ἐνιαυτῶν δεκατεσσάρων μὴ προσδεχθείη.

—

ΖΩΝΑΡ. Εἰπόντες οἱ τῆς συνόδου περὶ κατηγόρων, νῦν καὶ περὶ μαρτύρων διατάττονται· καί φασι, τοὺς κωλυομένους ἐγκληματικῶς ἐνάγειν, μηδὲ εἰς μαρτυρίαν προσδέχεσθαι, καὶ

„τοὺς προσδέχεσθαι δὲ ὀφείλοντας μὴ ἀνήβους εἶναι. Οἱ γὰρ μήπω τὸν ιδ'. ἐνιαυτὸν τῆς ἡλικίας αὐτῶν προβάντες, ἄνηβοι εἰσίν· ἀνήβοις δὲ, οἷς μήπω τὸ φρόνημα σταθερὸν, μαρτυρεῖν οὐ δοθήσεται. Ἀλλ' οὐδὲ οἰκειακοὺς μάρτυρας τῷ κατηγόρῳ παραγαγεῖν δίδωσιν· οἰκειακοὶ δέ εἰσιν οἱ ἐκ τοῦ οἴκου αὐτοῦ. Οὐ πάντας δὲ τοὺς τοιούτους κωλύουσιν οἱ νόμοι μαρτυρεῖν, ἀλλά τινας, ἤγουν ὑπεξουσίους αὐτοῦ τοῦ παράγοντος αὐτοὺς, ἢ ὑποχειρίους εὐτελεῖς, καὶ προστάσσεσθαι δυναμένους, καὶ, εἰ μὴ πείθοιντο, κολαζομένους· εἰ δὲ ἀξιόλογοι εἶεν ὑποχείριοι, οἷον ἱερεῖς, ἢ διάκονοι, ἢ γραμματικοὶ, καὶ ὅσοι τούτοις ὅμοιοι, οὐκ ἀπρόσδεκτοι ἔσονται πρὸς μαρτυρίαν.

ΒΑΛΣ. Εἰπόντες οἱ τῆς συνόδου περὶ τῶν κατηγόρων, νῦν καὶ περὶ μαρτύρων διατάττονται· καί φασι, τοὺς θέλοντας καταμαρτυρεῖν ἱερωμένων χάριν ἐγκληματικῶν ὑποθέσεων τοιούτους εἶναι, οἵους καὶ πρὸς κατηγορίαν οἱ κανόνες παραδέχονται· τοὺς δὲ μὴ παραδεχομένους εἰς κατηγορίαν, μηδὲ εἰς μαρτυρίαν παραδέχεσθαι. Πρὸς τούτοις, καὶ τοὺς οἰκειακοὺς μάρτυρας ἀποδοκιμάζει ὁ κανών· ὡσαύτως καὶ τοὺς ἀνήβους, τοὺς ἥττονας δηλονότι τῶν ιδ'. ἐνιαυτῶν. Καὶ ὁ μὲν κανὼν τούτους καὶ μόνους ἀπαραδέκτους πρὸς μαρτυρίαν εἶναι φησίν· ὁ δὲ ά. τίτλος τοῦ κά. βιβλίου τῶν βασιλικῶν, καὶ ἑτέρους διαφόρους εἰς μαρτυρίαν ἐγκληματικοῦ δικαστηρίου ἀποπέμπεται· καὶ ἀνάγνωθι τὸν τοιοῦτον τίτλον. Ἐκ τοῦ οἴκου δὲ τοῦ κατηγόρου λογίζονται μάρτυρες, οἱ συνοικοῦντες αὐτῷ πάντες, καὶ οἱ κελεύεσθαι παρὰ τούτου δυνάμενοι. Φησὶ γὰρ τὸ ς'. κεφ. τοῦ ά. τίτ. τοῦ κά. βιβλίου· Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ' ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι· καὶ κεφ. κδ'. Ὁ κατήγορος οἰκειακοὺς μάρτυρας οὐ δύναται παράγειν· καὶ κεφ. κζ'. Αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται· καὶ θέμα β'. τοῦ ιά. κεφ. τοῦ νά. τίτλου τοῦ ξ'. βιβλίου, λέγον· Τὰς οἰκειακὰς κλοπὰς εὐτελεῖς οὔσας οὐ δεῖ φέρειν εἰς δημοσίαν ἐξέτασιν· οἰκειακαὶ δέ εἰσιν ἃς δοῦλοι ποιοῦσι δεσπότῃ, καὶ ἀπελεύθεροι τοῖς πάτρωσι, καὶ μίσθιοι τοῖς μισθωσαμένοις παρ' αὐτοῖς διάγοντες. Τοῦ δὲ παρόντος κανόνος λέγοντος, τοὺς ἥττονας τῶν ιδ'. ἐνιαυτῶν μὴ μαρτυρεῖν, ἀλλὰ

τοὺς ἐπέκεινα τούτου τοῦ χρόνου, καὶ τοῦ κ'. κεφ. τοῦ ά. τίτ. τοῦ κά. βιβλίου λέγοντος οὕτω ῥητῶς, Ὁ κατήγορος οὐ δύναται καλεῖν εἰς μαρτυρίαν τὸν δημοσίως κατηγορούμενον, οὔτε τὸν ἥττονα τῶν εἴκοσιν ἐτῶν, ἐρωτήσει τις, τίνι προσέχειν ὀφείλομεν; Καὶ δοκεῖ μοι μᾶλλον τῷ νόμῳ· εἰς γὰρ μαρτυρίαν ἐγκληματικῆς ὑποθέσεως, ὁ ἥττων τῶν εἴκοσιν ἐνιαυτῶν καὶ ἐπέκεινα τῶν ιδ'. χρόνων ὑπάρχων, οὐκ ἔστι παραδεκτέος, ὡς μηδὲ βεβηκὸς ἔχων φρόνημα. Ἔστι δὲ καὶ ὁ νόμος κατὰ πολὺ μεταγενέστερος τοῦ κανόνος, διὰ τὸ μετὰ χρόνους πολλοὺς τῆς παρούσης συνόδου δεχθῆναι τοῦτον εἰς τὴν τῶν βασιλικῶν ἀνακάθαρσιν. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα οέ.

ΑΡΙΣΤ. Καὶ ὁ μὴ ἐνιαυτῶν δεκατεσσάρων.

Καὶ οὗτος εἰς μαρτυρίαν ἄδεκτος διὰ τὴν τῆς ἡλικίας ἀτέλειαν· δεῖ γὰρ τὸν μαρτυροῦντα, σὺν τῷ ἔντιμον καὶ ὀρθόδοξον εἶναι, καὶ σταθερότητα ἔχειν, ὁ δὲ ἄνηβος ὀλισθηρός ἐστι τὴν διάνοιαν. Τὸ δὲ δεύτερον θέμα τοῦ ἑπτακαιδεκάτου κεφαλαίου τοῦ ά. τίτλου τοῦ κά. βιβλίου, οὐδὲ τὸν ἥττονα τῶν εἴκοσιν ἐτῶν εἰς μαρτυρίαν κατά τινος ἐπ' ἐγκλήμασι παραδέχεται.

ΑΡΙΣΤ. Ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου μάρτυρας οὐ καθίστησιν.

Αἱ οἰκειακαὶ μαρτυρίαι ἀπόβλητοι καὶ ἀπὸ νόμων εἰσί· φησὶ γὰρ τὸ κά. κεφ. τοῦ ά. τίτλου τοῦ κά. βιβλίου ῥητῶς οὑτωσί· Ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παράγειν· καὶ τὸ κέ. κεφάλαιον τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, ὡς αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται· μάρτυρας δὲ οἰκειακοὺς νοήσεις, τοὺς ὑπὸ ἐξουσίαν τινὸς τελοῦντας, καὶ δυναμένους προστάττεσθαι παρ' αὐτοῦ· οἱ τοιοῦτοι γὰρ, οὔτε ὑπὲρ αὐτοῦ, ἢ κατ' ἄλλου κατηγοροῦντος αὐτοῦ, εἰς μαρτυρίαν παραδεχθήσονται, ἢ ἐπὶ ἐγκληματικῇ, ἢ ἐπὶ χρηματικῇ αἰτιάσει. Εἰ δὲ ἕτερός τις ἐνάγει, καὶ βούλεται ἄλλου οἰκειακῇ μαρτυρίᾳ χρήσασθαι, οὐ κεκώλυται· ἀπὸ γὰρ ἑνὸς οἴκου δύναται καὶ πατὴρ, καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο συνυπεξούσιοι υἱοὶ ἀδελφοὶ, καὶ κατά τινος, καὶ ὑπέρ τινος μαρτυρεῖν· ὡς τὸ πεντεκαιδέκατον κεφάλαιον τοῦ αὐτοῦ πρώτου τίτλου τοῦ κά. βιβλίου διαλαμβάνει.

## Κανὼν ΡΛΒ'. (ΡΜΑ'.)

*Περὶ ἐπισκόπου τοῦ ἀπὸ κοινωνίας ποιοῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα.*

Ὁμοίως ἤρεσεν, ἵνα, ἐάν ποτε ἐπίσκοπος λέγῃ τινὰ αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογῆσαι, καὶ ἐκεῖνος ἀρνῆται, μὴ λογίσηται ὁ ἐπίσκοπος εἰς ἰδίαν ὕβριν συντείνειν, ὅτι αὐτὸς μόνος οὐ πιστεύεται, εἰ καὶ τῷ σκινδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγει μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀρνουμένῳ (1).

---

ΖΩΝΑΡ. Κἂν ἐπίσκοπος λέγῃ ἐξομολογήσασθαι αὐτῷ τινα ἁμαρτήματα χωρίζοντα αὐτὸν τῆς κοινωνίας, ὁ δὲ ἀρνῆται λέγων μὴ εἰπεῖν αὐτῷ τοιοῦτον ἁμάρτημα, οὐ πιστευθήσεται μόνος ὁ ἐπίσκοπος· καὶ τοῦτο, φασὶν οἱ Πατέρες, μὴ λογιζέσθω τῷ ἐπισκόπῳ εἰς ὕβριν, ὅτι οὐ πιστεύεται μόνος· καὶ λοιπὸν ἀναγκάζεται συγκοινωνεῖν ἐκείνῳ, κἂν λέγῃ ὁ ἐπίσκοπος, ὅτι οὐ θέλω αὐτὸν προσδέξασθαι εἰς κοινωνίαν, σκανδαλιζομένης ἐπ' αὐτῷ τῆς συνειδήσεώς μου. Σκινδαλμὸν γὰρ, ἢ τὸ σκάνδαλον νοητέον, ἢ τὸν θόρυβον τῆς συνειδήσεως, θορυβουμένης καὶ ταραττομένης διὰ τὴν ἐξομολόγησιν τοῦ ἁμαρτήματος.

ΒΑΛΣ. Ὡς ἔοικε, τὶς λαϊκὸς ἢ καὶ κληρικὸς ἐξωμολογήσατο τῷ ἰδίῳ ἐπισκόπῳ περί τινος ὑπ' αὐτοῦ πραχθέντος ἁμαρτήματος, καὶ λαληθείσης τῆς ὑποθέσεως ἐπὶ κοινοῦ, ὁ μὲν τὴν ἐξομολόγησιν ποιησάμενος ἠρνεῖτο τὸ ἔγκλημα, ὁ δ' ἐπίσκοπος ἤλεγχε τοῦτον· διὸ καὶ ἤθελε τὸν ἐξομολογησάμενον τιμωρηθῆναι ὡς ὑβριστὴν αὐτοῦ, διὰ τὸ μὴ κατανεύειν εἰς τὰ λεγόμενα παρὰ τούτου. Φησὶν οὖν ὁ κανὼν, ὅτι οὐκ ἔστιν ὕβρις τοῦ ἐπισκόπου, τὸ μὴ πιστεύεσθαι αὐτὸν καὶ μόνον λέγοντα καταθέσθαι ἐπ' αὐτῷ τὸ ἔγκλημα τὸν κατηγορούμενον, κἂν λέγῃ ὁ ἐπίσκοπος, ὅτι οὐ θέλω προσδέξασθαι αὐτὸν εἰς κοινωνίαν, σκανδαλιζομένης ἐπ' αὐτῷ τῆς συνειδήσεώς μου, διὰ τὴν

(1) ἐν Π. ἐξακολουθεῖ ὁ Κανὼν οὗτος ἕως τοῦ τέλους τοῦ ἑπομένου, ὥστε τοὺς δύο ἀποτελεῖν ἕνα μόνον.

ἐξομολόγησιν τοῦ ἁμαρτήματος. Ἐρωτήσει δέ τις, ὡς τοῦ κανόνος ἀπαράδεκτον λογιζομένου τὴν τοῦ ἐπισκόπου μαρτυρίαν, ὡς ἀνθρώπου ἑνός, κατὰ τὸν νόμον τὸν λέγοντα, Ἑνὸς μαρτυρία οὐκ ἔστι δεκτή, κἂν συγκλητικός ἐστιν, ἀκουσθήσεται ὁ ἐπίσκοπος, ὡς εὐλόγως μὴ συγκοινωνῶν τῷ κατηγορουμένῳ διὰ τὴν ἐξομολόγησιν, ἢ μή; Λύσις. Ἐμοὶ δοκεῖ, ὡς, κἂν τῇ ἀληθείᾳ ἐξωμολογήσατο ὁ κατηγορούμενος, ἀπὸ μόνου τούτου οὐ δυνήσεται αὐτὸν χωρίσαι τῆς κοινωνίας ὁ ἐπίσκοπος, ὡς μηδὲ καταδικασθέντα· εἰ δὲ τοῦτο ποιήσει, ὡς ἀνευλόγως χωρίσας τὸν ἄνθρωπον ἀπὸ τῆς πνευματικῆς κοινωνίας, χωρισθήσεται καὶ αὐτὸς ὑπὸ τοῦ μείζονος ἀρχιερέως, τοῦ ἐξομολογησαμένου λυομένου. Σημείωσαι τὸν παρόντα κανόνα διὰ τοὺς ἐπισκόπους, καὶ τοὺς δεχομένους ἀνθρώπων λογισμοὺς μοναχούς, καὶ μαρτυροῦντας κατὰ τῶν λεγομένων ποιῆσαι πρὸς αὐτοὺς ἐξομολόγησιν τοῦ ἁμαρτήματος. Ὅτι δὲ ἄδεκτός ἐστιν ἡ τοῦ ἑνὸς μαρτυρία, ἀνάγνωθι καὶ τὸν οε. κανόνα τῶν ἁγίων Ἀποστόλων. Ὁ μέντοι ἁγιώτατος πατριάρχης κυρὸς Λουκᾶς ἐπιτιμίῳ ἀλειτουργησίας (1) καθυπέβαλε τὸν καθηγούμενον τῆς μονῆς τοῦ Γηροτρόφου, τὸν γεγονότα ἀρχιεπίσκοπον Ἡρακλείας, τοιοῦτόν τι μαρτυρήσαντα κατὰ πνευματικοῦ παιδὸς αὐτοῦ.

ΑΡΙΣΤ. Λέγων ἐπίσκοπος, ὅτι τὸ ἔγκλημα κατὰ μόνας ὁ πέλας μοι ὡμολόγησεν, εἰ ὁ πέλας ἀρνεῖται, οὐκ εὔπιστος.

Οὐ χρὴ πιστεύεσθαι τῷ ἐπισκόπῳ λέγοντι, ὡς κατὰ μόνας ὁ δεῖνα κληρικὸς ἔγκλημά μοι ὡμολόγησε, καὶ διὰ τοῦτο ἢ τοῦ βαθμοῦ, ἢ τῆς κοινωνίας αὐτὸν ἀπείργω· εἰ γὰρ ἀρνεῖται ἐκεῖνος, ὃν ὁμολογῆσαι λέγει, οὐκ ὀφείλει καταδικάζειν αὐτόν, ἢ ἰδίαν ὕβριν τοῦτο λογίζεσθαι, ὅτι αὐτὸς οὐ πιστεύεται μόνος.

## Κανὼν ΡΛΓ'. (ΡΜΑ'.)

*Ἵνα μὴ ὡς ἔτυχέ τινα στερήσῃ τῆς κοινωνίας ὁ ἐπίσκοπος* (2).

Ἐφ' ὅσον τῷ ἀφωρισμένῳ μὴ κοινωνεῖ ὁ ἴδιος ἐπί-

---

(1) Ἐ. ἀκοινωνησίας Βευερ. — Ἡ σημ. οὐ κεῖται ὅλως ἐν Χ. Τρ. — (2) ὁ Κανὼν οὗτος ἐν Π. ἀποτελεῖ μέρος τοῦ προηγουμένου.

σκοπος, τῷ αὐτῷ ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσωσιν ἐπίσκοποι· ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται.

Αὐρήλιος ἐπίσκοπος εἶπε· Κατὰ τὰ ὁρισθέντα τῇ γνώμῃ πάσης τῆς συναθροισθείσης συνόδου καὶ τῆς ἐμῆς μετριότητος ἀρέσκει, πάντων τῶν πραγμάτων τοῦ προδηλωθέντος ὁλοτελοῦς τίτλου ποιῆσαι τὸ συμπέρασμα, καὶ τὴν συζήτησιν τῆς διατυπώσεως, τῆς παρούσης ἡμέρας τὰ ἐκκλησιαστικὰ πεπραγμένα ἀναδέξωνται· ἅ τινα δὲ ἀκμὴν οὐκ ἐπεξεργάσθησαν, τῇ ἑξῆς ἡμέρᾳ διὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου τῶν πρεσβυτέρων, τῷ προσκυνητῷ ἀδελφῷ καὶ συνεπισκόπῳ ἡμῶν Βονιφατίῳ ἀντιγράψωμεν. Καὶ ὑπέγραψαν.

Αὐρήλιος ἐπίσκοπος, τοῖς παροῦσι τῶν ὅρων πεπραγμένοις τοῖς παρ' ἡμῖν ἐχομένοις ὑπέγραψα.

Βαλεντῖνος τῆς πρώτης καθέδρας ἐπίσκοπος τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Φαυστῖνος ἐπίσκοπος τῆς Ποτεντινῆς ἐκκλησίας, ἐπαρχίας Πικένου, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἀλύπιος ἐπίσκοπος Θυγατένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Αὐγουστῖνος ἐπίσκοπος Ἱππώνης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ποσσείδιος ἐπίσκοπος Καλαμένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Βικέντιος Κουλουσιτανός, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Φουρτουνατιανὸς Νεαπολίτης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Πεντάδιος Καρπετανὸς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ῥουφινιανὸς Μουζουενσιανὸς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Πραιτεξτάτος Σικηλιβένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κουοτβουλτδέος Βερίσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κάνδιδος Γερμανίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Γαλλώνιος Οὐτικένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Μαξιμιανὸς Ἀκυρεγενσιώτης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἰουκοῦνδος Σουφφετουλένσης, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Μαξιμιανὸς τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἱλαριανὸς Ὀρρεοχίλης, τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νοβάτος Σιτιφενσιώτης, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νινέλλος Ῥουσουρρηανίτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Λαυρέντιος Ἰκοσιτανὸς, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νουμεριανὸς Ῥουσουγουριώτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Λέων ἀπὸ Μόκτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἄλλος Λέων, τῆς Σιτιφένσης ἐπαρχίας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Καὶ οἱ λοιποὶ ἐπίσκοποι διακόσιοι δεκαεπτὰ, ὁμοίως ὑπέγραψαν.

Φίλιππος πρεσβύτερος, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ἀφ᾽ ἡμῶν ἀναγνωσθεῖσιν ὑπέγραψα.

Ἄσελλος πρεσβύτερος, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα, τοῖς δι᾽ ἡμῶν ἀποσταλεῖσι.

—

ΖΩΝΑΡ. Ὃ παρεσιώπησεν ὁ ἀνωτέρω κανὼν, οὗτος προήνεγκεν εἰς φανερόν· τὸ δὲ ἦν, τὸ, ἐὰν μὴ θέλῃ ὁ ἐπίσκοπος κοινωνῆσαι τῷ παρ᾽ αὐτοῦ ἀφορισθέντι, ὡς ἔγκλημά τι αὐτῷ ἐξαγορεύσαντι, τί περὶ τοῦ τοιούτου οἰκονομηθήσεται; Φησὶ γοῦν, ὅτι, ἐὰν ἀφορίσῃ τινὰ οὐ δικαίως, ἐφ᾽ ὅσον καιρὸν ἐκεῖνος οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ ἐκείνῳ, τῷ ἀφορίσαντι δηλαδὴ, κοινωνῶσιν οἱ ἄλλοι ἐπίσκοποι. Ἐπάγει δὲ καὶ τὴν αἰτίαν, ἵνα μὴ ταχεῖς καὶ ἀπερίσκεπτοι ὦσι πρὸς κατηγορίαν, καὶ πρὸς ἀφορισμὸν, καὶ μὴ κατά τινων λέγωσιν ἃ ἐλέγξαι οὐ δύνανται.

ΒΑΛΣ. Ὃ παρεσιώπησεν ὁ ἀνωτέρω κανὼν, οὗτος προήνεγκεν εἰς φανερόν· τὸ δὲ ἦν, τὸ, ἐὰν μὴ θελήσῃ ὁ ἐπίσκοπος κοινωνῆσαι τῷ παρ᾽ αὐτοῦ ἀφορισθέντι, ὡς ἔγκλημά τι αὐτῷ ἐξαγορεύσαντι, τί ἐπὶ τῷ τοιούτῳ ἐπισκόπῳ γενήσεται, ἀνευλόγως ἀφορίσαντι καὶ πρὸ καταδίκης τὸν ἄνθρωπον; Φησὶ γοῦν, ὅτι, ἐὰν ἀφορίσῃ τινὰ ἀνευλόγως, ἐφ᾽ ὅσον καιρὸν ἐκεῖνος οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ ἐκείνῳ, τῷ ἀφορίσαντι δηλαδὴ, κοινωνῶσιν οἱ ἄλλοι ἐπίσκοποι. Ἐπάγει δὲ καὶ τὴν αἰτίαν, ἵνα μὴ ταχεῖς καὶ ἀπερίσκεπτοι ὦσι πρὸς κατηγορίαν καὶ πρὸς ἀφορισμὸν, καὶ μὴ κατά τινων λέγωσιν ἃ ἐλέγξαι οὐ δύνανται. Καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος οὕτω κολάζεται ὁ ἀνευλόγως ἀφορίσας ἐπίσκοπος. Ἐγὼ δὲ νομίζω, ὅτι οὐ μόνον οὕτω κολασθήσεται ὁ τοιοῦτος ἐπίσκοπος, ἀλλὰ καὶ τοῦ ἀνευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λόγου τούτου ἀφορισμοῦ λαληθέντος παρὰ μείζονι ἀρχιερεῖ, ὁ μὲν ἀφορισθεὶς λυθήσεται τοῦ ἀφορισμοῦ· ὁ δὲ ἀφορίσας τιμωρηθήσεται κατὰ τὴν Ἰουστινιάνειον νεαρὰν, ἤτοι κατὰ τὸ κδ΄. κεφ. τοῦ ά. τίτλου τοῦ γ΄. βιβλίου, ὃ καὶ ἐν διαφόροις κανόσι κατεστρώθη, καὶ κατὰ τὸν δ΄. κανόνα τῆς ζ΄. συνόδου· καὶ ἀνάγνωθι τὸν τοιοῦτον κανόνα καὶ τὴν νεαρὰν καταστρωθεῖσαν εἰς τὴν ἑρμηνείαν αὐτοῦ, καὶ τὸν ιδ΄. κανόνα τῆς ἐν Σαρδικῇ συνόδου.

ΑΡΙΣΤ. Τὸν μὴ ἐλεγχθέντα, κοινωνίας στερήσας ἐπίσκοπος, στερεῖται καὶ αὐτὸς τῆς ἑτέρων ὁμοίως.

Εἴ τις ἐπίσκοπος κληρικὸν αὐτοῦ ἀφορίσει μὴ ἐλεγχθέντα ἐπὶ πταίσματι, ἀλλ᾽ ἐκ μόνης τῆς αὐτοῦ κατακριθέντα συνειδήσεως, ἀφορισθήσεται καὶ αὐτὸς, καὶ τῆς τῶν ἄλλων ἐπισκόπων κοινωνίας ἀποστερηθήσεται, ὡς ἂν παραφυλάττηται τὸ μὴ εὐχερῶς κατά τινος λέγειν, ὅπερ ἀπελέγξαι οὐ δύναται.

*Ἡ (1) ἀπὸ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου πρὸς Βονιφάτιον τὸν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, διὰ Φαυστίνου ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου πρεσβυτέρων τῶν τοποτηρητῶν τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἀποσταλεῖσα ἐπιστολή.*

*Δεσπότῃ μακαριωτάτῳ, καὶ τιμιωτάτῳ ἀδελφῷ Βονιφατίῳ, Αὐρήλιος, Βαλεντῖνος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς ἐπαρχίας, καὶ οἱ λοιποὶ οἱ παραγενόμενοι τὸν ἀριθμὸν διακόσιοι δεκαεπτὰ, ἐκ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου.*

Ἐπειδὴ τῷ Κυρίῳ ἤρεσεν, ἵνα περὶ ὧν ἅμα ἡμῖν διεπράξαντο οἱ ἁγιώτατοι ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ συνεπίσκοπος καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἄσελλος, μὴ τῷ τῆς μακαρίας μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ, ἀφ᾽ οὗ πρὸς ἡμᾶς γράμματα καὶ ἐντολὰς ἤγαγον, ἀλλὰ τῇ ὑμετέρᾳ τιμιότητι τῇ εἰς τὸν ἐκείνου τόπον θεόθεν καταστάθείσῃ ἡ ἡμετέρα βραχύτης ἀντιγράψῃ, τὰ τῇ ἐκα-

(1) Ἡ ἐπιστολὴ αὕτη φέρεται ὡς Κανὼν ΡΛΔ΄. παρὰ Ἰουστ. καὶ Βρ.

τέρων ἡμῶν ὁμονοίᾳ περατωθέντα ὀφείλομεν διὰ βραχέων ἐμφανῆ καταστῆσαι, οὐ μὴν τὰ τοῖς ἐκτεταμένοις τῶν πεπραγμένων κυλίσμασι κατεχόμενα, ἐν οἷς σωζομένης μὲν τῆς ἀγάπης, οὐ χωρὶς δὲ μικροῦ τῆς ἀμφισβητήσεως καμάτου παρειλκύσαμεν, σκεπτόμενοι τὰ εἰς τὸ πρᾶγμα συντείνοντα τοῖς πεπραγμένοις ἐνθεῖναι. Κἀκεῖνος γὰρ, εἰ ἔτι ἦν ἐν τῷ σώματι τούτῳ, χαριεστέρως ἐδέχετο ὅπερ ἔβλεπεν εἰρηνικωτέρως περατωθὲν, κύριε ἀδελφέ. Ἀπιάριος ὁ πρεσβύτερος, οὗ τινος καὶ περὶ τῆς χειροτονίας καὶ τῆς ἀκοινωνησίας καὶ προκλήσεως ἀνεφύη, οὐ μόνον τῇ ἐν Σίκκῃ, ἀλλὰ καὶ τῇ ἐν πάσῃ τῇ Ἀφρικῇ ἐκκλησίᾳ οὐ μικρὸν σκάνδαλον, περὶ πάντων ὧν ἐπλανήθη συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέστη. Πρῶτος δὲ ὁ συνεπίσκοπος ἡμῶν Οὐρβανὸς ὁ τῆς Σίκκης, ὅσον ἦν ἐν αὐτῷ διορθωτέον, ἀναμφιβόλως διωρθώσατο. Ἐπειδὴ δὲ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἡσυχίας οὐ μόνον πρὸς τὸ παρὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἔδει πρόνοιαν ποιήσασθαι, ὅτι πολλὰ τοιαῦτα προηγήσαντο, ὅπως ἀπὸ τῶν ὁμοίων ἢ καὶ βαρυτέρων τῶν μετὰ ταῦτα προπαραφυλαξώμεθα, ἤρεσεν ἡμῖν, ἵνα ἐκ τῆς ἐν Σίκκῃ ἐκκλησίας ἀποκινηθῇ ὁ πρεσβύτερος Ἀπιάριος, φυλαττομένης αὐτῷ δηλονότι τῆς τιμῆς τοῦ βαθμοῦ αὐτοῦ· καὶ λαμβάνων ἐπιστολὴν ὁπουδήποτε ἀλλαχοῦ βουληθείη καὶ δυνηθείη, τῷ καθήκοντι τοῦ πρεσβυτερίου λειτουργήσῃ· ὅπερ τῷ αὐτῷ Ἀπιαρίῳ δι' οἰκείων γραμμάτων αἰτήσαντι χωρίς τινος δυσχερείας συνεχωρήσαμεν. Πρὸ τοῦ δὲ ἡ αἰτία αὕτη τῷ τοιούτῳ πέρατι παραδοθῇ, μεταξὺ τῶν ἄλλων, ἅ τινα διηνεκέσι διαγνώσεσιν ἀνεστρέφομεν, αὐτοῦ τοῦ λόγου ἀπαιτήσαντος, ὥστε τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ζητῆσαι ἡμᾶς παρὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ συνεπισκόπου, καὶ Φιλίππου καὶ Ἀσέλλου τῶν συμπρεσβυτέρων, ἵνα προενέγκωσιν εἴτιδήποτε ἦν αὐτοῖς ἅμα ἡμῖν πρακτέον ἐπιτραπὲν, τινὰ

μὲν ἀγράφως διὰ λόγων ἐπεξειργάσαντο· ἡμῶν δὲ ἀπαιτησάντων ὅπερ ἐπεφέροντο ἔγγραφον κομμονιτόριον, τοῦτο προήγαγον· ὅπερ ἀναγνωσθὲν παρ' ἡμῶν, τοῖς πεπραγμένοις ἔτι μὴν ἐνετάγη, τοῖς καὶ πρὸς ὑμᾶς δι' αὐτῶν ἐπὶ τοῦ παρόντος φερομένοις· ἐν ᾧ τέσσαρα αὐτοῖς τινα ἅμα ἡμῖν πρακτέα ἐνετάγησαν (1)· ἓν, περὶ ἐκκλήτων ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαίων ἐκκλησίας ἱερέα· δεύτερον, ἵνα ἐπὶ τὸ κομιτάτον ἐπίσκοποι ὡς ἔτυχε μὴ πλεύσωσι· τρίτον, περὶ τοῦ τὰς αἰτίας τῶν πρεσβυτέρων καὶ διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις ἐπισκόποις, ἐὰν ἐκ τῶν ἰδίων ἀπὸ κοινωνίας προπετῶς γένωνται· τέταρτον, περὶ Οὐρβανοῦ τοῦ ἐπισκόπου ἀποκοινωνητέου, ἢ ἔτι μὴν ἐν Ῥώμῃ κλητέου, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι διορθώσηται. Ἐξ ὧν πάντων περὶ τοῦ πρώτου καὶ τρίτου, τουτέστιν, ἵνα ἐξείῃ εἰς Ῥώμην τοῖς ἐπισκόποις ἐκκαλεῖσθαι, καὶ ἵνα αἱ τῶν κληρικῶν αἰτίαι παρὰ τοῖς τῶν ἐπαρχιῶν αὐτῶν ἐπισκόποις περατῶνται, ἤδη ἐν τῷ προλαβόντι ἐνιαυτῷ γράμμασιν ἔτι μὴν ἡμετέροις πεμφθεῖσι τῷ αὐτῷ τῆς προσκυνητῆς μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ ἐσπουδάσαμεν ἐμφανίσαι, ἵνα ταῦτα χωρίς τινος ὕβρεως αὐτοῦ πρὸς ὀλίγον φυλάξωμεν, ἕως οὗ ζήτησις γένηται τῶν ὅρων τῆς ἐν Νικαίᾳ συνόδου. Καὶ νῦν δὲ ἀπὸ τῆς σῆς αἰτούμεθα ἁγιωσύνης, ἵνα, ὃν τρόπον ταῦτα τὰ ἐν Νικαίᾳ ἀπὸ τῶν Πατέρων ἐπράχθησαν καὶ ὡρίσθησαν, οὕτως αὐτὰ παρ' ἡμῶν φυλαχθῆναι ποιήσῃς· καὶ αὐτόθι παρ' ὑμῖν τὰ ἐν τῷ αὐτῷ κείμενα κομμονιτορίῳ γυμνασθῆναι ποιήσῃς· τουτέστιν, ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ οἱ συνελθόντες ἐπίσκοποι τῆς αὐτῆς ἐπαρχίας κρίνωσι, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτὸν, ὅταν δόξῃ ἐκκαλεῖσθαι καὶ πρὸς τὸν μακαριώτατον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον

(1) ἐνετάλθησαν Χ. Τρ.—ἐνετάλησαν Ε. Ἰ.

καταφύγῃ· ἐὰν συνίδῃ αὐτὸν ἀκουσθῆναι, καὶ δίκαιον λογίσηται, ὥστε ἀνανεωθῆναι (1) τὴν κρίσιν, γράψαι καταξιώσῃ τοῖς ἐν τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρχίᾳ καθεστῶσιν ἐπισκόποις, ἵνα αὐτοὶ πάντα ἐπιμελῶς ἀναζητήσωσι, καὶ κατὰ τὴν πίστιν τῆς ἀληθείας περατώσωσιν. Ἐὰν δὲ καὶ ὁ παρακαλῶν τὴν αἰτίαν αὐτοῦ ἄνωθεν ἀκουσθῆναι, ἰδίᾳ ἱκεσίᾳ κινήσῃ τὸν Ῥωμαϊκὸν ἐπίσκοπον, ἵνα ἐκ τοῦ ἰδίου αὐτοῦ πλευροῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ τοῦτ᾽ ἔσται τοῦ ἐπισκόπου, τί βουληθῇ καὶ τί κρίνῃ· καὶ ἐὰν ψηφίσηται τοὺς ὀφείλοντας μετὰ τῶν ἐπισκόπων παρόντας κρῖναι, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ ἐξ οὗ ἀπεστάλησαν, ἔσται ἐν τῇ κρίσει αὐτοῦ· ἐὰν δὲ καὶ πιστεύσῃ ἀρκεῖν τοὺς ἐπισκόπους πρὸς τὸ περατῶσαι τὰ τοῦ πράγματος, ποιήσῃ ὅπερ τῷ σοφωτάτῳ αὐτοῦ συνίδῃ βουλεύματι. Ὁμοίως περὶ πρεσβυτέρων καὶ διακόνων, ἐάν τις ἐπίσκοπος ὀργίλος, ὅπερ εἶναι οὐκ ὀφείλει, ταχέως ἢ τραχέως κινηθῇ κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, καὶ θελήσῃ τοῦτον ἐκ τῆς ἰδίας ἐξορίσαι ἐκκλησίας, προνοητέον ἐστὶν, ἵνα μὴ ἀδίκως (2) καταδικασθῇ, ἢ ἀπολέσῃ τὴν κοινωνίαν. Καὶ ἐχέτω ὁ ἐκβληθεὶς ἐξουσίαν προσελθεῖν τοῖς ὁμοροῦσι, καὶ ἡ αἰτία αὐτοῦ ἀκουσθῇ, καὶ ἐπιμελέστερον ζητηθῇ· ὅτι οὐκ ὀφείλει παρακαλοῦντι αὐτῷ ἡ ἀκρόασις ἀρνηθῆναι· κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ ἢ δικαίως ἢ ἀδίκως ἐκβαλὼν, ἀνεξικάκως καταδέξηται τὰ τοῦ πράγματος ἐξετασθῆναι, ἵνα ἢ κυρωθῇ, ἢ διορθωθῇ ἡ γνώμη αὐτοῦ. Ταῦτα δηλονότι, ἕως τῆς παρουσίας τῶν ἀληθεστάτων ἐξέμπλων τῆς ἐν Νικαίᾳ συνόδου, τοῖς πεπραγμένοις ἐνεβλήθησαν· ἅτινα, ἐὰν ἐκεῖ, ὃν τρόπον ἐν αὐτῷ τῷ κομμονιτορίῳ περιέχονται, τῷ ἡμῖν διὰ τῶν ἀποσταλέντων ἀδελφῶν ἐκ τῆς ἀποστολικῆς καθέδρας ἐμφανισθέντι, καὶ παρ᾽ ὑμῖν τῇ

(1) ἀναφχθῆναι Ἑ. Π. — (2) ἀναιτίως, Βευερ.

αὐτῇ τάξει ἐν Ἰταλίᾳ φυλάττωνται, οὐδαμῶς καὶ ἡμεῖς τῶν τοιούτων μεμνῆσθαι βουλόμεθα, ἢ οὐχ ὑποφέρειν ἐπειγόμεθα, ἀλλὰ πιστεύομεν, ὅτι βοηθοῦντος τοῦ ἐλέους Κυρίου τοῦ Θεοῦ ἡμῶν, τῆς σῆς ἁγιωσύνης προεστώσης τῆς Ῥωμαϊκῆς ἐκκλησίας, οὐκέτι λοιπὸν ὑπομείνωμεν τὸν τύφον τοῦτον· φυλαχθῶσι δὲ περὶ ἡμᾶς ἅ τινα καὶ μὴ λαλούντων ἡμῶν ὀφείλουσι φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ, ἅπερ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἥν σοι ὁ Ὕψιστος ἐδωρήσατο, καὶ αὐτὸς (1) ἔτι μὴν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ κανόνες τῆς ἐν Νικαίᾳ συνόδου. Ἡμεῖς γὰρ πλείστοις ἐντυχόντες (2) βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ σύνοδον ἐν Ῥωμαϊκοῖς βιβλίοις, ὃν τρόπον ἐν τῷ προλεχθέντι κομμονιτορίῳ αὐτόθεν ἀπεστάλησαν· ὅμως, ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲν βιβλίον Γραικὸν ταῦτα εὑρεῖν ἠδυνήθημεν, ἐκ τῶν ἀνατολικῶν ἐκκλησιῶν, ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα δύνασθαι τὰ αὐθεντικὰ ἔτι μὴν εὑρεθῆναι, ἡμῖν προσενεχθῆναι ταῦτα μᾶλλον ποθοῦμεν. Διὸ καὶ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν, ἵνα γράψαι καὶ αὐτὸς ἔτι μὴν καταξιώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν ἱερεῖς, τουτέστι τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρέων, καὶ τῆς ἐν Κωνσταντινουπόλει, καὶ ἄλλοις δέ, ἐὰν παραστῇ τῇ σῇ ἁγιωσύνῃ, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων Πατέρων ὁρισθέντες ἔλθωσι κανόνες, σοῦ κατ' ἐξαίρετον τὴν εὐεργεσίαν ταύτην πάσαις ταῖς δυτικαῖς ἐκκλησίαις τῇ τοῦ Κυρίου βοηθείᾳ συνεισάγοντος. Τίς γὰρ ἀμφιβάλλει τὰ ἶσα ἀληθέστατα εἶναι ἐν Γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης συνόδου, ἅτινα ἀπὸ οὕτω διαφόρων τόπων καὶ ἐπισήμων Γραικῶν ἐκκλησιῶν προσενεχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν; ὅπερ

(1) καὶ αὐτοὺς Π. — (2) Χ. Τρ. — ἐντυγχάνοντες Ἰ. Κ. Ἑ. Βευερ. Π.

ἕως οὗ γένηται, τὰ ἐν τῷ προλεχθέντι κομμονιτορίῳ ἡμῖν προσενεχθέντα, περὶ τῶν πρὸς τὸν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἱερέα ἐκκλήτων τῶν ἐπισκόπων, καὶ περὶ τῶν αἰτιῶν τῶν κληρικῶν τῶν ὀφειλουσῶν περατοῦσθαι παρὰ τοῖς τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν ἐπισκόποις, ἡμεῖς ὁμολογοῦμεν καὶ φυλάξοντας ἕως τῆς ἐπικυρώσεως, καὶ τὴν ὑμετέραν μακαριότητα, θέλοντος τοῦ Θεοῦ, πρὸς τοῦτο ἡμῖν βοηθήσουσαν θαῤῥοῦμεν. Τὰ δὲ λοιπὰ τὰ ἐν τῇ ἡμετέρᾳ συνόδῳ πραχθέντα καὶ βεβαιωθέντα, ἐπειδὴ οἱ προλεχθέντες ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ συνεπίσκοπος, Φίλιππος καὶ Ἄσελλος οἱ πρεσβύτεροι, μεθ' ἑαυτῶν ἐπιφέρονται, ἐὰν καταξιώσητε, γνωστὰ ποιήσουσι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. Καὶ ὑπέγραψαν. Ὁ Κύριος ἡμῶν φυλάξοι σε ἡμῖν ἐπὶ πλείστους χρόνους, μακαριώτατε ἀδελφέ. Ὑπέγραψαν ὁμοίως, Ἀλύπιος, Αὐγουστῖνος, Ποσσείδιος, Μαρῖνος, καὶ οἱ λοιποὶ ἐπίσκοποι.

---

ΖΩΝΑΡ. Οἱ σταλέντες ἐκ Ῥώμης πρὸς τὴν σύνοδον ταύτην τοποτηρηταὶ, ὧν πρὸς ὄνομα μέμνηται ἡ ἐπιστολὴ, παρὰ Ζωσίμου τοῦ πάπα τῆς Ῥώμης ἐστάλησαν· ἐκείνου δὲ ἐν τῷ μέσῳ τελευτήσαντος, ὁ Βονιφάτιος εἰς τὸν ἐκείνου θρόνον ἀντικατέστη, πρὸς ὃν ἡ σύνοδος γράφει, ἀναφέρουσα τὰ ἐν αὐτῇ πραχθέντα καὶ οἰκονομηθέντα· ἀναφέρει δὲ ταῦτα διὰ βραχέων, ἀντὶ τοῦ, συντόμως καὶ ἐν ἐπιτομῇ, οὐ μὴν ὡς ἐπράχθησαν διὰ μακρηγορίας καὶ ἐπιτεταμένων κυλισμάτων, ἤγουν μακρῶν περιόδων, καὶ στροφῆς λόγων. Ἀναφέρειν δὲ λέγει τὰ τῇ ἑκατέρων ὁμονοίᾳ περατωθέντα· τὸ δὲ, ἑκατέρων, ἐπὶ δύο νοεῖται· εἰς δύο οὖν μοίρας καὶ οὗτοι τοὺς τῆς συνόδου διεῖλον, μίαν μὲν τὴν τῶν ἐξ Ἀφρικῆς ἐπισκόπων, ἑτέραν δὲ τὴν τῶν ἐκ Ῥώμης σταλέντων τοποτηρητῶν. Ἃ γοῦν, φησι, παρ' ἑκατέρων τῶν μερῶν ᾠκονόμητο, φανερά σοι παριστῶμεν. Ὁ Ἀπιάριος διά τινα αἰτιάματα ἀφορισθεὶς παρὰ τῶν ἐν Ἀφρικῇ ἐπισκόπων, ἀπῆλθεν εἰς Ῥώμην. Ἀναπεμφθεὶς δὲ παρὰ τοῦ πάπα εἰς Ἀφρικὴν, ὡμολόγησε τὰ περὶ ὧν ἐπλανήθη. Ἔοικε γὰρ λέγειν τινὰ παρὰ τοὺς

τῆς ἐκκλησίας θεσμούς· ταῦτα οὖν ὁμολογήσας συγγνώμης ἠξίωτο, καὶ μένειν μὲν ἐπὶ τῆς οἰκείας εἰάθη τιμῆς, οὐ μέντοι καὶ ἐν τῇ ἐκκλησίᾳ εἶναι, ἐν ᾗ καὶ πρότερον ἦν, ἀλλ' εἰς ἑτέραν, ὅπου βούλοιτο, ἀπελθεῖν· καὶ περὶ τούτου τῷ πάπᾳ ἡ σύνοδος ἔγραψεν· ὁμοίως καὶ περὶ τῶν ἐνταλθέντων τοῖς ἐκ Ῥώμης σταλεῖσι τοποτηρηταῖς, ἃς καὶ ἀπαριθμοῦσι, καὶ ὑπέσχοντο φυλάξαι τὸ τὰς ἐκκλήτους πρὸς αὐτὸν ἀναφέρεσθαι, μέχρις ἂν οἱ παρὰ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου προκομισθῶσιν αὐτοῖς κανόνες, ἵνα, εἰ ἐκείνοις τοῖς Πατράσι ταῦτα ἔδοξεν, οὕτω γίνηται. Ἠξίωσαν δὲ γράψαι καὶ πρὸς τὸν Ἀντιοχείας, καὶ τὸν Ἀλεξανδρείας, καὶ Κωνσταντινουπόλεως, στεῖλαι αὐτοῖς τοὺς κανόνας τῆς ἐν Νικαίᾳ συνόδου, ἵνα πληροφορηθῶσιν, εἰ τοῖς Πατράσιν ἐκείνοις κεκανόνισται τὸ ἀναφέρεσθαι τὰς ἐκκλήτους τῶν ἐπισκόπων πρὸς τὸν Ῥώμης ἐπίσκοπον· ἡμεῖς γάρ, φασι, πλείστας ἀναγνόντες βίβλους Ῥωμαϊκάς, τοιούτους κανόνας οὐχ εὕρομεν· Γραικὸν δὲ βιβλίον, ἤγουν Ἑλληνικῆς διαλέκτου, οὐχ εὕρομεν.

**ΒΑΛΣ.** Ζωσίμου τοῦ πάπα Ῥώμης, τοῦ ἀποστείλαντος τοποτηρητὰς εἰς τὴν παροῦσαν σύνοδον, τελευτήσαντος, ὁ Βονιφάτιος πρὸς τὸν ἐκείνου θρόνον κατέστη· πρὸς ὃν ἡ σύνοδος γράφει, ἀναφέρουσα τὰ ἐν αὐτῇ πραχθέντα κατ' ἐπιτομήν. Παραδηλοῖ δὲ καὶ τὰ περὶ τοῦ Ἀπιαρίου τοῦ πρεσβυτέρου· ἀλλὰ μὴν καὶ τὸ φυλάξαι τὰς πρὸς τὴν ἐκκλησίαν τῆς Ῥώμης ζητουμένας ἐκκλήτους, μέχρις ἂν προκομισθῶσιν οἱ παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐκτεθέντες κανόνες.

**ΑΡΙΣΤ.** Οὐρβανός, ἐπίσκοπος Σίκκης, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι διορθώσεται, ἢ ἀποκοινωνητέος ἔςαι, ἢ ἐν Ῥώμῃ κλητέος.

Πρὸ τοῦ τὰ ἀντίγραφα τῆς ἐν Νικαίᾳ συνόδου παρά τε τοῦ ἁγίου Κυρίλλου, τοῦ ἐπισκόπου Ἀλεξανδρείας, καὶ τοῦ Ἀττικοῦ, τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, δέξασθαι βέβαια τὴν ἐν Καρθαγένῃ σύνοδον ταύτην, τὸν τῆς ἐν Σαρδικῇ συνόδου κανόνα περὶ τῶν ἐκκλήτων τῶν ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπίσκοπον, ὡς κανόνα τῆς ἐν Νικαίᾳ συνόδου ἐδέ-

χοντο· καὶ διὰ τοῦτο καὶ τὸν ἐπίσκοπον Σίκκης τὸν Οὐρβανὸν ὥρισαν, εἰ μὴ διορθώσεται τὰ ὀφείλοντα παρ' αὐτοῦ διορθωθῆναι, ἢ ἀφωρισμένον εἶναι, εἰ ἢ ἀμφιβάλλει περὶ τοῦ ἀφορισμοῦ, μετακληθῆναι εἰς Ῥώμην, καὶ τὰ περὶ τούτου παρὰ τοῦ πάπα ἐξετασθῆναι.

*Ἄρχεται τὰ πρὸς τὴν ἐν Ἀφρικῇ σύνοδον ἀντίγραφα Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων ἐπισκόπου, ἐν οἷς τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἀπὸ Γραικοῦ μεταβληθέντα διὰ Ἰννοκεντίου πρεσβυτέρου ἀπέστειλεν· αἵτινες ἐπιστολαὶ μετὰ τῆς ἐν Νικαίᾳ συνόδου, διὰ τοῦ μνημονευθέντος Ἰννοκεντίου πρεσβυτέρου, καὶ Μαρκέλλου ὑποδιακόνου τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ ἁγιωτάτῳ Βονιφατίῳ, ἐπισκόπῳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων ἀπεστάλησαν.*

*Κύριλλος κυρίοις τιμιωτάτοις καὶ ἁγιωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ πάσῃ τῇ ἐν Καρχηδόνι συναθροισθείσῃ ἁγιωτάτῃ συνόδῳ· ἀσπαζόμεθα ἐν Κυρίῳ τὴν ἡμετέραν ἀγάπην*(1).

Τὰ γραφέντα παρὰ τῆς ὑμετέρας τιμιότητος πολλὴν ἔχοντα θρησκείαν, μετὰ πάσης χαρᾶς διὰ τοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου ἐδεξάμην. Τούτων δὲ παρ' ἡμῶν ἐλπισθέντων, ὥστε ἐκ τοῦ τῆς ἡμετέρας ἐκκλησίας σκρινίου τὰ ἀληθέστατα ἴσα τῆς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας αὐθεντικῆς συνόδου, τὰ παρὰ τῶν ἁγίων Πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα ὑποκάτω τῆς ὁμολογίας τῆς ἡμετέρας πίστεως, τῇ ὑμετέρᾳ ἀγάπῃ ἡμᾶς ἀποστεῖλαι, ἀναγκαῖον ἡγησάμην, κύριοι τιμιώτατοι ἀδελφοί, ἀσπασμοῦ προηγουμένου, διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου, τὰ πιστότατα ἴσα τὰ τῆς αὐθεντικῆς συ-

(1) Ἡ ἐπιστολὴ αὕτη φέρει τὸν ἀριθμὸν ΡΛΕ, παρὰ Ἰουστ. καὶ Βρ. οὐ κεῖται δὲ ἐν Π.

νόδου τῆς ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας ἐχόμενα, τῇ ὑμετέρᾳ ἀποστεῖλαι ἀγάπῃ· ὅπερ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ζητοῦντες εὑρήσετε. Περὶ δὲ τοῦ Πάσχα, ὡς ἐγράψατε, ἀναγγέλλομεν ὑμῖν, τῇ πρὸ δεκαεπτὰ καλανδῶν Μαΐων ἡμᾶς ἐπιτελέσοντας τῇ ἐπεισερχομένῃ Ἰνδικτιῶνι. *Ἡ ὑπογραφή.* Ὁ Θεὸς καὶ ὁ Κύριος ἡμῶν τὴν ἁγίαν ὑμῶν σύνοδον φυλάξοι, ὅπερ εὐχόμεθα, τιμιώτατοι ἀδελφοί.

*Ἄρχεται ἡ ἐπιστολὴ Ἀττικοῦ τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς τοὺς αὐτούς.*

*Τοῖς κυρίοις τιμιωτάτοις καὶ μακαριωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ τοῖς λοιποῖς τοῖς ἐν τῇ Ἀφρικῇ συνελθοῦσι συνόδῳ, Ἀττικὸς ἐπίσκοπος*(1).

Διὰ τοῦ τέκνου ἡμῶν Μαρκέλλου, τοῦ ὑποδιακόνου ὑμῶν, γράμματα τῆς ὑμετέρας ἀγάπης μετὰ πάσης εὐχαριστίας ἐδεξάμην, τῷ Κυρίῳ εὐχαριστῶν, ὅτι ἠξιώθην τοσούτων ἀδελφῶν εὐλογίας ἀπολαῦσαι. Κύριοι μακαριώτατοι ἀδελφοί, ἐγράψατε δηλαδή, ἵνα τοὺς ἀληθεστάτους κανόνας, τοὺς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας παρὰ τῶν Πατέρων ὁρισθέντας, μετὰ τὴν τῆς πίστεως ἔκθεσιν ἀποστείλω. Καὶ τίς ἐστιν ὁ τὴν κοινὴν πίστιν, καὶ τοὺς ὅρους τοὺς ἀπὸ τῶν Πατέρων βεβαιωθέντας, τοῖς ἰδίοις ἀδελφοῖς ἀρνούμενος; Ὅθεν διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Μαρκέλλου, τοῦ ὑποδιακόνου ὑμῶν, πάνυ σπεύδοντος, καθὼς οἱ ἐν Νικαίᾳ ἀπὸ τῶν Πατέρων ὡρίσθησαν κανόνες, ἐν ὁλοκλήρῳ, ὡς ἐκελεύσατε, ἀπέστειλα, αἰτῶν τὴν ὑμετέραν ἁγίαν σύνοδον ὑπὲρ ἐμοῦ πλείστας εὔξασθαι καταξιῶσαι. *Ἡ ὑπογραφή.* Ὁ Κύριος ἡμῶν φυλάξοι τὴν ὑμετέραν ἁγιωσύνην, ὅπερ εὐχόμεθα, ἁγιώτατοι ἀδελφοί.

---

(1) Ἡ ἐπιστολὴ αὕτη φέρει ἀριθμὸν ΡΛς'. παρὰ Ἰους. καὶ Βρ. οὐ κεῖται δὲ ἐν Πη

*Ἄρχεται (1) τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου τὰ ἀποσταλέντα τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων, μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὁνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ἔννατον, τῶν αὐγούστων, Βονιφατίῳ τῷ ἐπισκόπῳ Ῥώμης.*

Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, Φῶς ἐκ Φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ λέγοντας, ἦν καιρὸς ὅτε οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

*Τῷ παρόντι συμβόλῳ τῆς πίστεως, καὶ τὰ ἴσα τῶν ὅρων τῆς αὐτῆς ἐν Νικαίᾳ συνόδου ἐκ τῶν μνημονευθέντων ἱερέων προσεζεύχθησαν, ὡς ἀνωτέρω ἐν πᾶσι περιέχονται· ἅπερ ἡμεῖς ἐνταῦθα πάλιν τὰ αὐτὰ γραφῆναι ἀναγκαῖον οὐχ ἡγησάμεθα.*

Ἀντίγραφα Κυρίλλου Ἀλεξανδρείας.

ΑΡΙΣΤ. Καθὼς ἡμῖν ἐγράψατε, τὰ πιστότατα ἴσα τῆς αὐθεντικῆς συνόδου τῆς ἐν Νικαέων πόλει τῆς Βιθυνίας τῇ ὑμετέρᾳ ἀγάπῃ ἀπεστείλαμεν.

Ἀττικοῦ Κωνσταντινουπόλεως.

Οἱ τῆς ἐν Νικαίᾳ κανόνες, καθὼς παρὰ τῶν Πατέρων ὡρίσθησαν, ἀπεστάλησαν, ὡς ἐγράψατε.

(1) Κανὼν ΡΑΖ', παρὰ Ἰουστ. καὶ Βρ. οὐ κεῖται δὲ ἐν Π.

Ἰδοὺ καὶ τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, ἀντιβληθέντα μετὰ τῶν ἐναποκειμένων πρωτοτύπων τῇ ἐκκλησίᾳ Ἀλεξανδρέων, καὶ τῇ Κωνσταντινουπόλει, καὶ βεβαιωθέντα παρὰ τῶν ἐπισκόπων αὐτῶν, τοῦ τε Κυρίλλου καὶ τοῦ Ἀττικοῦ, τῇ συνόδῳ ταύτῃ ἐστάλησαν.

*Ἄρχεται ἡ ἐπιστολὴ τῆς ἐν Ἀφρικῇ συνόδου πρὸς Κελεστῖνον τὸν πάπαν, τῆς Ῥωμαίων πόλεως ἐπίσκοπον.*

*Δεσπότῃ ἀγαπητῷ καὶ τιμιωτάτῳ ἀδελφῷ Κελεστίνῳ, Αὐρήλιος, Παλατῖνος, Ἀντωνῖνος, Τοῦτος, Σερβοὺς Δέϊ, Τερέντιος, Φουρτουνάτος, Μαρτῖνος, Ἰανουάριος, Ὀπτάτος, Κέλτιος, Δονάτος, Θεάσιος, Βικέντιος, Φουρτουνατιανὸς, καὶ οἱ λοιποὶ οἱ ἐν πάσῃ τῇ συνόδῳ τῆς Καρθαγένης εὑρεθέντες* (1).

Ηὐχόμεθα, ἵνα, ὃν τρόπον ἡ σὴ ἁγιωσύνη περὶ τῆς παρουσίας τοῦ Ἀπιαρίου χαρέντας ὑμᾶς ἐδήλωσε, γραμμάτων πεμφθέντων διὰ τοῦ συμπρεσβυτέρου ἡμῶν Λέοντος, οὕτω καὶ ἡμεῖς ὁμοίως περὶ τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ τὰ παρόντα γράμματα μετὰ χαρᾶς ἀπεστείλαμεν. Ἦν γὰρ δηλαδὴ καὶ ἡ ἡμετέρα καὶ ἡ ὑμετέρα προθυμία ἀσφαλεστέρα, καὶ οὐδὲ σπευστικὴ ἐδόκει ἡ περὶ τοῦ ἀκμὴν ἀκουστέου, ἥπερ ὡς περὶ ἀκουσθέντος προηγησαμένη. Παραγενομένου τοίνυν πρὸς ἡμᾶς τοῦ ἁγιωτάτου ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Φαυστίνου, συνήξαμεν σύνοδον, καὶ ἐπιστεύσαμεν διὰ τοῦτο αὐτὸν μετ᾽ ἐκείνου πεμφθέντα, ἵνα, ὥσπερ οὗτος τῇ αὐτοῦ σπουδῇ τῷ πρεσβυτερίῳ ἀπεδόθη, οὕτω καὶ νῦν δυνηθῇ τῷ αὐτοῦ κόπῳ ἐκ τῶν ἀπὸ τῶν ἐν Θαβρακηναῖς ὑποβληθέντων τοσούτων ἐγκλημάτων καθαρθῆναι· οὗ τινος τὰ τοσαῦτα καὶ οὕτω παμμεγέθη ἀτοπήματα, ἡ πληθὺς καταδραμοῦσα τῆς ἡμετέρας συνόδου εὗρεν, ὅτι καὶ τοῦ μνημονευθέντος τὴν πατρωνίαν μᾶλλον ἤπερ κρίσιν, καὶ τὴν ὡς ἐκδίκου σπουδὴν μᾶλλον ἤπερ διαγνώστου δικαιοσύνην ὑπερενίκησε. Πρῶτον μὲν γὰρ ἀν-

(1) Ἡ ἐπιστολὴ αὕτη φέρει ἀριθμὸν ΡΛΗ΄. παρὰ Ἰουστ. καὶ Βρ.

τέστη μεγάλως πάσῃ τῇ συνόδῳ διαφόρους ὕβρεις ἐπιφέρων, ὡσανεὶ τὰ πριβιλέγια τῆς Ῥωμαϊκῆς ἐκκλησίας διεκδικῶν, καὶ θέλων αὐτὸν παρ' ἡμῶν εἰς κοινωνίαν δεχθῆναι, ἣν ἡ σὴ ἁγιωσύνη πιστεύσασα ἐκκαλεῖσθαι, ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη, τῇ κοινωνίᾳ ἀποδέδωκεν. Ὅμως ἧττον αὐτῷ τοῦτο ἐξεγένετο, ὅπερ ἔτι μὴν τῇ ἀναγνώσει τῶν πεπραγμένων κρειττόνως γνοίης. Τριημέρου μέντοι δίκης ἐπιμόχθου κινηθείσης, ἐν ὅσῳ τὰ διάφορα τῷ αὐτῷ ὑποβληθέντα συντριβόμενοι ἐζητοῦμεν, ὁ Θεὸς ὁ δίκαιος κριτὴς, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, τάς τε παρολκὰς τοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου, καὶ τὰς τριψεργίας τοῦ αὐτοῦ Ἀπιαρίου, αἷς τὰς ἀθεμίτους αὐτοῦ αἰσχρότητας συγκαλύψαι ἐπηρείδετο, μεγάλῃ συντομίᾳ ἔτεμε, τῆς σιχαντῆς (1) δηλαδὴ καὶ δυσωδεστέρας ἐπιμονῆς καταργηθείσης, καὶ τῆς ἀναισχυντίας τῆς ἀρνήσεως, δι' ἧς τῶν τοσούτων ἡδονῶν τὸν βόρβορον ἐβούλετο καταβυθίσαι. Τοῦ γὰρ Θεοῦ ἡμῶν τὴν συνείδησιν αὐτοῦ στενοχωρήσαντος, καὶ τὰ ἐν τῇ καρδίᾳ κρυπτὰ, ὡς ἐν ἰλύϊ τῶν ἐγκλημάτων ἤδη καταδεδικασμένα, πᾶσιν ἔτι μὴν τοῖς ἀνθρώποις δημοσιεύσαντος, αἰφνηδίως εἰς ὁμολογίαν πάντων τῶν ὑποβληθέντων αὐτῷ ἐγκλημάτων ὁ δόλιος ἀρνητὴς ἐξέρρηξε, καὶ μόλις ποτὲ περὶ πάντων τῶν ἀπιθάνων ὀνειδῶν ἑκοντὶ αὐτὸς ἑαυτὸν ἤλεγξε· καὶ αὐτὴν ὁμοίως τὴν ἡμετέραν ἐλπίδα, ᾗ τινι καὶ ἐπιστεύσαμεν αὐτὸν, καὶ ηὐχόμεθα ἐκ τῶν οὕτως ἐπαισχυντέων σπίλων δύνασθαι καθαρθῆναι, μετέστρεψεν εἰς στεναγμοὺς, εἰ μὴ ὅτι ταύτην ἡμῶν τὴν λύπην μιᾷ καὶ μόνῃ παραμυθίᾳ κατεπράϋνεν, ὅτι καὶ ἡμᾶς τοῦ ὀδυρμοῦ τοῦ διηνεκοῦς καμάτου ἐυλύτωσε, καὶ τοῖς ἰδίοις τραύμασιν ὁτεδήποτε ἴασιν, εἰ καὶ ἀκουσίως καὶ τῆς ἰδίας συνειδήσεως ἀντιμαχομένης, ὁμολογήσας προενοήσατο, κύριε ἀδελφέ. Ἐν προφάτῳ τοί-

(1) σικχαντῆς Χ. Τρ.

νυν τοῦ καθήκοντος τῆς ὀφειλομένης προσκυνήσεως ἐκπληρουμένου, ἱκετεύομεν, ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγινομένους εὐχερῶς μὴ προσδέχησθε, μηδὲ τοὺς παρ' ἡμῶν ἀποκοινωνητέους, εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι· ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης· εἰ γὰρ καὶ περὶ κατωτέρων κληρικῶν καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ ἐπισκόπων βούλεται παραφυλαχθῆναι; Μὴ οὖν οἱ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας ἀναρτηθέντες παρὰ τῆς σῆς ἁγιωσύνης, σπουδαίως, καὶ καθὼς μὴ χρὴ, φανῶσιν ἀποκαθιστάμενοι τῇ κοινωνίᾳ. Καὶ τῶν πρεσβυτέρων δὲ ὁμοίως, καὶ τῶν ἑπομένων κληρικῶν τὰς ἀναιδεῖς ἀποφυγὰς, ὡς ἔστι σου ἄξιον, ἀποδιώξει ἡ ἁγιωσύνη ἡ σή· ἐπειδὴ καὶ οὐ διά τινος ὅρου τῶν Πατέρων τοῦτο ἀπηγόρευται τῇ ἐν Ἀφρικῇ ἐκκλησίᾳ, καὶ τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ συνόδου, εἴτε κληρικοὺς τοῦ κατωτέρου βαθμοῦ, εἴτε αὐτοὺς τοὺς ἐπισκόπους, τοῖς ἰδίοις μητροπολίταις φανερώτατα κατέπεμψαν. Συνετῶς γὰρ καὶ δικαίως συνεῖδεν, ἅτιναδήποτε πράγματα ἀναφυῶσι, ταῦτα ἐν τοῖς ἰδίοις ὀφείλειν περατοῦσθαι τόποις· οὔτε γὰρ μιᾷ καὶ ἑκάστῃ προνοίᾳ ἐλογίσαντο ἐλλείπειν τὴν χάριν τοῦ ἁγίου Πνεύματος, δι' ἧς ἡ δικαιοσύνη ἀπὸ τῶν τοῦ Χριστοῦ ἱερέων καὶ ὁρᾶται φρονίμως, καὶ κατέχεται σταθερῶς, μάλιστα, ὅτι καὶ ἑνὶ ἑκάστῳ συγκεχώρηται, ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προΐσταται αὐτῷ πρὸς τὰς συνόδους τῆς ἰδίας ἐπαρχίας, ἢ ἔτι μὴν εἰς οἰκουμενικὴν σύνοδον ἐκκαλέσασθαι· εἰ μὴ ἆρά τίς ἐστιν, ὅστις πιστεύσει, ἑνὶ ᾡτινιδήποτε δύνασθαι τὸν Θεὸν ἡμῶν τῆς κρίσεως ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς σύνοδον συνηθροισμένοις ἱερεῦσιν ἀρνεῖσθαι. Πῶς δὲ αὕτη ἡ περαματικὴ κρίσις βεβαία ἔσται, πρὸς ἣν τῶν μαρτύρων τὰ ἀναγκαῖα

πρόσωπα, ἢ διὰ τὴν τῆς φύσεως, ἢ διὰ τὴν τοῦ γήρως ἀσθένειαν, ἢ πολλοῖς ἄλλοις ἐμποδισμοῖς, ἐνεχθῆναι οὐ δύναται; Περὶ γὰρ τοῦ, τινὰς ὡσανεὶ ἐκ τοῦ πλευροῦ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, οὐδεμιᾷ τῶν Πατέρων συνόδῳ ὁρισθὲν εὑρίσκομεν· ἐπειδὴ ὅπερ πάλαι διὰ τοῦ αὐτοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου, ὡσανεὶ ἐκ μέρους τῆς ἐν Νικαίᾳ συνόδου αὐτόθεν ἀπέσταλτο, ἐν ταῖς ἀληθεστέραις ἀπογραφαῖς τῆς ἐν Νικαίᾳ, ἅς περ ἐδεξάμεθα ἀπὸ τοῦ ἁγιωτάτου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας συνεπισκόπου ἡμῶν, καὶ παρὰ τοῦ προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει ἐπισκόπου, πεμφθείσας ἐκ τῶν αὐθεντικῶν, αἵ τινες ἔτι μὴν πρὸ τούτου διὰ Ἰννοκεντίου τοῦ πρεσβυτέρου, καὶ Μαρκέλλου τοῦ ὑποδιακόνου, δι᾿ ὧν πρὸς ἡμᾶς παρ᾿ ἐκείνων ἀπεστάλησαν, τῷ τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ ἐπισκόπῳ τῷ προηγησαμένῳ ὑμᾶς παρ᾿ ἡμῶν ἐξεπέμφθησαν, τοιοῦτο τί ποτε οὐκ ἠδυνήθημεν εὑρεῖν. Ἐκβιβαστὰς τοίνυν κληρικοὺς ὑμῶν τινῶν αἰτούντων μὴ θέλετε ἀποστέλλειν, μήτε παραχωρεῖν, ἵνα μὴ τὸν καπνώδη τύφον τοῦ κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος, καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προσφέρει. Τοῦ γὰρ κλαυσίμου Ἀπιαρίου, ἤδη ἀπὸ τοῦ ἀδελφοῦ ἡμῶν Φαυστίνου κατὰ τὰς ἰδίας ἀθεμίτους ἀχρειοσύνας ἐκ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀποκινηθέντος, ἀμέριμνοί ἐσμεν, ὅτι τοῦτον τῇ δοκιμῇ καὶ ῥυθμίσει τῆς σῆς ἁγιωσύνης ἐν τῷ σώζεσθαι τὴν ἀδελφικὴν ἀγάπην περαιτέρω ἡ Ἀφρικὴ οὐδαμῶς ὑπομείνῃ. *Ἡ ὑπογραφή.* Ὁ Θεὸς ἡμῶν τὴν ἁγιωσύνην ὑμῶν ἐπὶ μήκιστον χρόνον φυλάξοι, ὑπὲρ ἡμῶν εὐχομένην, κύριε ἀδελφέ.

---

ΖΩΝΑΡ. Τοῦ Ἀπιαρίου ἀφορισθέντος ἐκ τῆς ἐν Ἀφρικῇ συ-

νόδου, καὶ προσελθόντος τῷ πάπᾳ Κελεστίνῳ, λυθέντος τε τοῦ ἀφορισμοῦ, ὁ ἐπίσκοπος Φαυστῖνος ἐστάλη σὺν ἐκείνῳ εἰς Καρχηδόνα ἐξετάσων τὰ κατ' ἐκείνου μετὰ τῆς ἐκεῖ συνόδου. Γενομένης δὲ τῆς πράξεως, ἐπέστειλε τῷ Κελεστίνῳ ἡ σύνοδος τὴν ἐπιστολὴν ταύτην, δι' ἧς αἰτιᾶται τὸν Φαυστῖνον, ὡς ἀντιποιούμενον τοῦ Ἀπιαρίου καὶ πατρωνίαν ἐπ' αὐτῷ ἐνδειξάμενον, ἤγουν προστασίαν, βοήθειαν, ἀλλ' οὐ κρίσιν, καὶ σπουδὴν ἐκδικοῦντος, ἀλλ' οὐ δικαιοσύνην διαγινώσκοντος, ἤτοι δικάζοντος, καὶ ἀνθιστάμενον τῇ συνόδῳ, καὶ εἰς ὕβρεις χωρήσαντα, ὡς δῆθεν τὰ τῆς Ῥωμαίων ἐκκλησίας ἐκδικοῦντα πριβιλέγια, ἤτοι προνόμια, (καὶ ἡ πατρωνία δὲ, καὶ τὰ πριβιλέγια λέξεις Ῥωμαϊκαὶ, ἤτοι τῶν Λατίνων εἰσὶ,) καὶ σπεύδοντα δεχθῆναι αὐτὸν παρὰ τῆς συνόδου, οὐκ ἐξεγένετο αὐτῷ· ἀλλ' ὁ Θεὸς τὰς παρολκὰς τοῦ Φαυστίνου, τὰς ἀναβολὰς, τοὺς ὑπερβιβασμοὺς δηλαδὴ καὶ τὰς τριψεργίας τοῦ Ἀπιαρίου, τουτέστι τὰς ὑπερθέσεις, τὰς ἐπὶ τοῖς ἔργοις τριβὰς, συντόμως ἐξέτεμε, παρασκευάσας αὐτὸν ὁμολογῆσαι τὰ κατ' αὐτὸν ἐγκλήματα. Ταῦτα δὲ ὅπως ἐγένοντο καταλέξασα ἡ ἐπιστολὴ ἐπάγει· Ἐν προφάτῳ τοίνυν, ἀντὶ τοῦ, ἐν πρωτολογίαις, ἐν προοιμίοις, τὴν ἁρμόζουσάν σοι προσκύνησιν πληροῦντες (ταῦτα δὲ πρὸς τὸν Κελεστῖνον,) ἱκετεύομεν μὴ εὐχερῶς προσδέχεσθαι τοὺς παρ' ἡμῶν γινομένους ἀκοινωνήτους, καὶ τοὺς ἐν τῇ ἐπαρχίᾳ αὐτῶν ἐπιτιμηθέντας ἀκοινωνησίᾳ, μὴ σπουδαίως, ἀντὶ τοῦ, ταχέως, συντόμως ἀποκαθίστασθαι παρὰ σοῦ τῇ κοινωνίᾳ· ἀλλὰ καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς λοιποὺς κληρικοὺς, τοὺς ἀποφεύγοντας ἀναιδῶς, ἤτοι αἰτίας εὐλόγου χωρὶς, διώκεσθαι ζητοῦσι, καὶ ἀποκαθίστασθαι τοῖς ἐπισκόποις αὐτῶν, ἀλλὰ μὴν καὶ παρὰ τοῖς ἐπισκόποις αὐτῶν δικάζεσθαι τοὺς κληρικοὺς αἰτοῦσι. Μέμνηται δὲ καὶ κανόνων περὶ τούτων τῆς ἐν Νικαίᾳ συνόδου, καὶ οὐδαμοῦ λέγουσιν ὁρισθῆναι πέμπεσθαι παρὰ τοῦ πάπα συνδιαγνώμονας καὶ ἐκβιβαστὰς ἐκ τοῦ πλευροῦ αὐτοῦ, ἤτοι ἐγγίζοντας αὐτῷ κατὰ τὴν τιμὴν, ἀντὶ τοῦ, ἐντιμοτέρους, καὶ ᾠκειωμένους αὐτῷ. Οὐδὲ γὰρ εὕρομέν τι, φασὶ, τοιοῦτον ἐν τοῖς πεμφθεῖσιν ἡμῖν παρὰ τοῦ Ἀλεξανδρείας Κυρίλλου, καὶ

τοῦ Κωνσταντινουπόλεως Ἀττικοῦ. Μὴ οὖν θέλετε ταῦτα ποιεῖν, μηδὲ παραχωρεῖν τὸν καπνώδη τύφον εἰσάγεσθαι τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, τὴν ὡς καπνὸν ταχέως διαλυομένην καὶ ἀφανιζομένην κενοδοξίαν· ὅτι, φασίν, ἡ ἁπλότης καὶ ἡ ταπείνωσις ὡς φῶς προσφέρει τὴν ἡμέραν τοῖς θέλουσιν ἰδεῖν τὸν Θεόν· ἤγουν ὅτι, ὥσπερ τὸ φῶς λάμπον τὴν ἡμέραν ποιεῖ, καὶ δίδωσι τὸ ὁρᾷν τὰ αἰσθητά, οὕτως ἡ ἁπλότης καὶ ἡ ταπεινοφροσύνη δίδωσιν ἔλλαμψιν τῷ νοῒ εἰς τὸ ὁρᾷν τὸν Θεόν, τουτέστιν, ὡς ἐφικτὸν κατανοῆσαι αὐτόν.

ΒΑΛΣ. Τοῦ Ἀπιαρίου ἀφορισθέντος ἐκ τῆς ἐν Ἀφρικῇ συνόδου, καὶ προσελθόντος τῷ πάπᾳ Κελεστίνῳ, καὶ λυθέντος τοῦ ἀφορισμοῦ, ὁ ἐπίσκοπος Φαυστῖνος ἐστάλη σὺν ἐκείνῳ εἰς Καρχηδόνα ἐξετάσων τὰ κατὰ τούτου· λυθείσης δὲ τῆς ὑποθέσεως, ἐπέστειλε τῷ Κελεστίνῳ ἡ σύνοδος τὴν ἐπιστολὴν ταύτην. Καὶ πρῶτα μὲν ᾐτιάσατο τὸν Φαυστῖνον, ὡς παραλόγως ἀντιποιηθέντα τοῦ Ἀπιαρίου· εἶτα ἐπήγαγεν, ὡς ἀπὸ ὁμολογίας τοῦ Ἀπιαρίου ἐλύθη ἡ ὑπόθεσις· καὶ ἱκέτευσε μὴ εὐχερῶς προσδέχεσθαι τὸν Κελεστῖνον τοὺς λέγοντας κατὰ τῆς συνόδου, καὶ ἀφορισθέντας παρ᾽ αὐτῆς. Προσέθεντο δὲ, ὡς οὐδὲ οἱ ἐν Νικαίᾳ Πατέρες ὥρισαν πέμπεσθαι παρὰ τοῦ πάπα εἰς Ἀφρικὴν συνδιαγνώμονας, καὶ οὐδὲ εὑρίσκεται τοῦτο ἐν τοῖς πεμφθεῖσι παρὰ τοῦ Ἀλεξανδρείας καὶ παρὰ τοῦ Κωνσταντινουπόλεως.

ΑΡΙΣΤ. Τοὺς παρ᾽ ἡμῶν ἀποκοινωνήτους, εἰς κοινωνίαν τὸ λοιπὸν μὴ θελήσητε παραδέξασθαι· ὅπερ καὶ τῇ ἐν Νικαίᾳ συνόδῳ ὥρισται. Ἰδοὺ γὰρ καὶ Ἀπιάριος, δεχθεὶς παρὰ σοῦ, τῇ συνόδῳ ἀντέστη, καὶ ὕβριν ἐπήνεγκε, καὶ τέλος μετεστράφη, καὶ ἑαυτὸν ἤλεγξε, καταλήξας εἰς στεναγμούς.

Δεξάμενοι οἱ Πατέρες οὗτοι τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου ἀναμφίβολά τε καὶ ἀληθέστατα, καὶ μὴ εὑρόντες ἐν τοῖς κανόσιν αὐτῆς ὁρισθὲν τὸ παρὰ τοῦ πάπα στέλλεσθαι ὑπηρέτας αὐτοῦ, καὶ τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἢ κληρικῶν γυμνάζεσθαι παρ᾽ αὐτοῖς, ἔγραψαν πρὸς τὸν Κελεστῖνον τὸν πάπαν Ῥώμης, μηκέτι τοὺς παρ᾽ αὐτῶν ἀφοριζομένους εὐχερῶς δὴ, καὶ καθὼς οὐ χρὴ, εἰς κοινωνίαν ἀποκαθιστᾷν, ἢ τὰς ἐκκλήτους δέχεσθαι τῶν ἐπισκόπων ἢ κληρικῶν, τῶν εἰς καθαίρεσιν παρ᾽

αὐτῶν καταδικασθέντων, καὶ πρεσβυτέρους ἰδίους στέλλειν, καὶ τὴν τῆς ἐκκλήτου δοκιμασίαν ἀνατιθέναι αὐτοῖς· ἀλλ᾽ ἕκαστον τῶν καταδικασθέντων πρὸς τὰς συνόδους τῆς ἰδίας ἐπαρχίας ἐκκαλεῖσθαι, εἰ βούλεται, ἢ ἔτι μὴν πρὸς οἰκουμενικὴν σύνοδον· ἵνα μὴ κοσμικὸν τύφον τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἰσάγειν δόξῃ. Παρέστησαν δὲ τοῦτο τὸ ἐξ ἔργων αὐτῶν καὶ ὕβριν ταῖς ἐκκλησίαις ἐπάγον· τὸν γὰρ πρεσβύτερον Ἀπιάριον, ἐκ τῆς ἐν Σίκκῃ ἐκκλησίας ἀποκινηθέντα δι᾽ εὐλόγους αἰτίας, εἶτα αὐτῷ δὴ τῷ Κελεστίνῳ τῷ Ῥώμης προσελθόντα, καὶ παρ᾽ αὐτοῦ δεχθέντα, καὶ μετὰ Φαυστίνου τοῦ ἐπισκόπου σταλέντα εἰς τὴν Ἀφρικὴν, ἐπὶ τῷ ἀποδοθῆναι αὐτὸν αὖθις τῷ πρεσβυτερίῳ, κατεξετασθῆναι δὲ καὶ τὰ παρ᾽ αὐτῶν δὴ τῶν Θχραβρακηνῶν κατ᾽ αὐτοῦ ἐπενεχθέντα ἐγκλήματα, ἀναισχυντότερον τοῦτον, τὸ σπουδαίως, καὶ ὡς οὐκ ἔδει, εἰς κοινωνίαν παραδεχθῆναι κατέστησε, καὶ τῇ συνόδῳ ὕβρεις ἐπάγοντα, ὡς μὴ δεχόμενον παρ᾽ αὐτῆς, διὰ τὸ τοὺς κατηγόρους κατὰ πρόσωπον αὐτοῦ ἵστασθαι, καὶ ἀπελέγχειν αὐτὸν, καὶ μετὰ πολλὰς ἀντιλογίας καὶ ἀναισχύντους ἀρνήσεις στενοχωρηθέντα, ὑπό τε τῶν ἐλέγχων, καὶ τῆς ἰδίας συνειδήσεως, δημοσίᾳ ὁμολογήσαντα τὰ κατ᾽ αὐτοῦ προτεθέντα ἐγκλήματα, καὶ εἰς στεναγμοὺς μεταστραφέντα καὶ δάκρυα.

## ΕΚ ΤΩΝ ΠΡΑΧΘΕΝΤΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΠΟΛΕΙ ΠΕΡΙ ΑΓΑΠΙΟΥ ΚΑΙ ΒΑΓΑΔΙΟΥ,

*Ἑκατέρου ἀντεχομένου τῆς ἐπισκοπῆς Βόστρων.*

Ἐπὶ ὑπατείας τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν, Φλαβίου Ἀρκαδίου, αὐγούστου τῷ τρίτῳ, καὶ Ὁνωρίου τῷ δευτέρῳ, τῇ πρὸ τριῶν καλανδῶν Ὀκτωβρίων, ἐν τῷ φωτιστηρίῳ τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης ἐκκλησίας, καθεσθέντων τῶν ἁγιωτάτων ἐπισκόπων, Νεκταρίου Κωνσταντινουπόλεως, Θεοφίλου Ἀλεξανδρείας, Φλαβιανοῦ Ἀντιοχείας, Ἑλλαδίου Καισαρείας Καππαδοκίας, Γελασίου Καισαρείας Παλαιστίνης, Γρηγορίου Νύσσης, Ἀμφιλοχίου Ἰκονίου, Παύλου Ἡρακλείας, Ἀραβιανοῦ Ἀγκύρας, Ἄμμωνος Ἀδριανουπόλεως, Φαλερίου Ταρσοῦ, Λουκίου Ἱεραπόλεως, Ἐλπιδίου Λαοδικείας, Παύλου Ἀλεξανδρῶν, Διοσκόρου Ἑρμουπόλεως, Προβατίου Βερονίκης, Θεοδώρου Μοψουεστίας, Βίζου Σελευκείας, Ἐπαγάθου Μαρκιανουπόλεως, Γεροντίου Κλαυδιανουπόλεως, καὶ ἑτέρων διαφόρων ἐπισκόπων, καὶ παντὸς τοῦ ἱερατείου, Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· Τῆς ἁγίας ταύτης συνόδου κατὰ Θεοῦ χάριν πάλιν ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ συνειλεγμένης, εἰ δοκιμάζει ἡ αὐτὴ τῶν ἁγίων ἀδελφῶν καὶ συλλειτουργῶν σύνοδος, ἐπειδὴ καὶ ἑστῶτας ὁρῶ τοὺς διαφερομένους πρὸς ἑαυτοὺς περὶ τῆς τῶν Βοστρηνῶν ἐπισκοπῆς, τοὺς ἀδελφοὺς ἡμῶν Βαγάδιον καὶ Ἀγάπιον, τῶν πρὸς ἀλλήλους ἐνάρξασθαι δικαίων. Καὶ μετὰ τὸ πραχθῆναί τινα παρ' αὐτοῖς χάριν τῆς αὐτῆς ὑποθέσεως, καὶ ἐμφανισθῆναι καθαίρεσιν τοῦ ῥηθέντος Βαγαδίου γενομένην ὑπὸ δύο καὶ μόνων ἐπισκόπων τῶν καὶ τετελευτηκότων ἤδη κατὰ τὸν καιρὸν τῆς αὐτῆς συνόδου,

Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπεν· Οὐ τῆς παρούσης ἕνεκα δίκης, ἀλλὰ τοῦ ἐφεξῆς βίου παντὸς δεδοικώς, τοῦτο ἀξιῶ τὴν ἁγίαν σύνοδον διαλαλῆσαι, ἔξεστι γενέσθαι καθαίρεσιν παρὰ δύο ἐπισκόπων, ἢ οὔ; καὶ κατὰ ἀπόντος μητροπολίτου ἔξεστιν, ἢ οὔ; Οὐδὲν πρόκριμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν· δέδοικα δὲ μὴ ἐκ τῶν ὑπομνη-

μάτων τούτων τινὲς λαβόμενοι ἐξουσίας, τοιαῦτα τολμήσωσιν· ἀξιῶ οὖν ὑμᾶς ἀποκρίνασθαι. Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐπαινετῶς εἰσηγήσατο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀραβιανός· οὐ μὴν δυναμένης δίκης ἐξομοιοῦσθαι, τὸ παρελθὸν μὴ καταχρίναντες, τὸ ἑξῆς ἀσφαλισώμεθα. Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπε· Τὸ παρελθὸν ἡ τῶν μακαρίων Πατέρων τῶν ἐν Νικαίᾳ σύνοδος καταχρίνει, ἡ κελεύουσα μὴ ἐλάττους εἶναι τριῶν τοὺς χειροτονοῦντας, μηδὲ ἀπόντος τοῦ μητροπολίτου· τοῦ δὲ μέλλοντος ἕνεκεν δεδοικὼς ἐγώ, τὴν ἐρώτησιν ἐποιησάμην. Ἀξιῶ οὖν ὑμᾶς σαφῶς διαλαλῆσαι, καὶ μήτε ἠρτημένως, μήτε ἀμφιβόλως, ὥστε μὴ ἐξεῖναι (1) ὑπὸ δύο ἀνθρώπων μήτε χειροτονεῖσθαι, μήτε καθαιρεῖσθαι ἐπίσκοπον, ἀκολούθως τῇ ἐν Νικαίᾳ συνόδῳ. Καὶ μεθ' ἕτερα, Θεόφιλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπὶ τῶν ἀπελθόντων οὐ δυνατὸν ψῆφον ἐκφέρειν ἀγανακτήσεως, ἐπειδήπερ μὴ παρόντες κατεκρίθησαν· εἰ μέντοιγε περὶ τῶν μελλόντων διασκοπείη τις τῶν ὀφειλόντων καθαιρεῖσθαι(2), φαίνεταί μοι μὴ μόνον τρεῖς παρεῖναι προσήκειν, ἀλλ' εἰ δυνατὸν, τοὺς πάντας ἐπαρχεώτας, ἵνα τῇ τῶν πολλῶν ψήφῳ ἀκριβεστέρα ἡ κατάκρισις τοῦ ἀξίου τῆς καθαιρέσεως δεικνύηται παρόντος καὶ κρινομένου. Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· Νομίμων εἰσηγήσεων καὶ δογμάτων πρυτανευομένων, ἀκόλουθον οὐ διὰ προσώπων τινὰς αἰτίας τὰ τοιαῦτα δογματίζεσθαι. Τοιγαροῦν καθάπερ ὁ ἁγιώτατος ἐπίσκοπος Ἀραβιανὸς εἰσηγήσατο, τὰ μέλλοντα ἀσφαλίσασθαι βουλόμενος, ἀκολούθως καὶ φιλανθρώπως ἡ τοῦ ἁγιωτάτου ἐπισκόπου Θεοφίλου ψῆφος διωρίσατο, μὴ χρῆναι (3) πρὸς τὸ ἑξῆς, μηδὲ παρὰ τριῶν, μήτοι γε παρὰ δύο, τὸν ὑπεύθυνον δοκιμαζόμενον καθαιρεῖσθαι· ἀλλὰ γὰρ πλείονος συνόδου ψήφῳ καὶ τῶν τῆς ἐπαρχίας, καθὼς καὶ οἱ ἀποςολικοὶ

(1) Καν. Α'. ἐν Π. ἕως, συνόδῳ.—(2) Ἐ.—καθελεῖν Χ, Τρ.—(3) Καν. Β'. ἐν Γ.

κανόνες διωρίσαντο. Φλαβιανὸς ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἅπερ κατέθεντο οἱ περὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Νεκτάριον, καὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Θεόφιλον δῆλα· καὶ στέργομεν πάντες οἱ ἐκκλησιαστικοί.

---

ΖΩΝΑΡ. Ἡ μὲν ὑπόθεσις ἐζητεῖτο περὶ τῆς τῶν Βόστρων ἐπισκοπῆς, δύο ταύτης ἀντεχομένων, Ἀγαπίου καὶ Βαγαδίου· ἦν μὲν γὰρ πρώην ἐπίσκοπος ἐν αὐτῇ ὁ Βαγάδιος, διὰ δέ τινας αἰτίας παρ' ἐπισκόπων δύο καθαιρεθέντος αὐτοῦ, καὶ ταῦτα ἀπόντος, ὁ Ἀγάπιος κεχειροτόνητο εἰς τὴν ῥηθεῖσαν ἐπισκοπήν· ᾐτιᾶτο δὲ τὴν καθαίρεσιν ὁ Βαγάδιος. Προτεθείσης οὖν εἰς τὸ μέσον τῆς συνόδου τῆς ὑποθέσεως, Ἀραβιανὸς Ἀγκύρας εἶπεν, ὅτι οὐ διὰ τὴν παροῦσαν ὑπόθεσιν ἐρωτῶ, ἀλλὰ δεδοικὼς περὶ τῶν ἑξῆς, ἵνα μὴ ἐν πάσῃ τοιαύτῃ ὑποθέσει κρατήσῃ ὡς κανὼν τὸ γενόμενον· καὶ ἀξιῶ τὴν σύνοδον εἰπεῖν, εἰ ἔξεστι καθαίρεσιν γενέσθαι παρὰ δύο ἐπισκόπων, καὶ τὴν ψῆφον ταύτην(1) κατ' ἀπόντος δοθῆναι· φοβοῦμαι γάρ, φησι, μή τινες τὰ ἐν τῇ ὑποθέσει ταύτῃ εὑρίσκοντες ὑπομνήματα, τοιαῦτα τολμῶσι. Πρὸς οὖν τὴν ἐρώτησιν ταύτην* ὁ Νεκτάριος ἔφη, ὅτι, εἰ μὴ τὸ παρελθόν, ἤτοι τὸ γεγονὸς κατακρίνομεν καὶ ἀνατρέψομεν, τὸ ἑξῆς, τὸ μέλλον δηλονότι οὐκ ἀσφαλισόμεθα. Ὁ δὲ*(2) Ἀλεξανδρείας Θεόφιλος ἀπεκρίνατο, ὅτι, ἐπεὶ οἱ τὸν Βαγάδιον καθαιρήσαντες δύο ἐπίσκοποι ἤδη τεθνήκασι, κατ' ἐκείνων ψηφίζεσθαι ὡς μὴ καλῶς ποιησάντων οὐ χρή, ἵνα μὴ καὶ ἡμεῖς αἰτιαθῶμεν, ὡς μὴ παρόντας αὐτοὺς κατακρίναντες. Ὅπως δὲ τὸ μέλλον ἀσφαλισώμεθα, ὥστε μηκέτι τοιαῦτα γίνεσθαι, δοκεῖ μοι, φησίν, ὅτι οὐ μόνον τρεῖς ἐνδέχεται παρεῖναι ἐπισκόπους ἐπὶ καθαιρέσει ἐπισκόπου, ἀλλ' εἰ δυνατὸν καὶ τοὺς πάντας ἐπαρχεώτας, ἤγουν τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους, ἐν ᾗ καὶ ἡ ἐπισκοπὴ τοῦ καθαιρουμένου διάκειται, ἵνα, πολλῶν ὄντων τῶν κρινόντων καὶ ἀποφαινομένων, παρόντος καὶ αὐτοῦ τοῦ αἰτιωμένου, ἀκριβεστέρα ἡ κατακρίνουσα ψῆφος τὸν καθαιρούμενον γίνηται. Τῇ γοῦν γνώμῃ ταύτῃ καὶ ὁ Νεκτάριος, καὶ ὁ Φλαβιανός, καὶ οἱ λοιποὶ

---

(1) Χ. Τρ. — τοιαύτην Κ. Βευερ. — (2) Χ. Τρ. — τὰ ἐντὸς τῶν * οὐ κεῖται παρὰ Βευερ.

τῆς συνόδου ἠρέσθησαν. Καὶ ταῦτα μὲν οἱ Πατέρες οὗτοι διετάξαντο. Ὁ δὲ δωδέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, μεταγενεστέρας οὔσης παρὰ ταύτην τὴν ἐπὶ Νεκταρίου συναθροισθεῖσαν, (αὕτη μὲν γὰρ ἐπὶ Ἀρκαδίου συνέστη, ἡ δ' ἐν Καρθαγένῃ, Θεοδοσίου τοῦ μικροῦ βασιλεύοντος,) Ἐπισκόπου, φησὶν, ἐν ἐγκλήματι κατηγορουμένου, δώδεκα ἐπισκόπους δικάζειν, εἰ μὴ διὰ πολλὴν ἀνάγκην πλείονας συνελθεῖν δυνατόν. Ἀναγνωστέον οὖν τὸν εἰρημένον κανόνα, καὶ τὰ ἐπ' ἐξηγήσει αὐτοῦ γεγραμμένα.

ΒΑΛΣ. Τοῦ ἐπισκόπου Βόστρων Βαγαδίου καθαιρεθέντος παρὰ δύο ἐπισκόπων καὶ μονομερῶς, λόγος ἐγένετο παρὰ τῆς ἐν Κωνςαντινουπόλει συνόδου περὶ τοῦ, εἰ καλῶς γέγονεν ἡ τοιαύτη καθαίρεσις, ἀντιποιουμένου τοῦ ψηφισθέντος Ἀγαπίου ὑπὲρ τῆς κρίσεως· καὶ διεγνώσθη ἀκανόνιστον εἶναι τὴν καθαίρεσιν, ὡς μὴ ὀφειλόντων δύο ἀλλὰ πολλῶν τηρεῖν τὰ κατὰ τῶν ἐπισκόπων λεγόμενα. Σὺ δὲ γίνωσκε, ὅτι ἡ τοιαύτη διάγνωσις οὐκ ἔχει τὸ ἐνεργὸν σήμερον. Ἀπὸ γὰρ τοῦ ιβ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, μεταγενεστέρας οὔσης κατὰ πολὺ, τὰ κατὰ τῶν ἐπισκόπων ἐγκληματικὰ δικαστήρια παρὰ δώδεκα ἐπισκόπων γυμνάζονται· καὶ ἀνάγνωθι τὸν τοιοῦτον κανόνα. Γίνωσκε δὲ, ὅτι ἡ μὲν σύνοδος αὕτη ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως γέγονεν· ἡ δὲ ἐν Καρχηδόνι, βασιλεύοντος Θεοδοσίου τοῦ μικροῦ.

ΑΡΙΣΤ. Μὴ χρῆναι πρὸς τὸ ἑξῆς, μήτε παρὰ δύο, μήτε παρὰ τριῶν τὸν ὑπεύθυνον δοκιμαζόμενον καθαιρεῖσθαι, ἀλλὰ πλείονος συνόδου ψήφῳ, καὶ τῶν τῆς ἐπαρχίας, καθὼς καὶ οἱ ἀποστολικοὶ κανόνες διωρίσαντο.

Ἐπειδήπερ εὗρεν ἡ σύνοδος αὕτη τὸν ἐπίσκοπον Βόστρης Βαγάδιον ὑπὸ δύο ἐπισκόπων καθαιρεθέντα, καὶ ἀντ' αὐτοῦ τὸν Ἀγάπιον χειροτονηθέντα, δειλιάσασα μή ποτε καὶ εἰς τὸ μετέπειτα τοῦτο γένηται, τὸ μέλλον ἐξησφαλίσατο, καὶ προσέταξε, τὸν κατηγορούμενον ἐπίσκοπον ἐπ' ἐγκλήμασι, καὶ συνελαυνόμενον εἰς καθαίρεσιν, μὴ παρὰ δύο ἢ παρὰ τριῶν ἐπισκόπων κρίνεσθαι, ἀλλὰ πάντων, εἰ δυνατὸν, τῶν τῆς ἐπαρχίας ἐπισκόπων, ἢ καὶ παρὰ τῶν πλειόνων, ὥστε μὴ ἐλάττους αὐτοὺς τῶν δώδεκα εἶναι, καθὼς ὁ ιβ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου διαλαμβάνει.

---

# ΠΙΝΑΞ ΑΝΑΛΥΤΙΚΟΣ

## ΑΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΩ ΤΡΙΤΩ ΤΟΜΩ

## ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ,

### ΜΕΤΑ ΤΗΣ ΣΥΜΦΩΝΙΑΣ ΑΥΤΩΝ.

### ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΚΑΡΧΗΔΟΝΙ ΕΠΙ ΚΥΠΡΙΑΝΟΥ . ΣΥΣΤΑΣΗΣ ΣΥΝΟΔΟΥ.


Α'. Οτι οἱ παρὰ αἱρετικοῖς βεβαπτισμένοι, προσερχόμενοι τῇ ἐκκλησίᾳ βαπτίζονται. — Ἀπ. μϛ'. μζ'. ξή. τῆς Β'. ζ'. τῆς ϛ'. ϟέ. Λαοδ. μή. Σελ. 2

Γνῶμαι τῶν ἐπισκόπων τῆς συνόδου. 7


### ΚΑΝΟΝΕΣ ΤΗΣ ΑΝ ἈΓΚΥΡᾼ ΣΥΝΟΔΟΥ.


Α'. Περὶ πρεσβυτέρων ἐκπτώσεως ἐν διωγμῷ. — Ἀπ. ξβ'. τῆς Α'. ί. ιά. Ἀγκύρ. β'. ϛ'. ιβ'. Πέτρου γ'. ί. Βασιλ. μέ. ογ'. πά. τῆς ϛ'. ρβ'. Νύσσ. ϛ'. Ἀθαν. ἐπιϛ. πρὸς Ῥουφινιανόν. Θεοφ. ϛ'. 21

Β'. Περὶ διακόνων ἐκπτώσεως. — Ἀγκύρ. ά. καὶ οἱ αὐτοὶ Κανόνες. 22

Γ'. Περὶ ἰδιωτῶν δυναστικῶς μιαροφαγησάντων. — Πέτρου ιδ'. 24

Δ'. Ἐπιτίμιον τῶν μιαροφαγησάντων ἐν εἰδωλικοῖς οὐ μετὰ λύπης. — Τῆς Α. ιδ'. Πέτρου ά. β'. Ἀγκύρ. ζ'. ή. 28

Έ. Ἐπιτίμιον τῶν μετὰ λύπης εἰδωλοθύτων γευσαμένων. — τῆς Α'. ιά. 31

ϛ'. Περὶ τῶν ἀπειλῇ μόνῃ θυσάντων. — Ἀπ. ξβ'. τῆς Α'. ιά. 33

Ζ'. Περὶ τῶν συνεστιαθέντων ἐν ἐθνικῇ ἑορτῇ. — Τῆς Α'. ιά. 35

Η'. Περὶ τῶν πολλάκις ἐκ βίας θυσάντων. — Τῆς Α'. ιά. Ἀγκ. δ'. έ. ζ'. Πέτρου ά. β'. 37


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

**Θ'**. Περὶ τῶν καὶ ἄλλους εἰς τοῦτο ἀναγκασάντων Χριστιανῶν. — Τῆς Α'. ιδ'. Γρηγορ. Θαυμ. ή. Σελ. 38
**Ι'**. Περὶ τῶν πρὸ τῆς χειροτονίας διαμαρτυραμένων διακόνων, ὅτι βούλονται γαμῆσαι. — Ἀπ. κς'. τῆς Δ'. ιδ'. τῆς ς'. ς'. Καρθ. ις'. κέ. (ιθ'. λγ'.) 39
**ΙΑ'**. Μνηστευθεῖσα κόρη, καὶ παρ' ἄλλου ἁρπαγεῖσα, ἀποκαθίσταται τῷ μνηστῆρι. — Τῆς Δ'. κζ'. τῆς ς'. Ϟβ'. Βασιλ. κβ'. λ'. λή. μβ'. νγ'. 41
**ΙΒ'**. Ὁ πρὸ τοῦ βαπτίσματος εἰδώλοις θύσας κληροῦται μετὰ τὸ βάπτισμα. — Βασιλ. κ'. 43
**ΙΓ'**. Χωρεπίσκοποι οὐ χειροτονοῦσι πρεσβυτέρους, ἢ διακόνους, χωρὶς ἐγγράφου ἀδείας τοῦ ἐπισκόπου. — Τῆς Α'. ή. Νεοκαισ. ιδ'. Ἀντιοχ. ή. ί. Βασιλ. πθ'. 46
**ΙΔ'**. Περὶ πρεσβυτέρων ἀπεχομένων κρεῶν. — Ἀπ. νά. νγ'. Βασιλ. πς'. 48
**ΙΕ'**. Ὅτι ἡ πώλησις ἐκκλησιαστικῶν πραγμάτων, μὴ ὄντος ἐπισκόπου, ἀνακαλεῖται, εἰ κρίνοι ὁ ἐπίσκοπος. Ἀπ. λή. μά. 50
**Ις'**. Ἐπιτίμιον τῶν ἀλογευσαμένων. — Νύσσ. δ'. Βασιλ. ζ'. ξγ'. 53
**ΙΖ'**. Τοὺς ἀλογευσαμένους καὶ λεπροὺς τίσι συνευκτέον. Ἀγκύρ. ις'. Νύσσ. δ'. Βασιλ. ζ'. ξγ'. 56
**ΙΗ'**. Περὶ τῶν μὴ δεχθέντων, ἐν ᾗ προεχειρίσθησαν ἐπισκοπῇ. — Ἀπ. λέ. λς'. τῆς ς'. λζ'. Ἀντιοχ. ιή. 58
**ΙΘ'**. Ἐπιτίμιον τῶν ἐπαγγειλαμένων παρθενίαν, καὶ ἀθετησάντων. — Τῆς Α'. γ'. τῆς Δ'. ις'. τῆς ς'. έ. μδ'. 60
**Κ'**. Περὶ μοιχῶν ποινηλασίας. — Ἀπ. μή. τῆς ς'. πζ'. 62
**ΚΑ'**. Περὶ πορνευουσῶν, καὶ ἀποκτεινουσῶν τὰ οἰκεῖα βρέφη.— Τῆς ς'. Ϟά. Βασιλ. β'. ή. 63
**ΚΒ'**. Ἐπιτίμιον τῶν ἑκουσίων φονέων. — Ἀπ. ξέ. Ἀγκύρ. κά. κγ'. Βασιλ. β'. ή. ιά. ιγ'. μγ'. νδ'. νέ. νς'. νζ'. Νύσσ. έ. Ἀθαν. πρὸς Ἀμμοῦν. 65
**ΚΓ'**. Ἐπιτίμιον τῶν ἀκουσίων φονέων. — Ἀγκύρ. κβ'. καὶ οἱ αὐτοὶ Κανόνες. 65

ΚΔ'. Περὶ τῶν ἐπιτηδευόντων, καὶ τῶν δεχομένων τὰς μαντείας.—Τῆς ϛ'. ξά. Βασιλ. ξέ. πγ'. Λαοδ. λϛ'. Νύσσ. γ'. 66
ΚΕ'. Περὶ παιδείας τῶν συνειδότων παρθένον διαφθαρεῖσαν. —Βασιλ. οά. οή. Νηστευτοῦ κδ'. 68

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙᾼ ΣΥΝΟΔΟΥ.

Α'. Περὶ πρεσβυτέρων γημάντων, ἢ πορνευσάντων. — Ἀπ. κέ. τῆς Α'. θ'. Νεοκαισ. θ'. 70
Β'. Περὶ γυναικὸς δυσὶν ἀδελφοῖς γαμηθείσης. — Ἀπ. ιϐ'. οή. 71
Γ'. Περὶ ἐπιτιμίας τῶν πολυγάμων. — Βασιλ. δ'. 74
Δ'. Περὶ ἐπιθυμίας μὴ εἰς ἔργον ἀχθείσης. — Βασ. ϐ. Νηστευτοῦ. ϐ'. γ'. δ'. 75
Ε'. Περὶ κατηχουμένου ἁμαρτήσαντος. — Τῆς Α'. ιδ'. Βασιλ. κ'. Τιμοθ. ϛ'. Κυρίλλ. έ. 77
ϛ'. Περὶ κυοφορούσης, ὅτι ὅτε θέλει βαπτίζεται. 79
Ζ'. Περὶ πρεσβυτέρων ὥστε μὴ ἑστιᾶσθαι εἰς γάμον διγαμούντων. 80
Η'. Οὗ τινος ἡ γυνὴ ἐφωράθη μοιχευθεῖσα, οὐ κληροῦται. 82
Θ'. Περὶ τῶν σωματικῶς πρὸ τῆς χειροτονίας ἡμαρτηκότων πρεσβυτέρων. — Ἀπ. κέ. τῆς Α'. θ'. τῆς ϛ'. δ'. κά. Καρθ. ιθ'. (κζ'.) Νεοκαισ. ά. ή. ί. Βασιλ. γ'. ιζ'. λϐ'. νά. 84
Ι'. Περὶ τῶν ὡσαύτως ἡμαρτηκότων διακόνων. — Νεοκ. θ'. καὶ οἱ αὐτοὶ Κανόνες. 87
ΙΑ'. Περὶ τοῦ, μὴ χειροτονεῖσθαί τινα πρεσβύτερον πρὸ ἐτῶν λ'. — Τῆς ϛ'. ιδ'. ιέ. 88
ΙΒ'. Περὶ τῶν ἐν ἀῤῥωστίᾳ βαπτισθέντων, ὅτι οὐ χειροτονοῦνται. — Ἀπ. π'. τῆς Α'. ϐ'. Κυρίλλ. δ'. 88
ΙΓ'. Περὶ χωρικῶν πρεσβυτέρων. — Τῆς Δ'. ϛ'. 90
ΙΔ'. Ὅτι οἱ χωρεπίσκοποι εἰς τύπον εἰσὶ τῶν Ο'. — Τῆς Α'. ή. Ἀντιοχ. ή. ί. Ἀγκύρ. ιγ'. 92
ΙΕ'. Περὶ τοῦ, ἑπτὰ διακόνους τάττεσθαι ἐν ἑκάστῃ πόλει. — Τῆς ϛ'. ιϛ'. 94

## ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΓΑΓΓΡᾼ ΣΥΝΟΔΟΥ.


Α'. Περὶ ἀρᾶς τῆς εἰς τοὺς τὸν γάμον βδελυσσομένους. — Ἀπ. έ. νά. τῆς ς'. ιγ'. Γάγγρ. δ'. θ'. ιδ'. Σελ. 100

Β'. Περὶ ἀρᾶς τῆς εἰς τοὺς κατακρίνοντας τοὺς ἐσθίοντας κρέα. — Ἀπ. νά. ξγ'. τῆς ς'. ξζ'. Ἀγκύρ. ιδ'. Βασιλ. πς'. 101

Γ'. Περὶ τῆς εἰς τοὺς ἀφιστῶντας τῶν οἰκείων δεσποτῶν τοὺς δούλους. — Ἀπ. πδ'. τῆς Δ'. δ'. τῆς ς'. πέ. Καρθ. νέ. (ξδ'.) Βασιλ. μ'. μβ'. 102

Δ'. Περὶ τῆς εἰς τοὺς διακρινομένους μεταλαβεῖν παρὰ ἐγγάμων πρεσβυτέρων.—Ἀπ. έ. τῆς ς'.ιγ'. μή. Καρθ. δ'. ιή.(κέ.) 103

Ε'. Περὶ τῆς εἰς τοὺς καταφρονοῦντας τῆς ἐν τῇ ἐκκλησίᾳ συνάξεως. — Τῆς ς'. π'. Γάγγρ. κ'. κά. Σαρδ. ιά. ιβ'. 104

ς'. Περὶ τῆς εἰς τοὺς ἀπὸ γνώμης τοῦ ἐπισκόπου ἐκκλησιάζοντας. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λδ'. τῆς ΑΒ'. ιβ'. ιγ'. ιδ'. ιέ. Ἀντιοχ. έ. Καρθ. ί. ιά. νγ'. (ξβ'.) 104

Ζ'. Περὶ τοῦ μόνον ἐντὸς τῆς ἐκκλησίας διδόναι τὰς προσφοράς. — Ἀπ. λή. 105

Η'. Περὶ τοῦ αὐτοῦ. — Ἀπ. λή. 106

Θ'. Περὶ ἀρᾶς τῆς εἰς τοὺς παρθενεύοντας διὰ τὸ τὸν γάμον βδελύττεσθαι. — Ἀπ. έ. νά. 106

Ι'. Περὶ τῆς εἰς τοὺς τὰ παρθενεύοντας καὶ κατεπαιρομένους τῶν γεγαμηκότων. 106

ΙΑ'. Περὶ τῆς εἰς τοὺς τὰ κατὰ Χριστὸν συμπόσια ἐξευτελίζοντας. — τῆς ς'. οδ'. Λαοδ. κζ'. Καρθ. μβ'. (μθ'.) 107

ΙΒ'. Περὶ τῆς εἰς τοὺς περιβολαίῳ μὲν χρωμένους, καταφρονοῦντας δὲ τῶν βήρους φορούντων.—Τῆς ς'. κζ'. τῆς Ζ'.ις'. 108

ΙΓ'. Περὶ τῆς εἰς γυναῖκας ἀνδρῷα φορούσας.—Τῆς ς'. ξβ'. 109

ΙΔ'. Περὶ τῆς εἰς καταλιμπανούσας τοὺς οἰκείους ἄνδρας, διὰ τὸ βδελύττεσθαι τὸν γάμον. — Ἀπ. έ. νά. τῆς ς'. ιγ'. Γάγγρ. ά. δ'. θ'. 110

ΙΕ'. Περὶ τῆς εἰς τοὺς μὴ τρέφοντας, μηδὲ παιδεύοντας τὰ ἴδια τέκνα. — Καρθ. κζ' (λέ.) 110

Ις'. Περὶ τῆς εἰς τοὺς ἀμελοῦντας τῶν ἰδίων γονέων. 112

ΙΖ'. Περὶ τῆς εἰς τὰς ἀποκειρούσας τὴν κόμην. 113

ΙΗ'. Περὶ τῆς εἰς τοὺς τὴν Κυριακὴν νηστεύοντας.—Άπ. ξϛ'. 114
ΙΘ'. Περὶ τῆς εἰς τοὺς τὰς νενομισμένας νηστείας λύοντας. — Άπ. ξθ'. 115
Κ'. Περὶ τῆς εἰς τοὺς τὰς μνήμας τῶν μαρτύρων ἐξουθενοῦντας. — Τῆς ϛ'. ό. Γάγγρ. έ. κά. Σαρδ. ιά. ιϐ'. 117
ΚΑ'. Περὶ ἀπολογίας τῆς αὐτῆς συνόδου δι' οὓς ἐξέθετο Κανόνας. — Άπ. νά. νγ'. τῆς ϛ'. κζ'. π'. τῆς Ζ'. ιϛ'. Γάγγρ. ί. κ'. 117

## ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙᾼ ΣΥΝΟΔΟΥ.

Α'. Περὶ τῶν τοῖς Ἰουδαίοις τὸ Πάσχα συνεορταζόντων. — Άπ. ζ'. 123
Β'. Περὶ τῶν καταφρονούντων τῆς ἐν ἐκκλησίᾳ εὐχῆς, ἢ καὶ τῆς θείας εὐχαριστίας, τοῖς τε ἀκοινωνήτοις κοινωνούντων. — Άπ. θ'. ί. ιά. 125
Γ'. Περὶ τῶν εἰς ἄλλην ἐκκλησίαν μεταϐαινόντων κληρικῶν, καὶ τῶν δεξαμένων ἐπισκόπων. — Άπ. ιέ. ιϛ'. τῆς Α'. ιϛ'. τῆς Δ'. έ. 129
Δ'. Περὶ ἱερατικῶν καθαιρεθέντων, καὶ ἱεροπραγούντων. — Άπ. κή. Ἀντιοχ. ιϐ'. ιέ. 132
Ε'. Περὶ τῶν παρεκτὸς γνώμης τοῦ ἐπισκόπου ἐκκλησιαζόντων. — Άπ. λά. τῆς Δ'. ιή. τῆς ϛ'. λά. λδ'. τῆς ΑΒ'. ιγ'. ιδ'. ιέ. Γάγγρ. ϛ'. Καρθ. ί. ιά. 136
ϛ'. Περὶ τοῦ, μὴ δεκτέον εἶναι παρ' ἄλλου τὸν ἀφωρισμένον.— Άπ. ιϐ'. ιγ'. λϐ'. 138
Ζ'. Περὶ τοῦ, μὴ δεκτέον εἶναι κληρικὸν χωρὶς εἰρηνικῶν γραμμάτων. — Άπ. ιϐ'. ιέ. Καρθ. μζ'. (νέ.) 138
Η'. Περὶ χωρεπισκόπων, ὅτι διδοῦσιν εἰρηνικὰ γράμματα. — Άπ. ιϐ'. τῆς Α'. ή. 139
Θ'. Περὶ τοῦ, εἰδέναι προϊστῶτα τοὺς ἐπισκόπους τὸν μητροπολίτην. — Άπ. λδ'. 140
Ι'. Ὅτι οἱ χωρεπίσκοποι καθιστῶσιν ὑποδιακόνους, ἀναγνώστας, καὶ ἐφορκιστὰς, οὐχὶ δὲ πρεσϐυτέρους, ἢ διακόνους, δίχα γνώμης τοῦ ἐπισκόπου τῆς πόλεως. — τῆς Α'. ή. Ἀγκύρ. ιγ'. 141

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΙΑ'. Περὶ ἐπισκόπου, ἢ κληρικοῦ, ὅτι χωρὶς τῆς τοῦ προέδρου γνώμης οὐ δέον εἰς βασιλέα ἀπέρχεσθαι. — Σαρδ. ζ'. ή. θ'. κ'. Καρθ. ρς'. (ριζ'.) Σελ. 144

ΙΒ'. Περὶ τῶν αὐτῶν καθαιρεθέντων, ὥστε μὴ ἐκκαλεῖσθαι εἰς βασιλέα, ἀλλ' εἰς μείζονα σύνοδον. — Τῆς Β'. ς'. τῆς Δ'. ιζ'. Καρθ. ρδ'. (ριέ) 146

ΙΓ'. Περὶ τοῦ, μὴ ὑπερόρια χειροτονίας γίνεσθαι. — Ἀπ. λέ. τῆς Β'. β'. τῆς Γ'. ή. τῆς ς'. κ'. Ἀντιοχ. κβ'. Σαρδ. γ'. ιά. ιβ'. 150

ΙΔ'. Περὶ κρινομένου ἐπισκόπου ἐπὶ ἐγκλήμασι, καὶ πῶς λύεται ἡ μεταξὺ τῶν δικαζόντων αὐτὸν διχοψηφία; — Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. ιζ'. 152

ΙΕ'. Πότε ἡ κατὰ τοῦ ἐπισκόπου ἀπόφασις οὐκ ἀνακρίνεται; — Ἀπ. κή. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. ιζ'. Σαρδ. δ'. Ἀντ. δ'. 153

Ις'. Περὶ ἐπισκόπου ἐπιπίπτοντος ἐπὶ σχολάζουσαν ἐκκλησίαν. — Ἀπ. ιδ'. 154

ΙΖ'. Ὁ μὴ δεχόμενος τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν ἐπίσκοπος, ἀκοινώνητος. — Ἀπ. λς'. 158

ΙΗ'. Περὶ ἐπισκόπου ἐμποδισθέντος τῆς ἑαυτοῦ παροικίας οὐ δι' οἰκείαν αἰτίαν. — Ἀπ. λς'. 159

ΙΘ'. Ὅτι ἐπίσκοπος οὐ χειροτονεῖται χωρὶς τῆς τοῦ μητροπολίτου παρουσίας. — Ἀπ. ά. τῆς Δ'. ς'. τῆς Ζ'. γ'. Καρθ. μθ'. ν'. (νή. νθ'.) 160

Κ'. Ὅτι σύνοδον ἔδοξε γίνεσθαι δεύτερον τοῦ ἔτους ἐν ἑκάστῃ ἐπαρχίᾳ. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. τῆς Ζ'. ς'. Λαοδ. μ'. Καρθ. ιή. νά. νβ'. ογ'. ος'. οζ'. ϙέ. (κς'. ξ'. ξά. πά. πδ'. πέ. ρδ'.) 162

ΚΑ'. Ὅτι ὁ ἐπίσκοπος εἰς ἄλλην παροικίαν οὐ μεθίσταται. — Ἀπ. ιδ'. τῆς Α'. ιέ. τῆς Δ'. έ. Σαρδ. ά. β'. Καρθ. μή. (νζ'.) 164

ΚΒ'. Περὶ τοῦ, μὴ χειροτονεῖν τὸν ἐπίσκοπον ὑπερόρια. — Ἀπ. λέ. τῆς Β'. ιβ'. τῆς Γ'. ή. τῆς ς'. κ'. Ἀντιοχ. ιγ'. 164

ΚΓ'. Ὅτι οὐκ ἔξεστι τῷ ἐπισκόπῳ καθιστᾷν ἑαυτῷ διάδοχον. — Ἀπ. ος'. 165

ΚΔ'. Ὥστε παρὰ τῷ ἐπισκόπῳ κεῖσθαι τὰ τῆς ἐκκλησίας πράγ-

ματα, διακρινόμενα τῶν τοῦ ἐπισκόπου. — Ἀπ. λή. μ'. μά. Σελ. 166
ΚΕ'. Ὅτι τοῖς δεομένοις, μεταδιδόναι ὀφείλει ὁ ἐπίσκοπος τῶν τῆς ἐκκλησίας πραγμάτων, μεταλαμβάνων καὶ αὐτὸς, εἴ γε δέοιτο, ἄνευ βλάβης τῆς ἐκκλησίας. — Ἀπ. λή. μά. 168

## ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΛΑΟΔΙΚΕΙᾼ ΣΥΝΟΔΟΥ.

Α'. Ἐπιτίμιον τῶν δευτερογαμούντων. — Τῆς Α'. ιδ'. Βασιλ. δ'. 171
Β'. Ὅτι οἱ ἁμαρτήσαντες, ἐξομολογούμενοι καὶ μετανοοῦντες προσάγονται τῇ κοινωνίᾳ. — Τῆς Α'. ιβ'. 173
Γ'. Ὅτι οἱ νεοφώτιστοι οὐ χειροτονοῦνται. — Ἀπ. π'. τῆς Α'. β'. τῆς ΑΒ'. ιζ'. Σαρδ. ί. Νεοκ. ιβ'. Κυρίλλ. δ'. 174
Δ'. Ὅτι ἱερατικὸς οὐ τοκίζει. — Ἀπ. μδ'. τῆς Α'. ιζ'. τῆς ς'. ί. έ. Καρθ. έ. ις'. (έ. κ'.) Βασιλ. ιδ'. 174
Ε'. Περὶ τοῦ μὴ ψηφίζεσθαι τοὺς χειροτονηθησομένους ἐνώπιον ἀκροωμένων.—Ἀπ. λ'. τῆς Α'.δ'. τῆς Ζ'. γ'. Θεοφ. ζ'. 175
ς'. Αἱρετικοὶ εἰς τὸν ναὸν μὴ εἰσερχέσθωσαν.—Ἀπ. ί. μέ. ξδ'. Λαοδ. θ'. λβ'. λγ'. λδ'. Τιμοθ. θ'. 176
Ζ'. Οἱ αἱρετικοὶ οὐ προσδέχονται πρὸ τοῦ ἀναθεματίσαι πᾶσαν αἵρεσιν. — Ἀπ. μς'. μζ'. ξή. τῆς Α'. ή. ιθ'. τῆς Β'. ζ'. τῆς ς'. ϙέ. Λαοδ. ή. 176
Η'. Ὅτι οἱ Φρύγες λεγόμενοι αἱρετικοὶ, προσερχόμενοι τῇ ἐκκλησίᾳ, βαπτίζονται. — Ἀπ. μς'. μζ'. ξή. τῆς Α'. ή. ιθ'. τῆς Β'. ζ'. τῆς ς'. ϙέ. Λαοδ. ζ'. 178
Θ'. Ὅτι οὐκ ἐπιτρέπεται τοῖς πιστοῖς εἰσιέναι εἰς τὰ κοιμητήρια ἢ τὰ μαρτύρια τῶν αἱρετικῶν εὐχῆς ἕνεκα. — Ἀπ. μέ. 179
Ι'. Ὅτι οὐ συναπτέον γάμους πρὸς αἱρετικούς. — Τῆς Δ'. ιδ'. τῆς ς'. οβ'. Λαοδ. λά. Καρθ. κά. (κθ'.) 180
ΙΑ'. Προκαθήμεναι μὴ καθιστάσθωσαν ἐν ἐκκλησίαις. 181
ΙΒ'. Οἱ πίστει καὶ πολιτείᾳ δοκιμώτατοι καθιστάσθωσαν ἐπίσκοποι. — Ἀπ. ά. τῆς Α'. δ'. 182
ΙΓ'. Ὅτι ἄδεκτοι εἰς ἱερατεῖον οἱ ὑπὸ τοῦ ὄχλου ἐκλεγόμενοι. — Ἀπ. λ'. ξά. Λαοδ. έ. Καρθ. ν'. (νθ'.) 183

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΙΔ'. ὅτι οὐ διαπέμπονται τὰ ἅγια ἐν τῷ Πάσχα εἰς παροικίας. 183
ΙΕ'. Μόνοι οἱ κανονικοὶ ψάλται ψάλλουσιν ἐπ' ἐκκλησίας. — Τῆς ϛ'. λγ'. οέ. 184
Ιϛ'. Ὅτι ἐν σαββάτῳ ἀναγινωσκέσθωσαν τὰ Εὐαγγέλια καὶ ἕτεραι Γραφαί. 185
ΙΖ'. Ὅτι οὐκ ἐπισυναπτέον τοὺς ψαλμοὺς ἐν τῇ ἐκκλησίᾳ. — Τῆς ϛ'. οέ. 176
ΙΗ'. Περὶ τοῦ τὰς αὐτὰς εὐχὰς πάντοτε ἐπιτελεῖν.—Καρθ. ργ'. (ριδ'.) 186
ΙΘ'. Περὶ τάξεως τῶν εὐχῶν. — Τῆς Α'. ιδ'. 187
Κ'. Ὅτι ὁ διάκονος οὐ καθέζεται ἀκέλευστος ἐνώπιον πρεσβυτέρου. — Τῆς Α'. ιή. τῆς ϛ'. ζ'. Λαοδ. νϛ'. 189
ΚΑ'. Ὑπηρέτης οὐχ ἅπτεται τῶν ἱερῶν σκευῶν.—Λαοδ. μγ'. 190
ΚΒ'. Καθήκοντα τῶν ὑπηρετῶν τῆς ἐκκλησίας.—Λαοδ. μγ'. 190
ΚΓ'. Ψάλται καὶ ἀναγνῶσται οὐ φέρουσιν ὀράριον.—Τῆς ϛ'. λγ'. οέ. τῆς Ζ'. ιδ'. 192
ΚΔ'. Τοῖς κληρικοῖς καὶ ὑπηρέταις τῆς ἐκκλησίας ἀπαγορεύεται ἡ εἴσοδος εἰς καπηλεῖα.—Ἀπ. μβ'. μγ'. νδ'. τῆς ϛ'. θ'. τῆς Ζ'. κβ'. Καρθ. μ'. ξ'. (μγ'. ξθ'.) 192
ΚΕ'. Ὁ ὑπηρέτης οὐ δίδωσιν ἄρτον, οὐδ' εὐλογεῖ ποτήριον. 193
Κϛ'. Ὁ μὴ παρ' ἐπισκόπου προαγόμενος οὐκ ἐφορκίζει. — Ἀντιοχ. ί. 193
ΚΖ'. Ὅτι οὐ δεῖ τοὺς εἰς ἀγάπην καλουμένους μέρη αἴρειν. — Τῆς ϛ'. οδ'. οϛ'. ηζ'. Γάγγρ. ιά. Λαοδ. κή. Καρθ. μβ'. (μθ'.) 194
ΚΗ'. Οὐ ποιητέον ἀγάπας ἐν ἐκκλησίαις. — Τῆς ϛ'. οδ'. οϛ'. πή. ηζ'. Γάγγρ. ιά. Λαοδ. κζ'. Καρθ. μβ'. (μθ'.) 195
ΚΘ'. Ὅτι οὐ χρὴ ἰουδαΐζειν σχολάζοντας ἐν σαββάτῳ. 196
Λ'. Ὅτι οὐκ ἔξεστι συλλούεσθαι γυναιξί. — Τῆς ϛ'. οζ'. 197
ΛΑ'. Ὅτι οὐ χρὴ διδόναι τέκνα ἐπὶ γάμῳ αἱρετικοῖς, ἀλλὰ λαμβάνειν.— Τῆς Δ'. ιδ'. τῆς ϛ'. οβ'. Λαοδ. ί. Κάρθ. κά. (κθ'.) 198
ΛΒ'. Ὅτι οὐ χρὴ λαμβάνειν εὐλογίας αἱρετικῶν. 198
ΛΓ'. Οὔτε συνεύχεσθαι αἱρετικοῖς, ἢ σχισματικοῖς. 198

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΛΔ'. Τοῖς ἀπερχομένοις πρὸς ψευδομάρτυρας αἱρετικῶν ἔστω ἀνάθεμα. Σελ. 200

ΛΕ'. Τῷ παρασυνάγοντι, καὶ ὀνομάζοντι ἀγγέλους, ἀνάθεμα. 201

Λϛ'. Κληρικοὶ μετερχόμενοι μαγείας, ἢ ἐπαοιδὰς, ἢ ἀστρολογίαν, ἢ φυλακτήρια ποιοῦντες, ῥίπτονται ἐκ τῆς ἐκκλησίας.— Τῆς ϛ'. ξά. Ἀγκύρ. κδ'. Βασιλ. ζ'. ξέ. οϐ'. πγ'. Νύσσ. γ'. 203

ΛΖ'. Ὅτι οὐκ ἔξεστι συνεορτάζειν Ἰουδαίοις, ἢ αἱρετικοῖς. — Ἀπ. ὀ. 206

ΛΗ'. Οὐδὲ λαμβάνειν ἄζυμα παρ' αὐτῶν.— Ἀπ. ὀ. 206

ΛΘ'. Οὐδὲ συνεορτάζειν ἢ κοινωνεῖν τοῖς ἔθνεσιν.—Ἀπ. οά. 206

Μ'. Ἐπίσκοποι καλούμενοι εἰς σύνοδον, μὴ ἀπολιπέσθωσαν. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ϛ'. ή. τῆς Ζ'. ϛ'. Ἀντ. κ'. Καρθ. ιή. ογ'. οϛ'. οζ'. ϙέ. (κϛ'. πά. πδ'. πέ. ρδ'.) 207

ΜΑ'. Κληρικὸς ἄνευ κελεύσεως ἐπισκόπου μὴ ὁδευέτω. 209

ΜΒ'. Μηδ' ἄνευ κανονικῶν γραμμάτων. — Ἀπ. ιϐ'. τῆς Δ'. ιγ'. Ἀντιοχ. ζ'. ή. ιά. 210

ΜΓ'. Τοὺς ὑπηρέτας οὐ δεῖ τὰς θύρας ἀφέντας προσεύχεσθαι. — Λαοδ. κά. κϐ'. 211

ΜΔ'. Γυναῖκες μὴ εἰσερχέσθωσαν ἐν τῷ θυσιαστηρίῳ. — Νικηφ. ιέ. 212

ΜΕ'. Ὅτι οὐ δεῖ δέχεσθαι εἰς τὸ φώτισμα μετὰ δύω ἑϐδομάδας τῆς Τεσσαρακοστῆς. — Τῆς ϛ'. οή. 212

Μϛ'. Ὅτι δεῖ τοὺς φωτιζομένους ἐκμανθάνειν τὴν πίστιν.— Τῆς ϛ'. οή. 214

ΜΖ'. Τοὺς δὲ ἐν νόσῳ φωτιζομένους, μετὰ τὸ ἀναῤῥῶσαι. 214

ΜΗ'. Ὅτι οἱ βαπτιζόμενοι χρίονται μύρῳ.—Καρχ. ἐπὶ Κυπρ. 215

ΜΘ'. Ὅτι οὐ προσφέρεται ἄρτος ἐν Τεσσαρακοστῇ εἰ μὴ ἐν σαϐϐάτῳ καὶ Κυριακῇ. — Τῆς ϛ'. νϐ'. 216

Ν'. Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑϐδομάδι τὴν πέμπτην λύειν. — Τῆς ϛ'. κθ'. 217

ΝΑ'. Ἐν Τεσσαρακοστῇ οὐ τελοῦνται μνῆμαι μαρτύρων εἰ μὴ ἐν σαϐϐάτῳ καὶ Κυριακῇ. 218

ΝΒ'. Ἐν Τεσσαρακοστῇ γάμος ἢ γενέθλια οὐκ ἐπιτελοῦνται. 219

ΝΓ'. Ὅτι οὐ δεῖ ἐν γάμοις βαλλίζειν ἢ ὀρχεῖσθαι. — Τῆς Ζ'. κϐ'. Σελ. 219
ΝΔ'. Ἱερατικοὶ ἢ κληρικοὶ οὐ παραμένουσι τοῖς γάμοις μετὰ τὸ τοὺς θυμελικοὺς εἰσελθεῖν. — Τῆς ς'. κδ'. 220
ΝΕ'. Συμπόσια ἐκ συμϐολῆς μὴ ἐπιτελείσθωσαν. 221
Νς'. Πρεσϐύτερος πρὸ τοῦ ἐπισκόπου οὐκ εἰσέρχεται, οὐδὲ καθέζεται ἐν τῷ βήματι. — Τῆς Α'. ιη'. 221
ΝΖ'. Ἐν ταῖς κώμαις οὐ καθίστανται ἐπίσκοποι ἀλλὰ περιοδευταί.—Ἀπ. λή. τῆς Α'. ή. Σαρδ. ς'. 222
ΝΗ'. Προσφορὰ μὴ γινέσθω ἐν οἴκῳ οὐδὲ παρ' ἐπισκόπου. — Τῆς ς'. λά. 224
ΝΘ'. Ἰδιωτικοὶ ψαλμοὶ οὐ λέγονται ἐπ' ἐκκλησίας, ἀλλὰ μόνον τὰ κανονικά.—Ἀπ. πέ. Λαοδ. ξ'. Καρθ. κδ'. (λϐ'.) 225
Ξ'. Ὅσα δεῖ τῶν τῆς Γραφῆς ἀναγινώσκεσθαι βιϐλία.—Ἀπ. πέ. Καρθ. κδ'. (λϐ'.) 225

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΣΑΡΔΙΚΗ ΣΥΝΟΔΟΥ.

Α'. Ἀπὸ πόλεως εἰς πόλιν οὐ δεῖ ἐπίσκοπον μεθίστασθαι.—Ἀπ. ιδ'. τῆς Α'. ιέ. τῆς Δ'. έ. Ἀντιοχ. ις'. κά. Σαρδ. ϐ'. 228
Β'. Ὁ δὲ τοιοῦτον πράξας, καὶ διαϐεϐαιούμενος ἀπὸ τοῦ πλήθους κεκομίσθαι γράμματα, ἀκοινώνητος.— Ἀπ. ιδ'. τῆς Α'. ιέ. τῆς Δ'. έ. Ἀντιοχ. ις'. κά. Σαρδ. ά. Καρθ. μή. (νζ'.) 231
Γ'. Οὐδ' εἰς ἄλλου ἐπαρχίαν ἀπίτω εἰ μὴ παρὰ τοῦ ἐπισκόπου προσκληθείς· ὑπὸ δὲ τῶν ἐπισκόπων τῆς ἐπαρχίας δικαζέσθωσαν αἱ διαφοραὶ τῶν ἐριζόντων ἐπισκόπων.—Ἀπ. λέ. τῆς Β'. ϐ'. τῆς Γ'. ή. τῆς ς'. ή. Ἀντιοχ. ιγ'. κϐ'. Σαρδ. ιά. ιϐ'. 233
Δ'. Ὅτι ἐὰν ὁ καθαιρεθεὶς ἐπίσκοπος ζητῇ πάλιν ἀπολογήσασθαι, οὐ καθίσταται ἕτερος ἀντ' αὐτοῦ, πρὶν ὁ Ῥώμης ὅρον ἐξενέγκῃ. — τῆς ΑΒ'. ις'. Καρθ. πζ'. (ϙς'.) 238
Ε'. Ἐπίσκοπος καθαιρεθείς, καὶ δεύτερον ἐκκαλεῖται πρὸς τὸν Ῥώμης, εἴγε οὗτος κρίνοι δοκιμασθῆναι τὰ προκεκριμένα. 239
ς'. Ἑνὸς ἐπισκόπου ἀπομείναντος ἔν τινι ἐπαρχίᾳ, καὶ ζητούντων τῶν λαῶν ἐπίσκοπον, μετὰ τὸ ματαίως αὐτὸν προσκληθῆναι, καθίσταται ἕτερος διὰ τοῦ μητροπολίτου. — Ἀπ. ά. τῆς Α'. δ'. Ἀντιοχ. ιθ'. Καρθ. ιγ'. μθ'. (νή.) 243

Ζʹ. Ἐπίσκοποι μὴ ἀπιέτωσαν εἰς τὸ στρατόπεδον εἰ μὴ προσκληθεῖεν.—Ἀντιοχ. ιά. Σαρδ. ή. θʹ. κʹ. Καρθ. ρϛʹ. (ριζʹ.) Σελ. 248

Ηʹ. Πῶς ἐπιστέλλουσι πρὸς Βασιλέα οἱ ἐπίσκοποι; — Ἀντιοχ. ιά. Σαρδ. ζʹ. θʹ. κʹ. Καρθ. ρϛʹ. (ριζʹ.) 252

Θʹ. Ἡ πρὸς ἐπίσκοπον τῆς χώρας, ἐν ᾗ διάγει ὁ Βασιλεύς; — Ἀντιοχ. ιά. Σαρδ. ζʹ. ή. Καρθ. ρϛʹ. (ριζʹ.) 253

Ιʹ. Ὅτι οὐ χειροτονεῖται ἐπίσκοπος πρὸ τοῦ διὰ τῶν κατωτέρων βαθμῶν διελθεῖν. — Ἀπ. πʹ. τῆς Αʹ. βʹ. τῆς ΑΒʹ. ιζʹ. Νεοκαισ. ιβʹ. Λαοδ. γʹ. Κυρίλλ. δʹ. 256

ΙΑʹ. Ὁ εἰς ἑτέραν ἐπαρχίαν μεταβαίνων ἐπίσκοπος μὴ κατεπαιρέσθω τοῦ ἐγχωρίου ἐπισκόπου, ἵνα μὴ ταράχους ἐμποιῇ, μηδ' ἀπολιμπανέσθω ἐπὶ πολὺ τῆς οἰκείας ἐκκλησίας. — Ἀπ. λέ. νή. τῆς Γʹ. ή. τῆς ϛʹ. ιθʹ. κʹ. πʹ. τῆς ΑΒʹ. ιϛʹ. Καρθ. οά. οδʹ. οϛʹ. ρκά. ρκγʹ. (οθʹ. πβʹ. πδʹ. ρλά. ρλβʹ.) Γάγγρ. έ. κʹ. κά. Σαρδ. γʹ. ιβʹ. Νύσσ. ϛʹ. Πέτρου ί. Ἀντιοχ. ιγʹ. κβʹ. 259

ΙΒʹ. Ὁ τὰ ἐν ἀλλοτρίᾳ ἐπισκοπῇ κείμενα αὐτοῦ κτήματα ἐπισκεπτόμενος ἐπίσκοπος, μὴ πλέον τριῶν Κυριακῶν αὐτόθι διαμενέτω. —Ἀπ. νή. τῆς ϛʹ. ιθʹ. πʹ. τῆς ΑΒʹ. ιϛʹ. Γάγγρ. έ. κʹ. κά. Σαρδ. ιά. Καρθ. οά. οδʹ. οϛʹ. ρκά. ρκγʹ. (οθʹ. πβʹ. πδʹ. ρλά. ρλβʹ.) Νύσσ. ϛʹ. Πέτρου ί. 262

ΙΓʹ. Ὅτι ὁ τῷ ἀκοινωνήτῳ κοινωνίαν παρέχων, ὑπεύθυνος. — Ἀπ. ιβʹ. λβʹ. λγʹ. τῆς Δʹ. ιγʹ. Ἀντιοχ. ϛʹ. Ἀγ. Σοφ. ά. 266

ΙΔʹ. Ἐὰν παρ' ὀξυχόλου ἐπισκόπου ἐκβληθῇ κληρικός τις τῆς ἐκκλησίας, ἀνακρινέσθω τὸ πρᾶγμα ὑπὸ τοῦ μητροπολίτου, ἤ, τούτου ἀπόντος, ὑπὸ τοῦ τῆς πλησιοχώρου ἐπαρχίας.— Ἀπ. ιβʹ. ιγʹ. κή. λβʹ. τῆς Αʹ. έ. Ἀγ. Σοφ. ά. Ἀντιοχ. δʹ. ϛʹ. Σαρδ. ιβʹ. ιέ. Καρθ. ιά. κθʹ. ξβʹ. ξέ. ρλβʹ. (ιά. λζʹ. οά. οδʹ. ρμά.) 267

ΙΕʹ. Ὅτι ἄκυρος ἡ βαθμολόγησις ἀλλοτρίου ὑπηρέτου, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου γενομένη.— Ἀπ. ιέ. τῆς Αʹ. ιέ. ιϛʹ. τῆς Δʹ. έ. ί. κʹ. κγʹ. τῆς ϛʹ. ιζʹ. ιή. τῆς Ζʹ. ί. ιέ. Ἀντιοχ. γʹ. Σαρδ. ιϛʹ. ιζʹ. Καρθʹ. νδʹ. ϟʹ. (ξγʹ. ϟή.) 271

Ιϛʹ. Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς ἐπὶ πολὺ τῆς ἑαυτῶν ἐνορίας

ἀπολιμπάνεσθαι.— Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ί. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ιζ'. Καρθ. νδ'. ϟ'. (ξγ'. ϟή.) 272

ΙΖ'. Ἐπίσκοπος ἀδίκως ἐκβληθεὶς, μὴ κωλυέσθω ἐν ἑτέρᾳ πόλει διάγειν ἕως ἂν ἀπαλλαγὴν τῆς ὕβρεως εὑρέσθαι δυνηθῇ.— Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ί. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. Καρθ. νδ'. ϟ'. (ξγ'. ϟή.) 273

ΙΗ'. Περὶ ὑποδοχῆς τῶν παρὰ Μουσαίου καὶ Εὐτυχιανοῦ κατασταθέντων. 275

ΙΘ'. ὅτι οὐκ ὀφείλουσιν ὑποδέχεσθαι τοὺς μὴ ἐπανερχομένους εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας. 275

Κ'. Ἐπιτίμια κατὰ τῶν παραβαινόντων τὰ τῇ συνόδῳ ὁρισθέντα. — τῆς ς'. ϐ'. 280

ΚΑ'. Ἐπίσκοπος ἐπίσκοπον ἀλλαχόσε μεταβαίνοντα θεώμενος, ἐπιζητείτω τὴν αἰτίαν τῆς παρόδου.— Ἀντιοχ. ιά. Σαρδ. ζ'. ή. θ'. 282

## ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΚΑΡΘΑΓΕΝΗ ΣΥΝΟΔΟΥ.

Α'. Ὥστε τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα, παντὶ τρόπῳ παραφυλαχθῶσι. 297

Β'. Περὶ κηρυκτέας τῆς ἁγίας Τριάδος. 299

Γ'. Περὶ ἐγκρατείας. —Ἀπ. έ. τῆς ς'. ιϐ'. ιγ'. λ'. μή. Γάγγρ. δ'. Καρθ. δ'. ις'. κέ. (δ'. ιθ'. λγ'.) 301

Δ'. Περὶ διαφόρων τάξεων ὀφειλουσῶν ἀπέχεσθαι γυναικῶν.— Ἀπ. έ. τῆς ς'. ιϐ'. ιγ'. λ'. μή. Γάγγρ. δ'. Καρθ. γ'. ις'. κέ. (γ'. ιθ'. λγ'.) 302

Ε'. Περὶ ἀπληστίας.— Ἀπ. μδ'. τῆς Α'. ιζ'. τῆς ς'. ί. Λαοδ. δ'. Καρθ. ις'. (κ'.) Γρηγ. Θαυμ. γ'. Βασιλ. ιδ'. 306

ς'. Ὥστε χρίσμα [καὶ κορῶν καθιέρωσιν] ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι. — Ἀπ. λθ'. τῆς Α'. γ'. ιθ'. Καρθ. ζ'. μγ'. μδ'. ρκς'. (ζ'. ν'. νά. ρλέ.) 309

Ζ'. Περὶ τῆς τῶν ἐν κινδύνῳ καθεστώτων καταλλαγῆς. — Ἀπ. λθ'. Καρθ. ς'. μγ'. (ς'. ν'.) 313

Η'. Περὶ τῶν τοὺς πατέρας αἰτιωμένων, καὶ ὥστε μηδενὶ δια-

βεβλημένων ἐξεῖναι ἐπισκόπου κατηγορεῖν. — Ἀπ. οδ'. τῆς ς'. ς'. τῆς Δ'. κά. Καρθ. ιθ'. ρκή. ρκθ'. ρλ'. (κζ'. ρλζ'. ρλή. ρλθ'.) 315

Θ'. Περὶ τῶν κατ' ἀξίαν τῶν οἰκείων ἀτοπημάτων ἐκ τοῦ ἐκκλησιαστικοῦ συλλόγου ἐκβαλλομένων. — Ἀπ. ί. ιά. ιβ'. ιγ'. λβ'. Ἀντιοχ. β'. ς'. Ἀγ. Σοφ. ά. 316

Ι'. Περὶ πρεσβυτέρων τῶν ἀπὸ τῶν οἰκείων καταγινωσκομένων ἐπισκόπων. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λβ'. τῆς ΑΒ'. ιγ'. ιδ'. ιέ. Ἀντιοχ. έ. Καρθ. ιά. νγ'. (ιά. ξβ'.) 318

ΙΑ'. Ἐάν τις πρεσβύτερος, κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς, σχίσμα ποιήσῃ, ἀνάθεμα ἔστω. — Ἀπ. λά. λδ'. τῆς ΑΒ'. ιγ'. ιδ'. ιέ. Ἀντιοχ. έ. ς'. Γάγγρ. ς'. Καρθ. νγ'. (ξβ'.) 320

ΙΒ'. Ἐάν τις ἐπίσκοπος χωρὶς καιροῦ συνόδου ἐγκλήματι περιβληθῇ, ὁ τοιοῦτος ἀκουσθῇ ἀπὸ δώδεκα ἐπισκόπων. — Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. Ἀντιοχ. δ'. Καρθ. ιέ. κ'. ϙζ'. ρζ'. (ις. κή. ρέ. ριή.) 322

ΙΓ'. Περὶ τοῦ μὴ ἐξεῖναι ἐπίσκοπον, εἰ μὴ ἀπὸ πολλῶν χειροτονεῖσθαι· εἰ δὲ ἀνάγκη γένηται, κἂν ἀπὸ τριῶν ὁ ἐπίσκοπος χειροτονηθείη. — Ἀπ. ά. δ'. ς'. τῆς Ζ'. γ'. Ἀντιοχ. ιθ'. Κωνσταντιν. περὶ Ἀγαπ. καὶ Βαγαδ. ά. 325

ΙΔ'. Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν καὶ ὥστε τὸν πρεσβύτερον ἐκεῖσε ἀπὸ πέντε ἀκούεσθαι ἐπισκόπων. — Ἀπ. οδ'. τῆς Α'. ς'. τῆς Δ'. θ'. Ἀντιοχ. ιβ'. Καρθ. ρδ'. (ριέ.) 329

ΙΕ'. Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε, ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι. — Ἀπ. μβ'. μδ'. οδ'. τῆς Α'. ς'. τῆς Β'. ς'. τῆς Δ'. θ'. Ἀντιοχ. ιβ'. Καρθ. ιβ'. ρδ'. τῆς ς'. κδ'. νά. ξβ'. ξς'. Ἀντιοχ. ιβ'. Λαοδ. ιγ'. νδ'. Καρθ. έ. ιβ'. ϙς'. ρ'. ρδ'. ρκά. (έ. ιβ'. ρέ. ριά. ρκ'. ρλά.) 330

Ις'. Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔκληψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν [καὶ τόκων] ἀπέ-

χωνται, καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς, ἢ τὰς παρθένους καθιεροῦσθαι· [καὶ περὶ τοῦ, μὴ προσκυνεῖν τὸν δῆμον.]— Ἀπ. ϛ'. κϛ'. μδ'. πά. πγ'. τῆς Α'. ιζ'. τῆς Δ'. γ'. ζ'. τῆς ϛ'. ϛ'. θ'. ί. ιδ'. λγ'. τῆς Ζ'. θ'. ιδ'. τῆς ΑΒ'. ιά. Καρθ. έ. κέ. (έ. λγ'.) Βασιλ. ιδ'. 342

ΙΖ'. Ὥστε ἑκάστην ἐπαρχίαν, διὰ τὸ μακροδαπὲς, πρωτεύοντα ἔχειν ἴδιον. 351

ΙΗ'. Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ δίδωται, μηδὲ βάπτισμα· καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολῖται ἔρχωνται.—Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ϛ'. ή. πγ'. τῆς Ζ'. β'. ϛ'. Ἀντιοχ. ή. Καρθ. ογ'. οϛ'. οζ'. ϟέ. (πά. πδ'. πέ. ρδ'.) 352

ΙΘ'. Ὥστε, ἐπισκόπου κατηγορουμένου, πρὸς τὸν πρωτεύοντα τῆς αὐτοῦ ἐπαρχίας τὸ πρᾶγμα ἀνενεχθῆναι.— Ἀπ. οδ'. τῆς Β'. ϛ'. τῆς Δ'. θ'. κά. Ἀντιοχ. ιδ'. ιέ. Σαρδ. δ'. Καρθ. ή. ιβ'. ιέ. πζ'. ϟϛ'. ρκά. ρκή. ρκθ'. ρλ'. (ή. ιβ'. ιϛ'. ϟϛ'. ρέ. ρλά. ρλζ'. ρλή. ρλθ'.) 358

Κ'. Περὶ πρεσβυτέρων, καὶ κληρικῶν κατηγορουμένων. — Τῆς Δ'. θ'. Ἀντιοχ. δ'. Καρθ. ιβ'. ιέ. (ιβ'. ιδ'.) 362

ΚΑ'. Ὥστε τὰ τέκνα τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ συνάπτεσθαι αἱρετικοῖς.—Τῆς Δ'. ιδ'. τῆς ϛ'. οβ'. Λαοδ. ί. λά. 364

ΚΒ'. Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδένα συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις Χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.—Ἀπ. μ'. Καρθ. πά. ϟγ'. (πθ'. ρβ'.) 527

ΚΓ'. Ὥστε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.— Ἀπ. ιβ'. λγ'. τῆς Δ'. ιά. ιγ'. τῆς ϛ'. ιζ'. Ἀντιοχ. ϛ'. ζ'. ή. ιά. Λαοδ. μά. μβ'. Σαρδ. ζ'. ή. Καρθ. πθ'. ρέ. (ϟζ'. ριϛ'.) 366

ΚΔ'. Ὥστε ἐκτὸς τῶν κανονικῶν Γραφῶν, μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι.— Ἀπ. πέ. Λαοδ. νά. ξ'. Καρθ. μϛ'. (νδ'.) Γρηγ. Θεολ. ἔπη. Ἀθαν. λθ'. Ἀμφιλοχ. Καν. ἐπιστ. 368

ΚΕ'. Περὶ ἐπισκόπων καὶ τῶν ἑπομένων τάξεων τῶν τὰ ἅγια μυστήρια ψηλαφωσῶν, ἤρεσεν ἀπὸ γυναικῶν ἐγκρα-

τεύεσθαι. — Ἀπ. έ. τῆς ϛ'. ιϐ'. ιγ'. λ'. μή. Γάγγρ. δ'. Καρθ. γ'. δ'. ιϛ'. (γ'. δ'. ιθ'.) Σελ. 369

Κϛ'. Ὥστε μὴ ὑπό τινος διασπᾶσθαι τὰ τῆς ἐκκλησίας πράγματα.— Ἀπ. λά. μά. τῆς Ζ'. ιϐ'. Ἀγκ. ιέ. Ἀντιοχ. κδ'. Καρθ. λγ'. (μά.) Κυρίλλ. β'. 372

ΚΖ'. Πρεσβύτεροι, καὶ διάκονοι, ἐπὶ βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθέντες, χειροθεσίαν, ὡς λαϊκοί, μηδαμῶς ὑποδέξωνται.— Ἀπ. κέ. μζ'. ξή. τῆς ϛ'. κά. Καρθ. μή. (νζ'.) Βασιλ. γ'. λϐ'. μδ'. νά. 375

ΚΗ'. Πρεσβύτεροι, καὶ διάκονοι, καὶ κληρικοί, οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔκκλητον παρέχοντες ἐπὶ τὰ πέραν τῆς θαλάσσης, εἰς κοινωνίαν μηδαμῶς δεχθῶσι. — Τῆς Β'. ϛ'. τῆς Δ'. θ'. Καρθ. ιά. ρκέ. (ιά. ρλδ'.) 377

ΚΘ'. Εἴ τις ἀπὸ κοινωνίας ὤν, πρὸ τοῦ ἀκουσθῆναι κοινωνῆσαι τολμήσοι, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην προήγαγεν.— Ἀπ. ιϐ'. ιγ'. λϐ'. τῆς Α'. έ. Ἀντιοχ. ϛ'. Σαρδ. ιδ'. 379

Λ'. Περὶ κατηγοροῦντος καὶ κατηγορουμένου. — Ἀπ. οέ. τῆς Α'. β'. Καρθ. ρλά (ρμ'.) 381

ΛΑ'. Ἐάν τινες κληρικοὶ ἐκ τῶν ἰδίων ἐπισκόπων προϐιϐαζόμενοι καταφρονῶσι, μηδὲ ἐκεῖ μείνωσιν, ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησαν.— Βασιλ. πθ'. 383

ΛΒ'. Ἐάν τις τῶν κληρικῶν πενιχρός, προκόψας εἴς τινα τάξιν, κτήσοιτό τί ποτε, ὑποκεῖσθαι τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων.— Ἀπ. μ'. Ἀντιοχ. κδ'. τῆς Δ'. κϐ'. τῆς ϛ'. λέ. Καρθ. κϐ'. πά. (λ'. πθ'.) 386

ΛΓ'. Ὥστε πρεσβυτέρους πρᾶγμα τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται, μὴ πιπράσκειν· καὶ ὥστε μηδενὶ ἐπισκόπῳ ἐξεῖναι πράγματι καταχρήσασθαι τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάτρικος. — Ἀπ. λή. μά. τῆς Δ'. κϛ'. τῆς Ζ'. ιά. ιϐ'. Ἀντιοχ. κδ'. κέ. Ἀγκύρ. ιέ. Γάγγρ. ζ'. Καρθ. κϛ'. (λδ'.) Θεοφ. ί. Κυρίλλ. β'. 390

ΛΔ'. ὅτι οὐδὲν ἐκ τῆς ἐν Ἱππῶνι συνόδου εἴη διορθωτέον. 395

ΛΕ'. Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μὴ εὐχερῶς τὰ τέκνα αὐτῶν ποιεῖν ἐμαγκίπατα. — Γάγγρ. ιέ. 396

Λϛʹ. Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ κληρικοὺς μὴ χειροτονεῖσθαι, εἰ μὴ πάντας τοὺς ἰδίους, Χριστιανοὺς ποιήσωσιν. — Ἀπ. πϐʹ. 399

ΛΖʹ. Περὶ τοῦ, μὴ ἐξεῖναι περαιτέρω ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου τί ποτε ἐν τοῖς ἁγίοις προσφέρειν. —Ἀπ. γʹ. δʹ. τῆς ϛʹ. κή. λϐʹ. νζʹ. ηθʹ. 400

ΛΗʹ. Ὥστε κληρικούς, ἢ ἐγκρατευομένους, πρὸς παρθένους, ἢ χήρας μὴ εἰσιέναι. — Τῆς Αʹ. γʹ. τῆς Ζʹ. ιή. κϐʹ. Ἀγκύρ. πʹ. Βασιλ. πθʹ. 402

ΛΘʹ. Περὶ τοῦ, τὸν πρῶτον ἐπίσκοπον μὴ προσαγορεύεσθαι ἔξαρχον τῶν ἱερέων. — Ἀπ. λδʹ. 404

Μʹ. Περὶ τοῦ, μὴ καπηλεύεσθαι τοὺς κληρικούς, εἰ μὴ ἐπιξενουμένους. —Ἀπ. μϐʹ. μγʹ. νδʹ. τῆς ϛʹ. θʹ. νʹ. τῆς Ζʹ. κϐʹ. Λαοδ. κδʹ. νέ. 405

ΜΑʹ. Περὶ τοῦ, ἀπὸ νηστικῶν τῷ Θεῷ προσάγεσθαι θυσίας. — Ἀπ. ξθʹ. Λαοδ. μθʹ. νʹ. νά. νϐʹ. τῆς ϛʹ. κθʹ. πθʹ. Τιμοθ. ή. ἱ. Διονυσ. ά. 405

ΜΒʹ. Περὶ τοῦ, μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι. — Τῆς ϛʹ. οδʹ. οϛʹ. πή. Λαοδ. κζʹ. Γαγγρ. ιά. 407

ΜΓʹ. Περὶ τῶν μετανοούντων. — Ἀπ. λθʹ. Καρθ. ϛʹ. ζʹ. (ϛʹ. ζʹ.) 407

ΜΔʹ. Περὶ παρθένων. — Τῆς Αʹ. γʹ. ιθʹ. τῆς Δʹ. ιϛʹ. Καρθ. ϛʹ. ρκϛʹ. (ϛʹ. ρλέ.) 410

ΜΕʹ. Περὶ τῶν ἀσθενούντων, καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων· [καὶ περὶ σκηνικῶν μετανοούντων καὶ ἐπιστρεφόντων πρὸς τὸν Κύριον.]—Ἀπ. νϐʹ. Καρθ. ξγʹ. (οϐʹ.) 412

Μϛʹ. Περὶ τῶν παθῶν τῶν μαρτύρων. — Ἀπ. πέ. Λαοδ. νά. ξʹ. Καρθ. λϐʹ. Ἀθαν. ἐπιστ. λθʹ. Γρηγορ. Θεολ. ἔπη. Ἀμφιλόχ. 415

ΜΖʹ. Περὶ Δονατιστῶν, καὶ παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων. — Καρθ. νζʹ. ξϛʹ. ξζʹ. ξή. ξθʹ. ηά. ηγʹ. ηδʹ. ηθʹ. ριή. ριθʹ. (ξϛʹ. οέ. οϛʹ. οζʹ. οή. ηθʹ. ρʹ. ρά. ρϐʹ. ργʹ. ρί. ρκή. ρκθʹ.) 416

ΜΗʹ. Περὶ ἀναβαπτισμάτων, καὶ ἀναχειροτονιῶν, ἢ μεταβάσεων ἐπισκόπων. — Τῆς ϛʹ. κθʹ. Καρθ. μά. (μή.) 419

ΜΘ'. Πόσοι ἐπίσκοποι ἐπίσκοπον χειροτονεῖν ὀφείλουσιν.— Ἀπ. ά. τῆς Α'. δ'. τῆς Ζ'. γ'. Ἀντιοχ. ιθ'. Καρθ. ιγ'. Κωνστ. Ἀγαπ. καὶ Βαγαδ. 423
Ν'. Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται.— Ἀπ. ξά. τῆς ς'. β'. Καρθ. ρκθ'. (ρλή.) 425
ΝΑ'. Ὥστε ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀγγέλλεσθαι τὴν ἡμέραν τοῦ Πάσχα.— Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. τῆς Ζ'. ς'. Καρθ. ιή. νά. νϐ'. ογ'. ος'. οζ'. qέ. (κς'. ξ'. ξά. πά. πδ'. πέ. ρδ'.) 429
ΝΒ'. Περὶ τοῦ, τὰς ἐπαρχίας ἐπισκέπτεσθαι.—Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. τῆς Ζ'. ς'. Ἀντιοχ. ή. Καρθ. ιή. νά. ογ'. ος'. οζ'. (κς'. ξ'. πά. πδ'. πέ.) 430
ΝΓ'. Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι. 432
ΝΔ'. Περὶ τοῦ, ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων.— Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. ιθ'. Καρθ. q'. (qή.) 436
ΝΕ'. Περὶ τοῦ, ἐξεῖναι τῷ ἐπισκόπῳ Καρχηδόνος, ὅθεν θέλει, κληρικὸν χειροτονεῖν.— Ἀπ. ιέ. ις'. 444
Νς'. Περὶ τοῦ, τοὺς ἐν ταῖς παροικίαις χειροτονουμένους ἐπισκόπους μή τινα ἑαυτοῖς ἐκδικεῖν διοίκησιν. — Σαρδ. ς'. Καρθ. νγ'. qή. (ξϐ'. ρθ'.) 452
ΝΖ'. Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ ἐκκλησίᾳ κληρικοὺς χειροτονεῖσθαι.— Ἀπ. μς'. μζ'. ξή. τῆς Α'. ή. τῆς Β'. ζ'. τῆς ς'. ϟέ. Καρθ. μζ'. ξς'. ξζ'. ξή. ξθ'. qά. qγ'. qδ'. qθ'. ριζ'. ριθ'. (νέ. οέ. ος'. οζ'. οή. qθ'. ρ'. ρά. ρϐ'. ργ'. ρί. ρκή. ρκθ'.) 458
ΝΗ'. Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι.— Καρθ. πδ'. (qϐ'.) 462
ΝΘ'. Περὶ τοῦ, κληρικοὺς χάριν διαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν.— Ἀπ. οέ. τῆς Α'. β'. Καρθ. (λή. ρμ'.) 463

Ξ'. Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν Ἑλλήνων συμπόσια.— Ἀπ. μϐ'. μγ'. νδ'. τῆς ς'. θ'. ν'. ξϐ'. τῆς Ζ'. κϐ'. Λαοδ. κδ'. νγ'. νέ. Καρθ. μ'. (μζ'.) 465

ΞΑ'. Περὶ θεωρίων ἵνα ἐν τῇ Κυριακῇ, καὶ ἐν ταῖς λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται. — Τῆς ς'. κδ'. νά. ξϐ'. ξς'. τῆς Ζ'. κϐ'. Λαοδ. νγ'. νδ'. Καρθ. ιέ. (ιζ'.) 466

ΞΒ'. Περὶ τῶν καταδικαζομένων κληρικῶν.— Ἀπ. κή. 467

ΞΓ'. Περὶ τῶν μίμων τῶν γινομένων Χριστιανῶν. — Ἀπ. νϐ'. Καρθ. μέ. (νγ'.) 469

ΞΔ'. Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων, αἰτητέον ἀπὸ τοῦ βασιλέως.— Ἀπ. πϐ'. τῆς Δ'. δ'. τῆς ς'. πέ. Γάγγρ. γ'. Καρθ. πϐ'. (ϙ.) Βασιλ. μ'. μϐ'. 470

ΞΕ'. Περὶ Αἰγυπτίου ἐπισκόπου τοῦ καταδικασθέντος.— Ἀπ. κή. Καρθ. ξϐ'. (οά.) 472

Ξς'. Περὶ τοῦ μετὰ τῶν Δονατιστῶν πρᾴως διαπράξασθαι.—Καρθ. νς'. νζ'. ξζ'. ξή. ξθ'. ϙά. ϙγ'. ϙδ'. ϙθ'. ριζ'. ριή. (ξέ. ξς'. ος'.οζ'. οή. ϙθ'. ρ'. ρά. ρϐ'. ργ'. ρί ρκή. ρκθ'.) 475

ΞΖ'. Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν ἀποσταλῆναι, ὥστε κατάδηλα γενέσθαι τὰ μεταξὺ τῶν Δονατιστῶν καὶ Μαξιμιανιστῶν πραχθέντα.—Ἀπ. κζ'. τῆς ΑΒ'. θ'. Ἀντιοχ. έ. Καρθ. μζ'. νζ'. ξζ'. ξή. ξθ'. ϙά. ϙγ'. ϙδ'. ϙθ'. ριζ'. ριή. (νέ. ξς'.ος'. οζ'. οή. ϙθ'. ρ'.ρά. ρϐ'.ργ'. ρί.ρκή. ρκθ'.) 476

ΞΗ'. Περὶ τοῦ, τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι.—Καρθ. μζ'.νζ'. ξζ'. ξή. ξθ'. ϙά. ϙγ'. ϙδ'. ϙθ'. ριζ'. ριή. (νέ. ξς'. ος'. οζ'. οή. ϙθ'. ρ'. ρά. ρϐ'. ργ'. ρί. ρκή ρκθ'.) 478

ΞΘ'. Περὶ τοῦ, πρεσβείαν πρὸς τοὺς Δονατιστὰς ἀποσταλῆναι χάριν τοῦ τὴν εἰρήνην συνθεῖναι. 480

Ο'. Περὶ τοῦ, ποῖοι ὀφείλουσι κληρικοὶ γαμετῶν ἀπέχεσθαι. — Ἀπ. έ. τῆς ς'. ιϐ'. ιγ'. λ'. Καρθ. γ'. κέ. ( γ'. λγ'.) 482

ΟΑ'. Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων. — Ἀπ. νή. τῆς Δ'. κέ. τῆς ς'. ιθ'. τῆς ΑΒ'. ις'. Σαρδ. ιά. Καρθ. ρκά. ρκϐ'. ρκγ'. (ρλά. ρλϐ'. ρλγ'.) Πέτρου ί. Νύσσ. ς'. 485

ΟΒ'. Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι, ὁσάκις ἀμφιβάλλε-

ται περὶ αὐτῶν, εἰ ἄρα ἐβαπτίσθησαν.— Ἀπ. μζ'. Τῆς ς'. πδ'. 488

ΟΓ'. Περὶ τοῦ, τὴν ἡμέραν τοῦ Πάσχα ἐν τῇ ἡμέρᾳ τῆς συνόδου ἀγγέλλεσθαι. — Ἀπ. ζ'. λζ'. Καρθ. νά ρς'. (ξ'. ριζ'.) 489

ΟΔ'. Περὶ τοῦ, μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενούμενον καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται. — Ἀπ. νή. τῆς Δ'. κέ. τῆς ς'. ιθ'. τῆς ΑΒ'. ις'. Σαρδ. ιά. Καρθ. οά. οή. ρκά. ρκγ'. ρκδ'. (οθ'. πς'. ρλά. ρλϐ'. ρλγ'.) 493

ΟΕ'. Περὶ ἐκδίκων τῶν ἐκκλησιῶν τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι.—Ἀπ. κζ'. τῆς ΑΒ'. θ'. Ἀντιοχ. έ. Καρθ. μή. νγ'. ξζ'. ϙά. ϙγ'. ϙς'. ϙζ'. (νζ'. ξϐ'. ος'. ϙθ'. ρ'. ρς'. ρζ'.) 494

Ος'. Περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκόπων.— Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. τῆς Ζ'. ς'. Ἀντιοχ. κ'. Λαοδ. μ'. Καρθ. ιή'. νά. ογ'. οζ'. ϙέ. (κς'. ξ'. πά. πέ ρδ'. 496

ΟΖ'. Περὶ Κρεσκωνίου.— Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς', ή. τῆς Ζ'. ς'. Ἀντιοχ. κ'. Καρθ. ιή. νά. ογ'. ϙέ. (κς'. ξ'. πά. ρδ'.) 499

ΟΗ'. Περὶ τῶν ἐν Ἱππῶνι φροντιστῶν τῆς ἐκκλησίας. — Ἀπ. νή. τῆς Δ'. κέ. τῆς ς'. ιθ'. τῆς ΑΒ'. ις'. Σαρδ. ιά. Καρθ. οά. οδ'. ρκά. ρκγ'. ρκδ'. (οθ'. πϐ'. ρλά. ρλϐ'. ρλγ'.) 500

ΟΘ'. Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα.—Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. 501

Π'. Ὥστε τοὺς ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδεχθέντας, μηδὲ ἡγουμένους τῶν μοναστηρίων, μηδὲ κληρικοὺς ἐξεῖναι χειροτονεῖν. — τῆς Δ'. δ'. τῆς Ζ'. ιθ'. κά. Τῆς ΑΒ'. γ'. δ'. 503

ΠΑ. Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ ἕλληνας κληρονόμους καταλιμπανόντων.— Ἀπ. μ'. τῆς Δ'. κϐ'. τῆς ς'. λέ. Ἀντιοχ. κδ'. Καρθ. κϐ'. λϐ'. ϙγ'. (λ'. μ'. ρϐ'.) 505

ΠΒ'. Περὶ ἐλευθεριῶν.—Ἀπ. πδ'. τῆς Δ'. δ'. τῆς ς'. πέ. Γάγγρ. γ'. Καρθ. ξδ'. (ογ'.) Βασιλ. μ', μϐ'. 507

ΠΓ'. Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων.—Τῆς Ζ'. θ'. 508

ΠΔ'. Περὶ τοῦ, τὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι. — Καρθ. νή. (ξζ'.) 511

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΕ'. Ὥστε γράφεσθαι καὶ ὑπογράφεσθαι, ὁσάκις γένηται χρεία, ἐκ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων τῶν ἐπισκόπων ἐπιστολάς. 512

Πς'. Περὶ τάξεως ἐπισκόπων, ὥστε τοὺς μεταγενεστέρως χειροτονηθέντας μὴ τολμᾷν ἑαυτοὺς προτιμᾷν τῶν προτέρων. 514

ΠΖ'. Περὶ Κουοδβουλτδέου ἐπισκόπου. — Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. ιζ'. κά. τῆς ΑΒ'. ις'. Ἀντιοχ. ιδ'. ιέ. Σαρδ. δ'. Καρθ. ή. ιβ'. ιέ. ιθ'. ϙς'. ρκά. ρκή. ρκθ'. ρλ'. (ή. ιβ'. ις'. κζ'. ρέ. ρλά. ρλζ'. ρλή. ρλθ'.) 517

ΠΗ'. Περὶ Μαξιμιανοῦ ἐπισκόπου. 518

ΠΘ'. Ὥστε τοὺς χειροτονουμένους ἐπισκόπους ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥ τε ἡμέρα καὶ ὁ ὕπατος προφέρεται.—Ἀπ. ιβ'. Καρθ. πς'. (ϙέ.) 518

Ϙ'. Περὶ τοῦ, τοὺς κἂν ἅπαξ ἐν τῇ ἐκκλησίᾳ ἀναγνόντας, μὴ δύνασθαι ὑπὸ ἄλλων προχειρίζεσθαι.— Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς ς'. ιζ'. ιή. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. ιθ'. Καρθ. νδ'. (ξγ'.) 519

ϘΑ'. Περὶ τοῦ, τοῖς Δονατισταῖς, συνελθεῖν.— Καρθ. μζ'. νζ'. ξή. ξθ'. ό. ϙά ϙβ'. ϙγ'. ϙδ'. ϙθ'. ριζ'. ριή. ριθ'. (νέ. ξς'. οέ. ος'. οζ'. οή. ϙθ'. ρ'. ρά. ρβ'. ργ'. ρί. ρκή. ρκθ'.) 523

ϘΒ'. Ὁ τύπος τῆς πρὸς τοὺς Δονατιστὰς συνελεύσεως.— 525

ϘΓ'. Τὸ κομμονιτόριον, ὅπερ ἔλαβον οἱ κατὰ τῶν Δονατιστῶν πρεσβευταί.— Ἀπ. μ. ξή. Καρθ. κβ'. λβ'. μζ'. νζ'. ξή. ξθ'. ϙγ'. ριζ'. ριή. ριθ'. (λ'. μ'. νέ. ξς'. οέ. ος'. οζ'. οή. ρά ρβ'. ρή. ρθ'. ρί. ρκή. ρκθ'.) 527

ϘΔ'. Τὸ βρέβιον τῶν κεφαλαίων.—μζ'. νζ'. ξή. ξθ'. Ϙγ'. ριζ'. ριθ'. (νέ. ξς'. οέ. ος'. οζ'. οή. ρά. ρβ'. ρί. ρκή. ρκθ'.) 534

ϘΕ'. Σύνοδον μὴ γίνεσθαι κοινήν τε καὶ ὁλοτελῆ εἰ μὴ ἐξ ἀνάγκης. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. τῆς Ζ'. ς'. Ἀντιοχ. κ'. Καρθ. νά. ογ'. ος'. οζ'. (κς'. ξ'. πά. πδ'. πέ.) 535

Ϙς'. Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἴη ἐκκαλεῖσθαι.— Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. Καρθ. ιέ. ρ'. ρκά.(ις'. ριά. ρλά.) 537

ϘΖ'. Ἵνα ἀπὸ τῶν βασιλέων αἰτηθῇ συνηγόρων ἀντίληψις ὑπὲρ τῶν κεφαλαίων τῆς ἐκκλησίας.— Καρθ. ϙγ'. (ρβ'.) 539

ϞΗ'. Περὶ τῶν λαῶν τῶν μηδέποτε ἐπισκόπους ἐσχηκότων. — Ἀπ. λδ'. Σαρδ. ϛ'. Καρθ. νγ'. νϛ'. (ξϐ'. ξέ.) 541

ϞΘ'. Περὶ λαῶν καὶ διοικήσεων τῶν ἀπὸ Δονατιστῶν ἐπιστρεφόντων.— Ἀπ. λή. Καρθ. μζ'. νζ'. ξή. ξθ'. ηγ'. ριζ'. ριή. ριθ'. (νέ. ξϛ'. οέ. οϛ'. οζ'. οή. ρά. ρϐ'. ρκή. ρκθ'.) 542

Ρ'. Περὶ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ ἐπισκόπου. — Ἀπ. οδ'. τῆς Β'. ϛ'. τῆς Δ'. θ'. Καρθ. ιέ. ηϛ'. ρκά.(ιϛ'. ρέ. ρλά.) 545

ΡΑ'. Περὶ τοῦ εἰρηνοποιηθῆναι τὰς ἐκκλησίας Ῥώμης καὶ Ἀλεξανδρείας. 547

ΡΒ'. Περὶ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων, ἵνα οὕτω μείνωσιν.—Ἀπ. μή. τῆς ϛ'. πζ'. Ἀγκ. κ'. Βασιλ. θ'. κε. λέ. οζ'. 548

ΡΓ'. Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλουσῶν λέγεσθαι ἱκεσιῶν.— Λαοδ. ιή. 550

ΡΔ'. Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων. — Ἀπ. οδ'. τῆς Β'. ϛ'. τῆς Δ'. θ'. Ἀντιοχ. ιϐ'. Καρθ. ιδ'. 552

ΡΕ'. Περὶ τῶν ἐν Ἀφρικῇ μὴ κοινωνούντων, καὶ θελόντων πέραν τῆς θαλάσσης ὑποσυρῆναι. 554

Ρϛ'. Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι, τὴν αἰτίαν ἑαυτῶν καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ Ῥωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι.— Ἀπ. ιϐ'. Ἀντιοχ. ιά. Σαρδ. ζ'. θ'. 554

ΡΖ'. Σύνοδος περὶ διαγνώσεως ἐπισκόπων.— Ἀπ. οδ'. τῆς Β'. ϛ'. τῆς Δ'. θ'. Καρθ. ιϐ'. ιέ. κ'. ηϛ'. ρζ'. (ιϐ'. ιϛ'. κή. ρέ. ριή.) 558

ΡΗ'. Σύνοδος κατὰ τῶν Δονατιστῶν.— Νεοκ. ιϐ'. Καρθ. Ϟθ'. (ρί.) 559

ΡΘ'. Σύνοδος κατὰ τῆς αἱρέσεως Πελαγίου καὶ Κελεστίου· καὶ ὅτι Ἀδὰμ θνητὸς ὑπὸ τοῦ Θεοῦ οὐκ ἐγένετο.— Καρθ. ρί. ριά. ριϐ'. ριγ'. ριδ'. ριέ. ριϛ'.(ρκά. ρκϐ'. ρκγ'. ρκδ'. ρκέ. ρκϛ'. ρκζ'.) 560

ΡΙ'. ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται. 561

ΡΙΑ'. ὅτι ἡ τοῦ Θεοῦ χάρις οὐ μόνον ἄφεσιν χαρίζεται ἁμαρτιῶν, ἀλλὰ καὶ βοήθειαν παρέχει τοῦ μηκέτι ἁμαρτά-

νειν.— Καρθ. ρθ'. ρί. ριϐ'. ριγ'. ριδ'. ριέ. ριϛ'. (ρκ'. ρκά. ρκγ'. ρκδ'. ρκέ. ρκϛ'. ρκζ'.) 563

ΡΙΒ'. Ὅτι ἡ χάρις τοῦ Θεοῦ οὐ μόνον γνῶσιν παρέχει, ὡς δεῖ πράττειν, ἀλλὰ καὶ ἀγάπην ἔτι μὴν ἐμπνέει ἡμῖν, ἵνα ὃ ἐὰν ἐπιγινώσκωμεν, καὶ πληρῶσαι ἰσχύσωμεν.— Καρθ. ρθ'. ρί. ριά. ριγ'. ριδ'. ριέ. ριϛ'. (ρκ'. ρκά. ρκϐ'. ρκδ'. ρκέ. ρκϛ'. ρκζ'.) 563

ΡΙΓ'. Ὅτι ἄνευ τῆς τοῦ Θεοῦ χάριτος οὐδὲν δυνάμεθα πληροῦν.— Καρθ. ρθ'. ρί. ριά. ριϐ'. ριδ'. ριέ. ριϛ'. (ρκ'. ρκά. ρκϐ'. ρκγ'. ρκέ. ρκϛ'. ρκζ'.) 565

ΡΙΔ'. Ὅτι οὐ μόνον ταπεινή, ἀλλὰ καὶ ἀληθινὴ ἡ φωνὴ τῶν ἁγίων ἐστὶν αὕτη· Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν.— Καρθ. ρθ'. ρί. ριά. ριϐ'. ριγ'. ριέ. ριϛ'. (ρκ'. ρκά. ρκϐ'. ρκγ'. ρκδ'. ρκϛ'. ρκζ'.) 567

ΡΙΕ'. Ὅτι ἐν τῇ δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν λέγουσιν· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. — Καρθ. ρθ'. ρί. ριά. ριϐ'. ριδ'. ριϛ'. (ρκ'. ρκά. ρκϐ'. ρκγ'. ρκέ. ρκζ'.) 568

ΡΙϚ'. Ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται τό, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. — Καρθ. ρθ'. ρί. ριά. ριϐ'. ριδ'. ριέ. (ρκ'. ρκά. ρκϐ'. ρκγ'. ρκδ'. ρκϛ'.) 570

ΡΙΖ'. Περὶ τῶν λαῶν τῶν ἀπὸ Δονατιστῶν ἐπιστρεφόντων. — Καρθ. μζ'. νζ'. ξϛ'. ξζ'. ξή. ξθ'. ϙγ'. ριθ'. (νέ. ξϛ'. οέ. οϛ'. οζ'. οή. ρά. ρϐ'. ρκθ'.) 571

ΡΙΗ'. Περὶ τοῦ, πῶς μεταξὺ ἀλλήλων μερίσονται τὰς διοικήσεις οἱ ἐπίσκοποι, τοῦτο μὲν οἱ καθολικοί, τοῦτο δὲ οἱ ἐκ τοῦ Δονάτου ἐπιστρέψαντες. —Οἱ αὐτοὶ Κανόνες. 572

ΡΙΘ'. Περὶ τοῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ ἐπὶ τριετίαν ταύτην κατάσχῃ, μηδένα ταύτην ἀναζητεῖν.—Τῆς Δ'. ιζ'. Καρθ. μζ'. νζ'. ξϛ'. ξζ'. ξή. ϙγ'. ϙθ'. ριζ'. ριή. ρκά. (νέ. ξϛ'. οέ. οϛ'. οζ'. ρά. ρϐ'. ρί. ρκή. ρλά.) 574

ΡΚ'. Περὶ τῶν τοῖς λαοῖς, οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν, ἐπιϐαινόντων παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων. 576

ΡΚΑ'. Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν. — Ἀπ. νή. τῆς Δ'. κέ. τῆς ϛ'. ιθ'. τῆς ΑΒ'. ιϛ'. Σαρδ. ιά.

Καρθ. ιέ. οά. οδ'. οή. ρκϐ'. ρκγ'. (ις'. οθ'. πϐ'. πς'. ρλϐ'. ρλγ'.) Νύσσ. ς'. Πέτρου ί. 580

**ΡΚΒ'**. Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν ἡ γνώμη ἐξουθενεῖσθαι—Οἱ αὐτοὶ Κανόνες. 584

**ΡΚΓ'**. Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως ἐπίσκοπον στερεῖσθαι τῆς κοινωνίας. — Ἀπ. νέ. τῆς Δ'. κέ. τῆς ΑΒ'. ις'. Σαρδ. ιά. Καρθ. ξέ. οδ'. οή. ρκά. ρκγ'. (οδ'. πϐ'. πς'. ρλά. ρλγ'.) Νύσσ. ς'. Πέτρου ί. 585

**ΡΚΔ'**. Περὶ τῶν τοὺς Δονατιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων. — Ἀπ. νή. τῆς Δ'. κέ. τῆς ς'. ιθ'. τῆς ΑΒ'. ις'. Σαρδ. ιά. Καρθ. οά. οδ'. οή. ρκά. ρκϐ'. (οθ'. πϐ'. πς'. ρλά. ρλϐ'.) 587

**ΡΚΕ'**. Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους. — Τῆς Β'. ς'. τῆς Δ'. θ'. Καρθ. ιά. κή. (ιά. λς'.) 588

**ΡΚς'**. Περὶ παρθένων μικρῶν ἔτι μὴν καλυπτέων.—Τῆς Α'. γ'. ιθ'. τῆς Δ'. ιέ. τῆς ς'. μ'. μέ. Καρθ. ς'. μδ. (ς'. νά.) 590

**ΡΚΖ'**. Διὰ τὸ μὴ τοὺς ἐπισκόπους ἐπὶ πολὺ ἐν τῇ συνόδῳ κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ τρεῖς ἐπιλέξωνται δικαστάς. 593

**ΡΚΗ'**. Ὅτι οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν οὐκ ὀφείλουσι προσδεχθῆναι. — Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. κά. Καρθ. ή. ιθ'. ρκθ'. ρλ'. (ή. κζ'. ρλή. ρλθ'.) 595

**ΡΚΘ'**. Ὅτι δοῦλοι καὶ ἀπελεύθεροι, καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα, κατηγορεῖν οὐκ ὀφείλουσιν. — Ἀπ. οδ'. τῆς Β'. ϐ'. ς'. τῆς Δ'. θ'. κά. Καρθ. ή. ιθ'. ρλ'. (ή. κζ'. ρλθ'.) 596

**ΡΛ'**. Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος πρὸς ἕτερον μὴ εἰσδεχθῇ.—Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. θ'. κά. Καρθ. ή. ιθ'. ρκθ'. (ή. κζ'. ρλή.) 599

**ΡΛΑ'**. Τίνας δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν. — Ἀπ. οέ. τῆς Δ'. ϐ'. Καρθ. ή. ιθ'. λ'. νθ'. ρκθ'. ρλ'. (ή. κζ'. λή. ξή. ρλή. ρλθ'. 600

**ΡΛΒ'**. Περὶ ἐπισκόπου τοῦ ἀπὸ κοινωνίας ποιοῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα. — Ἀπ. λϐ'. τῆς Α'. έ. Ἀντιοχ. ς'. Σαρδ. ιδ'. Καρθ. ιά. κθ'. (ιά. λζ'.) 603

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΡΛΓ'. Ἵνα μὴ ὡς ἔτυχέ τινα στερήσῃ τῆς κοινωνίας ὁ ἐπίσκοπος. —'Απ. λϐ'. τῆς Α'. έ. Ἁγ. Σοφ. ά. 'Αντιοχ. ς'. Σαρδ. ιδ'. Καρθ. ιά. κθ'. (ιά. λζ'.) 604

Ἐπιστολὴ πάσης τῆς ἐν 'Αφρικῇ συνόδου πρὸς Βονιφάτιον τὸν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, διὰ Φαυστίνου ἐπισκόπου, Φιλίππου καὶ 'Ασέλλου πρεσβυτέρων, τῶν τοποτηρητῶν τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἀποσταλεῖσα. 608

Ἐπιστολὴ τοῦ Κυρίλλου, 'Αλεξανδρείας ἐπισκόπου, πρὸς τὴν ἐν 'Αφρικῇ σύνοδον. 615

Ἐπιστολὴ 'Αττικοῦ, τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, πρὸς τοὺς αὐτούς. 616

Ὁμολογία τῆς πίστεως τῆς ἐν Νικαίᾳ συνόδου. 617

Ἐπιστολὴ τῆς ἐν 'Αφρικῇ συνόδου πρὸς Κελεστῖνον τὸν τῆς Ῥωμαίων πόλεως ἐπίσκοπον. 618

Ἐκ τῶν ὑπομνημάτων τῆς ἐν Κωνσταντινουπόλει ἐπὶ Νεκταρίου περὶ 'Αγαπίου καὶ Βαγαδίου συστάσης συνόδου. 625

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ.

| *Ἀθηνῶν.* | Σώμ. |
|---|---|
| Τὸ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς δημοσίας ἐκπαιδεύσεως Β. ὑπουργεῖον. | 10 |
| Ἡ Βουλὴ τῶν ἀντιπροσώπων. | 1 |
| Α. Χ. Ἀναργύρου, Βουλευτής. | 1 |
| Ἀνάργυρος Πετράκης. | 1 |
| Α. Πολυζωΐδης, ἀντιπρόεδρος τοῦ Ἀρείου Πάγου. | 1 |
| Β. Κουρουσόπουλος, Ἀρειοπαγίτης. | 1 |
| Π. Σπηλιάδης. » | 1 |
| Π. Παπαῤῥηγόπουλος. » | 1 |
| Α. Βούλγαρης. » | 1 |
| Ι. Μαυρομμάτης. » | 1 |
| Β. Τ. Οἰκονομίδης. » | 1 |
| Τὸ γραφεῖον τοῦ Αρείου Πάγου. | 1 |
| Ι. Α. Σωμάκης, Εἰσαγγελεὺς τοῦ Ἀρείου Πάγου. | 1 |
| Τὸ γραφεῖον τῆς εἰσαγγελίας αὐτοῦ. | 1 |
| Α. Μωραϊτίνης, πρόεδρος τῶν ἐν Ἀθήναις Ἐφετῶν. | 1 |
| Μ. Σκαλιστήρης εἰσαγγελεὺς τῶν ἐφετῶν. | 1 |
| Γεώργιος Μ. Καραμάνος, ἐφέτης. | 1 |
| Α. Χριστόπουλος. » | 1 |
| Ἰωάννης Μεσσηνέζης. » | 1 |
| Γεώργιος Α Κοντογούρης. » | 1 |
| Α. Α. Κοντόσταυλος, πάρεδρος τῶν Ἐφετῶν. | 1 |
| Τὸ γραφεῖον τοῦ ἐν Ἀθήναις Πρωτοδικείου. | 1 |
| Γ. Π. Τριανταφύλλης, δικηγόρος. | 2 |
| Οἱ Πανοσ. Κ. Θεοδώρητος Κτενᾶς, καθηγητής. | 1 |
| » Ἀβράμιος Ἀναργύρου Ἱερομόναχος. | 1 |
| » Κωνσταντῖνος Ἱερεὺς καὶ Οἰκονόμος ἐκ Νυμφασίας. | 1 |
| Ν. Παρασκευόπουλος, ἀντεισαγγελεύς. | 1 |
| Ελ. Γ. Ἀποστολίδης. | 1 |
| Ι. Κ. Οἰκονόμου, Εἰρηνοδίκης. | 1 |

*Κεφαλληνίας.* Σώμ.

Ὁ Πανιερώτατος Μητροπολίτης Κεφαλληνίας Κύριος Σπυρίδων. 1

Ὁ Πανοσιώτ. ἅγιος Μέγας Πρωτοσύγκελλος Κεφαλληνίας καὶ ἀρχιερατικὸς ἐπίτροπος Ληξουρίου, Κ. Διονύσιος Δαλλαπόρτας. 1

Νικόλαος Ἱερεὺς Δρακονταΐδης, ἀρχιμανδρίτης. 1

Νικόλαος Ἱερεὺς Μανσταβῖνος, Σακελλάριος καὶ Ἱερογραμματεύς. 1

Ἠλίας Ἱερεὺς Ἀλιπράντης. 1

Θεόκλητος Ἱερομόναχος Ἀλιπράντης ἀρχιερατικὸς ἐπίτροπος. 1

Δόκτωρ Ἰωάννης Ἱερεὺς Λοβέρδος Ἱεροκήρυξ. 1

Δόκτωρ Θεολογοδιδάσκαλος Δημήτριος Ἱερεὺς Μαντσαβῖνος Ῥόζος. 1

Ἰωάννης Ἱερεὺς Λοβέρδος. 1

Ἰωάννης Ἱερεὺς Κασσιμάτης. 1

Εὐαγγελινὸς Ἄννινος Ῥοδοθεάτος. 1

Νικόλαος Φωκᾶς Θεοδωράτος. 1

*Ζακύνθου.*

Ὁ Πανιερώτατος ἅγιος Μητροπολίτης Ζακύνθου καὶ ἔξαρχος τῆς Ἑπταννησίου ἐκκλησίας. 1

Ὁ Κ. Χαράλαμπος Ἱερεὺς Ῥουσολάτος Ἱερογραμματεύς. 1

Α. Χαριάτης ἀρχιδιάκονος. 1

Κωνσταντῖνος Ἱερομόναχος Στρατούλης, διευθυντὴς τοῦ δευτερεύοντος σχολείου καὶ καθηγητὴς τῆς ἑλληνικῆς γλώσσης καὶ τῆς Θεολογίας. 1

*Πετρουπόλεως.*

Ὁ Πανοσιώτατος ἅγιος Ἀρχιμανδρίτης Κύριος Ἰωάννης, Κοσμήτωρ τῆς ἐκκλησιαστικῆς Ἀκαδημίας Πετρουπόλεως. 1

*Μόσχας.*

Ὁ Πανιερώτατος Μητροπολίτης Μόσχας Κ. Φιλάρετος. 2

Ὁ Κ. Τοποτηρητὴς αὐτοῦ Κ. Φιλόθεος. 1

Ἡ Ἐκκλησιαστικὴ Ἀκαδημία τῆς Μόσχας. 1

*Βενετίας.*

Ἡ ἐν Βενετίᾳ Ἑλληνικὴ Τυπογραφία τοῦ ἁγίου Γεωργίου διὰ τοῦ διευθυντοῦ αὐτῆς Κυρίου Σπυρίδωνος Βελούδη 1

*Κύπρου.*

Ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Κύπρου Κύριος Κύριλλος. 3
Ὁ Πανιερώτατος Μητροπολίτης Πάφου Κύριος Χαρίτων. 2
Ὁ Πανιερώτατος Μητροπολίτης Κιττίου Κύριος Μελέτιος. 2
Ὁ Πανιερώτατος Μητροπολίτης Κυρηνείας Κύριος Μελέτιος. 2

*Ἄρτης*

Ὁ Πανιερώτατος Μητροπολίτης Ἄρτης Κ. Σοφρόνιος. 1
Ἡ Ἱερὰ μονὴ Κατωπαναγίας. 1
Ἡ Ἱερὰ μονὴ Βλαχέρνης. 1
Ἡ Ἱερὰ μονὴ Θεοτόκου. 1
Ἡ Ἱερὰ μονὴ Φανερωμένης. 1
Ἡ Ἱερὰ μονὴ τοῦ Προφήτου Ἠλιοῦ. 1
Ἡ Ἑλληνικὴ σχολὴ Ἄρτης. 1

*Ἀλεξανδρείας.*

Ὁ Κ. Μ. Τοσίτζας, γενικὸς πρόξενος τῆς Ἑλλάδος. 2

*Βουκουρεστίου.*

Τὸ ἐπὶ τῶν Ἐκκλησιαστικῶν Ὑπουργεῖον. 10
Ν. Ζερλέντης. 1

*Ἰασίου.*

Ὁ Ἐξοχώτατος Μέγας Λογοθέτης Κύριος Κωνσταντῖνος Στούρζας. 3

---

* Οἱ μὴ ἐπιστραφέντες λοιποὶ κατάλογοι δημοσιευθήσονται ἐν τῷ προσεχῶς ἐκδοθησομένῳ Δ'. τόμῳ.

# Τυπογραφικῶν παροραμάτων διόρθωσις.

Σελ. 16 στιχ. 22 ἔχει· γράφε, ἔχει ;—19 στίχ 18 εὖν γρ. οὖν—25 στίχ. 15 εἶον γρ. οἶον — σελ. 34 στίχ. 10 ἀκρόασιν γρ. ἀκρόασιν — 43 στίχ. 20 ἠξίουν, γρ. ἠξίουν — 44 στίχ. 14 πα—πατριάρχης γρ. πατριάρχης Σελ. 67 στίχ. 20 δαιμωνιώδη γρ. δαιμονιώδη—Σελ. 73 στίχ. 11 μοιχῶ γρ. μοιχῷ—76 στίχ. 18 μετ' αὐτάς, δύο γρ. μετ' αὐτὰς δύο, — 77 στίχ. 3 συγκαθευδῆναι γρ. συγκαθευδῆσαι — 116 στίχ. 18 φησί, καὶ γρ. φησὶ καὶ —Σελ. 133 στίχ 4 δίου γρ ἰδίου — 135 στίχ. 11 ἐξα ρέτως, γρ., ἐξαιρέτως 136 στίχ. 20 στασιώδη γρ. στασιώδη — 139 στίχ 6 ἀπιᾶσιν γρ. ἀπίασιν — 178 στίχ. 22 εἰ κα γρ. εἰ καὶ — 188 στίχ. 29 κανονισθέτα γρ. κανονισθέντα — 191 στίχ. 8 προσέλθετε γρ. προέλθετε — 272 στίχ. 10 ὁποῖα γρ. ὁποία — 290 στίχ. 7 ἔχοντες γρ ἔχοντας — 293 Οφφετούφης γρ. Ὀφφετούλης — 330 στίχ. 24 (ΙΔ') γρ. (ΙΔ'. ΙΕ'. Ις'. ΙΖ'.) — 410 στίχ. 15 τὰρ γρ. τὰς — 432 στίχ. 6 πολλοῖς γρ. πολλαῖς — 434 στίχ 6 ἐξ ἀρχῆς, γρ. ἐξ ἀρχῆς — 436 στίχ. 7 στηριχθήσεται γρ. στερηθήσεται — 502 στίχ. 3 διὸ γρ. δι' ὃ — 525 στίχ. 30 ἐντεθεῖναι γρ. ἐντεθῆναι — 527 στίχ. 24 (Ρ'.) γρ. (Ρ'. ΡΑ'. ΡΒ'.) — 529 στίχ. 11 αἱρετικῶν φυλάξωσιν, ἔτι μὴν γρ. αἱρετικῶν, φυλάξωσιν ἔτι μὴν — 541 στίχ. 11 γνῶ γρ. γνῷ — 543 στίχ. 8 εἶχον γρ. εἶχον — αὐτόθι στίχ. 29 ἐνορίας γρ. ἐνορίας — 545 στίχ. 31 γνῶ γρ. γνῷ — 564 στίχ. 12 προημαρτημέων γρ. προημαρτημένων — αὐτόθι στίχ. 29 ἐμποιοῦν... οἰκοδομοῦν γρ. ἐμποιεῖν... οἰκοδομεῖν.